35. *εἴρηται γὰρ ἐν αὐταῖς*] sc. *ἐν ταῖς σπονδαῖς τριακοντούτεσιν*. Vid. 1, 115. Negat orator Corcyraeus, receptis suis popularibus per Athenienses illam pacem violatum iri. Videtur tamen futurum fuisse, ut Corcyraeis receptis violaretur, si Od. Muell. Dor. 1. p. 134. adn. verum sentit de clausula illius pacis: *τῶν Ἑλληνίδων πόλεων ἥτις* etc. Hanc enim dicit huius pacti mentem fuisse: Urbibus illis, quae in neutra societate essent, accedere licuisse ad socios utroslibet: eam orator mox dicit *τὴν προκειμένην ξυμμαχίαν*. Accedendo sociis utrisvis fieri, ut induciis triginta annorum includantur, praestetque societas incolumitatem sociorum recens receptorum. Sin vero urbs recipiatur, quae in bello versetur contra urbem iam *ἔνσπονδον* (velut Corinthii iam bellum gerebant cum Corcyraeis, et erant Corinthii *ἔνσπονδοι*), id non aliud esse, quam bellum a societate, quae novum socium recipit, simul et ipsa gerendum suscipi, velut Athenienses, si Corcyraeos in societatem suam recipiebant, Corinthiis bellum indicere cogebantur. Hoc liquet ex oratione Corinthii c. 40.

παρ' ὁποτέρους] i. e. *ἐλθεῖν παρ' ἐκείνους παρ' ὁποτέρους* (*ἐλθεῖν*) *ἂν ἀρέσκηται*. Popp. Mox de formula *οὐχ ὅπως, non modo non* v. Herm. ad Vig. p. 790, 253. Ad verba *ἢν οὐ δίκαιον* supple *προσλαβεῖν Κορινθίους*. Paulo post *ὑπείπομεν* Schol. interpretatur per *προείπομεν* vid. Herm. ad Vig. p. 864, 433.

ἐν ἀρχῇ ὑπείπομεν τὰ ξυμφέροντα ἀποδείκνυμεν· καὶ μέγιστον ὅτι οἵ τε αὐτοὶ πολέμιοι ἡμῖν ἦσαν, ὅπερ σαφεστάτη πίστις, καὶ οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας βλάψαι· καὶ ναυτικῆς καὶ οὐκ ἠπειρώτιδος τῆς ξυμμαχίας διδομένης οὐχ ὁμοία ἡ ἀλλοτρίωσις· ἀλλὰ μάλιστα μέν, εἰ δύνασθε, μηδένα ἄλλον ἐᾶν κεκτῆσθαι ναῦς· εἰ δὲ μή, ὅστις ἐχυρώτατος,
36 τοῦτον φίλον ἔχειν. καὶ ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖται δὲ μὴ δι' αὐτὰ πειθόμενος τὰς σπονδὰς λύσῃ, γνώτω τὸ μὲν δεδιὸς αὐτοῦ ἰσχύν ἔχον τοὺς ἐναντίους μᾶλλον

ἡμῖν ἦσαν] *Nobis* intellige Corcyraeis et Atheniensibus. Porro „exspectes, aiunt, potius εἰσίν, nam quod iidem Corcyraeis et Atheniensibus hostes erant, non satis est. Poterant enim cum iis, qui hostes fuerant, in gratiam redire et amicos habere, quos hostes habuerant.“ Equidem tantum absum, ut ἦσαν improbem, ut εἰσίν si hic invenirem, corrigendum putarem. Quid enim? Ne potuit quidem orator εἰσί dicere, quia Corinthii eo tempore Atheniensibus ἔνσπονδοι erant. Quamvis igitur Corinthios ἐχθρούς Atheniensium appellet, tamen πολέμιοι praesenti quidem tempore non erant. Cur imperfecto ἦσαν usus sit, iudicari licet ex c. 42., ubi orator Corinthius ad hunc locum et ad verba superius lecta: οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων καὶ ἐπιόντων γενήσεσθε respiciens dicit: τῆς δὲ ὑπαρχούσης πρότερον διὰ Μεγαρέας ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον. Quomodo propter Megarenses Athenienses et Corinthii hostes facti sint, narratur 1, 103. Ad ea tempora, quibus hostes facti sunt, refertur imperfectum ἦσαν, quo orator Corcyraeus cum tecta malitia usus esse cogitandus est, ut vetus ulcus rescinderet, quod probe noverat male sartum esse per inducias tricennales, necdum coisse. Hoc ἦσαν sonat, quasi orator dicat: *erant? nonne etiammum sunt hostes?* Hinc duo alia perspicua fiunt, tum cur orator Corcyraeus addat ὅπερ σαφεστάτη πίστις, tum cur adversarius tectam hanc mentionem veteris inimicitiae ὑποψίαν appellet, quam dicit potius attenuandam esse, videlicet quam cum oratore Corcyraeo incendendam. Mox τοὺς μεταστάντας orator intelligit se et populares suos. Nam c. 28. Corcyraei Corinthios dehortantur, ne bellum causae suae per arbitros dirimendae praeferant; sin minus, sese vel invitos relictis Corinthiis (μεταναστάντας) alios amicos quaesituros, quam qui nunc sunt. Ubi Atheniensis intelligendi sunt, non Lacedaemonii, quibuscum Corinthii arctiori necessitudine coniuncti erant, quam ut Corcyraeis sperare liceret, ut eos sibi conciliarent, vid. cap. 33. τοὺς Κορινθίους δυναμένους παρ' αὐτοῖς (apud Lacedaemonios). Atque c. 31. disertis verbis scriptum est ἔδοξε (Corcyraeis) ἐλθοῦσιν ὡς τοὺς Ἀθηναίους ξυμμάχους γενέσθαι. Paulo inferius οὐχ ὁμοία idem est quod μείζων. Conf. c. 143.

ἀλλὰ — ἐᾶν — ἔχειν] Sequi debebat καὶ pro ἀλλά, nam series infinitivorum haec est: ἀλλὰ δίκαιον ἦ — κωλύειν — ἦ — πέμπειν — μάλιστα δὲ — δεξαμένους βοηθεῖν — καὶ μάλιστα μὲν — μηδένα ἄλλον ἐᾶν κεκτῆσθαι ναῦς· εἰ δὲ μὴ — φίλον ἔχειν. Quia autem inter βοηθεῖν et μάλιστα μὲν — ἐᾶν haec sententia in parenthesi interposita est: πολλὰ δὲ — καὶ ναυτικῆς καὶ οὐκ ἠπειρωτίδος — οὐχ ὁμοία ἡ ἀλλοτρίωσις, id accidit, quod saepe, ut parenthesis vim haberet in eam partem sententiae primariae, quae post parenthesin insequitur. Nam οὐχ ὁμοία et ἀλλὰ μάλιστα inter se referuntur. v. Matth. p. 1297 sq.

36. τὸ μὲν δεδιός] est timor, ne bellum fiat; τὸ θαρσοῦν est fiducia, non fore. Hoc comprobatur verbis in orat. Corinthii c. 42.

φοβῆσον· τὸ δὲ θαρσοῦν μὴ δεξαμένου ἀσθενὲς ὂν πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς ἀδεέστερον ἐσόμενον καὶ ἅμα οὐ περὶ τῆς Κερκύρας νῦν τὸ πλέον ἢ καὶ τῶν Ἀθηνῶν βουλευόμενος, καὶ οὐ τὰ κράτιστα αὐταῖς προνοῶν ὅταν ἐς τὸν μέλλοντα καὶ ὅσον οὐ παρόντα πόλεμον τὸ αὐτίκα περισκοπῶν ἐνδοιάζῃ χωρίον προσλαβεῖν ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε καὶ πολεμοῦται. τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν ἐᾶσαι Πελοποννησίοις ἐπελθεῖν, τό τε ἐνθένδε πρὸς τἀκεῖ παραπέμψαι, καὶ ἐς τὰ ἄλλα ξυμφορώτατόν ἐστι. βραχυτάτῳ δ' ἂν κεφαλαίῳ, τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον, τῷδ' ἂν μὴ προέσθαι ἡμᾶς μάθοιτε τρία μὲν ὄντα λόγου ἄξια τοῖς Ἕλλησι ναυτικά, τὸ παρ' ὑμῖν καὶ τὸ ἡμέτερον καὶ τὸ Κορινθίων. τούτων δ' εἰ περιόψεσθε τὰ δύο ἐς ταὐτὸν ἐλθεῖν καὶ Κορίνθιοι ἡμᾶς προκαταλήψονται, Κερκυραίοις τε καὶ Πελοποννησίοις ἅμα ναυμαχήσετε· δεξάμενοι δὲ ἡμᾶς ἕξετε πρὸς αὐτοὺς πλείοσι νανσὶ ταῖς ἡμετέραις ἀγωνίζεσθαι. τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι μετ' αὐτοὺς τοιάδε.

37 Ἀναγκαῖον Κερκυραίων τῶνδε οὐ μόνον περὶ τοῦ δέξασθαι σφᾶς τὸν λόγον ποιησαμένων, ἀλλ' ὡς καὶ ἡμεῖς τε ἀδικοῦμεν καὶ αὐτοὶ οὐκ εἰκότως πολεμοῦνται, μνησθέντας πρῶ-

Καὶ τὸ μέλλον τοῦ πολέμου, ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι κελεύουσιν ἀδικεῖν, ἐν ἀφανεῖ ἔτι κεῖται. Τὸ δεδιός et τὸ θαρσοῦν participia sunt pro infinitivis τὸ δεδιέναι — θαρσεῖν, vel pro substantivis τὸ δέος — θάρσος. v. Herm. ad Soph. Tr. 195. Matth. §. 570. p. 1126. Dicas idem, quod scriptor dixit, his verbis: γνώτω, δεδιότα μὲν αὐτὸν καὶ ἰσχὺν ἔχοντα, sive τὸ μὲν δέος αὐτοῦ ἰσχὺν ἔχοντος — μᾶλλον φοβῆσαι, unde simul patet, melioribus libris obsequendum fuisse, qui habent αὐτοῦ, non αὑτοῦ. Quorum pronominum de differentia v. Buttm. Gr. §. 127. III. 3. (ed. 13.) et Exc. 10. ad Demosth. Orat. Mid. Statim ἀδεέστερον est *minus formidandum* et πολεμοῦται *inimica redditur.*

παράπλου] pendet a καλῶς. v. Matth. p. 645. Genitivi Ἰταλίας et Σικελίας vicissim pendent ex παράπλου: da der Ort so bequem zu der Fahrt nach Italien und Sicilien liegt, dass gegen unsern Willen kein Schiff von dorther nach dem Peloponnes kommen, von hier aus hingegen allemal eine Flotte bequem dahin abgehen kann.

βραχυτάτῳ — ναυτικά] Poppo verba τοῖς ξύμπασι καὶ καθ' ἕκαστον pro neutris habens dativum per Germanicum: für explicat, hoc sensu: ein kurzer Inbegriff für Alles und Jedes sive *brevissima summa omnia ac singula complectens haec est, unde discatis.* Participium ὄντα pendere facit ab μάθοιτε ἄν, quod sane facilius fit, si ἴστε repetas (vel simile quid) latens in illo μάθοιτες, et ante τρία μὲν ὄντα supples: *brevissima autem summa universa et singula complecteas, unde non deserendos nos esse discatis, haec est: scitote, Graecis tres esse classes memoratu dignas, vestram, nostram et Corinthiorum quarum si duas* etc.

νανσὶ ταῖς ἡμετέραις] i. e. mit so viel Schiffen mehr, als die Zahl der unsrigen beträgt. Dativus ταῖς ἡμετέραις pendet ex πλείοσι, ut πολλῷ in phrasi πολλῷ πλείονες, ut sit um die unsrigen mit mehr Schiffen, sicut alterum est um vieles mehr.

τον καὶ ἡμᾶς περὶ ἀμφοτέρων, οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι, ἵνα τὴν ἀφ' ἡμῶν τε ἀξίωσιν ἀσφαλέστερον προειδῆτε καὶ τὴν τῶνδε χρείαν μὴ ἀλογίστως ἀπώσησθε. φασὶ δὲ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι· τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν, ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τἀδικήματα οὐδὲ μάρτυρα ἔχειν, οὔτε παρακαλοῦντες αἰσχύνεσθαι. καὶ ἡ πόλις αὐτῶν ἅμα, αὐτάρκη θέσιν κειμένη, παρέχει αὐτοὺς δικαστὰς ὧν βλάπτουσί τινα μᾶλλον ἢ κατὰ ξυνθήκας γίγνεσθαι, διὰ τὸ ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέοντας μάλιστα τοὺς ἄλλους ἀνάγκη καταίροντας δέχεσθαι. κἀν τούτῳ τὸ εὐπρεπὲς ἄσπονδον οὐχ ἵνα μὴ ξυναδικήσωσιν

37. ἀξίωσιν — χρείαν] Ἀξίωσις petitio est, quam aequitas iubet, χρεία, quam necessitas cogit. Bred.

αἰσχύνεσθαι] Nolunt sociis quasi onerari, ne pudore suffundantur, si eos hortentur in communionem turpium consiliorum suorum venire. Mox αὐτάρκη θέσιν intellige, eorum urbem ita sitam fuisse, ut nulla alia urbe indigeret, aliis sese indigentibus. Bloomf. iniurias Corcyraeorum non in piratica factitanda, ut Schol., sed in hoc positas fuisse putat, quod vectigalia iniqua ex nautis portus ipsorum intrantibus extorserint. Quam fraudulenter in Persicis bellis egerint, Popp. addit apparere ex Herodot. 7, 168.

ἢ κατὰ ξυνθήκας] i. e. *ἡ πόλις αὐτῶν — παρέχει αὐτοὺς μᾶλλον δικαστὰς ὧν βλάπτουσί τινα ἢν (δικασταὶς) κατὰ ξυνθήκας γίγνεσθαι, urbis eorum situs sibi sufficiens efficit, ut ipsi magis sint arbitri iniuriarum, quibus alios afficiunt, quam ut iudices constituantur ex pactis.* Vocabulum δικαστάς bis cogitandum et repetendum ante κατὰ ξυνθήκας. Ξυνθήκας autem intelligit non pacta civitatum de commercio iuris inter cives privatos dandi et repetendi (δίκας ἀπὸ ξυμβόλων), sed pacta de litibus inter civitates per arbitros dirimendis: id quod et nomen ξύνθηκαι indicat, quo constanter ab hoc scriptore induciae tricennales Atheniensium et Lacedaemoniorum significantur, at hoc loco pacta illis induciis tricennalibus similia, quare articulum τὰς ante ξυνθήκας non addidit. Illarum autem inducarum inter alia hoc caput erat: διδόναι καὶ δέχεσθαι τὰ δίκαια i. e. *lites per arbitrium civitatis utrique civitati litiganti amicae disceptantur.* Quare hoc cap. extr. dicit, Corcyraeis, si viri probi esse voluissent, licuisse sese tali foederi adscribendos curare διδοῦσι καὶ δεχομένοις τὰ δίκαια. Hoc probe intelligens Dukas adnotavit: καθιστᾶσιν ἑαυτοὺς δικαστὰς τῶν κακῶν, ἃ ποιοῦσιν ἑτέρους· τοὺς τοιούτους δὲ ἀρετοὺς ἔδει εἶναι, ἐκ συμφώνου παρ' ἑκατέρων τῶν διαφερομένων ἠρημένους.

διὰ τὸ δέχεσθαι] i. e. διὰ τὸ αὐτοὺς ἥκιστα μὲν ἐπὶ τοὺς πέλας ἐκπλεῖν, μάλιστα δὲ τοὺς ἄλλους δέχεσθαι, ἅτε δὴ ἀνάγκη ἐκεῖσε καταίροντας. Steph. Si ad alios navigassent, hi par pari relaturi fuissent. Ἀνάγκη Schol. explicat per διὰ πνευμάτων βίαν, adde fori et agnationis causa et similia.

οὐχ ἵνα μὴ ξυναδικήσωσι] i. e. κἀν τούτῳ προβέβληνται τὸ ἄσπονδον εὐπρεπὲς, ὅπως καταμόνας ἀδικῶσι, καὶ ὅπως — βιάζωνται — πλέον ἔχωσιν — ἀναισχυντῶσιν, οὐχ ἵνα μὴ ξυναδικήσωσιν. Hyperbaton est sive perturbatio ordinis naturalis verborum ac sententiarum, facta plerumque hoc consilio, vel ut aliquid maiori cum vi et efficacia efferant, vel studio brevitatis, vel ob venustatem concinnae orationis, vel studio per antitheta conformandi vel orbe includendi orationem. Velut hic si oratio constructa esset, ut in explicatione adscripsi, et

ἑτέροις προβέβληνται, ἀλλ' ὅπως κατὰ μόνας ἀδικῶσι καὶ ὅπως ἐν ᾧ μὲν ἂν κρατῶσι βιάζωνται, οὗ δ' ἂν λάθωσι πλέον ἔχωσιν, ἢν δέ πού τι προσλάβωσιν, ἀναισχυντῶσι. καίτοι εἰ ἦσαν ἄνδρες ὥσπερ φασὶν ἀγαθοί, ὅσῳ ἀληπτότεροι ἦσαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν διδοῦσι καὶ δεχομένοις τὰ δίκαια δεικνύναι. ἀλλ' οὔτε πρὸς τοὺς 38
ἄλλους οὔτε ἐς ἡμᾶς τοιοίδε εἰσίν, ἄποικοι δὲ ὄντες ἀφεστᾶσί τε διὰ παντὸς καὶ νῦν πολεμοῦσι λέγοντες ὡς οὐκ ἐπὶ τῷ κακῶς πάσχειν ἐκπεμφθείησαν. ἡμεῖς δὲ οὐδ' αὐτοί φαμεν ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ ἡγεμόνες τε εἶναι καὶ τὰ εἰκότα θαυμάζεσθαι. αἵ γοῦν ἄλλαι ἀποικίαι τιμῶσιν ἡμᾶς καὶ μάλιστα ὑπὸ ἀποίκων στεργόμεθα. καὶ δῆλον ὅτι εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ' ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν οὐδ' ἐπιστρατεύομεν ἐκπρεπῶς μὴ καὶ

membra deinceps inter se exciperent, et non per aliam sententiam alia inclusa esset, languida ac frigida redderetur, quare etiam aliis locis οὐκ — ἀλλά positum reperias pro καὶ οὐκ. Cuius usus insigne exemplum est Epigr. ap. Demosth. Or. pr. Cor. p. 322. Reisk. et simillimus locus Cicer. 1. De Orat. 24. §. 111. Alium praeterea fontem traiectionis Longin. de sublim. 22, 1. 2. demonstravit. Etenim non raro calidior loquentium animus effecit, ut traiectione uterentur, fitque adeo verborum color vividior, magisque penetrans ipsorum audientium animos, cuius usus exemplum Longinus protulit Herodoti: possint addi innumera alia. Illud traiectionis genus, quod διὰ μέσον vocant, (v. Matth. p. 1098. 1290 sq. Erf. ad Soph. Antig. 533. Doederl. in Script. Acad. Erlang. 1827. 4. Conf. Aristoph. Vesp. 603 sq., ibiq. Brunck. Thuc. 3, 68. 8, 33. ut plurimum oritur verbo finito posito, ubi per participium naturalis et solita constructio servari poterat, velut in parte exemplorum, quae Matth. p. 1299 sq. posuit. Saepe etiam structura διὰ μέσον orta est studio scriptorum exprimendi festinationem imperantium aliquid, vel cupide volentium. Cuius usus exempla sunt Plaut. Aulul. 2, 3, 3., (quem feliciter imitatus est Popius *Epistl. to* Dr. *Arbuthnot*, sive Prologi satir. init.), Arist. Plut. 625., ubi v. Schol. Structuram διὰ μέσον habent etiam loci prolati ab Heindorfio ad Plat. Phaedon. §. 98. p. 166. ed. pr. Traiectio singulorum verborum σύγχυσις appellatur. Est denique traiectio non solum in verbis et oratione, sed etiam in rebus, cuius insigne exemplum est apud Thuc. 1, 61. adde 1, 109. extr., ubi v. Dukam 1, 1. καὶ ἐλπίσας. 8, 66. δεδιὼς καὶ ὁρῶν etc., quibus locis si ante vocem traiectam καὶ deleas, nihil relinquetur, quod explicatione indigeat. Vid. Krueg. ad Dionys. p. 115 sq.

καὶ ὅπως — ἀναισχυντῶσι] i. e. *utque, ubi viribus praevalent, vi agant; ubi latent, fraude suam rem augeant; ubi quid acquisiverint, impudentes sint.*

εἰ ἦσαν] Conf. cap. sq. καλὸν δ' ἦν. v. Matth. p. 967. adn. 2. Hoc dicit: Atqui si viri probi erant, quo minus expugnabiles ab aliis erant, eo apertius iustitiam suam comprobare poterant patiendo lites iure et arbitrio disceptari. „Nam illi sane prae ceteris aliorum arbitrio suam rem disceptandam possunt tradere, quibus propter ipsorum securitatem iniusta iudicia non timenda sunt.“ Haack. Ἀληπτοι, Dukas interpretatur, ἀνεξάρπαστοι et τὸ ἀληπτότεροι, ait, ἀντὶ τοῦ μὴ εἰς ἄλλους αὐτοὺς καταίρειν, μηδὲ τῶν ἐκείνου λιμένων χρήζειν εἴληπται, τουτέστιν ἀνενδεεῖς.

38. ἐκπρεπῶς] Thuc. 3, 55. ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέ-

διαφερόντως τι ἀδικούμενοι. καλὸν δ' ἦν, εἰ καὶ ἡμαρτάνομεν, τοῖσδε μὲν εἶξαι τῇ ἡμετέρᾳ ὀργῇ, ἡμῖν δὲ αἰσχρὸν βιάσασθαι τὴν τούτων μετριότητα. ὕβρει δὲ καὶ ἐξουσίᾳ πλούτου πολλὰ ἐς ἡμᾶς ἄλλα τε ἡμαρτήκασι καὶ Ἐπίδαμνον ἡμετέραν οὖσαν κακουμένην μὲν οὐ προσεποιοῦντο, ἐλθόντων δὲ
39 ἡμῶν ἐπὶ τιμωρίᾳ ἑλόντες βίᾳ ἔχουσι. καί φασι δὴ δίκῃ πρότερον ἐθελῆσαι κρίνεσθαι, ἦν γε οὐ τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον λέγειν τι δοκεῖν δεῖ, ἀλλὰ τὸν

στερον ὑπὸ ἡμῶν οὔτε ἐπάθετε, οὔτε ἐμελλήσατε, ubi Schol. verum vocis sensum aperuit: ἔξωτοῦ πρέποντος. v. Thom. M. p. 318. et ante omnia Valck. ad Herodot. 2, 142. Est igitur *modo iniquo* i. e. modo maiori patriae indigno (auf eine dem Mutterstaat nicht angemessene Weise), statim vi agendo, ubi modestia coloniae suadebat leniorem viam ingredi. V. ea quae statim apud auctorem sequuntur. Converte: *neque solemnis bellum inferre* (ἐπιστρατεύομεν, quam scripturam pro vulgata ἐπιστρατεύοιμεν satis Popp. stabilivit), *indigno maiori patriae modo, nisi insigni iniuria coyimur.* Mox participio ἀδικούμενοι permanentem effectum rei praeteritae significari docuit Herm. ad Soph. El. 47. et ad Vig. p. 901., quo fit, ut participium substantivi instar sit. Conf. Matth. p. 957. lit. t. Krueg. ad Dionys. p. 304. Lobeck. ad Soph. Ai. p. 277.

ἡμῖν δὲ αἰσχρόν] Quum incipiat καλὸν ἦν τοῖσδε μέν, sequi debebat ἡμῖν δέ repetito καλὸν ἦν, quod et ad μέν et ad δέ pertinet eo, quem obtinet, posita. Nunc suggerit ἡμῖν δὲ αἰσχρόν, ergo ante debebat, τοῖς μὲν καλὸν ἦν. Bau. Repetito καλὸν ἦν debebat etiam scribere μὴ βιάσασθαι. Mox μετριότητα intellige *modestiam.*

39. ἦν γε οὐ — δοκεῖν δεῖ] Vulgo legitur λέγειν τι, δοκεῖν δεῖ τηρεῖν. At τηρεῖν, quod et a multis libris abest, nec Schol. agnoscit, recte eiicitur. Τηρεῖν enim antiquis Graecis non erat *observare* sensu, quo dicas iustitiam observare i. e. colere, sed quo dicas *captare*, *exspectare* sive: abpassen velut 4, 27., vel *attendere* sive: aufpassen, vel *custodire.* Haec autem interpolatio facta videtur ab iis, qui et pronomen ἦν habere vellent, unde penderet, quum unde pendeat, non viderent, et sensum formulae λέγειν τι non perspicerent: *dicere quod alicuius momenti sit*, quum οὐδὲν λέγειν sit *dicere, quod nullius momenti sit*, ubi nos: das lässt sich hören et das will nichts sagen. v. Interpp. ad Vig. p. 152., ibique Herm. p. 731, 113. Quare Schol. addit: οὐ δεῖ δοκεῖν ὅτι λέγει τι, ἀλλὰ καταφρονεῖν. Verborum sententia sic magis apparebit: ἦν γε τὸν ἐς ἴσον τά τε ἔργα ὁμοίως καὶ τοὺς λόγους, πρὶν διαγωνίζεσθαι, καθιστάντα λέγειν τι δοκεῖν δεῖ προκαλούμενον, ἀλλ' οὐ τὸν προκαλούμενον προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς, sive ἀλλ' οὐ τὸν προκαλούμενον ταύτην προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς λέγειν τι δοκεῖν δεῖ, ἀλλὰ τὸν ἐς ἴσον — καθιστάντα. Προκαλεῖσθαι δίκην dictum, ut προκαλούμενοι τὰ εἰρημένα 5, 37. Conf. Arist. Ach. 652. Br. add. 984. Equ. 796. Praeterea aliis locis Thuc., velut 4, 18. hoc verbum iungitur cum accusativis pronominum ἅ etc., quae tamen nihil probarent, nisi substantivorum accusativos cum eo iunctos inveniremus. v. Matth. §. 419. h. Articulus τὸν ante προὔχοντα pertinet ad προκαλούμενον et iuxta se posita sunt προὔχοντα i. e. wenn er im Zustande der Ueberlegenheit, wenn er im Vortheil ist et ἐκ τοῦ ἀσφαλοῦς i. e. wenn er im Zustande der Sicherheit ist. Corcyraei autem certe se putabant potentiores et in tuto, quamdiu Epidamnum obsidebant, Corinthiis nondum ad bellum paratis. Vid. c. 26. 27. Ante hoc tempus non loquebantur de lite per arbitros dirimenda. Dignus, qui conferatur locus 3, 82. τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προὔχοιεν, καὶ οὐ γενναιότητι, quo scriptor significat, etiam eos, ad quos conditiones ferebantur, non prius eas eo tempore, de quo scriptor loquitur, accepisse, quam postquam res sibi suae placere coeperunt, et se factis in tuto posuerant, caventes sibi, si forte pactum rumperetur ab adversario: οὐ γὰρ λόγων τῶν ἐναντίων πίστει, ἀλλὰ ἔργων φυλακῇ καὶ προὔχοντες latas conditiones accipiebant quemadmodum hic Corcyraei tulisse conditiones dicuntur. Porro in verbis ἐς ἴσον τά τε ἔργα ὁμοίως καὶ τοὺς λόγους καθιστάντα Popp. probat interpretationem Casae: *eum, qui factis pariter atque oratione aequitatem retinet.* Imo sensus est idem, qui verborum 2, 72. ἦν ποιῆτε ὁμοῖα τοῖς λόγοις. Recte Port.: *qui facta verbis aequat* i. e. qui non aliter agit, quam loquitur, qui non ita loquitur, quasi bellum nolit, ut idem ita agit, quasi bellum velit. Sequuntur verba πρὶν διαγωνίζεσθαι, quae Popp. interpretatur *priusquam bellum incipit.* Hanc interpretationem docere ait verba sequentia: οὗτοι δ' οὐ πρὶν πολιορκεῖν τὸ χωρίον etc. At nunc orator sententiam proponit universalem: agere decere ante ius et iudicium, quemadmodum quis loquatur: mox transit ad causam definitam Corcyraeorum, non in universum hominum, dicens Corcyraeos prius aliter egisse (sc. πολιορκῆσαι), aliter nunc loqui (δικάζεσθαι). Mox παρέσχοντο etc. est: *conditionem ferebant speciosam* causae per arbitros disceptandae. Nam παρέχεσθαι est *verbis, παρέχειν re offerre.* Sensus igitur non alius est, quam si scripsisset προὐκαλοῦντο, nec opus est coniectura Valckenarii ad Callim. Fragmm. p. 227. προέσχοντο, cuius verbi vis inest in τὸ εὐπρεπές. Verba paulo post sequentia facile aliquis repugnantia putet cum superioribus, legitur enim: οὓς χρῆν, ὅτε ἀσφαλέσταιοι ἦσαν, τότε προσιέναι, postquam haec praecesserunt ἦν γε οὐ τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον λέγειν τι δοκεῖν δεῖ. At tenendum est, altero loco oratorem dicere, Corcyraeis auxilium Atheniensium petendum fuisse, quum se in tuto positos esse sentirent; supra dixerat, Corcyraeos non, quum se in tuto positos et potentiores esse sentirent, agere oportuisse, quasi bellum vellent, quum postea nolle se loquerentur. Nihil igitur hic repugnantiae est.

μηδ' ἐκ ᾧ μεταδώσετε] Ordo verborum est μηδὲ ἐν ᾧ μεταδώσετε αὐτοῖς τῆς ὠφελείας ὑμεῖς τότε τῆς δυνάμεως αὐτῶν οὐ μεταλαβόντες. Significat bellum Samium et Aegineticum, de quo vid. c. 40. 41. 105. 115. Popp. dicit generatim a Thucydide negari, Corcyraeos ullius unquam Atheniensium periculi socios fuisse. Cui repugnat illud τότε, quod significat definitum, notumque aliquod tempus, ut 1, 101. 7, 31. 8, 62. Mox ἀπογενόμενοι est *quum longe abfueritis a delictis eorum.* v. Valck. ad Theocr. Adoniaz. p. 238. C. Deinde τῆς αἰτίας τὸ ἴσον ita intellige: criminabimus socios Corcyraeorum ut hostes, et vos quoque criminabimus, hostes appellantes.

τὸ ἴσον ἔξετε, πάλαι δὲ κοινώσαντας τὴν δύναμιν κοινὰ καὶ τὰ ἀποβαίνοντα ἔχειν, [ἐγκλημάτων δὲ μόνων ἀμετόχους οὕτω τῶν μετὰ τὰς πράξεις τούτων μὴ κοινωνεῖν.] ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων ἐγκλημάτων ἐρχόμεθα καὶ οἵδε βίαιοι καὶ πλεονέκται εἰσὶ δεδήλωται· ὡς δὲ οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε μαθεῖν χρή. εἰ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ' ὁποτέρους τις τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ

ἐγκλημάτων — μὴ κοινωνεῖν] In his verbis multa, sive rem, sive structuram spectes, insunt, quae iustam reprehensionem incurrant. Si dixisset ἁμαρτημάτων ἀμετόχους, sententia vera exsisteret; nam intelligenda essent τὰ ἁμαρτήματα τῶν Κερκυραίων τὰ περὶ Ἐπίδαμνον et ea, quae c. 25. exponuntur. Sed quid inde proficeremus? Nihil hoc esset nisi inanis repetitio eorum, quae iam dixerat verbis τῶν ἁμαρτημάτων ἀπογενόμενοι. Atqui ἐγκλημάτων ἀμετόχους Athenienses hic legimus, quod tantum abest, ut superiora repetat, ut cum illis repugnet. Quid enim? orator dixerat, Athenienses, si rebus suis et Corcyraeorum immiscerentur, τὸ ἴσον τῆς ἀφ' ἑαυτῶν αἰτίας habituros esse. Qui igitur Athenienses τῶν μετὰ τὰς πράξεις τῶν Κερκυραίων participes essent, nisi τῆς αἰτίας τὸ ἴσον ἀπὸ τῶν Κορινθίων haberent? qui proinde Athenienses ἐγκλημάτων μόνων ἀμέτοχοι essent? Itaque quum id, quod cum superioribus pugnat, in his verbis insit, magna suspicio oritur, quam grammatica ratione multo augeri videmus. Nam in eis, quae praecedunt et quibuscum ista spuria interpolator cohaerere voluit, ad Corcyraeos pronomen οὕς et ea, quae post hoc sequuntur verba χρὴν προσιέναι — κοινώσαντας — ἔχειν referuntur; hic autem repente mutata persona Corcyraeorum verba sequuntur ad Athenienses spectantia. Accedit ingrata post parvum intervallum vocis ἐγκλημάτων repetitio, quam tamen proximo capite optimi libri tuentur. Nihil adnotationis super hoc loco Scholia habent; nihil ex eo a Grammaticis excerptum est. Denique haec verba plane desunt in optimis libris, vel in margine adnotantur, quamquam a Valla agnoscuntur. His argumentis inductus verba seclusi.

40. αὐτοί τε — ἐγκλημάτων] Vulgo αὐτοί τε μετὰ προσηκόντων τῶν τοῦ δικαίου κεφαλαίων. Receptam scripturam, pro qua optimi libri stant, mutatam in vulgatam esse suspiceris ab his ipsis, quibus, adiecta illa interpolatione capitis praecedentis: ἐγκλημάτων — κοινωνεῖν nimis parvo intervallo vox ἐγκλημάτων repeti videretur. Haec suspicio eo firmatur, quod illi ipsi libri, qui spuria illa non agnoscunt, ἐκλημάτων habent pro τοῦ δικαίου κεφαλαίων. Praeterea voce κεφάλαιον Thuc. non utitur nisi sensu *summae* (kurzen Inbegriff), ut 1, 36. 4, 50. 6, 6. 87. et κεφαλαιοῦν dicit 3, 67. 6, 91. 8, 53., ubi Schol. explicat per συντετμημένως λέγειν. At rhetoribus κεφάλαια sunt loci sive sedes argumentorum, et in universum capita, partes orationis, argumenta. v. Indic. Dionys. Hal. Reiskian. et Longin. fragm. 5, 7. p. 182. Weisk. Addit Popp., τὰ τοῦ δικαίου κεφάλαια, quae essent quod scriptor dicit δικαιώματα c. 41., hoc ipso demum capite enumerari, non in praecedente. Mox ἐρχόμεθα praesens pro perfecto est, id quod saepius fit in ἥκειν. Vid. Matth. §. 504, 2.

τῶν ἀγράφων πόλεων] Qui Graeci prius contra Persas coniuncti fuerant, aut ab his defecerant, in duas magnas societates, Lacedaemoniorum et Atheniensium, diremti erant, Thuc. 1. 18. Praeterea Graeci erant aut ἔνσπονδοι i. e. induciis tricennalibus inclusi, aut ἄσπονδοι (ἔκσπονδοι, ἄρρωφοι) i. e. nec foedere aut Lacedaemoniorum aut Atheniensium, nec induciis tricennalibus recepti. Differunt igitur σύμμαχοι

τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστιν, ἀλλ' ὅστις μὴ ἄλλου αὐτὸν ἀποστερῶν ἀσφαλείας δεῖται καὶ ὅστις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει· ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν πάθοιτε ἄν. οὐ γὰρ τοῖσδε μόνον ἐπίκουροι ἂν γένοισθε, ἀλλὰ καὶ ἡμῖν ἀντὶ ἐνσπόνδων πολέμιοι. ἀνάγκη γάρ, εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους. καίτοι δίκαιοί γ' ἐστὲ μάλιστα μὲν ἐκποδὼν στῆναι ἀμφοτέροις. εἰ δὲ μή, τοὐναντίον ἐπὶ τούτους μεθ' ἡμῶν ἰέναι· Κορινθίοις μέν γε ἔνσπονδοί ἐστε, Κερκυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς πώποτε ἐγένεσθε· καὶ τὸν νόμον μὴ καθιστάναι ὥστε τοὺς ἑτέρων ἀφισταμένους δέχεσθαι. οὐδὲ γὰρ ἡμεῖς Σαμίων ἀποστάντων ψῆφον προεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων Πελοποννησίων δίχα ἐψηφισμένων εἰ χρὴ αὐτοῖς ἀμύνειν, φανερῶς δὲ ἀντείπομεν τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν. εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχόμενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόξεισι, καὶ τὸν νόμον ἐφ' ὑμῖν αὐτοῖς μᾶλλον ἢ ἐφ' ἡμῖν θήσετε. δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν 41
ἱκανὰ κατὰ τοὺς Ἑλλήνων νόμους, παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε ἣν οὐκ ἐχθροὶ ὄντες ὥστε βλάπτειν, οὐδ' αὖ

sive socii et ἔνσπονδοι, velut Corinthii ἔνσπονδοι Atheniensium, at σύμμαχοι Lacedaemoniorum erant. Quamquam interdum (ut 1, 31. vers. med.) ἔνσπονδοι pro σύμμαχοι, et σπονδαί pro συμμαχία dicuntur. Mox μὴ ἄλλον ἑαυτὸν ἀποστερῶν est *qui non aliorum auctoritati se substrahit*, ut apud Antiphont. de caed. Herod. p. 744. Reisk. est οὐκ ἀποστερῶν γε τῶν εἰς τὴν πόλιν ἑαυτὸν οὐδενός i. e. qui se nullo officio erga rempublicam subducit. Similis structura est 3, 65. τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες. Corinthii autem sibi in Corcyraeos, ut in colonos, auctoritatem asserebant, ab iisque officia colonorum exigebant.

εἰ σωφρονοῦσι] i. e. καὶ ὅστις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι (sive εἰ πείθονται ἡμῖν), πόλεμον ἀντ' εἰρήνης ποιήσει. Iam sequi debebat: εἰ δὲ μὴ σωφρονοῦσι (sive εἰ δὲ μὴ πείθονται ἡμῖν), πόλεμον ἀντ' εἰρήνης ποιήσει. Verum iam ab aliis animadversum est, usitatissimum esse Graecis, negare id, cuius contrarium intelligi volunt, (v. Sinten. ad Plut. Themist. p. 2.), ut sensus horum verborum idem sit, ac si scripsisset: καὶ ὅστις τοῖς δεξαμένοις, εἰ μὴ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει. Perspicuum eius usus exemplum extat 2, 89., ubi verba ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν ita accipienda sunt, quasi scripsisset: ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν, Λακεδαιμόνιοι δὲ νῦν μετέχουσι. Et quodammodo contrarium, quod intelligi vult, scriptor expressit inferens verba ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν πάθοιτε ἄν. Manifestum autem est, inter se contrarie poni σωφρονεῖν (πείθεσθαι) et μὴ πείθεσθαι. Et δεξαμένοις in futurum exactum Latinorum resolvendum est, ut δεξάμενοι 1, 33. Mox ἀμύνεσθαι subiectum ἡμᾶς habet, ut sit *nam opus est, si cum Corcyraeis iungemini, ut nos colonos nostros ulciscamur, vobis una in eandem fortunam tractis.* De particulis μέν γε v. Buttm. ad Demosth. Or. Mid. p. 46. Mox de Samiis v. c. 115—117. Corinthiorum et Samiorum inveterata inimicitia erat. v. Herodot. 3, 48 sq. Paulo post καὶ ἃ dictum pro καὶ οἵ. v. Matth. p. 832. et ἐφ' ὑμῖν idem est ac καθ' ὑμῶν.

φίλοι ὥστε ἐπιχρῆσθαι, ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι φαμὲν χρῆναι. νεῶν γὰρ μακρῶν σπανίσαντές ποτε πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ ἡ εὐεργεσία αὕτη τε καὶ ἡ ἐς Σαμίους, τὸ δι' ἡμᾶς Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέσχεν ὑμῖν Αἰγινητῶν μὲν ἐπικράτησιν, Σαμίων δὲ κόλασιν, καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο οἷς μάλιστα ἄνδρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες τῶν πάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν. φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν καὶ πρότερον ἐχθρὸς ᾖ, πολέμιόν τε τὸν ἀντιστάντα, ἢν καὶ τύχῃ φίλος ὤν, ἐπεὶ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται φιλονεικίας ἕνεκα τῆς αὐ-42τίκα. ὧν ἐνθυμηθέντες καὶ νεώτερός τις παρὰ πρεσβυτέρου αὐτὰ μαθὼν ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι, καὶ μὴ νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι, ξύμφορα δέ, εἰ πολεμήσει, ἄλλα εἶναι. τό τε γὰρ ξυμφέρον, ἐν ᾧ ἂν τις ἐλάχιστα ἁμαρτάνῃ, μάλιστα ἕπεται· καὶ τὸ μέλλον τοῦ κολέμου ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι κελεύουσιν ἀδικεῖν ἐν ἀφανεῖ ἔτι κεῖται καὶ οὐκ ἄξιον ἐπαρθέντας αὐτῷ φανερὰν ἔχθραν ἤδη καὶ οὐ μέλλουσαν πρὸς Κορινθίους κτήσασθαι, τῆς δὲ ὑπαρχούσης πρότερον διὰ Μεγαρέας ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον. ἡ

41. ἐπιχρῆσθαι] Schol. Pind. Zonar. explicant per τὸ πολλάκις χρῆσθαι. Videtur potius significare *vicissim uti*. v. Riemer. lexic. Gr. s. v. ἐπιχράζομαι. Herodot. 3, 99., quem locum Arn. attulit, utitur pro ὁμιλεῖν. Scriptor hoc dicere videtur: *ut non inimici — ita ne amici quidem in tantum, ut expetamus vices beneficiorum mutuo dandorum accipiendorumque*, quibus verbis orator hoc significat: non sumus inimici, ut vobis bellum pro pace adferamus, quem admodum Corcyraei, qui ita tantum, quae precantur a vobis, impetrare possunt, si nobiscum bellum habere velitis; nec rursus in tantum amici vestri esse cupimus, ut societatem vestram expetamus, satis habituri, si gratiam nobis referentes pro beneficio quondam in eos collato, Corcyraeos nunc in societatem vestram non recipiatis. His verbis orator respondet ad illud Corcyraei oratoris 1, 34. δεομένοις τε (Corinthiis) ἐκ τοῦ εὐθέος μὴ ὑπουργεῖν. Mox ad εἴκοσι ναῦς v. Herodot. 6, 89. et de Atheniensium bello cum Aeginetis Od. Muell. Aeginet. p. 68 sqq. 112 sqq. Hoc aliud bellum est, quam illud, quod pertinet ad res inter bella Persica et Peloponnesiacum gestas, de quo est c. 105. De verbis τὸ μὴ βοηθῆσαι v. Matth. p. 1060. et de verbis παρὰ τὸ νικᾶν ibidem §. 588. c. 5. *

πρότερον — ᾖ] πρότερον, opinor, ita tantum praesens iunctum habet, si et quod antea consuetum fuerit, et etiamnum fiat, indicatur; neque secus apud Homerum fit, ut πάρος et πρότερον possis convertere: von jeher, id quod hoc loco fieri nihil vetat: wenn er auch von jeher ein Feind ist. Conf. Thiersch. Gr. §. 291, 1.

42. ὧν ἐνθυμηθέντες] v. Matth. §. 349. Mox ἀμύνεσθαι sensum verbi ἀμείβεσθαι habere et veteres Grammatici atque Herm. ad Soph. Ant. 639. adnotaverunt et ipse scriptor 4, 63. docet. Paulo post suspicio διὰ Μεγαρέας refertur ad ea, quae auctor narrat c. 103. extr. 105. 106. Et ἡ τελευταία χάρις in eo posita erat, ut Corcyraei ab Atheniensibus non in amicitiam reciperentur. Vid. c. 41. 43. Porro τῷ αὐτίκα φανερῷ est idem quod τῇ δυνάμει τῶν Κερκυραίων.

γὰρ τελευταία χάρις καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι. μηδ' ὅτι ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, τούτῳ ἐφέλκεσθε. τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους ἐχυρωτέρα δύναμις ἢ τῷ αὐτίκα φανερῷ ἐπαρθέντας διὰ κινδύνων τὸ πλέον ἔχειν. ἡμεῖς δὲ περιπεπτωκότες οἷς ἐν τῇ Λακεδαί-43μονι αὐτοὶ προείπομεν, τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι. τὸ δ' ἴσον ἀνταπόδοτε, γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρὸν ἐν ᾧ ὅ τε ὑπουργῶν φίλος μάλιστα καὶ ὁ ἀντιστὰς ἐχθρός. καὶ Κερκυραίους τούσδε μήτε ξυμμάχους δέχεσθε βίᾳ ἡμῶν μήτε ἀμύνετε αὐτοῖς ἀδικοῦσι. καὶ τάδε ποιοῦντες τά τε προσήκοντά τε δράσετε καὶ τὰ ἄριστα βουλεύσεσθε ὑμῖν αὐτοῖς. τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

Ἀθηναῖοι δὲ ἀκούσαντες ἀμφοτέρων, γενομένης καὶ δὶς44 ἐκκλησίας, τῇ μὲν προτέρᾳ οὐχ ἧσσον τῶν Κορινθίων ἀπεδέξαντο τοὺς λόγους, ἐν δὲ τῇ ὑστεραίᾳ μετέγνωσαν Κερκυραίοις ξυμμαχίαν μὲν μὴ ποιήσασθαι ὥστε τοὺς αὐτούς ἐχθροὺς καὶ φίλους νομίζειν, εἰ γὰρ ἐπὶ Κόρινθον ἐκέλευον σφίσιν οἱ Κερκυραῖοι ξυμπλεῖν, ἐλύοντ' ἂν αὐτοῖς αἱ πρὸς Πελοποννησίους σπονδαί, ἐπιμαχίαν δὲ ἐποιήσαντο τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ Κέρκυραν ἴῃ ἢ Ἀθήνας ἢ τοὺς τούτων ξυμμάχους. ἐδόκει γὰρ ὁ πρὸς Πελοποννησίους πόλεμος καὶ ὡς ἔσεσθαι αὐτοῖς καὶ τὴν Κέρκυραν ἐβούλοντο μὴ προέσθαι Κορινθίοις ναυτικὸν ἔχουσαν τοσοῦτον, ξυγκρούειν δὲ ὅτι μάλιστα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεστέροις οὖσιν, ἤν τι δέῃ, Κορινθίοις τε καὶ τοῖς ἄλλοις ναυτικὸν ἔχουσιν ἐς πόλεμον καθιστῶνται. ἅμα δὲ τῆς τε Ἰταλίας καὶ Σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παράπλῳ κεῖσθαι.

Τοιαύτῃ μὲν γνώμῃ οἱ Ἀθηναῖοι τοὺς Κερκυραίους προς-45 εδέξαντο, καὶ τῶν Κορινθίων ἀπελθόντων οὐ πολὺ ὕστερον δέκα ναῦς αὐτοῖς ἀπέστειλαν βοηθούς. ἐστρατήγει δὲ αὐτῶν

43. προείπομεν] cap. 40. Mox vulgo legebatur μήτε δέχησθε, μήτε ἀμύνητε, et correctum est ex optimis libris. Vid. Matth. §. 511. 3. A Photio verba μὴ νόμισον tanquam ex Thucydide afferuntur, sed Suidas eadem ex Thugenide poeta profert.

44. μετέγνωσαν] i. e. μετέγνωσαν καὶ ἔγνωσαν μὴ ποιήσασθαι. v. Matth. p. 1307. Mox ξυμμαχία est: Schutz- und Trutzbündniss, ἐπιμαχία Schutzbündniss. At. 3, 70. ξυμμαχία genus pro specie ἐπιμαχία posuit et mox c. 53. Corcyraei ξύμμαχοι Atheniensium audiunt. Mox σφίσιν Matth. §. 382. I. 1. pendere facit ab ἐκέλευον et refert ad Athenienses. Melius iungitur cum ξυμπλεῖν et refertur ad Corcyraeos, nam acc. iunctus cum κελεύω consuetior Thucydidi structura est. Mox Corcyraeorum ξυμμάχους intelligit exules Epidamniorum. Vid. c. 26., ubi Illyrii quoque Corcyraeos secuti esse contra Epidamnum narrantur. De Zacynthiis, Corcyraeorum sociis v. infr. ad c. 47. Pro ἐν παράπλῳ c. 36. παράπλου dixerat. v. Matth. p. 645.

Λακεδαιμόνιός τε ὁ Κλεώνος καὶ Διότιμος ὁ Στρομβίχου καὶ Πρωτέας ὁ Ἐπικλέους. προεῖπον δὲ αὐτοῖς μὴ ναυμαχεῖν Κορινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι καὶ μέλλωσιν ἀποβαίνειν ἢ ἐς τῶν ἐκείνων τι χωρίων· οὕτω δὲ κωλύειν κατὰ δύναμιν. προεῖπον δὲ ταῦτα τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς. αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν Κέρκυραν.

46 Οἱ δὲ Κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, ἔπλεον ἐπὶ τὴν Κέρκυραν ναυσὶ πεντήκοντα καὶ ἑκατόν. ἦσαν δὲ Ἠλείων μὲν δέκα, Μεγαρέων δὲ δώδεκα καὶ Λευκαδίων δέκα, Ἀμπρακιωτῶν δὲ ἑπτὰ καὶ εἴκοσι καὶ Ἀνακτορίων μία, αὐτῶν δὲ Κορινθίων ἐνενήκοντα. στρατηγοὶ δὲ τούτων ἦσαν μὲν καὶ κατὰ πόλεις ἕκαστον, Κορινθίων δὲ Ξενοκλείδης ὁ Εὐθυκλέους πέμπτος αὐτός. ἐπειδὴ δὲ προέμιξαν τῇ κατὰ Κέρκυραν ἠπείρῳ ἀπὸ Λευκάδος πλέοντες, ὁρμίζονται ἐς Χειμέριον τῆς Θεσπρωτίδος γῆς. ἔστι δὲ λιμήν, καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἀπὸ θαλάσσης ἐν τῇ Ἐλαιάτιδι τῆς Θεσπρωτίδος Ἐφύρα. ἐξίησι δὲ παρ' αὐτὴν Ἀχερουσία λίμνη ἐς θάλασσαν. διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων ἐσβάλλει ἐς αὐτήν, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει. ῥεῖ δὲ καὶ Θύαμις ποταμός, ὁρίζων τὴν Θεσπρωτίδα καὶ Κεστρίνην, ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον. οἱ μὲν οὖν Κορίνθιοι τῆς ἠπείρου ἐνταῦθα ὁρμίζονταί τε καὶ στρατόπεδον ἐποιήσαντο.

47 Οἱ δὲ Κερκυραῖοι ὡς ἤσθοντο αὐτοὺς προσπλέοντας, πληρώσαντες δέκα καὶ ἑκατὸν ναῦς, ὧν ἦρχε Μεικιάδης καὶ Αἰσιμίδης καὶ Εὐρύβατος, ἐστρατοπεδεύσαντο ἐν μιᾷ τῶν νήσων αἳ καλοῦνται Σύβοτα· καὶ αἱ Ἀττικαὶ δέκα παρῆσαν. ἐπὶ δὲ τῇ Λευκίμμῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ ὁ πεζὸς ἦν καὶ Ζακυνθίων

45. *ἐκείνων τι χωρίων*] v. Matth. p. 699. adn. 2. coll. p. 567. adn. 4.

46. *παρεσκώασιο*] v. Matth. p. 596. adn. 2. et de *πέμπτος αὐτός* ibidem p. 869. 9. Supra c. 27. non *δώδεκα*, sed octo Megarensium naves numerantur, quas proelio navali descripto c. 29. fusas esse adnotavit Haack. Mox *ὑπέρ αὐτοῦ* est an dem Hafen. Vid. Matth. p. 1156. Quatuor Ephyras enumerat Schol. ad Pind. Nem. 7, 55. ex Eustathio ad Il. 2. p. 300, 45. Rom. et Od. 1. p. 1415, 50. Conf. Strab. 8. p. 520. C. 7. p. 499 sq. Alm. De Ephyra Thesprotia v. Od. Muell. Dor. 1. p. 418. Orchom. p. 193. 273. Mox *ἐξίησι* de ostiis fluminum habent Herodot. 1, 6. 7. 20. 180. Thuc. 2, 102. 4, 103. alii. Vid. Lobeck. ad Soph. Ai. 248. Alii libri habent *ἔξεισι*.

ὧν ἐντὸς — Χειμέριον] Sensus horum verborum videtur hic esse, Chimerium promontorium fuisse inter Acherontem et Thyamin fluvios. Ac Thyamis quidem, qui limitem facit Thesprotiae et Cestrinae, ita memoratur a Pausania 1, 11. Plin. quoque H. N. 4, 1. de urbe nomine Cestrina loquitur, tum de Thyami, fluvio Thesprotiae, quasi septentriones versus limitem Thesprotiae faciat. Promontorium Chimerium Thuc. discernere videtur a portu Chimerio, qui procul dubio est idem, quem Strabo appellat *γλυκὺν λιμένα*, et Scylax Elaeum, nam *ΕΛΕΑ*, ut ibi nunc legitur, corruptum esse apparet. Arn.

47. *Ζακυνθίων*] Quod hi succurrerunt Corcyraeis, pugnare videtur cum verbis c. 31. *ἦσαν γὰρ* (Corcyraei) *οὐ δενὸς Ἑλλήνων ἔν-*

χίλιοι ὁπλῖται βεβοηθηκότες. ἦσαν δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ ἠπείρῳ πολλοὶ τῶν βαρβάρων παραβεβοηθηκότες. οἱ γὰρ ταύτῃ ἠπειρῶται ἀεί ποτε αὐτοῖς φίλοι εἰσίν.

Ἐπειδὴ δὲ παρεσκεύαστο τοῖς Κορινθίοις, λαβόντες τριῶν 48
ἡμερῶν σιτία ἀνήγοντο ὡς ἐπὶ ναυμαχίαν ἀπὸ τοῦ Χειμερίου νυκτὸς, καὶ ἅμα ἕῳ πλέοντες καθορῶσι τὰς τῶν Κερκυραίων ναῦς μετεώρους τε καὶ ἐπὶ σφᾶς πλεούσας. ὡς δὲ κατεῖδον ἀλλήλους, ἀντιπαρετάσσοντο, ἐπὶ μὲν τὸ δεξιὸν κέρας Κερκυραίων αἱ Ἀττικαὶ νῆες, τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον τρία τέλη ποιήσαντες τῶν νεῶν, ὧν ἦρχε τριῶν στρατηγῶν ἑκάστου εἷς. οὕτω μὲν Κερκυραῖοι ἐτάξαντο. Κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας αἵ Μεγαρίδες νῆες εἶχον καὶ αἱ Ἀμπρακιώτιδες· κατὰ δὲ τὸ μέσον οἱ ἄλλοι ξύμμαχοι ὡς ἕκαστοι· εὐώνυμον δὲ κέρας αὐτοὶ οἱ Κορίνθιοι ταῖς ἄριστα τῶν νεῶν πλεούσαις κατὰ τοὺς Ἀθηναίους καὶ τὸ δεξιὸν τῶν Κερκυραίων εἶχον.

Ξυμμίξαντες δὲ ἐπειδὴ τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυ- 49
μάχουν, πολλοὺς μὲν ὁπλίτας ἔχοντες ἀμφότεροι ἐπὶ τῶν καταστρωμάτων, πολλοὺς δὲ τοξότας τε καὶ ἀκοντιστὰς τῷ παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι. ἦν τε ἡ ναυμαχία καρτερά, τῇ μὲν τέχνῃ οὐχ ὁμοίως, πεζομαχίᾳ δὲ τὸ πλέον προσφερὴς οὖσα. ἐπειδὴ γὰρ προσβάλλοιεν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο ὑπό τε πλήθους καὶ ὄχλου τῶν νεῶν, καὶ μᾶλλόν τι πιστεύοντες τοῖς ἐπὶ τοῦ καταστρώματος ὁπλίταις ἐς τὴν νίκην, οἳ καταστάντες ἐμάχοντο ἡσυχαζουσῶν τῶν νεῶν. διέκπλοι δ' οὐκ ἦσαν, ἀλλὰ θυμῷ καὶ ῥώμῃ τὸ πλέον ἐναυμάχουν ἢ ἐπιστήμῃ. πανταχῇ μὲν οὖν πολὺς θόρυβος καὶ ταραχώδης ἦν ἡ ναυμαχία, ἐν ᾗ αἵ Ἀττικαὶ νῆες παραγιγνόμεναι τοῖς Κερκυραίοις εἴ πῃ πιέζοιντο, φόβον μὲν παρεῖχον τοῖς

σπονδοι. Sed aut Zacynthios, nullo foedere Corcyraeis iunctos, verum in hac rerum angustia ab iis invocatos, vel mercede aliisque pollicitationibus et admonitionibus, ut morem gererent, permotos, aut etiam interea ut cum Atheniensibus, ita cum Zacynthiis iustum foedus initum esse statuere debemus. Popp.

ἐν τῇ ἠπείρῳ] ad Sybota, insularum cognominem portum in continente situm, ubi nunc putant esse *Sayadem* vicum inter Comenitzam et Pargam. Vid. c. 50.

49. *ἐπειδὴ — προσβάλλοιεν*] v. Matth. §. 521.

διέκπλοι] Duo maxime pugnandi modi in pugnis navalibus erant, *περίπλους* et *διέκπλους*. Horum prior fiebat, quum naves una post alteram hostium naves circumnavigabant et in eas perterritas, ubi opportune fieri videbatur, irruebant. At aciem hostilem perrumpere et in pernavigando rostris naves laedere, remos detergere *διέκπλους* appellatur. Quod fiebat, dum modo accellerant propulsis remigio navibus, modo recedunt et e recessu atque longinquo in hostes irruunt. Popp. 1, 2. p. 63 sq. Mox a verbis *μέχρι τοῦ στρατοπέδου* apodosis incipit, et in *ἠσσῶντό τε* traiectio est, quum naturalis verborum ordo hic sit: *οἵ τε Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἠσσῶντο καί* etc. Paulo post de articulo *τῶν* ante *εἴκοσι* vid. Matth. p. 550.

ἐναντίοις, μάχης δὲ οὐκ ἦρχον δεδιότες οἱ στρατηγοὶ τὴν πρόῤῥησιν τῶν Ἀθηναίων. μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων ἐπόνει· οἱ γὰρ Κερκυραῖοι εἴκοσι ναυσὶν αὐτοὺς τρεψάμενοι καὶ καταδιώξαντες σποράδας ἐς τὴν ἤπειρον μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν καὶ ἐπεκβάντες ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους καὶ τὰ χρήματα διήρπασαν. ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσῶντό τε καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν. ἦ δὲ αὐτοὶ ἦσαν οἱ Κορίνθιοι, ἐπὶ τῷ εὐωνύμῳ, πολὺ ἐνίκων, τοῖς Κερκυραίοις τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν. οἱ δ' Ἀθηναῖοι ὁρῶντες τοὺς Κερκυραίους πιεζομένους μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκούρουν, τὸ μὲν πρῶτον ἀπεχόμενοι ὥστε μὴ ἐμβάλλειν τινί· ἐπεὶ δὲ ἡ τροπὴ ἐγένετο λαμπρῶς καὶ ἐνέκειντο οἱ Κορίνθιοι, τότε δὴ ἔργου πᾶς εἶχετο ἤδη καὶ διεκέκριτο οὐδὲν ἔτι, ἀλλὰ ξυνέπεσεν ἐς τοῦτο ἀνάγκης ὥστε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς Κορινθίους καὶ Ἀθηναίους. τῆς δὲ τροπῆς γενομένης οἱ Κορίνθιοι τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν ἃς καταδύσειαν, πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο φονεύειν διεκπλέοντες μᾶλλον ἢ ζωγρεῖν. τούς τε αὐτῶν φίλους οὐκ αἰσθόμενοι ὅτι ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρα ἀγνοοῦντες ἔκτεινον. πολλῶν γὰρ νεῶν οὐσῶν ἀμφοτέρων καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχουσῶν, ἐπειδὴ ξυνέμιξαν ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν ἐποιοῦντο ὁποῖοι ἐκράτουν ἢ ἐκρατοῦντο. ναυμαχία γὰρ αὕτη Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ ἑαυτῆς γεγένηται. ἐπειδὴ δὲ κατε-

ἀπὸ ἐλάσσονος πλήθους] Corcyraei pugnam commiserant cum navibus 110 (v. cap. 47.), quo accedebant 10 Atticae, Corinthii cum navibus 150. (v. cap. 46.) Mox καὶ διεκέκριτο οὐδὲν ἔτι est *discrimen sublatum erat*, defensuri an impugnaturi venissent, Corcyraei an ipsi Athenienses hostes essent, ut adnotavit Bau.

50. ἃς καταδύσειαν] i. e. die sie schadhaft gemacht haben mochten. De optativo v. Buttm. Gr. p. 395. adn. b. (ed. 13.) Matth. §. 527. Καταδύειν est navem ictibus adeo lacerare, ut submergatur, altiusve in aquam deprimatur, quo facto non iam facile reficitur. Haec significatio maxime patet ex Xenoph. H. Gr. 1, 6, 36. πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους. Schol. Thuc. 1, 54. καταδύσαντες ἀντὶ τοῦ τρώσαντες· οὐ γὰρ λέγει ἐπὶ τοῦ βαπτίσαντες. τοιοῦτο δὲ καί ἐστι τό· „ἃς καταδύσειαν.“ Hinc aliis locis Thuc., iuxta se posuit καταδύσαντες et καταραυματίσαντες, ut 7, 41. 8, 42. Arn. convertit: to make her water-logged. Mox de infinitivis φονεύειν et ζωγρεῖν v. Matth. p. 1040. c.

αὐτῶν φίλους] Megarenses et Ambraciotas intelligere videtur. Vid. c. 48. Hi enim dextrum cornu tenentes vincebantur. Ἀλλ' ἀπορεῖται, ait Dukas, πῶς αὐτοῖς ἡττημένοις καί εἰς ἤπειρον γενομένοις σποράσιν ἐνέιυχον οἱ Κορίνθιοι πρόσω χωροῦντες; putat, a Corcyraeis, in dextro hostium cornu victoribus, nonnullos vivos captos et in navibus apud se retentos esse, quos deinde in pugna ignorantes Corinthii occiderint. Popp. coniicit, Ambraciotas et Megarenses in navibus laceratis et mersarum navium tabulis natantes passim occisos esse.

δίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτράποντο, καὶ τῶν πλείστων ἐκράτησαν ὥστε προσκομίσαι πρὸς τὰ Σύβοτα, οἳ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβεβοηθήκει. ἔστι δὲ τὰ Σύβοτα τῆς Θεσπρωτίδος λιμὴν ἐρῆμος. τοῦτο δὲ ποιήσαντες αὖθις ἀθροισθέντες ἐπέπλεον τοῖς Κερκυραίοις. οἱ δὲ ταῖς πλωίμοις καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν Ἀττικῶν νεῶν καὶ αὐτοὶ ἀντέπλεον δείσαντες μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀποβαίνειν. ἤδη δὲ ἦν ὀψὲ καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐς ἐπίπλουν, καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο κατιδόντες εἴκοσι ναῦς Ἀθηναίων προσπλεούσας· ἃς ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ Ἀθηναῖοι δείσαντες ὅπερ ἐγένετο, μὴ νικηθῶσιν οἱ Κερκυραῖοι καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσι. ταύτας οὖν προϊδόντες οἱ Κορίνθιοι καὶ ὑποτοπήσαντες ἀπ' Ἀθηνῶν εἶναι οὐχ ὅσας ἑώρων ἀλλὰ πλείους ὑπανεχώρουν. τοῖς δὲ Κερκυραίοις, ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς, οὐχ ἑωρῶντο καὶ ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους, πρίν τινες ἰδόντες εἶπον ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσι· τότε δὲ καὶ αὐτοὶ ἀνεχώρουν. ξυνεσκόταζε γὰρ

τῶν πλείστων] Schol. δηλονότι σωμάτων, τινὰ γὰρ ὁ ἄνεμος τῇ Κερκύρᾳ προσέῤῥιψε. Vid. cap. 51. vers. fin. 54. init. Mox obscurum est, quaenam naves sint, quas exemtas ex πλωίμοις dicit λοιπάς. Probabilis est opinio Popponis, decem illas naves fuisse, quae ex 120 navibus Corcyraeorum superabant; nam pugnam ingressi erant cum navibus 110. (v. cap. 47), habebant autem universas 120. v. cap. 25. Deinde ἦν ὀψέ καὶ est *sero erat, quum* etc. v. Matth. p. 1114. adn. 3. p. 1257. a. At cap. 51. dicit ξυνεσκόταζε γὰρ ἤδη.

ἐπεπαιώνιστο] Schol. δύο παιᾶνας ᾖδον οἱ Ἕλληνες, πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον τῷ Ἀπόλλωνι. Ille appellabatur Ἐνάλιος (v. Schol. ad Thuc. 4, 43.) et ἐμβατήριος, dicas: Schlachtgesang. De embateriis v. Od. Muell. Dor. 2. p. 333 sqq. Alter ἐπινίκιος (Siegesgesang) appellabatur. Vid. Plut. Vit. Rom. 16. Lyc. 21. Franck. Callin. p. 131. Boeckh. De Metris Pind. p. 130. 280. De Paeane in universum agunt Boeckh. ibid. p. 201. adn. p. 270. Fragmm. Pind. p. 567. Od. Muell. ibid. 1. p. 297 sqq. Conf. C. Fr. Herm. Antt. Gr. p. 64, 9.

πρύμναν ἐκρούοντο] Recessio navis cum fieret prora hostibus adversa, ut navis remis inhiberetur, id ἀνάκρουσις dicebatur. Vid. Eurip. Androm. 1097. ibique Schol. Arn. convertit: to row sternwards, sive: stern foremost. Causa, cur sic se reciperent, haec fuit, ut partem navis rostro armatam hosti opponerent. Vid. Hemsterh. ad Lucian. Nigrin. 8. Latini *inhibere remis* et *retro navem inhibere*. Vid. Bentl. ad Hor. 9. Epod. 20. Interpp. ad Tacit. 3. Annal. 1. Aliud est *inhibere remos*, quod significat navem sistere et suspensam tenere. Mox de positivo in ὀλίγαι ἀμύνειν v. Herm. ad Vig. p. 884 sq. Matth. p. 842.

51. ὅτι νῆες ἐκεῖναι] i. e. dass Schiffe *dort* heransegelten. v. Blum. Script. Schol. de nonnull. locis *Thuc.* p. 3. Atque tenenda est transgressio ad orationem directam, nam ὅτι hoc loco non aliter positum est, quam 1, 137. ἐδήλου δὲ ἡ γραφὴ, ὅτι Θεμιστοκλῆς ἥκω παρὰ σέ. Mox ἐτελεύτα ἐς νύκτα est idem quod ἐς νύκτα προελθοῦσα ἐτελεύτα. In verbis αἱ εἴκοσι νῆες αἱ ἀπὸ articulum alterum ante ἀπό compla-

ἤδη καὶ οἱ Κορίνθιοι ἀποτραπόμενοι τὴν διάλυσιν ἐποιήσαντο. οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων, καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. τοῖς Κερκυραίοις δὲ στρατοπεδευομένοις ἐπὶ τῇ Λευκίμμῃ αἱ εἴκοσι νῆες αἱ ἀπὸ τῶν Ἀθηνῶν αὗται, ὧν ἦρχε Γλαύκων τε ὁ Λεάγρου καὶ Ἀνδοκίδης ὁ Λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι κατέπλεον ἐς τὸ στρατόπεδον οὐ πολλῷ ὕστερον ἢ ὤφθησαν, οἱ δὲ Κερκυραῖοι, ἦν γὰρ νύξ, ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν καὶ ὡρμίσαντο.

52 Τῇ δὲ ὑστεραίᾳ ἀναγόμεναι αἵ τε Ἀττικαὶ τριάκοντα νῆες καὶ τῶν Κερκυραίων ὅσαι πλώιμοι ἦσαν ἐπέπλευσαν ἐπὶ τὸν ἐν τοῖς Συβότοις λιμένα, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, βουλόμενοι εἰδέναι εἰ ναυμαχήσουσιν. οἱ δὲ τὰς μὲν ναῦς ἄραντες ἀπὸ τῆς γῆς καὶ παραταξάμενοι μετεώρους ἡσύχαζον, ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες, ὁρῶντες προσγεγενημένας τε ναῦς ἐκ τῶν Ἀθηνῶν ἀκραιφνεῖς καὶ σφίσι πολλὰ τὰ ἄπορα ξυμβεβηκότα, αἰχμαλώτων τε περὶ φυλακῆς οὖς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν ἐν χωρίῳ ἐρήμῳ. τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν ὅπῃ κομισθήσονται, δεδιότες μὴ οἱ Ἀθηναῖοι νομίσαντες λελύσθαι τὰς σπονδὰς
53 διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς ἀποπλεῖν. ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας ἄνευ κηρυκείου προσπέμψαι τοῖς Ἀθηναίοις καὶ πεῖραν ποιήσασθαι. πέμψαντές τε ἔλεγον τοιάδε. Ἀδικεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες. ἡμῖν γὰρ πολεμίους τοὺς ἡμετέρους

res libri om. Vid. Matth. §. 277. Buttm. §. 125., qui praecipiunt, articulum praeponendum esse praepositioni cum casu suo et substantivo, quod articulum additum habet, postpositae. At Krueg. ad Dionys. p. 153. sexcenta ait exempla huic regulae adversari. Popp. 1. Commentt. p. 324. unum eorum alterumve incertum esse, sed alia addi posse adnotavit, ut 2, 20. 6, 55. Mox de Leagro v. Wessel. ad Herodot. 9. 75. Pausan. 1, 29. coll. Meinek. Quaestt. Scenic. 2. p. 19., de Andocide Ruhnk. Hist. Crit. Oratt. Gr. p. XLVII sqq. [Westerm. hist. eloq. gr. p. 63 sqq.]

οἱ δὲ Κερκυραῖοι — ὡρμίσαντο] i. e. *Corcyraei metuebant, ne hostiles naves essent, postea illas agnoverunt et naves illae in stationem invectae sunt.*

52. *ἐκ τῶν Ἀθηνῶν*] Sic Popp. edidit ex optimis libris pro *ἐκ τῶν Ἀθηναίων*. v. Matth. p. 796. init. Mox de numero captivorum vid. c. 55. Genitivus *τοῦ πλοῦ* pendet a *διεσκόπουν*. v. Matth. p. 650. 2.

53. *κελήτιον*] v. A. Gell. N. A. 10, 25. „Idem fere, quod cockboat.“ Bloomf.

κηρυκείου] Caduceo legati utebantur in bello, qui eius religione tuti et sacrosancti erant. In pace non opus erat caduceo, sed *ἄνευ κηρυκίου* sive *ἀκηρύκτως* (ut est c. 146.) ad hostes se conferebant. Corinthii volebant adhuc amici et socii Atheniensium videri, certe explorare, sibine impune abire liceret. Quod non poterant scire, nisi hoc modo, ne per caduceatores quidem, utut ab iis temperatum esset. Haack. Mox *ἄρχοντες* Matth. p. 1087. g. enumerat in exemplis, quibus probetur, post *ἀδικεῖν* participium sequi.

τιμωρουμένοις ἐμποδὼν ἵστασθε ὅπλα ἀνταιρόμενοι. εἰ δ' ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ Κέρκυραν ἢ ἄλλοσε εἴ ποι βουλόμεθα πλεῖν, καὶ τὰς σπονδὰς λύετε, ἡμᾶς τούσδε λαβόντες πρῶτον χρήσασθε ὡς πολεμίοις. οἱ μὲν δὴ τοιαῦτα εἶπον· τῶν δὲ Κερκυραίων τὸ μὲν στρατόπεδον ὅσον ἐπήκουσεν, ἀνεβόησεν εὐθὺς λαβεῖν τε αὐτοὺς καὶ ἀποκτεῖναι. οἱ δὲ Ἀθηναῖοι τοιάδε ἀπεκρίναντο. Οὔτε ἄρχομεν πολέμου, ὦ ἄνδρες Πελοποννήσιοι, οὔτε τὰς σπονδὰς λύομεν· Κερκυραίοις δὲ τοῖσδε ξυμμάχοις οὖσι βοηθοὶ ἤλθομεν. εἰ μὲν οὖν ἄλλοσέ
54 ποι βούλεσθε πλεῖν, οὐ κωλύομεν· εἰ δὲ ἐπὶ Κέρκυραν πλευσεῖσθε ἢ ἐς τῶν ἐκείνων τι χωρίων, οὐ περιοψόμεθα κατὰ τὸ δυνατόν. τοιαῦτα τῶν Ἀθηναίων ἀποκριναμένων οἱ μὲν Κορίνθιοι τόν τε πλοῦν τὸν ἐπ' οἴκου παρεσκευάζοντο καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις· οἱ δὲ Κερκυραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς ἐξενεχθέντα ὑπὸ τοῦ ῥοῦ καὶ ἀνέμου ὃς γενόμενος τῆς νυκτὸς διεσκέδασεν αὐτὰ πανταχῇ, καὶ τροπαῖον ἀντέστησαν ἐν τοῖς ἐν τῇ νήσῳ Συβότοις ὡς νενικηκότες. γνώμῃ δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο. Κορίνθιοι μὲν κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτὸς ὥστε καὶ ναυάγια πλεῖστα καὶ νεκροὺς προσκομίσασθαι καὶ ἄνδρας ἔχοντες αἰχμαλώτους οὐκ ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες περὶ ἑβδομήκοντα, ἔστησαν τροπαῖον· Κερκυραῖοι δὲ τριάκοντα ναῦς μάλιστα διαφθείραντες καὶ ἐπειδὴ Ἀθηναῖοι ἦλθον, ἀνελόμενοι τὰ κατὰ σφᾶς αὐτοὺς

81. *αὐτῶν — ὑπερφέρομεν*] v. Matth. p. 672. Mox *ἄλλην γῆν* Schol. interpretatur Thraciam et Ioniam. Adde Euboeae magnam partem, Cycladas paene omnes et ceteras insulas inter Peloponnesum, Cretam et Asiam, Dores maritimos, Samios, multos ex Hellespontiis, multas urbes Graecas in oris Thraciae et Macedoniae, Oropum in confiniis Boeotiae. Adde Atheniensium colonias, Scyrum, Lemnum, Imbrum, Aeginetas, qui tum Aeginam tenebant, Hestiaeenses in Euboea, Naxios, Andrios, fortasse etiam Tenios et Ceos, partim Amphipolitanos, itemque partim Thurinos. Adde foederatos cum Atheniensibus Barbaros, Sitalcen, regem Odrysarum, Odomantos, populum Thraciae, Philippum et Derdam, principes Macedonum, Pelasgos ad Athon

τῶντες· τοῖς δὲ ἄλλη γῆ ἐστὶ πολλὴ ἧς ἄρχουσι, καὶ ἐκ θαλάσσης ὧν δέονται ἐπάξονται. εἰ δ' αὖ τοὺς ξυμμάχους ἀφιστάναι πειρασόμεθα, δεήσει καὶ τούτοις ναυσὶ βοηθεῖν, τὸ πλέον οὖσι νησιώταις. τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος; εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν ἢ τὰς προσόδους ἀφαιρήσομεν ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα τὰ πλέω. κἂν τοῦτῳ οὐδὲ καταλύεσθαι ἔτι καλόν, ἄλλως τε καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον τῆς διαφορᾶς. μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρώμεθα ὡς ταχὺ πανθήσεται ὁ πόλεμος ἢν τὴν γῆν αὐτῶν τάμωμεν. δέδοικα δὲ μᾶλλον μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπολίπωμεν· οὕτως εἰκὸς Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δουλεῦσαι,
82 μήτε ὥσπερ ἀπείρους καταπλαγῆναι τῷ πολέμῳ. οὐ μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω τούς τε ξυμμάχους ἡμῶν ἐᾶν βλάπτειν καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν, ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι μήτε πόλεμον ἄγαν δηλοῦντας μήθ' ὡς ἐπιτρέψομεν, κἂν τούτῳ καὶ τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι ξυμμάχων τε προσαγωγῇ καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα ἢ ναυτικοῦ ἢ χρημάτων δύναμιν προσληψόμεθα· ἀνεπίφθονον δὲ ὅσοι ὥσπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα μὴ Ἕλληνας μόνον, ἀλλὰ καὶ βαρβάρους προσλαβόντας διασωθῆναι· καὶ τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα. καὶ ἢν μὲν ἐξακούσωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν δὲ μή, διελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν ἄμεινον ἤδη ἢν δοκῇ πεφραγμένοι ἴμεν ἐπ' αὐτούς. καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρασκευὴν καὶ τοὺς λόγους αὐτῇ ὁμοῖα ὑποσημαίνοντας μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον ἔχοντες καὶ περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων βουλευόμενοι. μὴ γὰρ ἄλλο τι νο-

habitantes, Edones, in Italia Messapios, in Sicilia Segestanos, Siculos etc. Paulo inferius de formula *μὴ γὰρ δή* v. Matth. p. 1209. init. Deinde *καταπλαγῆναι* infinitivus aoristi pro futuro post verbum putandi, sperandi, coniiciendi, ut non raro etiam infinitivus praesentis pro futuro, legitur, de quo v. Matth. p. 950 sq.

82. *μήτε πόλεμον — ὡς ἐπιτρέψομεν*] *Μὴ δηλοῦν* idem est, quod *μὴ προσποιεῖσθαι* 3, 47., ubi v. Schol. et conf. Vig. p. 456. Haec verba significant *dissimulare*. Hoc ergo Archidamus dicit: qui nec bellum nimis certe minitentur, et dissimulent, nos concessuros, donec bellum paraverimus. Nam hoc ipsum continuo addit, bellum interea parandum esse, sed intra triennium non posse sperari paratum iri. Mox de verbis *ὅσοι — ἐπιβουλευόμεθα* v. Matth. p. 608. et de passivo *ἐπιβουλευόμεθα* ibidem p. 922. Et *τὰ αὐτῶν* idem est quod *τὰ ἴδια* sive *τὰ ἡμῶν αὐτῶν*, v. Matth. p. 920. Buttm. Gr. §. 127. adn. 5. (ed. 13.) Respondent inter se *ξυμμάχων τε προσαγωγῇ* et *καὶ τὰ αὐτῶν ἐκποριζώμεθα*, verbis *ἀνεπίφθονον — διασωθῆναι* in parenthesi positis. Mox pro *δύο καὶ τριῶν* nos in drei *oder* vier Jahren. Sic c. 22. est *τοιούτων καὶ παραπλησίων*. 5, 74. *τοιαύτη καὶ ὅτι ἐγγύτατα τούτων*. 7, 42. *στρατὸν ἴσον καὶ τοιοῦτον*. Mox *οὐχ ἧσσον ὅσῳ* idem est quod *τοσούτῳ μᾶλλον ὅσῳ* et *ἐγκλήμασιν propter crimina sociorum*. v. Matth. §. 398. 6. De verbis *ὅπως μὴ πράξωμεν* (Anecdd. Bekk. 1. p. 162. et Laur. *πράξομεν*) v. ibid. §. 519. 7. p. 999.

μίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν, καὶ οὐχ ἧσσον ὅσῳ ἄμεινον ἐξείργασται· ἧς φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον, καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτοὺς ἀληπτοτέρους ἔχειν. εἰ γὰρ ἀπαράσκευοι τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες τεμοῦμεν αὐτήν, ὁρᾶτε ὅπως μὴ αἴσχιον καὶ ἀπρωϊτερον τῇ Πελοποννήσῳ πράξωμεν. ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθ' ὅ τι χωρήσει,
83 οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι. καὶ ἀνανδρία μηδενὶ πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελθεῖν δοκεῖτω εἶναι. εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους χρήματα φέροντες ξύμμαχοι, καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ, ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους. πορισώμεθα οὖν πρῶτον αὐτήν, καὶ μὴ τοῖς τῶν ξυμμάχων λόγοις πρότερον ἐπαιρώμεθα, οἵπερ δὲ καὶ τῶν ἀποβαινόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς αἰτίας ἕξομεν, οὗτοι καὶ καθ' ἡσυχίαν τι αὐτῶν προϊδωμεν. καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μά-84 λιστα ἡμῶν, μὴ αἰσχύνεσθε. σπεύδοντές τε γὰρ σχολαίτερον ἂν παύσαισθε διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν· καὶ ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα, καὶ δύναται μάλιστα σωφροσύνη ἔμφρων τοῦτ' εἶναι. μόνοι γὰρ δι' αὐτὸ εὐ-

ἕνεκα τῶν ἰδίων] Schol. *ἰδίων λέγει τῶν Κορινθίων.* „Quum alii quoque, velut Megarenses c. 67., accusatores Atheniensium extiterint et paulo ante *τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες* dixerit, inprimis quidem Corinthii, sed tamen alii quoque intelligendi sunt.“ Haack.

83. *οὐκ ἐλάσσους*] Vis comparativi ad solum *ξύμμαχοι* spectat, quum Lacedaemoniorum socii omnes tributorum immunes fuerint. Bloomf. Mox de comparandi formula *οὐχ ὅπλων τὸ πλέον ἀλλά* v. Matth. §. 455. b.

δι' ἣν — ὠφελεῖ] i. e. *propter quos sumtus arma utilia sunt*, et *δι' ἣν* fere idem quod *δι' ἧς* i. e. *per quos* etc. Conf. 3, 13. *δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται.* 3, 39. *προσόδου δι' ἣν ἰσχύομεν.* 7, 68. *πλεῖστοι διὰ τὸ εὐτυχῆσαι ὠφελῶσιν. Arma* (*ὅπλα*) intellige *ὁπλίτας* ut c. 80. 81. Mox ad verba *ἐπ' ἀμφότερα τῆς αἰτίας* Schol. adnotavit: *καὶ* (*κατὰ*) *νίκην καὶ ἧτταν.* Verba sic ordina: *οἵπερ ἕξομεν τὸ πλέον τῆς αἰτίας τῶν ἀποβαινόντων ἐπ' ἀμφότερα, qui autem eorum, quae eventura sunt in utramque partem, praecipui auctores videbimur* etc.

84. *μέμφονται ἡμῶν*] Cunctatio, de qua magis quam de alia re ulla nos accusant. v. Matth. p. 624. etc. 69. 70. Pro *ἂν παύσαισθε* alii libri *ἂν παύσησθε*, marg. Steph. *ἂν παύσοισθε*. Ed. Vasc. *ἂν παύσεσθε*. Ex his *ἂν παύσησθε* poeticum est. v. Matth. p. 990 sq. Sententiam ita Dukas expedit: *οἱ γὰρ ἀπαράσκευοι, μὴ δυνάμενοι ὁμόσε τοῖς πολεμίοις χωρεῖν ἰσχυρῶς, μηδ' ἐμμένειν ἐν τῷ πολέμῳ, ὥστε τέλος ἐπιθεῖναι ἐκ τοῦ εὐθέος αὐτῷ, μηκύνουσι τὸ πρᾶγμα ἐπὶ πολύ.* Verbis *καὶ ἅμα νεμόμεθα* „alterum argumentum editur, cur cunctatio non sit vituperanda, petitum ab effectu. Quum semper liberam et honestissimam urbem incoluerint, non posse mores suos reprehensione dignos esse ostendit.“ Haack.

δύναται τοῦτ' εἶναι] Schol. *τὸ βραδὺ καὶ τὸ μέλλον.* Id quod

προγίαις τε οὐκ ἐξυβρίζομεν καὶ ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν ἐπαίνῳ ἐξοτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ παρὰ τὸ δοκοῦν ἡμῖν οὐκ ἐπαιρόμεθα ἡδονῇ, καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν μᾶλλον ἀχθεσθέντες ἀνεπείσθημεν. πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν ὅτι αἰδῶς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία, εὔβουλοι δὲ ἀμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας παιδευό-

comprobant verba cap. 85. ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων (sc. βουλεύειν καθ' ἡσυχίαν) διὰ ἰσχύν. Mox εὐπραγίαις est wegen unseres Glückes. v. Matth. p. 728. b. Genitivus τῶν ἐξοτρυνόντων pendet ex ἡδονῇ, hoc sensu: ἡδονῇ, ἣν παρέχουσιν οἱ ἐξοτρύνοντες. Mox in verbis τὸ μὲν ὅτι αἰδώς verba τὸ μέν refer ad πολεμικοί, ut sit καὶ πολεμικοὶ μὲν γιγνόμεθα. Deinde αἰδώς est *dedecoris vitandi studium*, Ehrgefühl v. Elms. ad Eur. Heracl. 201., sed optimus interpres huius loci est Plut. V. Cleomen. 9., cui adde Plat. De legg. p. 646. Steph. Schol. Mox et verborum Hom. Il. 5, 531. 15, 563.

εὔβουλοι δὲ — προνοουμένων] Hoc dicit: Modestia nostra, quam tarditatem Corinthii dicunt, efficit, ut et bellicosi simus et circumspecti, ac bellicosi quidem, quia modestiam vel maxime pudor et vitandi dedecoris studium sequitur; rursus ex illo pudore nascitur periculorum contemtus et fortitudo. Ita fit, ut bellicosi simus. Circumspecti autem modestia fimus, quia sic instituimur, ut leges non contemnamus, et severitate disciplinae iis obtemperare discamus; quia sic instituimur, ut inutilia addiscere nolentes non quidem hostium apparatum copiose loquentes reprehendamus, sed tanto alacrius agendo rem ipsam aggrediamur; quia denique sic instituimur, ut persuasum nobis habeamus, consilia hostium similia esse fortunae casibus, qui ne ipsi quidem callide differendo ex incertis certi reddi possunt. Quare semper re et voluntate parati sumus ut adversus bene consultos hostes, neque in erroribus, quos illi forsitan commissuri sint, fiduciam ponamus, sed ex hoc spem victoriae capiamus, quod in omnem eventum semper praeparati sumus. Αἰδώ et αἰσχύνην, sicut σωφροσύνην et εὐκοσμίαν uno sensu posuit. Modesti sumus, ait; ex modestia vitandi dedecoris studiosi; ex eo studio fortes. Conf. Ot. Muell. Dor. 2. p. 19. Deinde quia initium sententiae hoc est πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν, ὅτι αἰδῶς etc., post τὸ μέν sequi debebat τὸ δέ, pro hoc autem ipsa verba εὔβουλοι δέ posuit. v. Matth. p. 579. adn. 5. Et variat orationem, dicens ἀμαθέστερον παιδευόμενοι pro ὅτι ἀμαθέστερον παιδευόμεθα. A participio παιδευόμενοι pendent adverbia ἀμαθέστερον et σωφρονέστερον. Atque in sententiis quoque ab his adverbiis pendentibus oratio variatur, nam ab ἀμαθέστερον quod pendet, id substantivum est: τῆς ὑπεροψίας, i. e. ἢ ὥστε τοὺς νόμους ὑπερορᾶν. v. Matth. p. 771. quod autem a σωφρονέστερον, id verbum est ἢ ὥστε ἀνηκουσιεῖν v. Matth. p. 847 sq. Praeterea a participio παιδευόμενοι pendent infinitivi ἐπεξιέναι et νομίζειν. „Locum egregie illustrant verba Cleonis 3, 37. ἀμαθία — μεμψασθαι λόγον.“ Popp. Addit Gottl., haec eo referri, quod Athenienses adversariis suis ἀμαθίαν exprobrabant, (quod fecit etiam orator Corinthius c. 71.) tanquam ἀμούσοις. v. Aelian. V. H. 12, 50. ibique Perizon. His ita Archidamus respondere putandus est, ut dicat, sese, si ἀμαθεῖς sint, certe ἐν τοῖς ἀναγκαιοτάτοις non rudes esse, in legum observantia, usu armorum et talibus. Praecipue studium eloquentiae Spartani negligebant. v. Thuc. 4, 84. Conf. Mans. Spart. 1, 1. p. 165. Et id ipsum studium verba τὰ ἀχρεῖα significare videntur, quibus mox Archidamus utitur.

μενοι, καὶ ξὺν χαλεπότητι σωφρονέστερον ἢ ὥστε αὐτῶν ἀνηκουστεῖν, καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς μεμφόμενοι ἀνομοίως ἔργῳ ἐπεξιέναι, νομίζειν δὲ τάς τε διανοίας τῶν πέλας παραπλησίους

ξὺν χαλεπότητι σωφρονέστερον] i. e. *χαλεπώτερόν τε καὶ σωφρονέστερον*. v. Ot. Muell. Dor. 2. p. 120.

καὶ μὴ τὰ ἀχρεῖα — ἐπεξιέναι] i. e. *καὶ μὴ τῷ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν εἶναι τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ μὲν καλῶς μέμφεσθαι, ἀνομοίως δὲ ἔργῳ ἐπεξιέναι* sc. παιδευόμενοι. Et τὰ ἀχρεῖα Schol. exponit *τὰ σοφίσματα τῶν λόγων*.

ἀνομοίως — ἐπεξιέναι] sc. λόγον sive τὰ λεχθέντα εἰς μέμψιν τῶν παρασκευῶν τῶν πολεμικῶν. Ἐπεξιέναι enim est *exsequi*. *Et quia ita educamur, ut non, inutilium rerum periti, hostium apparatum pulchris verbis reprehendentes, re ipsa ingeniose dictis congruenter agendo* (et hosti reprimendo) *impares simus*. Verba νομίζειν δὲ — οὐ λόγῳ διαιρετὰς sunt, qui ita interpretentur: *sed ita instituimur, ut et aliorum cogitationes nostris similes esse, et fortunae lusus oratione explicari non posse existimemus*. Qui si sensus istorum verborum esset, pro οὐ διαιρετάς opus fuisset dici μὴ διαιρετάς. Imo παραπλησίους εἶναι τάς τε διανοίας καὶ τὰς τύχας dictum e more Graecorum pro παραπλησίους εἶναι τὰς διανοίας ταῖς τύχαις. Verba autem οὐ λόγῳ διαιρετάς (die nicht mit Worten auszumachen sind), iam recte οὐ, non μή habent, quia sic resolvenda sunt: *αἃ οὐ διαιρεταὶ λόγῳ εἰσίν*. Haec interpretatio firmatur iis, quae sequuntur: propterea quod pro incertis consilia hostium, pro incertis casus fortunae habemus, minus quidem verborum facimus, sed tanto tutius bella aggredimur, semper ita parati, quasi hostes optime sibi consulturi sint, quo fit, ut nullus rerum eventus praeter spem nobis accidat. Dicit igitur Archidamus, Lacedaemonios ita institutos esse, ut putent alios quoque valere ingenio et consilio, quo se et ipsi tueri possint, ideoque salutem suam ponere in agendo cum prudentia, non in erroribus adversariorum. Cod. Laur. τε om., at nihil refert, utrum dicas τάς τε διανοίας παραπλησίους εἶναι καί, an τὰς διανοίας παραπλ. εἶναι καί, an καὶ τὰς διανοίας παραπλ. εἶναι καί. Conf. Thuc. 1, 39. 70. 140. 2, 35. 4, 64. 65. Verba οὐ λόγῳ contrarie ponuntur verbis ἀλλ' ἔργῳ, quorum sensus satis aperte inest in iis, quae statim sequuntur: ἀεὶ δὲ ὡς πρὸς — παρασκευαζώμεθα. Hic igitur Archidamus prorsus idem dicit, quod Pericles c. 140. ἐνδέχεται γὰρ τὰς ξυμφορὰς etc. et orator Corinthius c. 120. πολλὰ γὰρ — περιέσται. Prorsus autem a sensu huius loci aberraverunt Haack. et Popp., dum supplent: τὰς διανοίας τῶν πέλας παραπλησίους εἶναι ταῖς ἡμετέραις. Falsum enim est, Thucydidem dicere, alios homines idem sentire, ac Lacedaemonios, neque hic scriptor ignoravit, tot fere sensus hominum, quot capita esse. Quia autem constat, suas quemque cogitationes scire, alterius non scire, propterea alterius cogitationes aeque incertas esse dicit, atque fortunae eventus, eosque stultos esse, qui ex suis consiliis fortunae eventus fore putent 4, 64. Illi interpretes hoc decepti esse videntur, quod Thucydidem et ipsum legebant paulo inferius similitudinem hominum statuere: πολύ τε διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου. Sed ea nimirum similitudo est ingeniorum, non voluntatis et cogitationum, similitudo autem hominum inter se si iam verbis τὰς διανοίας τῶν πέλας παραπλησίους εἶναι etc. memorata esset, hic scriptor praeter morem suum bis, ubi non opus erat, idem dixisse putandus esset. Denique vocabulum διαιρετάς Schol. explicat per φανερὰς. Arn.: *cusus, qui eloquentiae vi non*

εἶναι καὶ τὰς προσπιπτούσας τύχας οὐ λόγῳ διαιρετάς. ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευομένους τοὺς ἐναντίους ἔργῳ παρασκευαζώμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων. πολύ τε διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶ-
85 ναι ὅστις ἐν τοῖς ἀναγκαιοτάτοις παιδεύεται. ταύτας οὖν ἃς οἱ πατέρες τε ἡμῖν παρέδοσαν μελέτας καὶ αὐτοὶ διὰ παντὸς ὠφελούμενοι ἔχομεν, μὴ παρῶμεν, μηδ' ἐπειχθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας περὶ πολλῶν σωμάτων καὶ χρημάτων καὶ πόλεων καὶ δόξης βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν. ἔξεστι δ' ἡμῖν μᾶλλον ἐτέ-

possunt antea accurate definiri. Fortasse cum respectu ad partitiones oratorias vocem scriptor legit, id quod sensisse videtur Port.: *et fortunae casus oratorie explicari non posse*, et Dukas: *οὐ δὲ γὰρ ἔστι λόγῳ διελόντας ἀνακαλύπτειν τὰ μέλλοντα ὑπὸ τῆς τύχης γενήσεσθαι.*

ὡς πρὸς — τοὺς ἐναντίους] i. e. *πρὸς τοὺς ἐναντίους ὡς πρὸς εὖ βουλευομένους.* v. Matth. p. 1192. et locum, quem adscripsit p. 1122. ex Xenoph. Cyrop. 1, 6, 4. Non aliter Cic. Tusc. Quaestt. 5, 32. ***ut ad quietum me licet venias*** i. e. licet venias ad me, ut ad quietum. Sententiam egregie illustrat. Isocr. De Pac. 60. p. 191. Bekk. Mox alii libri *παρασκευαζόμεθα* at „scribendum potius *παρασκευαζώμεθα*, quod perinde est ac si dixisset *παρασκευάζεσθαι δεῖ*, ut sequitur *ἔχειν δεῖ*." Steph. Etiam c. 121. subito ab indicativo ad imperativum (verbale) transit: *περιεσόμεθα — καθαιρετέον.* Mox verbis *καὶ οὐκ ἐξ ἐκείνων* respicit ad verba Corinthii cap. 69. vers. fin. Verba *ὡς ἡμῶν — προνοουμένων* converte: man muss Vertrauen setzen können auf das Bewusstsein, dass man selbst für alle Fälle (*ἀσφαλῶς*) gerüstet sei. v. Buttm. Gr. §. 145. adn. 5. (ed. 13.), Matth. §. 568. p. 1121. 2.

ἐν τοῖς ἀναγκαιοτάτοις] Ne putate, ait, hominem homini multo praestare, a quovis adversario exspectate, eum sibi cauturum, ad eamque rem ingenii dote praeditum esse; sic tutius agetis. Optimus autem vir ille est, qui in maxime necessariis (im Wesentlichen) eruditus est i. e. ex mente Spartanorum, in usu rerum, praecipue armorum tractatione, et omnino in agendo magis (im Practischen), quam in eloquentia et studiis literarum. Plut. V. Lyc. 16. *γράμματα μὲν οὖν ἔνεκα τῆς χρείας ἐμάνθανον· ἡ δ' ἄλλη πᾶσα παιδεία πρὸς τὸ ἄρχεσθαι καλῶς ἐγίνετο, καὶ καρτερεῖν πονοῦντα καὶ νικᾶν μαχόμενον.* Et contra Spartanos, eloquentiae contemtores, diriguntur verba Periclis 2, 40. *οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην.* Sic cepit etiam Schol. Thuc. 2, 37. *τὸ τερπνὸν τοῦ βίου* Lacedaemonii *κώλυμα νομίζουσι τῶν ἀναγκαίων.* Etenim nihil dicit, nisi quod in omnibus foris et circulis ex literarum contemtoribus audias, quibus ea tantum necessaria et proinde utilia videntur, quae ad usum et institutionem vitae communis pertinent, et regis mentem praeclare expressit Ion poeta: *Οὐ γὰρ λόγοις λάκαινα πυργοῦται πόλις· Ἀλλ' εὖτ' ἂν Ἄρης νεοχμὸς ἐμπέσῃ στρατῷ, Βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται.* v. Wachsm. Antt. Gr. 2, 2. p. 454, 2. et inprimis C. Fr. Herm. Antt. Gr. p. 56, 3.

85. *μελέτας*] Intelligo Lacedaemoniorum instituta in educandis liberis, de quibus v. Ot. Muell. Dor. 2. p. 305 sqq. 385 sqq. 397 sqq. et C. Fr. Herm. l. c. p. 55. §. 27.

ἔξεστι δ' ἡμῖν] sc. *καθ' ἡσυχίαν βουλεύειν.* Respicit orationem Corinthii c. 71. init. coll. c. 69. med. *καίτοι ἐλέγεσθε ἀσφαλεῖς εἶναι* etc. Mox *διὰ ἰσχύν* est *propter potentiam nostram*, quae deterret adversarios nostros, ne temere nos aggrediantur, et *μᾶλλον ἑτέρων* accipe dictum pro *μᾶλλον ἢ ἑτέροις.* Vid. Matth. §. 454. p. 849.

ρων διὰ ἰσχύν. καὶ πρὸς τοὺς Ἀθηναίους πέμπετε μὲν περὶ τῆς Ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ ξύμμαχοί φασιν ἀδικεῖσθαι, ἄλλως τε καὶ ἑτοίμων ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ δὲ τὸν διδόντα οὐ πρότερον νόμιμον ὡς ἐπὶ ἀδικοῦντα ἰέναι. παρασκευάζεσθε δὲ τὸν πόλεμον ἅμα. ταῦτα γὰρ καὶ κράτιστα βουλεύσεσθε καὶ τοῖς ἐναντίοις φοβερώτατα. καὶ ὁ μὲν Ἀρχίδαμος τοιαῦτα εἶπε· παρελθὼν δὲ Σθενελαΐδας τελευταῖος, εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξεν ἐν τοῖς Λακεδαιμονίοις ὧδε.

Τοὺς μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθηναίων οὐ γιγνώσκω· 86
ἐπαινέσαντες γὰρ πολλὰ ἑαυτοὺς οὐδαμοῦ ἀντεῖπον ὡς οὐκ ἀδικοῦσι τοὺς ἡμετέρους ξυμμάχους καὶ τὴν Πελοπόννησον· καίτοι εἰ πρὸς τοὺς Μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δὲ ἡμᾶς κακοὶ νῦν, διπλασίας ζημίας ἄξιοί εἰσιν, ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγένηνται. ἡμεῖς δὲ ὁμοῖοι καὶ τότε καὶ νῦν ἐσμεν, καὶ τοὺς ξυμμάχους ἢν σωφρονῶμεν οὐ περιοψόμεθα ἀδικουμένους οὐδὲ μελλήσομεν τιμωρεῖν· οἱ δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν. ἄλλοις μὲν γὰρ χρήματά ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ ξύμμαχοι ἀγαθοί, οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστίν, οὐδὲ δίκαις καὶ λόγοις διακριτέα μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους, ἀλλὰ τιμωρητέα ἐν τάχει καὶ παντὶ σθένει. καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους μηδεὶς διδασκέτω, ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν μᾶλλον πρέπει πολὺν χρόνον βουλεύεσθαι. ψηφίζεσθε οὖν, ὦ Λακεδαιμόνιοι, ἀξίως τῆς Σπάρτης τὸν πόλεμον, καὶ μήτε τοὺς Ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι, μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας.

Τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν αὐτὸς ἔφορος ὢν ἐς τὴν ἐκ- 87
κλησίαν τῶν Λακεδαιμονίων. ὁ δέ, κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ, οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν ὁποτέρα μείζων, ἀλλὰ βουλόμενος αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν γνώμην ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι ἔλεξεν Ὅτῳ μὲν ὑμῶν, ὦ Λακε-

86. *ὁμοῖοι καὶ τότε*] i. e. *ὁμοῖοι καὶ τότε ἦμεν καὶ νῦν ἐσμέν.* Schol. *ἐλευθεροῖ τὴς Ἑλλάδος δηλονότι.* vid. cap. 69. De verbis *οὐ παραδοτέα* v. Matth. p. 829. 1.

87. *ἐπεψήφιζεν*] i. e. *in suffragium misit concionem.* v. Matth. p. 737. not. Modo regibus, regumque filiis, Ephoris et in universum magistratibus Spartae ius erat, populum in suffragium mittendi. v. Ot. Muell. Dor. 2. p. 89. De Ephoris, quae huc pertinent, idem seorsum exposuit p. 121 sqq. Conf. Tittm. Gr. Staatsverf. p. 91 sq. Herm. Antt. Gr. p. 86, 2. Wachsm. Antt. Gr. 1, 1. p. 222 sqq. et inprimis p. 223, 94. De suffragiis apud Spartanos *βοῇ* fieri solitis fusius exponit Plut. V. Lyc. 26.

μᾶλλον ὁρμῆσαι] Quia illi, qui clamore bellum se decernere significabant, maior pars Spartanorum erant, singulosque, qui bellum nollent, non credere licebat ausuros esse invidiam publicam incurrere palam bellum pluribus invitis vetando, propterea dicto a scriptore modo

δαιμόνιοι, δοκοῦσι λελύσθαι αἱ σπονδαὶ καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον· δείξας τι χωρίον αὐτοῖς· ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ θάτερα. ἀναστάντες δὲ διέσησαν, καὶ πολλῷ πλείους ἐγένοντο οἷς ἐδόκουν αἱ σπονδαὶ λελύσθαι. προσκαλέσαντές τε τοὺς ξυμμάχους εἶπον ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βούλεσθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες ψῆφον ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευσάμενοι τὸν πόλεμον ποιῶνται, ἢν δοκῇ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου διαπραξάμενοι ταῦτα, καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον ἐφ' ἅπερ ἦλθον χρηματίσαντες. ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας, τοῦ τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει καὶ δεκάτῳ τῶν τριακοντουτίδων σπονδῶν προκεχωρηκυιῶν αἳ ἐγένοντο μετὰ τὰ Εὐβοικά.

88 Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι καὶ πολεμητέα εἶναι οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις ὅσον φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη
89 ὄντα. οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα ἐν οἷς εὐξήθησαν. ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως ὑπομείναντες Σηστὸν ἐπολιόρκουν Μήδων ἐχόντων, καὶ ἐπιχειμάσαντες εἷλον αὐτὴν ἐκλιπόντων τῶν βαρβάρων. καὶ

Ephorus Spartanos in suffragia discedere iubebat. Arn. Propterea quoque Thuc. 6, 24. extr. scribit: *ὥστε διὰ τὴν ἄγαν τῶν πλειόνων ἐπιθυμίαν, εἴ τῳ ἄρα καὶ μὴ ἤρεσκε, δεδιὼς μή, ἀντιχειροτονῶν κακόνους δόξειεν εἶναι τῇ πόλει, ἡσυχίαν ἦγε.*

δείξας] Schol. *τὸ ἑξῆς τῆς διανοίας οὕτως, ἔλεξε δείξας τί χωρίον αὐτοῖς. τὸ γὰρ δείξας τι χωρίον αὐτοῖς ποὸς τὸ ἔλεξεν.* Conf. Thuc. 1, 137. *γράψας τὴν ἐκ Σαλαμῖνος* etc. 136. *εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται* etc. Itidemque Cic. de N. D. 1, 7. *Mihi vero, inquit Cotta, videtur. Sed ut hic, qui intervenit (me intuens) ne ignoret, quae res agatur, de natura agebamus deorum.*

τοὺς πάντας ξυμμάχους] Omnium civitatum legati serius convocati sunt (c. 119.) et in suffragium missi (c. 125.).

89. De rebus *πεντηκονταετίας*, quae iam sequitur, iuvabit legisse Ot. Muellerum Dor. 1. p. 178. per totum c. 9. Verba *ἐπὶ τὰ πράγματα* etc. sic convertit Port.: *ad res gerendas venerunt, per quas creverunt.*

οἱ ἀπὸ Ἰωνίας] conf. Herodot. 9, 106. Dahlm. Forschungen 1. p. 102. adn. De Sesto oppugnata v. Herodot. 7, 33. 78. 9, 14 sqq. Mox *ὡς ἕκαστοι* intellige: *ὡς ἕκαστοι ἔτυχον.* v. Matth. p. 1284. Et *ὅθεν ὑπεξέθεντο* per attractionem dictum pro *ἐκεῖθεν, οὗ ὑπεξέθεντο.* v. ibidem p. 885. adn. 2. Schol. *ἐκ Τροίζηνος καὶ ἐκ Σαλαμῖνος.* v. Diod. 11, 39. De verbis *οἰκίαι αἱ μέν* v. Matth. p. 626. §. 319.

μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις. Ἀθηναίων δὲ τὸ κοινόν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευήν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη. τοῦ τε γὰρ περιβόλου βραβέα εἱστήκει καὶ οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον ἦλθον πρε-90
σβείᾳ, τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτε ἐκείνους μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα, τὸ δὲ πλέον τῶν ξυμμάχων ἐξοτρυνόντων καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρὶν οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον ὅσοις εἰστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους, τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ ποθεν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀφορμήν. οἱ δ' Ἀθηναῖοι Θεμιστοκλέους γνώμῃ τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας ἀποκρινάμενοι ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δὲ ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν

90. *τὰ μὲν — τὸ δὲ πλέον*] v. Vig. p. 14. adn. Mox ad *ὅσοις εἰστήκει* supple *τείχη*. Vulgo legitur *ξυνειστήκει*. C. cod. Bas. D. Laur. *εἰστήκει*. Vulgatam non male tuentur Arn. et Did., moenia urbis affirmantes recte dici *ξυσταῖναι* sive *consistere* (Stand or hold together, to exist unruined — murailles étant debout, conservées) quum praesertim scriptor modo mentionem fecerit moenium Athenarum, quorum exigua tantum pars integra mansisset et *περίβολος* non esset continuus (*οὐ ξυνέστη*).

τὸ βουλόμενον] i. e. *τὴν βούλησιν*. v. Matth. §. 269. Mox verba *ὡς — οὐκ ἂν ἔχοντος* etc. significant *φάσκοντες, ὅτι (εἰ μὴ τειχίζοιεν) οὐκ ἂν ἔχοι* etc.: indem sie äusserten, dass (falls sie dieses thäten) der Perserkönig, wenn er wieder einen Einfall machte, nicht von einem festen Orte aus seinen Angriff würde unternehmen können. Deinde *ἀπὸ ἐχυροῦ ποθεν* scripsi. Bekk. in ed. mai. *πόθεν* i. e. *οὐκ ἔχοντος ἐχυρὸν, πόθεν ὁρμᾶσθαι*. Sic attractio est subiecti sequentis casum relativi sui. v. Matth. §. 474., et infinitivus positus est, ut ap. Soph. Oed. C. 48. et in illis exemplis, quae explicat Lob. ad Phryn. p. 772. Simplicius et fortasse rectius est encliticum *ποθέν*. „Quum neque illa inversa attractio, si pron. *ἄλλος* et locutionem *οὐδένα ὄντινα οὐ* excipimus, in prosa oratione admittatur, neque infinitivus apud antiquos scriptores ita ponatur [at v. Soph.] denique *ὁπόθεν* vel *ὅθεν* rectius dicatur, quam *πόθεν*, vulgata servanda est, quae proprie *alicunde a loco munito*, ideoque *ab aliquo loco munito* significat.“ Popp. Mox *ἀναχώρησιν — ἀφορμήν* est: Zufluchtsort — Angriffspunkt, sedes quo se hostis recipiat, et unde profectus hostem propugnes. De phrasi *μέχρι τοσούτου ἕως ἄν* v. Matth. §. 480. p. 897.

μέχρι τοσούτου ἕως ἂν τὸ τεῖχος ἱκανὸν αἴρωσιν ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους· τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας, φειδομένους μήτε ἰδίου μήτε δημοσίου οἰκοδομήματος ὅθεν τις ὠφέλεια ἔσται ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. καὶ ὁ μὲν ταῦτα διδάξας καὶ ὑπειπὼν τἆλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι ὤχετο. καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχάς, ἀλλὰ διῆγε καὶ προὐφασίζετο. καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων ὅ, τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινόν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι, προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν καὶ
91 θαυμάζειν ὡς οὔπω πάρεισιν. οἱ δὲ ἀκούοντες τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων ἀφικνουμένων καὶ σαφῶς κατηγορούντων ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι. γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας οἵτινες χρηστοὶ καὶ πιστῶς ἀπαγγελοῦσι σκεψάμενοι. ἀποστέλλουσιν οὖν, καὶ περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει κελεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν καὶ μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν· ἤδη γὰρ καὶ ἦκον αὐτῷ οἱ ξυμπρέσβεις Ἀβρώνιχός τε ὁ Λυσικλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος· ἐφοβεῖτο γὰρ μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν. οἵ τε οὖν Ἀθηναῖοι τοὺς πρέσβεις ὥσπερ ἐπεστάλη κατεῖχον, καὶ Θεμιστοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμονίοις ἐνταῦθα δὴ φανερῶς εἶπεν ὅτι ἡ μὲν πόλις σφῶν

ὥστε ἀπομάχεσθαι] i. e. *ἕως ἂν αἴρωσιν ἐς τὸ ἀναγκαιότατον ὕψος, ἱκανὸν ὥστε ἀπομάχεσθαι*, ut *ὥστε* pendeat ab *ἱκανόν*, *murum satis magnae altitudinis, idoneum, ex quo pugnetur*. Mox *τὰς ἀρχὰς* accipe esse Ephoros. v. Ot. Muell. Dor. 2. p. 121 sq. *Τὰ τέλη, αἱ ἀρχαί, τὰ ἀρχεῖα* eundem magistratum significant. v. ibidem p. 127. adn. Mox *διῆγε* est *ἐβράδυνε*. De *ὅ, τι οὐκ ἐπέρχεται* v. Matth. p. 916. 8.

91. *τῶν δὲ ἄλλων*] Articulus abesse posset, nisi scriptor indicare voluisset *omnes alios*, quicunque inde venissent, idem nuntiasse: da aber die übrigen von daher kommenden ganz zuverlässig anzeigten. Haack. Mox in verbis *ὕψος λαμβάνει* constructio *ἀπὸ κοινοῦ* est, qua substantivum repetendum est e verbo *τειχίζεται*. v. Matth. p. 590. Mox de formula *οὐκ εἶχον ὅπως χρή* Popp. inter alia confert Thuc. 7, 44. Nec multum differre ait Thuc. 2, 4. 5, 62., adiri iubens Stallb. ad Plat. Conviv. 15. Mox pro *μὴ μᾶλλον ἤ* ex nostra dicendi ratione magis exspectari *μὴ τοσοῦτον — ὅσον* sive *μὴ — ἀλλὰ μᾶλλον* Popp. adnotavit. De Abronicho v. Schaef. App. Cr. Demosth. Vol. 5. p. 142. Mox *πόλις σφῶν* pro *π. αὐτῶν*, quod in aliis libris est, scripsi cum Poppone, qui *αὐτῶν* h. l. contra morem Thucydidis in his pronominibus esse monuit. Et quidem pronomen ad sententiae praecipuae subiecta, Athenienses et Themistoclem redit, ac per totum hunc locum iidem ubique per *σφᾶς* et *ἑαυτούς* indicantur. v. Buttm. Gr. §. 127. 3. (ed. 13.) Mox *τὰ κοινὰ ξύμφορα* puto dictum pro *τὰ ξύμφορα τῷ κοινῷ*. v. Matth. §. 453.

τετείχισται ἤδη ὥστε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας· εἰ δέ τι βούλονται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς, ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. τήν τε γὰρ πόλιν ὅτε ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι καὶ ἐς τὰς ναῦς ἐρβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι, καὶ ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι, οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. δοκεῖν οὖν σφίσι καὶ νῦν ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφελιμώτερον ἔσεσθαι. οὐ γὰρ οἷόν τε εἶναι μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς ὁμοίόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. ἢ πάντας οὖν ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν. οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες ὀργὴν
92 μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις· οὐδὲ γὰρ ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο· ἅμα δὲ καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν τὰ μάλιστα αὐτοῖς ἐτύγχανον· τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.

*Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν*93 *ὀλίγῳ χρόνῳ.* καὶ δῆλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστιν ὅτι κατὰ σπουδὴν ἐγένετο. οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπό-

ὅσα — βουλεύεσθαι] Graeci in oratione indirecta accusativum cum infinitivo etiam post relativa *ὅς — ὅσα — οἷα*, post coniunctiones *εἰ — ἐπεί, ὡς* etc. usurpant. v. Matth. §. 538.

οὐ γὰρ οἷόν τε εἶναι] Schol. *ἐὰν μὴ ἔχωμεν, φασὶ, τεῖχος ὡς οἱ ἄλλοι, μέλλομεν οὐδὲ τὴν αὐτὴν γνώμην ἕξειν ἐν τοῖς πολέμοις· ἴσως γάρ, πολεμίων ἐλθόντων, ἡμῖν μὲν δόξει μὴ μάχεσθαι, ἀλλὰ σπένδεσθαι, ὡς μὴ ἔχουσι τεῖχος, τοῖς δὲ ἄλλοις, πολεμεῖν· οὐ γὰρ ἐνδέχεται, τὸν μὴ ὄντα ἴσον τῶν ἄλλων θαρσῆσαι καὶ ἐκείνους καὶ ὁμοίόν τι ἀποφήνασθαι.* Mox *μὴ ἀπό* in verbis *μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς* puto cum Bredovio idem esse quod *ἄνευ* sive *εἰ μὴ ἀπό*, ut 6, 86. *ἡμεῖς μέν γε οὔτε ἐμμεῖναι δυνατοὶ μὴ μεθ' ὑμῶν* i. e. *ἀδύνατοι εἰ μὴ μεθ' ὑμῶν*, sive *ἄνευ ὑμῶν*. Poppo confert Lucan. Phars. 1, 341. *His saltem longi non cum duce praemia belli Reddantur.* Denique de verbis *ἀπὸ ἀντιπάλου* v. Matth. p. 1130.

92. *δῆθεν*] i. e. sie hatten ja nicht hinderlich seyn wollen. v. Zeun. ad Vig. p. 499. Matth. p. 1210. Mox *τῷ κοινῷ* per *ὑπὲρ τοῦ κοινοῦ* explicat Arn. Melius fortasse Valla iunxit cum *παραινέσει*, *ut in commune consilium darent*. Mox *ἀδήλως* cum Poppone interpretor *graviter ferebant, ita tamen ut dolorem occultarent*. De re ipsa conf. Diod. 11, 39. Plut. V. Them. 19. Schol. Arist. Equ. 811. C. Nep. Them. 5. al.

93. *δῆλη — ὅτι — ἐγένετο*] v. Matth. p. 1295. et de *ἔστιν ἦ* (an einigen Stellen) ibidem p. 903. adn. 2. Mox *ἀπὸ σημάτων* est *ex monumentis sepulcralibus*. Deinde recte Schneid. Lex. Gr. s. v. *ξυνεργάζομαι* exponit: *λίθοι ξυνεργασμένοι*, polirte, behauene Steine; *εἰργασμένοι, caelati* (zu Bildsäulen sive von Bildhauern bearbeitete Steine). v. Leak. Athen. p. 316, 3. vers. Germ. Medium passivo sensu usurpatum, ut *κεκτημένος* al. Sed Graecis hoc licet tantum in perfectis

κεινται καὶ οὐ ξυνειργασμένων ἔστιν ᾗ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον· πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν. μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως, καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες ἠπείγοντο. ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιστοκλῆς οἰκοδομεῖν. ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις ἦρξε· νομίζων τό τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ αὐτοὺς ναυτικοὺς γεγενημένους μέγα προφέρειν ἐς τὸ κτήσασθαι δύναμιν. τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐστί, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε. καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους ὅπερ νῦν ἔτι δῆλόν ἐστι περὶ τὸν

et aoristis. v. Matth. p. 931. e. Deinde *πάντα ὁμοίως* Schol. explicat per *καὶ κοινὰ καὶ ἱερά*. De *ὑπῆρκτο* v. Matth. p. 596. adn. 2.

ἀρχῆς ἧς ἦρξε] i. e. *quo anno Archon fuit*. Is erat Ol. 71, 4. (493.) v. Boeckh. de Archontibus pseudep. in Seeb. Bibl. cr. nov. 1828. nr. 79. p. 628 sq. De dativo *Ἀθηναίοις*, aliter quam Matth. §. 360. a. Popp. sentit, qui negat *ἄρχειν Θεσσαλοῖς* et similiter scriptoribus solutae orationis dicere licere, sed rectissime dici *ἄρχειν ἀρχὴν Ἀθηναίοις*, vel *ἄρχειν Ἀθηναίοις* eo sensu, ut sit *Ἄρχοντα Ἀθηναίοις εἶναι*.

αὐτοφυεῖς] Schol. *ἤγουν οὐ χειροποιήτους*. De forma accusativi (pro quo communis regula *αὐτοφυᾶς* requirit), v. Buttm. Gr. §. 53. 13. adn. 4. (ed. 13.) Hi portus *Κανθάρου λιμὴν — Ἀφροδίσιον* et *Ζέα* appellabantur. V. Schol. Arist. Pac. 144. et Hesych. v. *Ζέα*. Mox *προφέρειν* recte Osiand. Obss. in Thuc. fasc. 2. p. 9. explicat: *et illum locum se nauticos factos valde promoturum esse ad potentiam consequendam*. In superioribus proprie dicendum fuisse *τὸ χωρίον καλόν τε εἶναι*, sed particulae *τε* traiectionem frequentissimam esse, Popp. monuit. De infinitivo praesentis *προφέρειν* sine *ἄν* pro futuri infinitivo v. adn. ad c. 127.

εὐθὺς ξυγκατεσκεύαζε] statim post tempus, quo Themistocles Archon fuit; at post reditum Persarum ambitus Piraei quod supererat (*τοῦ Πειραιῶς τὰ λοιπὰ* init. cap.) aedificarunt.

ὅπερ νῦν ἔτι] scil. e fundamentis murorum a Lacedaemoniis dirutorum, necdum a Conone restitutorum. KRUEG. ad Dionys. p. 250. v. Ot. Muell. in v. Attica ap. Ersch. et Grub. Encyclop. Vol. 6. p. 223. init. Pronomen *ὅπερ* ad *πάχος*, non ad *τεῖχος* referri (die Breite der Mauern ist noch jetzt, nach ihrer Niederreissung, aus den Ruinen ersichtlich) Krueg. Vit. Thuc. p. 72 sq. monuit. Mox verbis *δύο γὰρ ἅμαξαι* etc. latitudo moenium significatur, ut verbis similibus Arist. Av. 1127. Strabonis 16. p. 1072. C. Curtii Rufi 5, 1, 12. Propert. 3. El. 9, 24. de moenibus Babylonis: *Et duo in adversum immissi per moenia currus, Ne possent tacto stringere ab axe latus.* Arn. postquam dixit, videri hanc mentem scriptoris esse, quod plaustra duo perpetuo inter se occurrentia super muros evecta sint, et spatium fuerit satis latum duobus plaustris inter se occurrentibus, confert 4, 23. *δυοῖν νεοῖν ἐναντίαιν τὴν νῆσον περιπλέοντες*. Vere etiam Bloomf. monuit, lapides sublatos videri in aliquam muri partem per planitiem inclinatam, et deinde in muro plaustris vectos. Deinde *χάλιξ* sunt caementa (Bruchsteine und Geschütt), quibus veteres structurae soliditatem efficere solebant. v. Interpp. ad Horat. 3. Carm. 1, 35. Virg. 9. Aen. 711.

Πειραιᾶ· δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον. ἐντὸς δὲ αὖτε χάλιξ οὔτε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι καὶ ἐν τομῇ ἐγγώνιοι σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολύβδῳ δεδεμένοι. τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη οὗ διενοεῖτο. ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφιστάναι τὰς τῶν πολεμίων ἐπιβουλάς· ἀνθρώπων τε ἐνόμιζεν ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακήν, τοὺς δ' ἄλλους ἐς τὰς ναῦς ἐρβήσεσθαι. ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο, ἰδὼν ὡς ἐμοὶ δοκεῖ τῆς βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν· τόν τε Πειραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως, καὶ πολλάκις τοῖς Ἀθηναίοις παρήνει, ἢν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, καταβάντας ἐς αὐτὸν ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν παὶ τἆλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος στρατηγὸς 94
τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου· ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος. καὶ ἐστράτευσαν ἐς Κύπρον καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψαντο, καὶ ὕστερον ἐς Βυζάντιον Μήδων ἐχόντων καὶ ἐξεπολιόρκησαν ἐν τῇδε τῇ ἡγεμονίᾳ. ἤδη 95
δὲ βιαίου ὄντος αὐτοῦ οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο καὶ οὐχ

ἐν τομῇ] *Ἐντομῇ* Procop. p. 188. Hoesch. cod. Lugd. ed. Flor. In Pal. *ἐντομῇ* an *ἐν τομῇ* sit, discerni nequit. Primus *ἐντομῇ* iunctim scripsit Wyttenb. Ecll. Hist. p. 363., quem Popp. secutus est. At iunctam scripturam iure mihi Bloomf. reiicere videtur, quia *ἐντέμνειν* et *ἐντομή* de lapidibus caesis nunquam usurpetur, dum *τέμνειν* et *τομή* de eadem re frequentissima sint. *Ἐν τομῇ* intelligo *locis, quibus incisi sunt, angulati* sive: eckig zugehauen, an den behauenen Ecken winkelrecht. Ita h. l. conveniet cum 2, 76. *ἀπὸ τῆς τομῆς* i. e. an den Spitzen, wo die Balken abgeschnitten waren, quem locum Arn. aptissime contulit, ubi v. adnot. Recepto *ἐν τομῇ* iam *ἐγγώνιος* non erit pro *τετραγώνιος* dictum (quem sensum numquam habet, ne locis quidem a Bloomfieldio adscriptis), nam significabit *angulatus*, sive lapides quadrati sive non quadrati fuerint. Deinde *σιδήρῳ* Iacobs. convertit: indem die eisernen Klammern mit Blei eingegossen waren, coll. Herod. 1, 186.

τῶν ἀχρειοτάτων] i. e. *maxime imbellium*. Mox *προσέκειτο* converte *nam in rem nauticam maxime incumbebat*.

εὐθὺς μετὰ τὴν Μήδων] Schol. *μετὰ τὰ κατὰ Μαρδόνιον. ταῦτα δὲ ἔδει εἰπεῖν μετὰ τὰ ἐν Μυκάλῃ* (c. 89.) *ἀλλὰ διὰ μέσου τὴν τειχοποιίαν εἶπών, εἰκότως πάλιν ἐπανέρχεται ἐπὶ τὰ κατὰ Παυσανίαν.*

94. *ἐν τῇδε τῇ ἡγεμονίᾳ*] Haec sequentis periodi atque capitis principium esse putat Steph., quocum consentit Duk. Sed ita hic *ἐν τῇδε δὲ τῇ ἡγεμονίᾳ* scribendum erit et statim *δὲ* post *ἤδη* omittendum, quorum illud nusquam, hoc tantum in Reg. (G.) fit, quem Haack. sequitur. Non magni pretii est Dan., qui habet *ἐν τῇδε τῇ ἡγεμονίᾳ δὲ βιαίου* etc.

95. *ἤδη δὲ βιαίου*] Quod ante *βιαίου* vulgo inseritur *καί*, Popp. auctoritate haud paucorum et bonorum librorum abiecit. Pro mutatione

ἥκιστα οἱ Ἴωνες καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους ἠξίουν αὐτοὺς ἡγεμόνας

ab Stephano proposita haec aliquis dixerit, cum scriptor narraverit antea, classem e Peloponneso missam duce Pausania serius Byzantium expugnasse, hanc rem eius ductu gestam esse sponte intelligi, neque opus fuisse adiicere, in Pausaniae imperio Graecos ea urbe potitos esse. Sed multo aptius scripsisset, *ἐν τῇδε δὲ τῇ ἡγεμονίᾳ ἤδη βιαίου ὄντος αὐτοῦ*. Nam ob id ipsum, quod cum imperio erat, fastum atque imperiosum animum in Graecos sibi parentes exhibere potuit, cuius exhibendi tanta copia non fuit in homines iussa eius exsequi non obstrictos. Quod autem *ἤδη* Pan. omittit, equidem deleri nolim, quia eius quoque voculae additae ratio in aperto est. Nam sic Pausanias iam antea impotenti animo fuisse et altiora meditatus dicitur, nunc primum arcana animi consilia paulatim prodidisse et hominibus, maxime qui circa ipsum erant, militibus patefecisse. Contra haec Arn. ita disputat: „Puto Thucydidem significare voluisse Byzantium expugnatum Pausania usque imperante, licet anni sero tempore oppugnatio coepta erat, post expeditionem demum Cypriam. Byzantio capto Pausanias iis, quos ceperat, dimissis primum Xerxi conditiones tulit libertatis Graeciae prodendae. Literae ab eo Susa missae, quibus responsum est Pausania usque ad Byzantium commorante. Quibus responsis acceptis arrogantia eius intolerabilis facta est, ut Graeci Asiani ductum Atheniensium expeterent, et reddendae rationis causa Pausanias a suis domum revocaretur. Id probabile est, accidisse a. 477. ineunte. Ac quum Dorcis, quem Spartani Pausaniae successorem miserant, circa initium eius temporis, quo bellorum initia fieri solebant, a Graecis Asianis non impetrare posset, ut se in Pausaniae locum sufficerent, Atheniensium principatus recte perhibetur coepisse ab anno 477., qui ipse annus a Fynesio Clintone Fast. Gr. huic rei assignatur. Pausaniam Diod. 11, 44. dicit *ναύαρχον* missum esse; navarchi autem eo tempore putantur imperium per binos annos tenuisse, ita ut Pausanias cogitandus sit revocatus esse, priusquam imperii eius tempus praeterierat. Qui si plene se purgare potuisset a criminibus, rursus futurum erat, ut emitteretur: id quod quodammodo significatur verbis huius cap.: *ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα*. Id quod non opus erat referre, si tempus imperii Pausaniae iam exactum fuisset, si quidem navarchis non licebat imperium per alterum biennium continuare. v. Xenoph. H. Gr. 2, 1, 7. Hoc fit ut dubitem, an aedificatio moenium Athenarum et Piraei, imperium Pausaniae, Cypri Byzantiique expugnatio anno proximo post pugnas ad Plataeas et Mycalen i. e. 478. contigerint." Cum Arnoldo praeter Clintonem consentit Wachsm. Antt. Gr. 1, 2. p. 476. Conf. Maus. Spart. 1, 2. p. 322 sq. De violentia Pausaniae v. inprimis Plut. V. Aristid. 23.

νεωστὶ] Falso Gottl. sibi persuaserat, de annis, qui praeterierant inde a Graecis iugo Persarum liberatis, Sardibusque per Ioues Atheniensium auxilio captis Ol. 69. (504.) scriptorem hic loqui: non enim de his rebus cogitandum est, viginti ferme annis ante tempus, in quo nunc sumus, gestis, quum Ioues defecerunt Histiaeo et Aristagora ducibus, sed intelligenda est defectio Graecorum Asianorum, quae accidit post bellum Persicum secundum, quam supra c. 89. attigit. Mox de Ionibus, Atheniensium consanguineis v. Herodot. 1, 146. 147. Thuc. 1, 2. Pausan. 7, 1, 2. Deinde *μὴ ἐπιτρέπειν, ἤν που βιάζηται* Matthiaeo p. 1090. prope fin. dictum videtur pro *μὴ ἐπιτρέπειν βιάζεσθαι*. Et pronomen in *ᾗ φαίνοιτο αὐτοῖς* refer ad Athenienses. Conf. 2, 6. 3, 28. extr. De verbis *ἀδικία κατηγορεῖτο αὐτοῦ* v. Matth. §. 378.

σφῶν γενέσθαι κατὰ τὸ ξυγγενὲς καὶ Παυσανίᾳ μὴ ἐπιτρέπειν ἤν που βιάζηται. οἱ δὲ Ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους καὶ προσεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι τἆλλα τε καταστησόμενοι ᾗ φαίνοιτο ἄριστα αὐτοῖς. ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο· καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἡ στρατηγία. ξυνέβη τε αὐτῷ καλεῖσθαί τε ἅμα καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ' Ἀθηναίους μετατάξασθαι πλὴν τῶν ἀπὸ Πελοποννήσου στρατιωτῶν. ἐλθὼν δὲ ἐς Λακεδαίμονα τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιστα ἀπολύεται μὴ ἀδικεῖν· κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα Μηδισμὸς καὶ ἐδόκει σαφέστατον εἶναι. καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Δόρκιν δὲ, καὶ ἄλλους τινὰς μετ' αὐτοῦ στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν· οἱ δὲ αἰσθόμενοι ἀπῆλθον· καὶ ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι μὴ σφίσιν οἱ ἐξιόντες χείρους γίγνωνται, ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον· ἀπαλλαξείοντες δὲ καὶ τοῦ Μηδικοῦ πολέμου καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους. παραλαβόντες δὲ οἱ Ἀθηναῖοι **96** τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ ἐκόντων τῶν ξυμμάχων διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἃς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον καὶ ἃς ναῦς. πρόσχημα γὰρ ἦν ἀμύνασθαι ὧν ἔπαθον δηοῦντας τὴν βασιλέως χώραν. καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχή, οἳ ἐδέχοντο τὸν φόρον. οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα. ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο. ἡγούμενοι δὲ αὐτονόμων τὸ πρῶτον τῶν ξυμμάχων καὶ **97**

p. 694. Mox legitur *ἡ στρατηγία*, quia Pausanias supra *στρατηγὸς τῶν Ἑλλήνων* vocatus est, eoque respiciens (ut Popp. adnotavit) scriptor dicit *illud, quod supra imperium appellavi.*

μετατάξασθαι] Schol. *πρὸς Ἀθηναίους μετελθεῖν, μετατεθῆναι.* v. Ot. Muell. Dor. 1. p. 185 sq. De vocibus *τὰ μέγιστα* v. Matth. §. 421. adn. 1. 2. et de *ἀπολύεται μή* ibidem p. 1048. 7. Denique *ἐφίεσαν* idem est, quod *ἐνεδίδοσαν*. v. Buttm. ad Plat. 1. Alc. 5. fin.

96. *ἀμύνασθαι ὧν*] v. Matth. §. 368. Mox de Hellenotamiis, qui colligebant et asservabant pecunias a Graecis contributas, v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 189 sqq. 432 sqq. Kortuem. Hellen. Staatsverf. p. 56. Wachsm. Antt. Gr. 2, 1. p. 149, 21. 22. C. Fr. Herm. Antt. Gr. p. 302, 6. Pro *Ἑλληνοταμίαι ἀρχή* Latini *magistratus Hellenotamiarum*, sicut mox *tributum talentorum quadringentorum sexaginta* dicerent. Graece utrimque recte nominativus ponitur. v. Matth. p. 794, 5.

φόρον] Quia *φόρος* Graecis nomen grave et odiosum erat, pro eo deinde coepit dici *σύνταξις*. Duk. De tributis v. Boeckh. l. c. p. 449 sq. p. 427 sqq. Wachsm. 2, 1. p. 142 sqq. nr. 5. 1, 2. p. 75, 23. 2, 1. p. 142, 115.

ἀπὸ κοινῶν ξυνόδων βουλευόντων τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων μεταξὺ τοῦδε τοῦ πολέμου καὶ τοῦ Μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν βάρβαρον αὐτοῖς καὶ πρὸς τοὺς σφετέρους ξυμμάχους νεωτερίζοντας καὶ Πελοποννησίων τοὺς ἀεὶ προστυγχάνοντας ἐν ἑκάστῳ. ἔγραψα δὲ αὐτὰ καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον καὶ ἢ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν ἢ αὐτὰ τὰ Μηδικά· τούτων δὲ ὅστερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος, βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη. ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν Ἀθηναίων ἐν οἵῳ τρόπῳ κατέστη.

98 Πρῶτον μὲν Ἠιόνα τὴν ἐπὶ Στρυμόνι Μήδων ἐχόντων πολιορκίᾳ εἷλον καὶ ἠνδραπόδισαν Κίμωνος τοῦ Μιλτιάδου

97. πρός τε τὸν βάρβαρον] v. Matth. p. 1183.

ἐκβολήν] Phavorin. παρέκβασιν, μετάβασιν i. e. digressionem. v. Krueg. ad Dionys. p. 57. et in Indice s. v. Mox χωρίον est *locus*, das Feld, der Punkt der Erörterung. v. Arrian. Exped. Al. M. 1, 12. Mox τούτων ἥψατο est: τούτου τοῦ χωρίου ἥψ. Deinde quam Hellanici Ἀττικὴν ξυγγραφὴν Thucydides dixit, ea communiter sub nomine Atthis memoratur. v. Creuz. Art. Hist. Gr. p. 75. 80 sq. 96. adn. Marx. ad Ephor. p. 66. et inprimis Sturz. de Hellanic. p. 12. 51. Mox vulgo perperam post ἐπεμνήσθη colon ponunt, ac si post illud sequentia ad Hellanicum pertineant. At verbum ἔχει referendum ad praecedentia αὐτά et τούτων i. e. ad ea, quae Thucydides conscripsit. Verba ἅμα δέ alteram causam continent, cur auctor hanc digressionem fecerit. Deinde de ἐν in verbis ἐν οἵῳ τρόπῳ v. Brem. ad Lys. p. 49. et Voigtl. ad Lucian. D. M. 23., quos citavit Popp.

98. Ἠιόνα] Eustath. ad Hom. Il. 2. p. 287. Rom. distinguit urbem huius nominis in Chersoneso apud Thucydidem, et Strymoniam, et tertiam Pieriam. Idem p. 179. ὅτι δὲ Ἠιὼν δισσυλλάβως καὶ τόπος ἐστὶ Στρυμόνιος καὶ Ἠϊὼν τρισσυλλάβως πόλις ἐν Χερρονήσῳ παρὰ Θουκυδίδῃ, καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ, ὧν οἱ πολῖται Ἠϊονεύς καὶ Ἠϊονίτης, σημαῖνουσιν οἱ παλαιοί, Harpocr. Ἠϊὼν πόλις Θρᾴκης, Μενδαίων ἀποικία, ὡς Θουκυδίδης. Eion huic scriptori semper femininum est, secus ac statuit Matth. §. 93. adn. 1. Vid. Thuc. 4, 7. 50. 102. 106. 107. 108. Altera quaestio est, utrum Ἠιών bisyllabe, an Ἠϊών trisyllabe apud Thuc. scribendum sit. Hoc autumat Eustathius; sine punctis diaereseos ubique Bekk. scribit, iudicio Popponis recte. Et Ἠιόνα sine punctis illis apud Thucydidem 4, 7. habent Aug. It. et „apud Harpocrationem, ait Popp., in Ἠϊών literarum ordo ī furtivum esse docet. Accedit, quod Cass. F. C. G. [X. Z. a. Arn.] Ἠόνα exarant.“ Adde quod Lycophr. apud Scholiastam Thucyd. nomen urbis item bisyllabe habet, item litera ī plane omissa. De expugnatione Eionis v. Herodot. 7, 107. Plut. V. Cim. 7. Pausan. 8, 8, 5. Diod. 11, 60. Aeschin. c. Ctesiph. p. 572. Reisk. Statim τὴν ἐπὶ Στρυμόνι addit scriptor. Quippe alia Eion erat praeter Strymoniam. Schol. ὅτι δύο Ἠϊόνες εἰσὶν ἐν τῇ Θρᾴκῃ· ἀλλ' ἡ μὲν λιμὴν τῆς Ἀμφιπόλεως ἐστὶ, περὶ ἧς νῦν λέγει, ἡ δὲ (4, 7.) ἄλλη πόλις. Ἀνεόφρων· „τὸν μὲν γὰρ Ἰὼν Στρυμόνος Βισαλτία.“ Alteram Eiona in Chalcidice sitam, coloniam Mendaeorum memorari a Thucydide 4, 7., et hanc appellari Ἠϊόνα ἐπὶ Θρᾴκης, iniuria tamen Eustathium aliam Eiona Pieriam, aliam Strymoniam esse velle, Ot. Muell. De Maced. p. 26. adn. existimat, nam quae Pieria recentius dicta sit, eam terram hac parte quondam ad Strymonem pertinuisse. Contra ea Popp. negat, a Muellero comprobari posse, Eiona, coloniam Mendaeorum, in Chalcidice sitam fuisse, additque, Pieriam Eiona a Strymonia non solum per Eustathium, sed etiam per Stephanum Byz. disertis verbis discerni. Idem ponit, Eiona Strymoniam et τὴν ἐπὶ Θρᾴκης, Mendaeorum coloniam, non easdem urbes fuisse, quippe Strymoniam emporium maritimum Atheniensium, ad Strymonis ostia et in Thraciae finibus sitam, 25 stadiis ab Amphipoli remotam (Thuc. 4, 102.) fuisse; at alteram τὴν ἐπὶ Θρᾴκης, non diversam ab Eione Pieria, quippe sitam in Pieria prope fines Bottiaeorum et Chalcidensium, Mendaeorum coloniam fuisse. v. Popp. 1, 2. p. 350 sq. Ut paucis repetam: Eustath. et Steph. Byz. ponunt Eona Strymoniam — Eiona in Chersoneso — Eiona Pieriam; Ot. Muell. posuit Eiona in Chalcidice, Mendaeorum coloniam et Eiona Strymoniam sive Pieriam; Popp. et Schol. Thuc. ponunt Eiona Strymoniam, Atheniensium coloniam (Thuc. 1, 98. 4, 102.) et Eiona Pieriam, Mendaeorum coloniam (Thuc. 4, 7.). Mox de Scyro v. Diod. 11, 68. ibique Wess. Wachsm. Antt. Gr. 1, 1. p. 46, 20. 21., de Naxiis Arist. Vesp. 354., qui tamen falsa veris miscet.

πρώτη — αὕτη πόλις] i. e. αὕτη ἐγένετο πρώτη πόλις, ἣ ἐδουλώθη. Pronomen subiecti loco est, non illud arte iungendum cum πόλις, et propterea articulo caret. Minus recte de h. l. iudicat Blum. De nonnull. loc. Thuc. p. 4. Mox verba παρὰ τὸ καθεστηκός Schol. explicat: παρὰ τὸ νόμιμον καὶ πρέπον· ἐλεύθεροι γὰρ ἦσαν οἱ Ἕλληνες τότε. Et ἐδουλώθη intellige *subacta est* sive libertatem (αὐτονομίαν) perdidit. Vid. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 439 sq. 440. adn. Conf. Thuc. 6, 76. Xen. H. Gr. 4, 8, 2. Aliud est δουλωσις, aliud ἀνδραποδισμός s. venditio in servitutem.

99. ἔκδειαι] i. e. die Nichtleistung der abzutragenden Abgaben und Nichtstellung der zu liefernden Schiffe. Aliud est ἔνδεια, inopia. Paulo post quam rem λειποστράτιον, eandem rem Herodot. 5, 27. et

στρατηγοῦντος. ἔπειτα Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν καὶ ᾤκισαν αὐτοί. πρὸς δὲ Καρυστίους αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο, καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν. Ναξίοις δὲ ἀποστᾶσι μετὰ ταῦτα ἐπολέμησαν καὶ πολιορκίᾳ παρεστήσαντο. πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεστηκὸς ἐδουλώθη, ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάστη ξυνέβη. αἰτίαι δὲ ἄλλαι τε ἦσαν 99 τῶν ἀποστάσεων καὶ μέγισται αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι καὶ λειποστράτιον εἴ τῳ ἐγένετο. οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον καὶ λυπηροὶ ἦσαν οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας· ἦσαν δέ πως καὶ ἄλλως οἱ Ἀθηναῖοι οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες, καὶ οὔτε ξυνεστράτευον ἀπὸ τοῦ ἴσου ῥᾴδιόν τε προσάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφισταμένους. ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι· διὰ γὰρ τὴν ἀπόκνησιν ταύτην τῶν στρατειῶν οἱ πλείους αὐτῶν, ἵνα μὴ ἀπ' οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἐκνούμενον ἀνάλωμα φέρειν, καὶ τοῖς μὲν Ἀθηναίοις ἠύξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης ἣν ἐκεῖνοι ξυμφέροιεν, αὐτοὶ δὲ ὁπότε ἀποσταῖεν, ἀπαράσκευοι καὶ ἄπειροι ἐς τὸν πόλεμον καθίσταντο.

100 Ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων καὶ διέφθειραν τὰς πάσας ἐς διακοσίας. χρόνῳ τε ὕστερον ξυνέβη Θασίους αὐτῶν ἀποστῆναι διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θράκῃ ἐμπορίων καὶ τοῦ μετάλλου ἃ ἐνέμοντο. καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι ναυμαχίᾳ ἐκράτησαν καὶ ἐς τὴν γῆν ἀπέβησαν, ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους, ὡς οἰκιοῦντες τὰς τότε καλουμένας Ἐννέα ὁδοὺς νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν, ἃς εἶχον Ἠδωνοί, προελθόντες δὲ τῆς Θράκης ἐς με-

ipse Thuc. 6, 76. λειποστρατίαν dixere. His vocibus indicatur, socios neglexisse definitum pro rata numerum militum mittere (ihr Contingent zu stellen). Rem explicat Plut. V. Cim. 11., qui pro λειποστράτιον ἐγένετο dixit: ἄνδρας οὐκ ἀπέστελλον. De λειποστρατῶ v. porro Polluc. 8, 40. Aliud est ἀστρατεία in iure Attico, quam vocem Schoem. et Meier. Att. Proz. p. 364. interpretantur: Entziehung von der Militärpflichtigkeit ganz oder zum Theil. Ἀστρατεία singulorum civium, λειποστράτιον sive λειποστρατία totarum civitatum est. Mox τὸ ἐκνούμενον ἀνάλωμα est: der auf einen Jeden kommende Theil der Kosten, die Quote zum Beitrag der Kosten.

100. τὰς πάσας] i. e. in Allen. v. Herm. ad Vig. p. 727, 94. Matth. p. 549.

ἐς τὰς διακοσίας] Reg. (G.) H. Vat. It. Ven. Delendus est articulus. „Pro vero habemus, quod Krueg. Commentt. Thuc. p. 303. dixit, talia, qualia apud alios ubique obvia, velut apud Xen. H. Gr. 3, 2, 4. ἀμφὶ τοὺς πενιεκαίδεκα etc., plane a Thucydidis dictione abhorrere. Dat hic numeros non certos, quippe non certa computatione effectos, sed latine adiecta voce *circiter* efferendos adhibitis praepositionibus ἐς — ὑπέρ, adverbiis ὡς — οἷον — ἐγγύτατα, plerumque autem tum adiecto μάλιστα, tum ἐς vel περί et μάλιστα iunctis. Nusquam tamen in talibus articulum redundanter additum reperio, cui apud alios, certe et praecipue post ἀμφί, haud raro etiam post πλείων et ἐλάττων locus esse videtur." Blum. de loc. nonnull. Thuc. p. 16 sq. Mox de Emporiis Thasiorum in Thracia v. Boeckh. Staatsh. d. Ath. 1. p. 334 sq.

Ἀθηναῖοι πέμψαντες — προελθόντες] Nominativum πέμψαντες Haack. putat positum esse pro πεμψάντων, quia aliud subiectum sit in hoc nominativo, aliud in προελθόντες. At vel sic difficultas restaret, quia etiam οἰκοῦντες mutandum esset in οἰκούντων, et αὐτοὶ ἐκράτησαν in οἱ πεμφθέντες ἐκράτησαν. Nimirum huius loci eadem ratio est, quae multorum, partim in superioribus memoratorum. Incipit scriptor a subiecto plures comprehendente, ut hic ab Atheniensibus et in eadem constructione manet, quamquam post mutato subiecto, dummodo hoc novum subiectum ex parte insit in illo subiecto plures comprehendente. Sic qui ἐκράτησαν non erant Athenienses illi, qui colonos miserant, sed tamen pars eorum, quippe Athenienses et ipsi. v. Matth. p. 1109. adn. Krueg. De authent. Anab. p. 48. adn. Mox pro Ἠδωνοί alibi semper Ἤδωνες seu Ἠδῶνες ap. Thucydidem reperiri Popp. monuit.

σόγειαν διεφθάρησαν ἐν Δραβήσκῳ τῇ Ἡδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον. Θάσιοι δὲ νικηθέντες μάχαις καὶ πολιορκούμενοι 101

ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων] Haec si ita interpreteris *a Thracibus universis, quibus, si incoleretur, id oppidum infestum erat* i. e. a Thracibus universis, qui iungebantur ad coloniam eam evertendam, quae sedem figere vellet Amphipoli, obstat vox ξυμπάντων. Sic enim „duae explicationes diversae miscentur. Nam prius de *iis Thracibus omnibus, qui Amphipolin condi aegre ferebant*, ideoque de aliquot Thracum nationibus, postea de *cunctis Thracibus* i. e. de universis Thraciae populis vox ξυμπάντων intelligitur. Posteriorem explicationem ipsa vox ξυμπάντων commendat. At Thraces ex plurimis iisdemque diversis populis, inter se seiunctis et plerumque hostilibus, constantes, *cunctos* societatem inisse non probabile est. Accedit quod Athenienses ab Edonis, uno Thraciae populo, trucidatos esse affirmant Herodot. 9, 75. Diod. et Pausan. 1, 29, 4." Popp. Si ξυμβάντων legis pro ξυμπάντων, occurritur a Poppone, ξυμβαίνειν esse *compositionem* sive *pactionem facere*, non *societatem*. Respondeas tamen: Quid, si aut σπεισαμένων aut ξυνομοσάντων Thuc. scripsisset, num alius sensus foret, quam in ξυμβάντων aut ille sensus non bonus? Sed si cum Mehlhornio convertas: *a Thracibus qui conferti* (in Masse) *accurrebant*, et illa testimonia historicorum repugnant, et demonstrandum erit, ξυμπάντων poni posse pro ἀθρόων ἐπελθόντων, et οἷς apte dictum esse pro οἷς δή, οἷς γε. Restant duae coniecturae, altera Heilmanni, legentis ξυσιάντων, hoc sensu *a Thracibus, qui arma subito sumserant* coll. 6, 21., contra quam coniecturam quod Gottl. protulit, id flocci faciendum. Altera Popponis, legentis ξύμπαντες pro ξυμπάντων. Pro hac plura pugnant. Primum Diod. 11, 70. αὐτῶν (Athenienses dicit) ἀναβάντων εἰς Θρᾴκην, συνέβη πάντας τοὺς εἰσβαλόντας εἰς τὴν χώραν τῶν Θρᾳκῶν ὑπὸ τῶν Ἠδωνῶν καλουμένων διαφθαρῆναι. Atque decem millia, qui erat universus numerus colonorum in hanc regionem missorum, perisse etiam Isocr. de Pac. 29. (ubi ex libro Urbinate scribendum est ἐν Λάτῳ δέ) testatur. Denique Valla convertit: *Sed progressi in mediterranea Thraciae, ab ipsis Thracibus, quibus infestum erat id oppidum, si incoleretur, apud Drabescum Edonicam omnes sunt intercepti.* Denique ξύμπαντες in ξυμπάντων Popponi transisse videtur, quia pron. relativum statim rursus ad Thraces refertur. Thuc., ubi iterum horum Atheniensium meminit (4, 102.) simpliciter scribit ἐφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν.

101. μάχαις] Unius tantum pugnae navalis mentionem facit Thuc. c. 100. et Plut. V. Cim. 14. Quare Bloomf. dubitat, num scriptura librorum Gr. (qui tamen pluralem habet suprascriptum) D. I. Laur. E. Mosqu. Ar. Chr. Dan. μάχῃ praeferenda sit. Mox de Helotis v. Ot. Muell. Dor. 2. p. 33 sqq. per totum c. 3. Wachsm. Antt. Gr. 1, 1. p. 168 sq. 219 sq. C. Fr. Herm. Antt. Gr. p. 42. §. 19., de Perioecis Ot. Muell. Dor. 2. p. 21 sqq. 190. 208. 243. Deinde nomen Θουριᾶται Bred. et Mans. Spart. 1. p. 378. male in Θυρεᾶται mutatum volunt. Thyreatae enim in confiniis Laconiae et Argolidis habitantes Ithomen fugere non potuissent. Mox pro vulgata Αἰθεεῖς ex Steph. Byz. s. v. Αἰθαία reposuerunt Αἰθαιῆς. Aethaea una erat ex centum urbibus Perioecorum. De Thuria, Aethaea et in universum illis centum urbibus v. Pausan. 4, 31. Strab. p. 552. Alm. Polyb. 25, 1. Conf. Ot. Muell. Dor. 2. p. 455. et ibidem p. 23. 47., qui tamen ex Stephano Byz. pro Philochoro falso Androtionem in Atthide prodit. Mox τότε accipiendum *illo tempore* h. e. *insigni, noto omnibus*, ut docet Wolf. ad Demosth. Lept. p. 264. ed. pr.

Λακεδαιμονίους ἐπεκαλοῦντο καὶ ἐπαμῦναι ἐκέλευον ἐσβαλόντας ἐς τὴν Ἀττικήν. οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων καὶ ἔμελλον, διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, ἐν ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν περιοίκων Θουριᾶταί τε καὶ Αἰθαιῆς ἐς Ἰθώμην ἀπέστησαν. πλεῖστοι δὲ τῶν Εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν Μεσσηνίων τότε δουλωθέντων ἀπόγονοι. ἧ καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει Λακεδαιμονίοις· Θάσιοι δὲ τρίτῳ ἔτει πολιορκούμενοι ὡμολόγησαν Ἀθηναίοις τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι καὶ τὸ λοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ
102 τὸ μέταλλον ἀφέντες. Λακεδαιμόνιοι δέ, ὡς αὐτοῖς πρὸς τοὺς

πόλεμος καθειστήκει] Hoc bellum appellare solemus Messenium tertium, de quo v. Ot. Muell. Dor. 1. p. 189 sqq. Gestum est Ol. 78, 4. (465.) Defecerunt multi Helotae, excitati fortasse illo scelere, quod paulo ante Spartani in supplicibus Taenari commiserant (Thuc. 1, 128.); defecerunt ante omnes veteres incolae Messeniae et Perioecorum duae urbes. Hi omnes promiscue Messenii appellati sunt. Decimo demum anno, Ol. 81, 2. (456.) Ithome ex partione Spartanis tradita est, eo enim seditiosi se receperant. (v. Mans. Spart. 1, 1. p. 378.) Ot. Muell. Dor. 2. p. 47 sq. reprehendit Plutarchum Cim. 16. Lyc. 28., Diodorum 11, 53 sq., quod Helotas a Messeniis distinguant. „Iure reprehendit, ait Popp., nam si illi scriptores non omnes Helotas, qui defecerunt, Messeniorum posteros fuisse significare volebant, saltem *Εἵλωτες καὶ μάλιστα ὅσοι αὐτῶν Μεσσήνιοι τὸ γένος ἦσαν*, aut *Μεσσήνιοι μετ' ἄλλων (τινῶν) Εἱλώτων* scribere debebant. Sed Pausan. 3, 11, 6, et 4, 24. 2. solos eos Helotas, qui ex Messeniis orti essent, descivisse claris verbis affirmat. Verba autem Thucydidis minus perspicua sunt, quum et plurimos universorum Helotarum, et suppleto ex superioribus *τῶν ἀποστάντων*, plurimos eorum Helotarum, qui tunc rebellaverint, Messenios fuisse indicare possint. Posterius tamen praeferendum propter verba *ἧ καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες*. Nam omnes Helotas Messeniorum nomine appellatos esse vix crediderim, quum potius Messenii Helotarum et conditionem et saepe etiam nomen induerint; sed Helotas, qui tunc arma ceperunt, plerumque Messenios et ipsum hoc bellum Messeniacum tertium nominatum esse certissimum est.“

χρήματα — ταξάμενοι φέρειν] i. e. *χρήματά τε ταξάμενοι ὅσα ἔδει ἀποδοῦναι αὐτίκα, καὶ τὸ λοιπὸν φέρειν, quumque compositionem fecissent de pensionibus*, (nachdem sie sich hatten Fristen setzen lassen) *quas pecunias et in praesentia numerari, et in posterum solvi oporteret.* Conf. c. 117. extr. *χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους* (fristenweise) *ταξάμενοι ἀποδοῦναι*. Unde simul patet, haec verba de sumtibus bellicis compensandis intelligenda esse. Probabile enim est, non aliter Thasios, quam Samios (c. 117.) habitos esse. Solutio autem ista pecuniae quum cessaret, quamprimum illi sumtus compensati erant, non potest locum habere altera interpretatio, quam Popp. proponit: *quum spopondissent, se pecunias, quas oporteret, et statim numeraturos et in posterum persoluturos.* Id enim tributum fuisset continue pendendum, non facti damni pensatio.

102. Schol. *Ἀρχὴ τῆς διαφορᾶς τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων κατὰ τὸν Ἀριστείδην* (or. Leuctr. 2. p. 157. Iebb.) „Credibile

ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους καὶ Ἀθηναίους· οἱ δ' ἦλθον Κίμωνος στρατηγοῦντος πλήθει οὐκ ὀλίγῳ. μάλιστα δ' αὐτοὺς ἐπεκαλέσαντο ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι, τοῖς δὲ πολιορκίας μακρᾶς καθεστηκυίας τούτου ἐνδεᾶ ἐφαίνετο· βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον. καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατείας πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο. οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, δείσαντες τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιίαν καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι μή τι ἢν παραμείνωσιν ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες, εἰπόντες δὲ ὅτι οὐδὲν προσδέονται αὐτῶν ἔτι. οἱ δ' Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι, ἀλλά τινος ὑπόπτου γενομένου, καὶ δεινὸν ποιησάμενοι καὶ οὐκ ἀξιώσαντες ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν,

est, Spartanos Atheniensibus iam propter Thasios iratos fuisse.“ Ot. Muell. Dor. 1. p. 190, 4.

πλήθει οὐκ ὀλίγῳ] Arist. Lysistr. 1143. quater mille graviter armatos Atheniensium missos esse memoriae prodidit, itidemque Aristid. 1. p. 404. 2. p. 55. Inerant in exercitu foederato Spartanorum etiam Aeginetae et Plataeenses. v. Ot. Muell. l. c., adde Mantinenses, teste Xen. H. Gr. 5, 2, 3. Bis Athenienses Lacedaemoniis auxilio venisse, cum Plutarcho V. Cim. 16. 17. et Clintone Herm. opuscc. 6, 2. p. 178. statuit. Mox *τειχομαχεῖν* dixeris *scientiam oppugnationis* cum Caesare B. G. 7, 29.

τοῖς δὲ — τὸ χωρίον] i. e. *τοῖς δὲ* (Atheniensibus) *πολιορκίας μακρᾶς καθεστηκυίας τούτου* (*τοῦ τειχομαχεῖν*) *ἐνδεᾶ ἐφαίνετο*. Nisi Athenienses artis oppugnandi parum periti fuissent, Ithomen vi i. e. hac ipsa arte capere potuissent. *Βία* enim nihil aliud est, nisi *τὸ τειχομαχεῖν*, quare paulo post adiicit: *ἐπειδὴ τὸ χωρίον βίᾳ* i. e. *τῷ τειχομαχεῖν οὐχ ἡλίσκετο* ab Atheniensibus etc. Praeter *βίαν* sive *τὸ τειχομαχεῖν* aliae sunt rationes oppida expugnandi, ut *ἀπορία, λιμός*, sitis, quibus ipsis (ut Haack. adnotavit) hic *ἡ βία* ex adverso ponitur, dum dicit *βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον*. Plene sententia sic efferri poterat: *εἰ γὰρ μὴ ἐνδεᾶ τοῦ τειχομαχεῖν ἐφαίνετο, βίᾳ ἂν εἷλον τὸ χωρίον*. Vocabulum *ἐνδεᾶ* plurali neutrius usurpatum est non secus, quam alibi in *πλῶϊμα ἐγένετο — φαίνεται ὑποδεέστερα — ἑτοῖμα ἦν* et similibus. Voce autem *ἐνδεές* non significatur *id, quod opus est*, sed *id, quod concepta opinione et exspectatione deterius est* (was hinter eines Erwartung zurücksteht), ut c. 10. Plurimi libri pro *τοῖς δέ* offerunt *τῆς δέ*, quod primus Gottl. recepit, et articulum *τῆς* Haack. necessarium esse dixit; at *τῆς δέ* mihi videtur genitivo proxime insequenti deberi, et sensus hic esse: da *eine* lange Belagerung daraus wurde, ut Krueg. vidit. „Ita saepe, ait, ubi de re certa et iam memorata loquuntur, scriptores adiiciunt *κατορθῶς γενομένης μάχης — ναυμαχίας* i. e. da eine hartnäckige Schlacht — Seeschlacht daraus wurde.“ Et apte confert Polyb. 1, 17, 9. *πολιορκίας χρονίου προφαινομένης*.

οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ] i. e. nicht aus dem ehrenvolleren Grunde, den sie angaben. Mox aoristus vice plusquamperfecti fungitur. v. Matth. p. 939. init. deinde *ἅμα ἀμφοτέροις* intellige Argivis et Atheniensibus. v. cap. 107. extr. et Ot. Muell. Dor. 1. p. 191.

εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ ξυμμαχίαν πρὸς αὐτοὺς Ἀργείοις τοῖς ἐκείνων πολεμίοις ξύμμαχοι ἐγένοντο, καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ
103 αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη. οἳ δ' ἐν Ἰθώμῃ δεκάτῳ ἔτει, ὡς οὐκέτι ἐδύναντο ἀντέχειν, ξυνέβησαν πρὸς τοὺς Λακεδαιμονίους ἐφ' ᾧ τε ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς· ἢν δέ τις ἁλίσκηται, τοῦ λαβόντος εἶναι δοῦλον· ἦν δέ τι καὶ χρηστήριον τοῖς Λακεδαιμονίοις Πυθικὸν πρὸ τοῦ τὸν ἱκέτην τοῦ Διὸς τοῦ Ἰθωμήτα ἀφιέναι. ἐξῆλθον δὲ αὐτοὶ καὶ παῖδες καὶ γυναῖκες, καὶ αὐτοὺς Ἀθηναῖοι δεξάμενοι κατὰ ἔχθος ἤδη τὸ Λακεδαιμονίων ἐς Ναύπακτον κατῴκισαν, ἣν ἔτυχον ἡρηκότες νεωστὶ Λοκρῶν τῶν Ὀζολῶν ἐχόντων. προσεχώρησαν δὲ καὶ Μεγαρῆς Ἀθηναίοις ἐς ξυμμαχίαν Λακεδαιμονίων ἀποστάντες, ὅτι αὐτοὺς Κορίνθιοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον. καὶ ἔσχον Ἀθηναῖοι Μέγαρα καὶ Πηγάς, καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν Μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς Νίσαιαν καὶ ἐφρούρουν αὐτοί. καὶ Κορινθίοις μὲν οὐχ ἥκιστα ἀπὸ τοῦδε τὸ σφοδρὸν μῖσος ἤρξατο πρῶτον ἐς Ἀθηναίους γενέσθαι.

104 Ἰνάρως δὲ ὁ Ψαμμητίχου Λίβυς βασιλεὺς Λιβύων τῶν πρὸς Αἰγύπτῳ ὁρμώμενος ἐκ Μαρείας τῆς ὑπὲρ Φάρου πόλεως ἀπέστησεν Αἰγύπτου τὰ πλέω ἀπὸ βασιλέως Ἀρταξέρξου, καὶ αὐτὸς ἄρχων γενόμενος Ἀθηναίους ἐπηγάγετο. οἱ δέ, ἔτυχον γὰρ ἐς Κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων, ἦλθον ἀπολιπόντες τὴν Κύπρον, καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν Νεῖλον, τοῦ τε ποταμοῦ κρατοῦντες καὶ τῆς Μέμφιδος τῶν δύο μερῶν πρὸς τὸ τρίτον μέρος

103. ἐφ' ᾧ τε] *hac lege, ut.* v. Matth. p. 895. a. De re ipsa conf. Pausan. 4, 24. 2. 3. 10, 38, 5. Diod. 11, 84. Isocr. Panath. 35. Ot. Muell. ibid. p. 190 sq.

104. Ἰνάρως] De Inaro et defectione Aegypti conf. Aristid. 2. p. 156 sqq. Schol. Arist. Plut. 178. Vesp. 716. coll. Meiero. De bon. damn. p. 78. adn. 257. Herodot. 7, 7. et Wessel. ibid. ad 3, 15. Fusius bellum Inari exponit Ley De fat. et condit. Aegypt. sub regib. Pers. p. 13. 50 sq. Gestum est ab anno 463—456. Vid. ibidem p. 34. nr. 8. p. 42. Mox ad expeditionem Cypriam pertinet nobilis inscriptio ap. Boeckh. C. I. Vol. 1, p. 292 sq. Deinde „in *Castris Albis* Memphide principia castrorum Persarum militum, Aegyptum obtinentium, erant. Hinc emittebantur cohortes ad tuendos fines austro et orienti subiectos, quae in castellis Elephantinae insulae et Pelusii suam utraeque stationem habebant. Tempore Herodoti tota armorum Persicorum vis, et natu Persarum et militum in provinciis conscriptorum 120,000 militum fuisse putatur. Nescio an post defectionem Inari copiae militares auctae sint. v. Herodot. 2, 30. 3, 91." Arn. Ley. 1. c. p. 18. 54. nr. 19. negat, ea stata praesidia fuisse, sed ea belli causa, etiam post Inari obitum in Aegypto aliquamdiu moventis, extra ordinem tam magna fuisse, nedum post Inari defectionem aucta sint. Mox de collocatione genitivi *Περσῶν* ante participium cum articulo *οἱ* v. Matth. p. 566.

ὃ καλεῖται Λευκὸν τεῖχος ἐπολέμουν. ἐνῆσαν δὲ αὐτόθι Περσῶν καὶ Μήδων οἱ καταφυγόντες καὶ Αἰγυπτίων οἱ μὴ ξυναποστάντες.

Ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς Ἁλιᾶς πρὸς Κορινθίους 105
καὶ Ἐπιδαυρίους μάχη ἐγένετο, καὶ ἐνίκων Κορίνθιοι· καὶ ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ Πελοποννησίων ναυσί, καὶ ἐνίκων Ἀθηναῖοι. πολέμου δὲ καταστάντος πρὸς Αἰγινήτας Ἀθηναίοις μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ' Αἰγίνῃ μεγάλη Ἀθηναίων καὶ Αἰγινητῶν, καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν, καὶ ἐνίκων Ἀθηναῖοι καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν ἐς τὴν γῆν ἀπέβησαν καὶ ἐπολιόρκουν Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος. ἔπειτα Πελοποννήσιοι ἀμύνειν βουλόμενοι Αἰγινήταις ἐς μὲν τὴν Αἴγιναν τριακοσίους ὁπλίτας πρότερον Κορινθίων καὶ Ἐπιδαυρίων ἐπικούρους διεβίβασαν, τὰ δὲ ἄκρα τῆς Γερανείας κατέλαβον καὶ ἐς τὴν Μεγαρίδα κατέβησαν Κορίνθιοι μετὰ τῶν ξυμμάχων, νομίζοντες ἀδυνάτους ἔσεσθαι Ἀθηναίους βοηθεῖν τοῖς Μεγαρεῦσιν ἔν τε Αἰγίνῃ ἀπούσης στρατιᾶς πολλῆς καὶ ἐν Αἰγύπτῳ· ἦν δὲ καὶ βοηθῶ-

105. Ἁλιᾶς] ita Popp. scripsit pro Ἁλιάς, quod in libris edd. et script. est. Nomen incolarum, qui Ἁλιεῖς Straboni et aliis vocantur, pro nomine regionis positum dicit, quae Ἁλιάς, ἄδος appellatur 2, 56. 4, 45., ut urbs ipsa Halice non Ἅλιαί. Adde Meinek. in adn. ad lectionem Porson. Aeschyli in ed. Aeschyli ap. Teubn. (Lips. 1827.) p. IV. adn. Firmatur emendatio inscr. supra memorata, ubi est *ΕΝΑΛΙΕΥΣΙΝ*. Nomen est populi, qui Arnoldo sedes habuisse videtur in ora Argolidis inde ab Hermione circum promontorium Scyllaeum usque ad vicina Troezenis, quemque probabile est per pagos sparsum vixisse. Deinde nomen populi Haliensium traductum est ad oppidum, in quod ex variis pagis collati migrabant. Plurali nomine populi Ἁλιέων usus est etiam Xen. H. Gr. 6, 2, 3.

πρὸς Κορινθίους] Schol. διὰ τὴν ἀπόστασιν τῶν Ἐπιδαυρίων πρὸς Κορινθίους. Epidaurios prius Atheniensium socios fuisse nec verisimile est, neque ullo testimonio constat. Popponi bellum, ab Atheniensibus contra Corinthios et Epidaurios gestum, exortum videtur ex Megarensium et Corinthiorum rixis, et Megarensium ad Athenienses defectione. Vid. c. 103. De pugna Haliensi v. Ot. Muell. Aeginet. p. 176. Idem dubitat de fide historica scriptoris in pugna ad Cecryphaliam narranda, usus loco Stephani Byz. in v. Κεκρυφάλεια, ubi haec sunt: ἄκρα τις, περὶ ἣν ἐνίκησαν Αἰγινῆται Ἀθηναίους. Contra Muellerum disputat Krueg. in Jahn. Neu. Arch. für Philol. etc. 1. 3. p. 83. Stephani verba corrigi vult ex Thuc. Bloomf. Mox belli Aeginetarum cum Atheniensibus causam aperit Diod. 11, 78. coll. Lys. Or. funebr. p. 108 sq. De Leocrate v. Plut. V. Aristid. 20. De Geranea montibus, per quos via ex Peloponneso per Megaram in Atticam patebat v. eximiam expositionem Reinganumii Megar. p. 92 sqq. Patebant illa iuga inde a Tripodisco usque ad Olmias apud sinum Crissaeum. Conf. Wachsm. Antt. Gr. 1, 1. p. 299. De verbis *οἱ πρεσβύταται καὶ οἱ νεώτατοι* v. C. Fr. Herm. Antt. Gr. p. 292, 12. Wachsm. 2, 1. p. 395 sq. De Myronide Herm. p. 305, 6. et Wachsm. 1, 2. p. 62. Mox κακιζόμενοι Schol. explicat per ψεγόμενοι, ὅτι νέοι ὄντες ὑπὸ γερόντων ἠττήθησαν.

σιν, ἀπ' Αἰγίνης ἀναστήσεσθαι αὐτούς, οἱ δὲ Ἀθηναῖοι τὸ μὲν πρὸς Αἰγίνῃ στράτευμα οὐκ ἐκίνησαν, τῶν δ' ἐκ τῆς πόλεως ὑπολοίπων οἵ τε πρεσβύτατοι καὶ οἱ νεώτατοι ἀφικνοῦνται ἐς τὰ Μέγαρα Μυρωνίδου στρατηγοῦντος. καὶ μάχης γενομένης ἰσορρόπου πρὸς Κορινθίους διεκρίθησαν ἀπ' ἀλλήλων καὶ ἐνόμισαν αὐτοὶ ἑκάτεροι οὐκ ἔλασσον ἔχειν ἐν τῷ ἔργῳ. καὶ οἱ μὲν Ἀθηναῖοι, ἐκράτησαν γὰρ ὅμως μᾶλλον, ἀπελθόντων τῶν Κορινθίων τροπαῖον ἔστησαν· οἱ δὲ Κορίνθιοι κακιζόμενοι ὑπὸ τῶν ἐν τῇ πόλει πρεσβυτέρων καὶ παρασκευασάμενοι ἡμέρας ὕστερον δώδεκα μάλιστα ἐλθόντες ἀνθίστασαν τροπαῖον καὶ αὐτοὶ ὡς νικήσαντες. καὶ οἱ Ἀθηναῖοι ἐκβοηθήσαντες ἐκ τῶν Μεγάρων τούς τε τὸ τροπαῖον ἱστάντας διαφθείρουσι καὶ
106 τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν. οἱ δὲ νικώμενοι ὑπεχώρουν, καί τι αὐτῶν μέρος οὐκ ὀλίγον προσβιασθὲν καὶ διαμαρτὸν τῆς ὁδοῦ ἐσέπεσεν ἔς του χωρίον ἰδιώτου ᾧ ἔτυχεν ὄρυγμα μέγα περιεῖργον καὶ οὐκ ἦν ἔξοδος. οἱ δὲ Ἀθηναῖοι γνόντες κατὰ πρόσωπόν τε εἶργον τοῖς ὁπλίταις καὶ περιστήσαντες κύκλῳ τοὺς ψιλοὺς κατέλευσαν πάντας τοὺς ἐσελθόντας, καὶ πάθος μέγα τοῦτο Κορινθίοις ἐγένετο. τὸ δὲ πλῆθος ἀπεχώρησεν αὐτοῖς τῆς στρατιᾶς ἐπ' οἶκου.

107 Ἤρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη ἐς θάλασσαν Ἀθηναῖοι οἰκοδομεῖν, τό τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιᾶ. καὶ Φωκέων στρατευσάντων ἐς Δωριᾶς τὴν Λακεδαιμονίων μητρόπολιν Βοιὸν καὶ Κυτίνιον καὶ Ἐρινεὸν καὶ ἑλόντων ἓν τῶν πολισμάτων τούτων, οἱ Λακεδαιμόνιοι Νικομήδους

106. *ἔς του — ἰδιώτου*] i. e. *ἔς του ἰδιώτου χωρίον*. v. Matth. p. 567. adn. 4. Mox supple *ᾧ ἔτυχεν ὄρυγμα περιεῖργον αὐτό*. Et *κατέλευσαν* fundis sc. Deinde Reg. habet *ἀπεχώρησαν*. „Thucydidis nomina collectivorum et pluralis numeri verba copulantis quatuor exempla attulit Matth. §. 302., ex quibus unum est nominis *πλῆθος*, quod cum plurali redit c. 125. Praeterea apud eum legimus 4, 128. *ἡ στρατιὰ ἐπορεύοντο* 4, 112. *ὁ δὲ ἄλλος ὅμιλος ἐσκεδάννυντο*. conf. 6, 32. Porro 6, 35. *ὁ δῆμος ἐν ἔριδι ἦσαν*. Denique, ut hic, in uno tantum libro pluralis est 2, 18. *ὁ στρατὸς εἶχεν* [At ibi Ar. Chr. *εἶχον*.]. Participium articulo carens si ad verbum accedit, ambo aut in singulari, aut in plurali ponuntur. Nam 4, 100. vulgatam *τὸ πλῆθος, ἐς τὰς ναῦς ἐσβὰν, ἀπεκομίσθησαν* e plurimis libris correximus. Multo minus ferri poterat vulgata c. 112. *τὸν στρατὸν ἐμβοήσαντάς τε ἀθρόον καὶ παρασχόνιας*. Denique 7, 34. cum Vat. *προσβεβοηθηκώς* legimus.“ Popp.

107. *ἐς Δωριᾶς — μητρόπολιν*] De voce *μητρόπολις* iuncta cum nomine gentili v. Matth. p. 795 sq. Mox de repetitis particulis in *καὶ Κυτίνιον καὶ Ἐρινεόν* v. ibid. p. 803. 3. De his locis Dorumque inde profectione v. Ot. Muell. Dor. 1. p. 39 sq. Vulgo de tetrapoli Dorica loquuntur, sed quartam urbem Pindum ignorant cum Thucydide, Diod. Conon aliique, inter hos Andro apud Strab. p. 476. v. C. Fr. Herm. Antt. Gr. p. 37, 7. Mox Nicomedes qui nominatur, *ἐπίτροπος* sive *πρόδικος* Plistoanactis fuit. v. Schneid. ad Xen. H. Gr. 4, 39. conf. Ot. Muell. Dor. 2. p. 101.

τοῦ Κλεομβρότου ὑπὲρ Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως νέου ὄντος ἔτι ἡγουμένου ἐβοήθησαν τοῖς Δωριεῦσιν ἑαυτῶν τε πεντακοσίοις καὶ χιλίοις ὁπλίταις καὶ τῶν ξυμμάχων μυρίοις, καὶ τοὺς Φωκέας ὁμολογίᾳ ἀναγκάσαντες ἀποδοῦναι τὴν πόλιν ἀπεχώρουν πάλιν. καὶ κατὰ θάλασσαν μὲν αὐτούς, διὰ τοῦ Κρισαίου κόλπου εἰ βούλοιντο περαιοῦσθαι, Ἀθηναῖοι ναυσὶ περιπλεύσαντες ἔμελλον κωλύσειν· διὰ δὲ τῆς Γερανείας οὐκ ἀσφαλὲς ἐφαίνετο αὐτοῖς Ἀθηναίων ἐχόντων Μέγαρα καὶ Πηγὰς πορεύεσθαι. δύσοδός τε γὰρ ἡ Γεράνεια καὶ ἐφρουρεῖτο ἀεὶ ὑπὸ Ἀθηναίων· καὶ τότε ἠσθάνοντο αὐτοὺς μέλλοντας καὶ ταύτῃ κωλύσειν. ἔδοξε δ' αὐτοῖς ἐν Βοιωτοῖς περιμείνασι σκέψασθαι ὅτῳ τρόπῳ ἀσφαλέστατα διαπορεύσονται. τὸ δέ τι καὶ ἄνδρες τῶν Ἀθηναίων ἐπῆγον αὐτοὺς κρύφα ἐλπίσαντες δῆμόν τε καταπαύσειν καὶ τὰ μακρὰ τείχη οἰκοδομούμενα. ἐβοήθησαν δὲ ἐπ' αὐτοὺς οἱ Ἀθηναῖοι πανδημεὶ καὶ Ἀργείων χίλιοι καὶ τῶν ἄλλων ξυμμάχων ὡς ἕκαστοι· ξύμπαντες δὲ ἐγένοντο τετρακισχίλιοι καὶ μύριοι. νομίσαντες δὲ ἀπορεῖν ὅπῃ διέλθωσιν ἐπεστράτευσαν αὐτοῖς καί τι καὶ τοῦ δήμου καταλύσεως ὑποψίᾳ. ἦλθον δὲ καὶ Θεσσαλῶν ἵππῆς τοῖς Ἀθηναίοις κατὰ τὸ ξυμμαχικόν, οἳ μετέστησαν ἐν τῷ ἔργῳ παρὰ τοὺς Λακεδαιμονίους. γενομένης δὲ μάχης ἐν Τανάγρᾳ τῆς Βοιωτίας ἐνίκων 108

βασιλέως] Hoc vocabulum redit ad Plistoanactem. Conf. 5, 16. Plut. V. Pericl. 22. Nec tamen infitiari licet, nonnullos scriptores (ut Demosthenem, Aristotelem, Plutarchum, Suidam et Scholiastam Aristoph., quos enumerant Duk. et Popp.) Pausaniae ipsi nomen regium tribuisse, fortasse non eo, quod negligentius scribebant, (quae est Popponis sententia), sed quia invaluerat, Regem appellare eum, qui regiam potestatem reapse exerceret. Is constans mos fuit medio aevo, quia sic fert res et natura, et sic ferebant instituta eorum temporum peculiaria. Minime enim mirum, apud bellicosos populos regio nomine gaudere eos, qui exercitus ducunt, quum praesertim regia dignitas ex hoc ipso ductu orta esset, quemadmodum apud Germanos, ita apud Spartanos. Ut tutores regum Reges et ipsi audirent, hinc etiam apud Spartanos obtinuisse, consentaneum est: certe Plut. V. Lyc. 3. Lycurgum, *πρόδικον* (tutorem) Charilai, *βασιλεῦσαι* dicit octo menses universos, eique regiam potestatem tribuit. Et Thuc. c. 131. aperte Pausaniam *βασιλέα* appellat, quibus addi potest locus c. 132. init., ubi Pausaniam, Plistarchi regis tutorem, dicit *ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα*, ubi *τιμήν* intellige *βασιλείαν*, quae per excellentiam *honos* appellabatur. Vid. Bloomf. ad Aesch. Ag. 42. Mox de ratione modorum in verbis *εἰ βούλοιντο — ἔμελλον* v. Matth. §. 524. 3. extr. p. 1018., ubi simul tenendum, particulam *ἄν* cum *μέλλειν* Graecos non iungere, ut Herm. de part. *ἄν* 1, 12. docet.

δῆμον — καταπαύσειν] v. Ot. Muell. Dor. 1. p. 192. et praecipue Meier De bon. damn. p. 4. adn. 11. Haec gesta sunt Ol. 80, 4. Et „*οἰκοδομούμενα* sine articulo postpositum valet *ἐν ᾧ ᾠκοδομεῖτο* i. e. *τὴν τῶν μακρῶν τειχῶν οἰκοδομίαν*.“ Popp. Mox tertiam causam, ob quam Spartani in Boeotia commorati sint, Popp. addit partionem Lacedaemoniorum et Thebanorum, de qua paulo inferius dicetur.

108. *ἐν Τανάγρᾳ*] Ad Cleonaeos, qui in hac pugna ceciderunt,

Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, καὶ φόνος ἐγένετο ἀμφοτέρων πολύς. καὶ Λακεδαιμόνιοι μὲν ἐς τὴν Μεγαρίδα ἐλθόντες καὶ δενδροτομήσαντες πάλιν ἀπῆλθον ἐπ' οἴκου διὰ Γερανείας καὶ ἰσθμοῦ· Ἀθηναῖοι δὲ δευτέρᾳ καὶ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην ἐστράτευσαν ἐς Βοιωτοὺς Μυρωνίδου στρατηγοῦντος, καὶ μάχῃ ἐν Οἰνοφύτοις τοὺς Βοιωτοὺς νικήσαντες τῆς τε χώρας ἐκράτησαν τῆς Βοιωτίας καὶ Φωκίδος, καὶ Ταναγραίων τὸ τεῖχος περιεῖλον, καὶ Λοκρῶν τῶν Ὀπουντίων ἑκατὸν ἄνδρας

refertur inscr. ap. Boeckh. C. I. Vol. 1. p. 295., ubi v. Boeckh. p. 296. Hanc victoriam Spartani reportarunt societate cum Thebanis inita, quibus Spartani promittere debebant sese principatum Boeotiae recuperaturos. v. Ot. Muell. Dor. 1. p. 191. Boeckh. Explicc. Pind. p. 532. Paulo post Athenienses et Spartani inducias fecerunt in quatuor menses. Post has inducias Athenienses opera usi dicuntur Cimonis exilio revocati ad pacem cum Spartanis faciendam. v. omnino Boeckh. l. c. p. 533 sq., quem fugit fragm. Theopompi ap. Marxium in Ephoreis p. 224. (conf. Creuz. Praef. ad hunc ipsum librum p. XXVII sqq.) De induciis illis quadrimestribus v. Diod. 11, 80. extr. Plut. V. Pericl. 10. Plat. Menex. 13. Rem de illa pace mihi expedivisse feliciter videtur Popp. „Pacem inter utrumque populum *tunc* opera Cimonis post cladem Tanagrensem in patriam revocati convenisse, Plut. non vult docere, quod Boeckh. l. c. p. 534., quamvis ipse de hac pace dubitans, arbitratur. Imo ille scriptor, quod ex rebus, quae statim apud eum narrantur, elucet, ad inducias quinquennales c. 112. respicit omissis iis rebus, quae ad Cimonem nihil pertinent. Neque aliter C. Nep. Cim. 3." Comprobatur hoc locis Andocidis de Pac. p. 23 sq. §. 3. et Aeschinis de Fals. Leg. c. 50. §. 172. (ubi falso dicitur *σπονδαὶ πεντηκονταετεῖς*), quamquam falsa narrantium. Dicunt enim pacem quinquennalem per Miltiadem Cimonis filium conclusam, quum Cimonem Miltiadis filium nominare deberent. De loco Andocidis conf. Manson. Spart. 2. p. 109. 425 sqq. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 127. adn. 432. C. Fr. Herm. Antt. Gr. p. 73, 10.

ἐν Οἰνοφύτοις] v. Ot. Muell. l. c. p. 191 sq. Aristot. Polit. 5, 2, 6. *ἐν Θήβαις μετὰ τὴν ἐν Οἰνοφύτοις μάχην κακῶς πολιτευομένων ἡ δημοκρατία ἐφθάρη*, quae verba Boeckhium, (et qui eum sequitur Muellerum) falso interpretatos esse arguit Popp: *populare imperium, turbidum quidem et inconditum, Thebis institutum esse*, quum *interiisse* illud imperium significent. Conf. Wachsm. Antt. Gr. 1, 2. p. 105, 10.

Λοκρῶν — ἑκατὸν ἄνδρες] Haud dubie ex centum optimatium familiis, ex singulis singulos. Praeerant enim Locris nobiles ex centum familiis, quorum nobilitas ex maioribus muliebribus deducebatur. Vid. Polyb. 12, 5. Boeckh. Explicc. Pind. p. 188. Mox de repetitis articulis in *τά τε τείχη τὰ ἑαυτῶν τὰ μακρά* v. Matth. p. 562. Deinde de subacta per Athenienses Aegina v. Ot. Muell. Dor. 1. p. 191. Id factum Ol. 80, 4. (457.) v. Boeckh. Explicc. Pind. 308. Dissen. ibid. p. 445. „Quum per novem menses obsidionem tolerassent, v. Diod. 11, 78. Quae deditio haud dubie in Ol. 80. annum quartum Calliae Archontis Elaphebolionem fere vel Munychionem mensem incidit." Ot. Muell. Aeginet. p. 179. De Tolmida v. eundem Dor. 1. p. 192. Wachsm. Antt. Gr. 1, 2. p. 62. C. Fr. Herm. Antt. Gr. p. 305, 6. Et Chalcidem, quam mox scriptor nominat, Popp. intelligit urbem Aetoliae, ad sinistram ripam Eueni sitam. De genitivo *τῆς γῆς* post *ἀποβάσει* v. Matth. 681.

ὁμήρους τοὺς πλουσιωτάτους ἔλαβον, τά τε τείχη τὰ ἑαυτῶν τὰ μακρὰ ἐπετέλεσαν. ὡμολόγησαν δὲ καὶ Αἰγινῆται μετὰ ταῦτα τοῖς Ἀθηναίοις τείχη τε περιελόντες καὶ ναῦς παραδόντες φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. καὶ Πελοπόννησον περιέπλευσαν Ἀθηναῖοι Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος· καὶ τὸ νεώριον τὸ Λακεδαιμονίων ἐνέπρησαν καὶ Χαλκίδα Κορινθίων πόλιν εἷλον καὶ Σικυωνίους ἐν ἀποβάσει τῆς γῆς μάχῃ ἐκράτησαν.

Οἱ δὲ ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι ἐπέμενον 109
καὶ αὐτοῖς πολλαὶ ἰδέαι πολέμων κατέστησαν. τὸ μὲν γὰρ πρῶτον ἐκράτουν τῆς Αἰγύπτου Ἀθηναῖοι, καὶ βασιλεὺς πέμπει ἐς Λακεδαίμονα Μεγάβαζον ἄνδρα Πέρσην χρήματα ἔχοντα, ὅπως ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν πεισθέντων τῶν Πελοποννησίων ἀπ' Αἰγύπτου ἀπαγάγοι Ἀθηναίους. ὡς δὲ αὐτῷ οὐ προυχώρει καὶ τὰ χρήματα ἄλλως ἀναλοῦτο, ὁ μὲν Μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν Ἀσίαν ἐκομίσθη, Μεγάβυζον δὲ τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην μετὰ στρατιᾶς πολλῆς· ὃς ἀφικόμενος κατὰ γῆν τούς τε Αἰγυπτίους καὶ τοὺς ξυμμάχους μάχῃ ἐκράτησε καὶ ἐκ τῆς Μέμφιδος ἐξήλασε τοὺς Ἕλληνας καὶ τέλος ἐς Προσωπίτιδα τὴν νῆσον κατέκλησε, καὶ ἐπολιόρκει ἐν αὐτῇ

109. *ὡς οὐ προυχώρει*] v. Matth. §. 295. p. 592. Mox *Μεγάβυζον* editum est ex Schol. Arist. Av. 484. Vulgo *Μεγάβαζον*. Scholiastae illam scripturam agnoscunt Cass. Vat. It. Gr. Laur. Diod. Ctes. Herodot. Favent scripturae per ῡ Aristophanes ipse et Photius Lexicogr. *Μεγάβυζος στρατηγὸς βασιλέως, ἀναπεμφθεὶς εἰς Αἴγυπτον, ὑφ' οὗ ἐνικήθησαν Ἀθηναῖοι.* (Ubi animadverte illud *ἀναπεμφθείς*, quod in Achaemenem magis quadret, quem Diod. 11, 74. et Herodot. 3, 12. 7, 7. dicunt ante Megabyzum Aegyptio bello praefuisse, quemque Herodot. 7, 97. 236. Xerxi adfuisse scribit in Graeca expeditione, idemque 7, 7. *ἐπιτροπεύοντα Αἰγύπτου* ab Inaro interfectum esse narrat. Unde quum Ctesias quoque c. 32. Achaemenem scribat a rege missum esse, Ley De fat. Aegypti etc. p. 50 sq. colligit, Achaemenem non semper in Aegypto mansisse, sed postea remissum esse ab Artaxerxe. Phavorin. *Μεγάβυζος, στρατηλάτης πορθήσας Μέμφιδα. οὗτος σατράπης Λαρείου τὴν Αἴγυπτον εἶλεν, οὗ μνημονεύει Θουκυδίδης ἐν τῷ πρώτῳ.* Conf. Wessel. ad Herodot. 4, 143. „Forma *Μεγάβυζος* necessaria est, quia *Μεγάβαζος, ἀνὴρ Πέρσης*, Lacedaemona legatus et *Μεγάβυζος ὁ Ζωπύρου, ἀνὴρ Πέρσης*, exercitui in Aegyptum mittendo praefectus distinguendi sunt. Quibus si idem nomen esset, etiam priori patris appellatio aut aliud vocabulum, quo ab altero discerneretur, addendum aut hic similia verba ac Levesqu. in interpretatione (*un autre Perse, nommé aussi Megabaze*) expressit, ponenda erant." Popp. De Temporibus harum rerum agit Ley p. 34. nr. 8. Ad verba *ἄνδρα Πέρσην* Schol. adnotavit: *ἀεὶ ὡς τίμιον λαμβάνει τὸ ὄνομα τοῦ Πέρσου.* At hic etiam c. 132. *ἄνδρα Ἀργίλιον* tenuem hominem atque adeo turpem legi, monuit Bau. Conf. Lobeck. in Jahrb. d. wissensch. Kritik 1830. Jul. p. 115. Mox verbum *ἐκράτησε* Thuc. cum accusativo iungere solet, praesertim ubi notionem *vincendi* habet. v. Matth. p. 675. b.

Προσωπίτιδα] Schol. *Προς. ἐκαλεῖτο ἡ νῦν Νικίου.* v. Herodot. 2, 41. 165. Wessel. ad Antonin. Itiner. p. 156. Mox iunge *πεζῇ διαβας εἶλε.*

ἐνιαυτὸν καὶ μῆνας ἓξ μέχρι οὗ ξηράνας τὴν διώρυχα καὶ παρατρέψας ἄλλῃ τὸ ὕδωρ τάς τε ναῦς ἐπὶ τοῦ ξηροῦ ἐποίησε καὶ τῆς νήσου τὰ πολλὰ ἤπειρον, καὶ διαβὰς εἶλε τὴν νῆσον
110 πεξῇ. οὕτω μὲν τὰ τῶν Ἑλλήνων πράγματα ἐφθάρη, ἓξ ἔτη πολεμήσαντα· καὶ ὀλίγοι ἀπὸ πολλῶν πορευόμενοι διὰ τῆς Λιβύης ἐς Κυρήνην ἐσώθησαν, οἱ δὲ πλεῖστοι ἀπώλοντο. Αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλέα ἐγένετο πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν, καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ ἕλειοι. Ἰνάρως δὲ ὁ Λιβύων βασιλεύς ὃς τὰ πάντα ἔπραξε περὶ τῆς Αἰγύπτου, προδοσίᾳ ληφθεὶς ἀνεσταυρώθη. ἐκ δὲ τῶν Ἀθη-

110. *πράγματα — πολεμήσαντα*] Haec verba periphrasin continent pro *οἱ Ἕλληνες πολεμήσαντες*. In eiusmodi periphrasi structura accommodari solet rei, cuius periphrasis facta est: hic quidem voci *Ἑλλήνων* accommodari debebat, ut esset *πράγματα Ἑλλήνων πολεμησάντων*. At non raro accommodatur vocabulo, quod ad periphrasin inservit, ut h. l. voci *πράγματα*. Sic Thuc. rursus 3, 82. *τὰ τῶν πόλεων καὶ τὰ ἐφυστερίζοντά που — ἐπέφερε τὴν ὑπερβολήν* i. e. *καὶ αἱ ἐφυστερίζουσαί που πόλεις ἐπέφερον* etc. Popp. comparavit Pind. Pyth. 1, 139. *ὁ Τυρσανῶν τ' ἀλαλατὸς ὕβριν ἰδὼν τῶν ἀπὸ Κύμας* i. e. *ἰδόντων* et Tacit. 14. Ann. 16. *species carminum non impetu uno fluens.* Quibus adde Hor. 3. Carm. 1, 42. *purpurarum usus sidere clarior.*

οἱ δὲ πλεῖστοι ἀπώλοντο] De damnis Atheniensium in Aegypto v. Wessel. ad Diod. 11, 71. 13, 25. Perizon. ad Ael. V. H. 5, 10. Diod. Athenienses narrat ab Aegyptiis destitutos (nam cum Persis in gratiam redierant) naves concremasse, ductores Persarum, Megabyzum Artabazumque, Graecorum audaciam admiratos, aestimatis etiam cladibus suorum foedus hac conditione cum Atheniensibus fecisse, ut incolumes Aegypto excederent. Athenienses per Africam Cyrenen usque progressos, salvos inde in patriam reversos esse. At secum ipse repugnans 13, 25. Athenienses refert triremes *αὐτάνδρους* amisisse, ex scriptura certe, praeter unum, librorum scriptorum omnium. Diodori narrationem tuetur Ley p. 14. 50. Mox *ὑπὸ βασιλέα* editum est, pro vulgata *ὑπὸ βασιλεῖ*, ex melioribus libris. *Ὑπό* ubi significat alius imperio subiectos, constanter Thuc. cum accusativo habet, aut cum dativo. Conf. Hemsterh. ad Schol. Aristoph. Plut. 287. Deinde *καὶ ἅμα* est pro *καὶ ἅμα ὅτι*, ut 3, 24. 4, 79. 7, 47. coll. 1, 97. v. Matth. p. 1301.

οἱ ἕλειοι] qui in palustribus (*βουκολίοις*) habitabant inter Taniticum et Pelusiacum ostia Nili. Vocatur quoque inferior Aegypti pars *Ἕλος* inclusa Bolbitino et Sebennytico ostiis. Quae regio insularis hoc loco intelligenda videtur Gottlebero. v. Hemsterh. ad Arist. Plut. p. 55. 56. Lips. Valck. Ep. ad Roever. p. 296. Heind. Ad Heracleoticum ostium refert ex Heliodoro Blomf. ad Aesch. Pers. 39.

προδοσίᾳ ληφθείς] Ctesias c. 34. sex millia Graecorum Bybli cum Inaro Persis se dedidisse narrat hac conditione, ut ne quid mali a rege sibi fieret, et quando vellent domum abire liceret. Quo facto ad Artaxerxem abductos (c. 35.), et quinquaginta postea Amytidis reginae crudelitate necatos esse (c. 36.) v. Ley De fato Aegypt. etc. p. 14 sq. 50. nr. 15. De supplicio Inari v. Ctes. Pers. c. 36. coll. Plut. Artax. 17. Mox scripsi *ἐκ τῶν Ἀθηναίων*, quod Bekk. nulla auctoritate librorum mutavit in *ἐκ τῶν Ἀθηνῶν*. v. Matth. p. 796. init. Sinten. ad Plut. Themist. p. 66 sq. Deinde *ἔσχον* Thom. M. p. 748. recte interpretatur

ναίων καὶ τῆς ἄλλης ξυμμαχίδος πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι ἐς Αἴγυπτον ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν. καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες πεζοὶ καὶ ἐκ θαλάσσης Φοινίκων ναυτικὸν διέφθειραν τὰς πολλὰς τῶν νεῶν, αἱ δ' ἐλάσσους διέφυγον πάλιν. τὰ μὲν κατὰ τὴν μεγάλην στρατείαν Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐς Αἴγυπτον οὕτως ἐτελεύτησεν.

Ἐκ δὲ Θεσσαλίας Ὀρέστης ὁ Ἐχεκρατίδου υἱὸς τοῦ Θεσσα- 111
λῶν βασιλέως φεύγων ἔπεισεν Ἀθηναίους ἑαυτὸν κατάγειν· καὶ παραλαβόντες Βοιωτοὺς καὶ Φωκέας ὄντας ξυμμάχους Ἀθηναῖοι ἐστράτευσαν τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον. καὶ τῆς μὲν γῆς ἐκράτουν ὅσα μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων, οἱ γὰρ ἱππῆς τῶν Θεσσαλῶν εἶργον, τὴν δὲ πόλιν οὐχ εἷλον, οὐδ' ἄλλο προὐχώρει αὐτοῖς οὐδὲν ὧν ἕνεκα ἐστράτευσαν, ἀλλ' ἀπεχώρησαν πάλιν Ὀρέστην ἔχοντες ἄπρακτοι. μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον χίλιοι Ἀθηναίων ἐπὶ τὰς ναῦς τὰς ἐν Πηγαῖς ἐπιβάντες, εἶχον δ' αὐτοὶ τὰς Πηγάς, παρέπλευσαν ἐς Σικυῶνα Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος, καὶ ἀποβάντες Σικυωνίων τοὺς προσμίξαντας μάχῃ ἐκράτησαν. καὶ εὐθὺς παραλαβόντες Ἀχαιοὺς καὶ διαπλεύσαντες πέραν, τῆς Ἀκαρνανίας ἐς Οἰνιάδας ἐστράτευσαν καὶ ἐπο-

per *προσῳρμίσαντο*. Et *τὸ κέρας* Schol. intelligit ostium Nili, Arn. cornu sive brachium Nili coll. Pind. fragm. 84. et commonefaciens cornus Acheloi, quod quum fractum esset, cornu copiae factum esse in fabulis est, i. e., ait, fluvius devertebatur pristino cursu, quo quod solum lucri faciebant, id aratro subactum uberrimos fructus tulit. Haack. et Bloomf. (hic coll. Lycophrone 1069.) intelligunt cornu Aegypti longe in mare procurrens, per quod Mendesium ostium patuisse dicunt Ex Lycophrone nihil probari potest. Mox *οὐκ εἰδότες* dixit structura ad sensum facta. De verbis *τὰ κατὰ τὴν στρατείαν* v. Matth. p. 1161. adn.

111. *Ἐχεκρατίδου*] In Thessalia tres nobilissimae familiae erant, Antiochi gens, Aleuadae, Scopadae, inter se affinitate iuncti. v. Meinek. Commentt. Miscc. Fasc. 1. p. 55 sq. Antiochi filius, nepos Echecratidis maioris, qui Simonidis aequalis fuerat, hic Echecratides est. v. Wachsm. Antt. Gr. 1, 2. p. 106. adn. 3, 107. Buttm. De Aleuadis p. 201 sqq. Aleuadae Larissae regnabant; Antiochi gens Pharsali sedem habuisse videtur. Nam Scopadae quidem Crannone habitabant. Scopadae iidem sunt, qui Creondae. v. Boeckh. Explicc. Pind. p. 332 sqq. C. Fr. Herm. Antt. Gr. p. 337, 9. 10. 11. Kortuem. Hellen. Staatsverf. p. 79. 80 sq. Mox *φεύγων* est *in exilium actus.* v. Matth. p. 957. adn., et *παραλαβόντες*, *quum adscivissent ad expeditionem ut socios.* Schol. *εἶπε γὰρ ὅτι ἐχειρώσατο αὐτούς* c. 108. v. Ot. Muell. Dor. 1. p. 191 sq.

ὅσα μὴ προϊόντες] i. e. *ὅσα κρατεῖν τῆς γῆς ἐδύναντο μὴ προϊόντες πολύ* etc. Popp. Et *ἐκ τῶν ὅπλων* est *a loco, ubi scuta et hastae eorum congestae erant.* Ea sunt denique castra, quod declarat etiam locus 3, 1. Mox de expeditione ista Periclis conf. Plut. V. Pericl. 19. Diod. 11, 88. Deinde „*πέραν* etiam de profectione in locum dicitur, ut idem valeat, quod *ἐς τὸ ἀντιπέρας* seu *ἐς τὴν ἀντιπέρας*, hinüber velut 1, 129. 2, 67. Plut. l. c.“ Popp. Aliter de Atticis scriptoribus statuit Herm. ad Soph. Oed. C. 889.

λιόρκουν, οὐ μέντοι εἶλόν γε, ἀλλὰ ἀπεχώρησαν ἐπ' οἶκον.
112 ὕστερον δὲ διαλιπόντων ἐτῶν τριῶν σπονδαὶ γίγνονται Πελοποννησίοις καὶ Ἀθηναίοις πενταετεῖς. καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἐς δὲ Κύπρον ἐστρατεύοντο ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων Κίμωνος στρατηγοῦντος, καὶ ἑξήκοντα μὲν νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν ἔπλευσαν, Ἀμυρταίου μεταπέμποντος τοῦ ἐν τοῖς ἕλεσι βασιλέως, αἱ δὲ ἄλλαι Κίτιον ἐπολιόρκουν. Κίμωνος δὲ ἀποθανόντος καὶ λιμοῦ γενομένου ἀπεχώρησαν ἀπὸ Κιτίου· καὶ πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς ἐν Κύπρῳ Φοίνιξι καὶ Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεξομάχησαν ἅμα, καὶ νικήσαντες ἀμφότερα ἀπεχώρησαν ἐπ' οἶκον, καὶ αἱ ἐξ Αἰγύπτου νῆες πάλιν αἱ ἐλθοῦσαι μετ' αὐτῶν. Λακεδαιμόνιοι δὲ μετὰ ταῦτα τὸν ἱερὸν καλούμενον πόλεμον ἐστράτευσαν, καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ παρέδοσαν
113 Δελφοῖς· καὶ αὖθις ὕστερον Ἀθηναῖοι ἀποχωρησάντων αὐτῶν στρατεύσαντες καὶ κρατήσαντες παρέδοσαν Φωκεῦσι. καὶ χρόνου ἐγγενομένου μετὰ ταῦτα Ἀθηναῖοι, Βοιωτῶν τῶν φευγόντων ἐχόντων Ὀρχομενὸν καὶ Χαιρώνειαν καὶ ἄλλ' ἄττα χωρία τῆς Βοιωτίας, ἐστράτευσαν ἑαυτῶν μὲν χιλίοις ὁπλίταις τῶν δὲ ξυμμάχων ὡς ἑκάστοις ἐπὶ τὰ χωρία ταῦτα πολέμια ὄντα Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος. καὶ Χαιρώνειαν ἑλόντες ἀπεχώρουν φυ-

112. *πενταετεῖς*] De tempore viri docti nec inter se, nec secum omnes consentiunt. Ot. Muell. Dor. 1. p. 192. 1. Manso cum Diodoro factas has inducias ponunt Ol. 81, 3. (454.), Ot. Muell. ibid. 2. p. 500. 510. nr. 42. et Gottl. Ol. 82, 2. (451.), denique Dodw. Wachsm. Clint. Ol. 82, 3. (450.) Mox de verbis *πολέμου ἔσχον* v. Matth. p. 666. init. De Cimonis ductu in hac expeditione, quae statim memoratur, v. Diod. 12, 3. Plut. V. Cim. 18. Eam Ley de Fat. Aegypt. etc. p. 15. factam ait Ol. 82, 3. (450.) Mox *ὑπὲρ Σαλαμῖνος* Arn. convertit off Salamis (auf der Höhe von Salamis). „Hoc genus loquendi, ait, hinc ductum est, quod in altum tendentibus orbis extremus undas finiens supra litoris altitudinem lente ascendere videtur, ita ut naves, quo longius pone se litus linquunt, eo altius cursu eniti videantur. Ea ipsa specie maris percussus Milto cecinit Paradisi Amissi libr. 2. v. 636.“ Paulo post *αἱ ἐξ Αἰγύπτου νῆες* idem est ac si legeretur *αἱ ἐν Αἰγύπτῳ νῆες ἐξ Αἰγύπτου ἐλθοῦσαι*. De Bello sacro v. Plut. V. Pericl. 21. Schol. Arist. Av. 557. De formula *πόλεμον ἐστράτευσαν* consule Matth. p. 744.

παρέδοσαν Δελφοῖς] Quia nobiles familiae Delphorum, quibus solis munus erat templum et oraculum administrandi, origine Dorica fuerunt. Arn. Popp. explicat ex Strab. 9. p. 648. *ἀπέσησαν Δελφοὺς ἀπὸ τοῦ κοινοῦ συστήματος τῶν Φωκέων Λακεδαιμόνιοι, καὶ ἐπέτρεψαν καθ' αὑτοὺς πολιτεύεσθαι*. Athenienses cur templum Phocensibus tradiderint, explicant Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 146. adn. et Ot. Muell. Dor. 1. p. 192.

113. *Βοιωτῶν τῶν φευγόντων*] v. cap. 108. Verba *ὡς ἑκάστοις* Bloomf. interpretatur according to their quotas. Mox olim legebatur *ἑλόντες καὶ ἀνδραποδίσαντες*, at posteriora duo verba a libris non paucis omissa pro additamento ex similibus locis huc tracto habens Popp. delevit coll. 1, 98.

λακὴν καταστήσαντες. πορευομένοις δὲ αὐτοῖς ἐν Κορωνείᾳ ἐπιτίθενται οἵ τε ἐκ τῆς Ὀρχομενοῦ φυγάδες Βοιωτῶν καὶ Λοκροὶ μετ' αὐτῶν καὶ Εὐβοέων φυγάδες καὶ ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν· καὶ μάχῃ κρατήσαντες τοὺς μὲν διέφθειραν τῶν Ἀθηναίων τοὺς δὲ ζῶντας ἔλαβον. καὶ τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. καὶ οἱ φεύγοντες Βοιωτῶν κατελθόντες καὶ οἱ ἄλλοι πάντες αὐτόνομοι πάλιν ἐγένοντο.

Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον Εὔβοια ἀπέστη ἀπο114
Ἀθηναίων· καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων ἠγγέλθη αὐτῷ ὅτι Μέγαρα ἀφέστηκε, καὶ Πελοποννήσιοι μέλλουσιν ἐσβαλεῖν ἐς τὴν Ἀττικήν, καὶ οἱ φρουροὶ Ἀθη-

ἐν Κορωνείᾳ] Diod. 12, 6. habet *περὶ τὴν Κορώνειαν*, at c. 7. idem habet *περὶ Χαιρώνειαν*, quem ex Thucydide corrigendum putabat Wessel. „Plana terrarum, in quibus ad Chaeroneam pugnatum est, ita cohaerent cum campo Coroneae, ut complures pugnae modo apud hanc, modo apud illam commissae esse tradantur.“ Od. Muell. Orchom. p. 86. Xenoph. M. S. 3, 5, 4. Socratem dicentem facit, pugnatum esse apud Lebadiam. Pausan. 1, 27, 6. Haliartiam pugnae locum edit. Cum Thucydide faciunt Plut. V. Pericl. 18. (conf. Ages. 19.) Isocr. de Bigis §. 28. et Plat. 1. Alcib. c. 18. Vid. Od. Muell. l. c. p. 416 sq. Pugnatum est Ol. 83, 2. (447.) Mox de exulibus Boeotorum v. Plut. V. Ages. 19. et Locros puta Opuntios. v. cap. 108. Nomen Orchomeni Buttm. Gr. max. §. 32. adn. 6. semper masculini generis esse dixerat. Alii Thucydidem aiebant genere Arcadiae et Boeotiae urbem distinguere, illam masculino, hanc feminino. His adversantur loci 3, 87. 4, 76., ubi Boeotiae Orchomenus masculini generis est. Conf. Od. Muell. Orchom. p. 481. De verbis *τῆς αὐτῆς γνώμης* v. Matth. p. 623. e.

τοὺς μὲν διέφθειραν] Et in his nobilissimos viros. Inter quos et ipse Tolmides et Clinias, Alcibiadis pater, fuere. v. Od. Muell. l. c. p. 417, 2. Mox verbis *οἱ ἄλλοι* „intelligit exules Locrenses, et aliquot praeterea Phocenses: nam Phocis et Locris, sicut Boeotia, amissae sunt Atheniensibus pugna apud Coroneam, ut quae civitates ineunte bello Pelop. inveniantur inter civitates Lacedaemoniorum socias. Atqui cum plebs Phocensium semper bene cuperet Atheniensibus (v. 3, 95), talis rerum mutatio locum habere non potuit, nisi reditu exulum e numero optimatum, et aucta potestate eorundem optimatum. Atque haud scio an etiam exules Euboici eodem tempore in Euboeam redierint, quorum studiis credere licet eius insulae defectionem effectam esse, quae paulo post consecuta est.“ Arn. Conf. Boeckh. Explicc. Pind. p. 533 sq.

114. *Εὔβοια ἀπέστη*] v. Plut. V. Pericl. 22. 23. Diod. 12, 7. 22. Valck. ad Herodot. 8, 23.

διαβεβηκότος — αὐτῷ] i. e. *καὶ ἐς αὐτὴν διαβεβηκότι ἤδη Περικλεῖ ἠγγέλθη ὅτι Μέγ. ἀφέστηκε*. v. Matth. §. 561. p. 1108. De re v. Od. Muell. Dor. 2. p. 166 sqq.

οἱ φρουροί] v. cap. 103. Mox *Θρίωζε* Schol. explicat *εἰς τὸ Θριάσιον πεδίον, ὡς Ἀθήναζε*. Campus erat, ut nonnullis videtur, situs inter Eleusinem, Eleutheras, Castiam, Rhetos et Daphnen monasterium. Mox pro *κατεστήσαντο* Chr. *παρεστήσαντο*. Dionys. p. 845. *κατέστησαν*. Schol. *κατεστήσαντο* explicat per *ἀτάραχον, εἰρηνικὴν ἐποίησαν*, et sic iterum ad 3, 35. Prorsus convenit Diod. 12, 7. *Περικλῆς ἐξώ-*

ναίων διεφθαρμένοι εἰσὶν ὑπὸ Μεγαρέων πλὴν ὅσοι ἐς Νίσαιαν ἀπέφυγον. ἐπαγαγόμενοι δὲ Κορινθίους καὶ Σικυωνίους καὶ Ἐπιδαυρίους ἀπέστησαν οἱ Μεγαρῆς. ὁ δὲ Περικλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν στρατιὰν ἐκ τῆς Εὐβοίας. καὶ μετὰ τοῦτο οἱ Πελοποννήσιοι τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θρίωζε ἐσβαλόντες ἐδήωσαν Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως Λακεδαιμονίων ἡγουμένου, καὶ τὸ πλέον οὐκέτι προελθόντες ἀπεχώρησαν ἐπ' οἴκου. καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες Περικλέους στρατηγοῦντος κατεστρέψαντο πᾶσαν. καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατε-
115 *στήσαντο, Ἑστιαιᾶς δὲ ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον. ἀναχωρήσαντες δὲ ἀπὸ Εὐβοίας οὐ πολλῷ ὕστερον σπονδὰς ἐποιήσαντο πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους τριακοντούτεις,*

κισε τοὺς Ἑστιαιεῖς ἐκ τῆς πατρίδος, τὰς δ' ἄλλας καταπληξάμενος ἠνάγκασε πάλιν πειθαρχεῖν Ἀθηναίοις. „*Παρεστήσαντο*, quod Dukero magis probatur, non suo loco positum foret post *κατεστρέψαντο*. Non insulam recuperarunt pacto, sed armis: recuperata componebatur instauratis fere conditionibus pristinae cum Atheniensibus societatis.“ ARN. Ex h. l. emendandus est Schol. Arist. Nub. 213., qui rei hic narratae non Thucydidem, sed Philochorum auctorem facit, ipsis tamen illius verbis usus; emendandus autem ita: *Περικλέους στρατηγοῦντος καταστρέψασθαι πᾶσάν φησι Θουκυδίδης, καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ κατασταθῆναι, Ἑστιαιᾶς δὲ ἐξοικίσαντας αὐτοὺς Ἀθηναίους τὴν γῆν σχεῖν.* „Hestiaea, ait Schol., urbs est Euboeae, quae nunc Oreus appellatur.“ Oreum tamen et Hestiaeam seorsum memorat Thuc. 8, 95., unde colligunt non plane eodem loco utramque sitam fuisse. Causam, cur in Hestiaeenses gravius consultum sit, patefacit Plut. V. Pericl. 23. De forma accusativi *Ἑστιαιᾶς* v. Matth. §. 83. adn. 1. De colonia Atheniensium ibi constituta v. Boeckh. C. I. Vol. 1. p. 894.

παρόντος εἰκότως λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον τὴν μνήμην ἐποιοῦντο. ἦν δέ γε οἶμαί ποτε ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς τοῦδε ὕστερος καὶ ξυμβῇ γενέσθαι λιμόν, κατὰ τὸ εἰκὸς οὕτως ἄσονται. μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ πολεμεῖν ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. περὶ μὲν οὖν τοῦ χρηστηρίου τὰ γιγνόμενα ἥκαζον ὁμοῖα εἶναι· ἐρβεβληκότων δὲ τῶν Πελοποννησίων ἡ νόσος ἤρξατο εὐθύς. καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐρῆλθεν, ὅ,τι ἄξιον καὶ εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυανθρωπότατα. ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

55 Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ ἔτεμον τὸ πεδίον, παρῆλθον ἐς τὴν Πάραλον γῆν καλουμένην μέχρι Λαυρίου, οὗ τὰ ἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις. καὶ πρῶτον μὲν ἔτεμον ταύτην ἢ πρὸς Πελοπόννησον ὁρᾷ, ἔπειτα δὲ τὴν πρὸς Εὔβοιάν τε καὶ Ἄνδρον τετραμμένην. Περικλῆς δὲ στρατηγὸς ὢν καὶ τότε περὶ μὲν τοῦ μὴ ἐπεξιέναι τοὺς Ἀθηναίους τὴν αὐτὴν γνώμην
56 εἶχεν ὥςπερ καὶ ἐν τῇ προτέρᾳ ἐσβολῇ· ἔτι δ' αὐτῶν ἐν τῷ πεδίῳ ὄντων πρὶν ἐς τὴν παραλίαν γῆν ἐλθεῖν ἑκατὸν νεῶν

ἐς Πελοπόννησον] Penetrasse certe in Peloponnesum testatur Pausan. 8, 41, 5. 10, 11, 4. v. Creuz. in Schulz. a. 1832. p. 6 sq. et Od. Muell. ibidem p. 307. Popp. Adde eundem Vit. Phidiae, p. 15. „Peloponnesum morbo intactam evasisse, maxime memorabile est. Faustissima enim coeli temperies, qua Peloponnesi incolae antiqua aetate gaudebant, tantam vim in naturam humanam exhibuit, ut minus aptam redderet ad suscipienda contagia. Nostra autem aetate, qua coelo minus favente Peloponnesiis, aestas matura et diuturna, arida aestuosaque (Mercurio in thermometro Réaumuriano circa horas meridianas quartum sextumve et trigesimum attingente gradum) incolas urit, pestilentiam inguinariam saepenumero Peloponnesum invadere testatur Pouquevill. Voy. en Morée etc. Krauss. p. 34 sq., qui eam rem argumentum esse dicit, morbum Atheniensium non solum epidemicum fuisse, sed etiam contagiosum.

55. *Πάραλον*] Hic erat tractus Atticae occidentem spectans et circa Sunium promontorium inde ab Urbe patens, collibus obsitus, ad agriculturam minus, tanto magis ad mercaturam factitandam aptus. v. Od. Muell. in v. Attica ap. Ersch. et Grub. Encycl. Vol. 6. p. 217. Mox de metallis Laurii v. Boeckh. in Commentt. Academ. Reg. Berol. a. 1815., Staatsh. d. Ath. Vol. 1. p. 331. Od. Muell. l. c. p. 218. Deinde recepi ἢ πρός (vulgo ᾗ πρός) ex libris nonnullis, quia sensus esse debet: *eam partem huius terrae, qua* etc.

56. *ἐν τῷ πεδίῳ*] in planitie Athenarum sita inter Hymettum et Corydalum montes, in qua ipsae Athenae iacebant. V. Schoem. de Comit. Athen. p. 342 sq. Mox verba *πρῶτον τότε* „de Graecia intelligenda sunt; nam e. gr. Persae cum Date et Artapherne equites per mare miserant. Vid. Herodot. 6, 48. Plin. H. N. 6, 57. Ludit in his navibus Aristoph. Equ. 596 sqq." Popp. v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 310 sq. De verbis *τῆς γῆς τὴν πολλήν* v. Matth. p. 627 sq., de verbis *τῆς τε γῆς ἔτεμον* ibidem p. 631.

ἐπίπλουν τῇ Πελοποννήσῳ παρεσκευάζετο, καὶ ἐπειδὴ ἑτοῖμα ἦν, ἀνήγετο. ἦγε δ' ἐπὶ τῶν νεῶν ὁπλίτας Ἀθηναίων τετρακισχιλίους καὶ ἱππέας τριακοσίους ἐν ναυσὶν ἱππαγωγοῖς πρῶτον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις· ξυνεστρατεύοντο δὲ καὶ Χῖοι καὶ Λέσβιοι πεντήκοντα ναυσίν. ὅτε δὲ ἀνήγετο ἡ στρατιὰ αὕτη Ἀθηναίων, Πελοποννησίους κατέλιπον τῆς Ἀττικῆς ὄντας ἐν τῇ παραλίᾳ. ἀφικόμενοι δὲ ἐς Ἐπίδαυρον τῆς Πελοποννήσου ἔτεμον τῆς γῆς τὴν πολλήν, καὶ πρὸς τὴν πόλιν προσβαλόντες ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέντοι προεχώρησέ γε. ἀναγαγόμενοι δὲ ἐκ τῆς Ἐπιδαύρου ἔτεμον τήν τε Τροιζηνίδα γῆν καὶ τὴν Ἁλιάδα καὶ τὴν Ἑρμιονίδα· ἔστι δὲ πάντα ταῦτα ἐπιθαλάσσια τῆς Πελοποννήσου. ἄραντες δὲ ἀπ' αὐτῶν ἀφίκοντο ἐς Πρασιάς, τῆς Λακωνικῆς πόλισμα ἐπιθαλάσσιον, καὶ τῆς τε γῆς ἔτεμον καὶ αὐτὸ τὸ πόλισμα εἷλον καὶ ἐπόρθησαν. ταῦτα δὲ ποιήσαντες ἐπ' οἴκου ἀνεχώρησαν. τοὺς δὲ Πελοποννησίους οὐκέτι κατέλαβον ἐν τῇ Ἀττικῇ ὄντας, ἀλλ' ἀνακεχωρηκότας.

Ὅσον δὲ χρόνον οἵ τε Πελοποννήσιοι ἦσαν ἐν τῇ γῇ τῇ 57
Ἀθηναίων καὶ οἱ Ἀθηναῖοι ἐστράτευον ἐπὶ τῶν νεῶν, ἡ νόσος ἔν τε τῇ στρατιᾷ τοὺς Ἀθηναίους ἔφθειρε καὶ ἐν τῇ πόλει, ὥστε καὶ ἐλέχθη τοὺς Πελοποννησίους δείσαντας τὸ νόσημα, ὡς ἐπυνθάνοντο τῶν αὐτομόλων ὅτι ἐν τῇ πόλει εἴη καὶ θάπτοντας ἅμα ἠσθάνοντο, θᾶσσον ἐκ τῆς γῆς ἐξελθεῖν. τῇ δὲ ἐσβολῇ ταύτῃ πλεῖστόν τε χρόνον ἐνέμειναν καὶ τὴν γῆν πᾶσαν ἔτεμον· ἡμέρας γὰρ τεσσαράκοντα μάλιστα ἐν τῇ γῇ τῇ Ἀττικῇ ἐγένοντο.

Τοῦ δ' αὐτοῦ θέρους Ἄγνων ὁ Νικίου καὶ Κλεόπομπος ὁ 58
Κλεινίου ξυστράτηγοι ὄντες Περικλέους λαβόντες τὴν στρατιὰν ἥπερ ἐκεῖνος ἐχρήσατο ἐστράτευσαν εὐθὺς ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης καὶ Ποτίδαιαν ἔτι πολιορκουμένην, ἀφικόμενοι δὲ μηχανάς τε τῇ Ποτιδαίᾳ προσέφερον καὶ παντὶ τρόπῳ ἐπειρῶντο ἑλεῖν. προυχώρει δὲ αὐτοῖς οὔτε ἡ αἵρεσις τῆς πόλεως οὔτε τἆλλα τῆς παρασκευῆς ἀξίως· ἐπιγενομένη γὰρ ἡ νόσος ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους, φθείρουσα τὴν στρατιὰν ὥστε καὶ τοὺς προτέρους στρατιώτας νοσῆσαι τῶν Ἀθηναίων ἀπὸ τῆς ξὺν Ἄγνωνι στρατιᾶς ἐν τῷ πρὸ τοῦ χρόνῳ ὑγιαίνοντας. Φορμίων δὲ καὶ οἱ ἑξακόσιοι καὶ χίλιοι οὐκέτι ἦσαν περὶ Χαλκιδέας. ὁ μὲν οὖν Ἄγνων ταῖς ναυσὶν ἀνεχώρησεν ἐς τὰς Ἀθήνας, ἀπὸ τετρακισχιλίων ὁπλιτῶν χιλίους καὶ πεντήκοντα τῇ νόσῳ ἀπολέσας ἐν τεσσαράκοντα μάλιστα ἡμέραις· οἱ δὲ πρότεροι στρατιῶται κατὰ χώραν μένοντες ἐπολιόρκουν τὴν Ποτίδαιαν.

57. *θάπτοντας*] i. e. *cremantes*. Nam hoc verbum et sepulturam omnino et combustionem significat. v. Herodot. 5, 8., ibique Wess. Haec igitur verba recte intelligere videntur, qui dicunt Atheniensium sepulturas ex igne et fumo rogorum a Peloponnesiis cognitas esse.

58. *οἱ — πρότεροι*] Schol. *οἱ μετὰ Καλλίου δηλονότι*. (1, 61. et sqq.). Adde *οἱ μετὰ Ἀρχεστράτου* 1, 57.

59 Μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τῶν Πελοποννησίων οἱ Ἀθηναῖοι ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας, καὶ τὸν μὲν Περικλέα ἐν αἰτίᾳ εἶχον ὡς πείσαντα σφᾶς πολεμεῖν καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες, πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν· καὶ πρέσβεις τινὰς πέμψαντες ὡς αὐτοὺς ἄπρακτοι ἐγένοντο. πανταχόθεν τε τῇ γνώμῃ ἄποροι καθεστῶτες ἐνέκειντο τῷ Περικλεῖ. ὁ δὲ ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας καὶ πάντα ποιοῦντας ἅπερ αὐτὸς ἤλπιζε, ξύλλογον ποιήσας, ἔτι δ' ἐστρατήγει, ἐβούλετο θαρσῦναί τε καὶ ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον καταστῆσαι. παρελθὼν δὲ ἔλεξε τοιάδε.

60 Καὶ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ γεγενῆται, αἰσθάνομαι γὰρ τὰς αἰτίας, καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον ὅπως ὑπομνήσω καὶ μέμψωμαι εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε ἢ ταῖς ξυμφοραῖς εἴκετε. ἐγὼ γὰρ ἡγοῦμαι πόλιν πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας ἢ καθ' ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην. καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν διαφθειρομένης τῆς πατρίδος οὐδὲν ἧσσον ξυναπόλλυται, κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ πολλῷ μᾶλλον διασώζεται. ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμφορὰς οἵα τε φέρειν, εἷς δὲ ἕκαστος τὰς ἐκείνης ἀδύνατος, πῶς οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ, καὶ μὴ ὃ νῦν ὑμεῖς δρᾶτε,

59. ἔτι — ἐστρατήγει] Convocandi enim populum in concionem ius penes prytanes, aut si quid subiti accidisset, de quo extra ordinem cum populo agi oporteret, etiam penes praetores erat. v. Schoem. de Comit. Athen. c. 4. p. 58. 61 sq. C. Fr. Herm. Antt. Gr. p. 244, 6. 294. §. 153, 2.

60. τὰ τῆς ὀργῆς] v. Matth. p. 574. 2. Mox de iunctis futuro indicativi et coniunctivo ὑπομνήσω et μέμψωμαι v. Buttm. Gr. §. 139. 4. (ed. 13.) et Herm. ad Vig. p. 790, 254. Deinde τὰς ἰδίας ξυμφορὰς, ait Schol., νῦν οὐχὶ ἑαυτῆς, ἀλλὰ τὰς τῶν καθ' ἕκαστον ἀνθρώπων καὶ μερικὰς δυστυχίας intelligit.

καὶ μὴ — δρᾶτε] i. e. καὶ μὴ δρᾶν ὃ νῦν ὑμεῖς δρᾶτε. Herm. ad Vig. p. 761. Res per verbum ὁρᾶν universe designata deinde non addito pronomine οἵ pluribus explicatur. At Matth. p. 1301. aliter distinguit: καὶ μὴ (ὃ νῦν ὑμεῖς δρᾶτε, ταῖς κατ' οἶκον κακοπραγίαις ἐκπεπληγμένοι) τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε. Contra quem Popp. obloquitur, non bene coire enunciationes πῶς οὐ χρὴ πάντας ἀμύνειν et καὶ μὴ ἀφίεσθε, quum praesertim illa enunciatio generalem sententiam habeat, et vis eius non sit πάντες ὑμεῖς ἀμύνετε, sed πάντες ἀμυνόντων, et transitum ad Athenienses demum verba ὃ νῦν ὑμεῖς δρᾶτε parent. Mox ad verba οὐκ ἂν ὁμοίως cum Duka supple ὥσπερ ἂν λέγοι, εἰ φιλόπολις εἴη. Et οἰκείως est *convenienter* sive e re civitatis. Verba καὶ τοῦδε etc. intellige: τοῦ εὔνου τῇ πόλει, quod ex praegresso τῇ πόλει δύσνου repetendum. v. Krueg. ad Dionys. p. 192. Deinde μᾶλλον ἑτέρων est idem, quod μᾶλλον ἢ ἑτέροις. v. Matth. p. 849. De verbo ἐπείσθητε v. ibidem p. 1017. 2.

ταῖς κατ' οἶκον κακοπραγίαις ἐκπεπληγμένοι τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε, καὶ ἐμέ τε τὸν παραινέσαντα πολεμεῖν καὶ ὑμᾶς αὐτοὺς οἷς ξυνέγνωτε δι' αἰτίας ἔχετε. καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε ὃς οὐδενὸς οἶομαι ἧσσων εἶναι γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων κρείσσων. ὅ τε γὰρ γνοὺς καὶ μὴ σαφῶς διδάξας ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη· ὅ τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τι οἰκείως φράζοι· προσόντος δὲ καὶ τοῦδε, χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο. ὥστ' εἴ μοι καὶ μέσως ἡγούμενοι μᾶλλον ἑτέρων προσεῖναι αὐτὰ πολεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν τοῦ γε ἀδικεῖν αἰτίαν φεροίμην. καὶ γὰρ οἷς μὲν αἵρεσις γεγένηται61 τἆλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν ἢ εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος. καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι καὶ οὐκ ἐξίσταμαι· ὑμεῖς δὲ μεταβάλλετε, ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὲν ἀκεραίοις, μεταμέλειν δὲ κακουμένοις, καὶ τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν φαίνεσθαι, διότι τὸ μὲν λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ, τῆς δὲ ὠφελείας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι, καὶ μεταβολῆς μεγάλης, καὶ ταύτης ἐξ ὀλίγου, ἐμπεσούσης ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε. δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον· ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον γεγένηται. ὅμως δὲ πόλιν μεγάλην οἰκοῦντας καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους χρεὼν καὶ ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν· ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι ὅστις μαλακίᾳ ἐλλείπει καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον· ἀπαλγήσαντας δὲ τὰ ἴδια

61. τἆλλα εὐτυχοῦσι] i. e. dum ceterum liberi manentes de suo iure nihil cedunt. Nam εὐτυχεῖν, εὐδαίμονα εἶναι huic scriptori est *liberum esse*. Vid. c. 43. vers. fin. Quare c. 44. eos dicit ἐντελευτῆσαι εὐδαιμονίᾳ, qui patria libera eoque felici obierunt. Atque ad αἵρεσις supple ἢ πολεμῆσαι ἢ μὴ πολεμῆσαι. Mox iunge εὐθὺς ὑπακοῦσαι, „nam spectat Pericles ad tempus, quo Lacedaemonii postremos legatos Athenas miserant 1, 139. et ipse ad horum postulata haec civibus c. 141. dixit: αὐτόθεν δὴ διανοήθητε ἢ ὑπακούειν πρίν τι βλαβῆναι i. e. ὑπακούειν εὐθύς.“ Popp. Deinde μεμπτότερος est *potius reprehendendus*. Et ad ὁ αὐτός εἰμι supple τῇ γνώμῃ, ut dicit 3, 38. Deinde ἔχει αἴσθησιν Bau. convertit *sentitur*. De verbis ταπεινὴ ἐγκαρτερεῖν v. Herm. ad Vig. p. 884 sq. Matth. p. 842. Pro ἐγκαρτερεῖν ἃ ἔγνωτε usitatius erat dicere οἷς ἔγνωτε. „At attractionem et ponere et spernere licere Atticis recte observavit Bau.“ Popp. Mox ξυμφοραῖς ὑφίστασθαι idem edidit ex pluribus libris, quamquam magis acc. cum hoc verbo iungi solet. v. Matth. §. 401. p. 734. 4. Et ἀπαλγήσαντας Schol. explicat per παυσαμένους ἀλγεῖν, ὥσπερ τὸ ἀπολοφυράμενοι cap. 46. Bau. reddit per *dedolere*, unempfindlich werden.

62 τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι. τὸν δὲ πόνον τὸν κατὰ τὸν πόλεμον, μὴ γένηταί τε πολὺς καὶ οὐδὲν μᾶλλον περιγενώμεθα, ἀρκείτω μὲν ὑμῖν καὶ ἐκεῖνα ἐν οἷς ἄλλοτε πολλάκις γε δὴ ἀπέδειξα οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον, δηλώσω δὲ καὶ τόδε ὅ μοι δοκεῖτε οὔτ' αὐτοὶ πώποτε ἐνθυμηθῆναι ὑπάρχον ὑμῖν μεγέθους πέρι ἐς τὴν ἀρχὴν οὔτ' ἐγὼ ἐν τοῖς πρὶν λόγοις, οὐδ' ἂν νῦν ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσποίησιν, εἰ μὴ καταπεπληγμένους ὑμᾶς παρὰ τὸ εἰκὸς ἑώρων. οἴεσθε μὲν γὰρ τῶν ξυμμάχων μόνον ἄρχειν, ἐγὼ δὲ ἀποφαίνω δύο μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους ὄντας, ἐφ' ὅσον τε νῦν νέμεσθε καὶ ἢν ἐπὶ πλέον βουληθῆτε· καὶ οὐκ ἔστιν ὅστις τῇ ὑπαρχούσῃ παρασκευῇ τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς οὔτε βασιλεὺς κωλύσει οὔτε ἄλλο οὐδὲν ἔθνος τῶν ἐν τῷ παρόντι. ὥστε οὐ κατὰ τὴν τῶν οἰκιῶν καὶ τῆς γῆς χρείαν, ὧν μεγάλων νομίζετε ἐστερῆσθαι, αὕτη ἡ δύναμις φαίνεται· οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν μᾶλλον ἢ οὐ κηπίον καὶ ἐγκαλλώπισμα

62. τὸν δὲ πόνον] i. e. ἀρκείτω — ἐκεῖνα, ἐν οἷς ἄλλοτε — ἀπέδειξα οὐκ ὀρθῶς ὑποπτεύεσθαι, μὴ ὁ πόνος γένηταί τε πολὺς καὶ οὐδὲν μᾶλλον περιγενώμεθα. Αὐτόν, quod sequitur relatum ad πόνον, abundat. v. Matth. §. 472. p. 876. In proximis structura haec est: ὅ μοι δοκεῖτε οὔτ' αὐτοὶ πώποτε ἐνθυμηθῆναι μεγέθους πέρι ἐς τὴν ἀρχὴν (i. e. τῆς ἀρχῆς), ὑπάρχον ὑμῖν, *quamquam vobis suppeditat.* Ad οὔτ' ἐγώ Arn. ex sequentibus supplet ἐχρησάμην, alii repetunt ἐνεθυμήθην. Verbis τῶν φανερῶν etc. aquam et terram dicit: von den beiden zur Benützung sich darbietenden Theilen der Erde. At Arnoldo haec verba ex adverso posita videntur aliis, quae natura gignit, sed quae plus artis et operae requirunt, ut eorum fructus paretur, qualia sint ignis secundum fabulam Promethei, usus metallorum, frumenti, vini etc. et confert Aristot. Eth. 6, 7. τὰ φανερώτατα, ἐξ ὧν ὁ κόσμος συνέστηκεν. Mox debebat verba ita collocare: καὶ οὐκ ἔστιν ὅστις ὑμᾶς κωλύσει, οὔτε βασιλεὺς οὔτε ἔθνος, aut omittere verba οὐκ ἔστιν ὅστις. Βασιλεύς autem est rex Persarum, in cuius nomine articulum omitti docet Schaef. Melet. crit. p. 4. 65., et ἄλλο in οὔτε ἄλλο οὐδὲν ἔθνος intellige *praeterea.* Verba οὐ κατὰ — φαίνεται converte: *apparet, eam non comparandam esse* etc. v. Wolf. ad Demosth. Lept. p. 259. 267. Matth. p. 1153. fin. De χαλεπῶς φέρειν cum genitivo constructo v. ibidem p. 682.

μᾶλλον — ἢ οὐ] Huius formulae exempla suppeditat Bast. ad Greg. Cor. p. 102. Inferri ἢ οὐ non post μᾶλλον, sed semper post οὐ μᾶλλον, sententia est Hermanni ad Soph. Ai. 1260. et Viger. p. 801. Ubi prior negatio abest, latere eam dicit aut in interrogatione, ut apud Herodot. 4, 118., aut alio modo, ut apud Thuc. 3, 36. Οὐ autem post ἢ inferri dicit, quia tum sententia, quae post οὐ μᾶλλον sequitur, sensum negativum habeat. Velut praesentem locum ita explanari posse: οὐδ' εἰκὸς οὐκ ὀλιγωρῆσαι αὐτῶν — ἀλλὰ μᾶλλον χαλεπῶς φέρειν, et alterum locum huius scriptoris ita: οὐ τοὺς αἰτίους διαφθεῖραι, ἀλλὰ μᾶλλον πόλιν ὅλην. Ab Hermanni sententia recedunt Matth. §. 455. adn. d. p. 851. et Buttm. Exc. 11. ad Demosth. Orat. Midian. p. 144., negantes, οὐ μᾶλλον semper praecedere ante ἢ οὐ. Locis omnibus, quibus haec phrasis posita est, salvo sensu omitti licet vocu-

πλούτου πρὸς ταύτην νομίσαντας ὀλιγωρῆσαι, καὶ γνῶναι ἐλευθερίαν μέν, ἣν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν, ῥᾳδίως ταῦτα ἀναληψομένην, ἄλλων δ' ὑπακούσασι καὶ τὰ προσκεκτημένα φιλεῖν ἐλασσοῦσθαι, τῶν τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων καὶ οὐ παρ' ἄλλων δεξάμενοι κατέσχον τε καὶ προσέτι διασώσαντες παρέδοσαν ἡμῖν αὐτά, αἴσχιον δὲ ἔχοντας ἀφαιρεθῆναι ἢ κτωμένους ἀτυχῆσαι, ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. αὔχημα μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ

las μᾶλλον ἤ, quare mihi haec constructio videtur a sermone quotidiano in libros et scriptam orationem transisse, unde plura alia, cum norma grammatica non convenientia, transire solent, et commixtio duarum loquutionum esse, ut vel μᾶλλον ἤ sine οὐ, vel καὶ οὐ sine μᾶλλον ἤ recte ponatur. Alia origo, nisi vitiosus usus in communi vita colloquentium, vix reperiatur. Reisig. Comm. Crit. ad Sophocl. Oed. C. p. 238 sq. μᾶλλον bis cogitat, ut sit μᾶλλον ἢ οὐ μᾶλλον, qui provocat ad Thuc. 4, 126. οἵ γε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων ἥκετε, ἐν αἷς οὐ πολλοὶ ὀλίγων ἄρχουσιν, ἀλλὰ πλειόνων μᾶλλον ἐλάσσους, in denen nicht *vielmehr*, sondern *vielmehr* etc. Similiter Popp.: „causa additae negationis est, quod plene haec iterato ex superioribus verbo sic cogitantur: es sey hart vielmehr die ganze Bürgerschaft zu vertilgen, als dass sie nicht die Urheber allein vertilgen sollten 3, 36. Et ita in Gallico et Italico sermone, si comparativum novum verbum sequitur, negationem alteri membro constanter addi (ut il est plus grand qu'on ne croit) et satis constat et monuit Schaef. Appar. ad Demosth. Vol. 5. p. 284.“ Mox κηπίον hortulus intelligendus esse videtur privatis domibus adiacens. Vid. Liban. Oratt. p. 797. C. Polyb. 6, 7, 2. Steph. Byz. in γῆ, quos Popp. citavit. Statim de verbis ἄλλων ὑπακούσασι v. Matth. p. 676. Mox multi libri προσεκτημένα. Ionicum ἔκτημαι, quod Plato non spernit, Thucydidem Popp. negat admisisse; ait admisisse Matth. p. 522. Ipsum verbum Popp. dicit valere πρὸς ταύτῃ (τῇ ἐλευθερίᾳ) κεκτῆσθαι, quo sensu Gail. convertit les accessoires de la liberté. Kistem. praefert scripturam nonnullorum librorum προεκτημένα, *antea parta.* Porro κατ' ἀμφότερα est κατὰ τὸ κατέχειν τε καὶ διασώσαντες παραδιδόναι, ut adnotavit Haack. Dein κατέσχον est sie haben an sich gebracht.

αὔχημα] Tum φρόνημα, tum αὔχ. elatum animum significant, ita tamen ut prius in bonam partem accipiatur, hoc in malam. v. Doederl. Lat. Synon. Vol. 4. p. 181. „Cui discrimini, Krueg. ad Dionys. p. 195 sq. ait, accommodatum est, quod illud ad Athenienses redit, hoc ad Lacedaemonios, qui ἀμαθίας nomine non semel notantur.“ Φρόνημα *fidentiam*, αὔχημα *confidentiam* interpretatur coll. Heind. ad Hor. 1. Serm. 7, 7. De verbis ἐκ τοῦ ὑπερφρονος v. Matth. p. 1134. Totum locum ita explicat Krueg. ad Dionys. p. 195. „Hostibus occurrere oportet non solum fidentia, sed etiam contemtione. Confidentiam enim vel ignavus per felicem imperitiam (i. e. si fortuna adiuvetur, quamquam non consilio felicem successum meruit), concipiat; contemtio vero est, si quis etiam consilio adversariis se superiorem intelligit: id quod nobis contigit. Atque audaciam ex pari fortuna (i. e. etiam si fortuna, cuius favor maxime fiduciam gignere solet, nobis non magis propitia sit, quam adversariis), firmiorem reddit prudentia, si subest elatus animus (sive illa hostium contemtio) eaque prudentia minus fidit spei, quae in angustiis se efficacem praebet (in quibus homines

τινι ἐγγίγνεται, καταφρόνησις δὲ ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν, ᾧ ἡμῖν ὑπάρχει. καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται, ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς, γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια.
63 τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν, ᾧπερ ἅπαντες ἀγάλλεσθε, βοηθεῖν καὶ μὴ φεύγειν τοὺς πόνους ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας, ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε. ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἔστιν, εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται· ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν, ἣν λαβεῖν μὲν ἄδικον δοκεῖ εἶναι, ἀφεῖναι δὲ ἐπικίνδυνον. τάχιστ' ἂν

quum aliis auxiliis destituuntur, ab illa opem exspectant), sed consilio ex iis, quae praesto sunt, cuius tutior est providentia.“ Conf. 4, 18. *ἀπὸ τῶν ὑπαρχόντων γνώμῃ σφαλέντες.* v. Matth. p. 1130. Verba *ἐλπίδι — πιστεύει* non pendent ab *ὃς ἄν*, sed subiectum verbi *πιστεύει* est *ξύνεσις.*

63. *τῷ τιμωμένῳ*] i. e. *τῇ τιμῇ.* v. Matth. p. 556. b. Mox F. It. E. marg. Dan. Dionys. p. 932. *ᾧ ὑπὲρ ἅπαντας*, quam lectionem aptissimam vocat Krueg. ad Dionys. p. 198. Pal. *ᾧ ὑπὲρ ἅπαντες*, eandemque scripturam in Aug. et Vat. Bekk. in ed. stereot. extare dicit. Vulgatam *ᾧπερ ἅπαντες* habet etiam Cantacuzen. 1, 38. Verba *κινδύνου ὧν* ita interpretantur: *κινδύνου ἀπὸ τούτων, οἷς* (alii *ὧν*) *ἀπήχθεσθε, de discrimine ab his exspectando, quos offendistis.* Quod fieri non licet per regulas attractionis. Nam „memineris, attractionem ibi tantum admitti, ubi verbum, quod sequitur, accusativum regit, v. Matth. §. 473. Cui regulae, si contracta dicendi genera, quorum exemplum extat 1, 35. in verbis *τῶν Ἑλληνίδων πόλεων ἥτις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι, παρ' ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν* (i. e. *παρ' ἐκείνους, παρ' ὁποτέρους ἂν ἀρ. ἐλθ.*) excipimus, praeter quam quod eodem Grammatico in adn. 1. auctore interdum etiam nominativus attractionem patitur, in *οἷος* et *ἡλίκος* autem eadem latius patet, paucissima tantum novimus apud probos scriptores contraria exempla, quae sane ad verba dativum regentia spectant. Vid. Bernhard. Syntax. p. 301. Dubitamus de sinceritate verborum Xen. Cyrop. 7, 5, 80. *τί δῆτα ἡμῖν ὄφελος κατα-πράξαι, ἃ ἐπιθυμοῦμεν;*“ Popp. Unde dubitatio oritur de coniectura Hermanni in Soph. El. 681. Alii intelligunt *ἀπὸ τούτων, δι' ἃ ἀπήχθεσθε, discrimine ex illis offensionibus vestris pristinis et ex odio illinc collecto.* Sensus rectus est, sed *ὧν* ita resolvi non licet. Krueg. ad Dionys. p. 198. ita interpretatur: *κινδύνου τούτων, ἃ ἀπήχθεσθε, certamen est de periculo ex iis, quas contraxistis, offensis nascente.* Quod probatur Popponi, quamquam se negat novisse aliud exemplum verbi *ἀπεχθάνεσθαι* cum accusativis *ἅ, ταῦτα* similibusve iuncti. Nonne vero haec structura explicationem habet ex iis, quae Matth. §. 421. adn. 2. praecepit?

τόδε — ἀνδραγαθίζεται] *τόδε* i. e. *τὸ ἐκστῆναι τῆς ἀρχῆς*, qui accusativus pendet ab *ἀνδραγαθ.*, in quo verbo breviloquentia est *διὰ ἀνδραγαθίας δῆθεν τόδε πείθει, ob virtutem scilicet*, reapse autem timens, nullo labore imperio cedere nobis *suadet*, quasi tale imperium iniustum sit.

τε πόλιν οἱ τοιοῦτοι ἑτέρους τε πείσαντες ἀπολέσειαν καὶ εἴ που ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν· τὸ γὰρ ἄπραγμον οὐ σώζεται μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον, οὐδὲ ἐν ἀργούσῃ πόλει ξυμφέρει, ἀλλ' ἐν ὑπηκόῳ, ἀσφαλῶς δουλεύειν. ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε μήτε ἐμὲ 64
δι' ὀργῆς ἔχετε, ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν, εἰ καὶ ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν ἅπερ εἰκὸς ἦν μὴ ἐθελησάντων ὑμῶν ὑπακούειν, ἐπιγεγένηταί τε πέρα ὧν προσεδεχόμεθα ἡ νόσος ἥδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγενημένον. καὶ δι' αὐτὴν οἶδ' ὅτι μέρος τι μᾶλλον ἔτι μισοῦμαι οὐ δικαίως, εἰ μὴ καὶ ὅταν παρὰ λόγον τι εὖ πράξητε ἐμοὶ ἀναθήσετε. φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως· ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει πρότερόν τε ἦν νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ. γνῶτε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀνθρώποις διὰ τὸ ταῖς ξυμφοραῖς μὴ εἴκειν, πλεῖστα δὲ σώματα καὶ πόνους ἀναλωκέναι πολέμῳ καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε κεκτημένην, ἧς ἐς ἀΐδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε, πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι, μνήμη καταλελείψεται, Ἑλλήνων τε ὅτι Ἕλληνες πλείστων δὴ ἤρξαμεν, καὶ πολέμοις μεγίστοις ἀντέσχομεν πρός τε ξύμπαντας καὶ καθ' ἑκάστους, πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην καὶ μεγίστην ᾠκήσαμεν.

ἑτέρους τε πείσαντες] i. e. *atque huiusmodi homines* (*ἀπράγμονες*) *et si aliis idem persuaserint, et sicubi seorsum ab aliis liberi civitatem incoluerint, eam protinus perdant.* Port. Scriptor illos *ἀπράγμονας*, si aut omnes cives suos ad eundem tranquillitatis amorem perduxerint, aut soli alicubi urbem habitaverint, civitatem pessumdaturos asseverat. Popp. De formula *ἐπὶ σφῶν αὐτῶν* v. Matth. p. 1164. Ad *ξυμφέρει* supple *τὸ ἄπραγμον, otium non imperanti urbi conducit, sed subiectae, ut non vexatam servitutem agat.* Nam recte Schol. ad 4, 61. *ἀσφαλῶς* explicat per *εἰρηναίως, ἀκινδύνως*, atque infinitivus *δουλεύειν* significat consilium.

64. *ἐλπίδος*] i. e. ärger, als man erwarten konnte. v. Matth. p. 847. Post *μᾶλλον* supple: quam ob terrae devastationem. *Ἀναγκαίως* etc. est *oportet ferre casus divinitus immissos ut necessarios.* Pro *κωλυθῇ* Bekk. coniecit *καταλυθῇ* et Valla convertit: *ne nunc dissolvantur in vobis.* Imo est: es finde durch euch kein Hinderniss statt. Mox *ἀναλωκέναι* pendet a *διά*, quemadmodum *εἶχειν*. De verbo *πέφυκε* v. Matth. p. 1036., de *καταλελείψεται* ibidem §. 498. p. 939.

καθ' ἑκάστους] Gliscebat usus, ut nominis locum haec formula in structura obtineret, ut hic pendet a *πρός*, nam si sine illa praepositione iungas verbo, hoc dicas: *singulatim* ipsi *restitimus.* Buttm. Indic. ad Platon. 4. Diall. 5. v. *κατά*. Mox *καίτοι ταῦτα* etc. converte: *tam alta veteres Athenienses molitos esse.* Ignavis hoc aemulari molestum est; industrii aemulabuntur. „*Καίτοι* hic non est *quamquam*, sed *atqui*, quam vim particulae negat quidem Herm. ad Vig. p. 840., sed ex notione *et profecto*, ut in similibus particulis *καὶ μήν*, facile illa significatio procedit. Et ita apud Xenoph. Cyrop. 3, 3, 19., aliquoties in Isocr. Paneg. et alibi converti potest.“ Popp. Mox *κέκτηται* idem interpretatur: *consequitur.* Et *προγενόντες* etc. est: *consilium capite re-*

καίτοι ταῦτα ὁ μὲν ἀπράγμων μέμψαιτ' ἄν, ὁ δὲ δρᾶν τι βουλόμενος καὶ αὐτὸς ζηλώσει· εἰ δέ τις μὴ κέκτηται, φθονήσει. τὸ δὲ μισεῖσθαι καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι πᾶσι μὲν ὑπῆρξε δὴ ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται. μῖσος μὲν γὰρ οὐκ ἐπὶ πολὺ ἀντέχει, ἡ δὲ παραυτίκα τε λαμπρότης καὶ ἐς τὸ ἔπειτα δόξα ἀείμνηστος καταλείπεται. ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προγνόντες ἔς τε τὸ αὐτίκα μὴ αἰσχρὸν τῷ ἤδη προθύμῳ ἀμφότερα κτήσασθε, καὶ Λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε μήτε ἔνδηλοι ἔστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι, ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσιν.

65 Τοιαῦτα ὁ Περικλῆς λέγων ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τε ἐπ' αὐτὸν ὀργῆς παραλύειν καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον ἔς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο, ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο, ὁ μὲν δῆμος ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος ἐστέρητο καὶ τούτων, οἱ δὲ δυνατοὶ καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες, τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν πρὶν ἐζημίωσαν χρήμασιν. ὕστερον δ' αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν, ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει, ἀμβλύτεροι ἤδη ὄντες, ὧν δὲ ἡ ξύμπασα πόλις προεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. ὅσον τε γὰρ χρόνον προῦστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο καὶ ἀσφαλῶς διεφύλαξεν αὐτήν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπεί τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται

spicientes futuram gloriam. „Recte Dukas τὸ *μέλλον καλὸν* ad *τὴν ἔπειτα δόξαν*, τὸ *αὐτίκα μὴ αἰσχρὸν* ad *τὴν παραυτίκα λαμπρότητα* respicere adnotat. Coniunctum verbum *προγνόντες* proprie soli priori inciso convenit, sed Ciceronem quoque *providere praeterita, praesentia et futura* dixisse docet Gail." Popp. Denique *ἀμφότερα* intellige *τὴν παραυτίκα λαμπρότητα καὶ ἐς τὸ ἔπειτα δόξαν* sive *τὸ μέλλον καλὸν καὶ τὸ παραυτίκα μὴ αἰσχρόν.*

65. *ἐζημίωσαν*] Plut. V. Pericl. 35. tradit, summam fuisse secundum eos, qui minimum prodiderint, 15 talentorum; qui plurimum, 50 talentorum. Diod. Sic. 12, 45. octoginta talenta prodidit. Conf. Demosth. c. Aristog. 2. §. 6. Auctorem multae Cleonem fuisse, narrat Aristid. Vol. 2. p. 249. 251. 262. Pericli mox *πάντα τὰ πράγματα* permiserunt. „Eiusmodi praetor *αὐτοκράτωρ* dicebatur. v. Pausan. 4, 15, 2. Xenoph. H. Gr. 1, 4, 20. Schoem. de Comit. Athen. p. 313 sq." Krueg. ad Dionys. p. 380. Mox *ὧν — ἤλγει* est idem quod *ἐκείνων ἃ ἤλγει.* Genitivus pendet ab *ἀμβλύτερος*, non ab *ἤλγει.* Et *ἐν τῇ εἰρήνῃ* est *per inducias tricennales.*

καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν. ἐπεβίω δὲ δύο ἔτη καὶ μῆνας ἕξ· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἡ ἐς τὸν πόλεμον. ὁ μὲν γὰρ ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ μηδὲ τῇ πόλει κινδυνεύοντας ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν καὶ ἄλλα ἔξω τοῦ πολέμου δοκοῦντα εἶναι, κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη, κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν, ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν, σφαλέντα δὲ τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. αἴτιον δ' ἦν ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, καὶ οὐκ ἦγετο μᾶλλον ὑπ' αὐτοῦ ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὗ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. οἱ δὲ ὕστερον ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους ὄντες καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι ἑτράποντο καθ' ἡδονὰς τῷ δήμῳ

προγνοὺς τὴν δύναμιν] sc. *τῆς πόλεως.* Vid. finem huius cap. Verbis *ἔξω τοῦ πολέμου* Thuc. „significat talia coepta, qualis fuit expeditio missa in Cretam, quae sine intermissione debebat auxilium ferre Phormioni 2, 85., qualis virium dispersio per varias expeditiones in Siciliam factas, antequam magnam illam expeditionem aggrediebantur; qualis iniqua incursio in Melum insulam, qua tota Graecia indignabatur; fortasse etiam significat expeditionem in Boeotiam, unde clades ad Pelium consecuta est, et fortasse etiam varia conata navium *ἀργυρολόγων*, velut quae narrat 3, 19., quibus socii vexabantur, et mala dominationis Atheniensium tanto magis persentisci coepere." Arn. Mox verbis *σφαλέντα δέ*, ait Schol., significat *τὰ κατὰ τὸν Ἀλκιβιάδην*, adde *καὶ Κλέωνα.* De *ἀδωρότατος* cum genit. *χρημάτων* v. Matth. p. 647. Hesych. *ἀδωρότατος ὁ μηδ' ὅλως μεταδιδοὺς τι, ἢ ἀδωροδόκητος.* Conf. Anecdd. Bekk. 1. p. 346. Schol. Aristid. p. 171. Fromm. Anecdd. Bachm. 1. p. 33, 14. Thom. M. p. 13. Etenim dubitatum est, utra potestate vox illa accipienda esset: *qui nihil in populum largiebatur*, an *qui nullis ipse largitionibus tentari se patiebatur.* v. Albert. ad Hesych. Vol. 1. p. 103. Schol. explicat per *ἀδωρόληπτος*, eamque veram h. l. interpretationem esse docent, quae scriptor dicit de *παῤῥησίᾳ* Periclis, quam negat unquam imminutam esse *δωροδοκίᾳ*, docent etiam loci veterum, ut Aristidis Vol. 2. p. 126., ubi Pericles *ἅπαντος κέρδους κρείσσων*, et Thuc. c. 60., ubi *χρημάτων κρείσσων* appellatur, quos locos Popp. adscripsit.

πρὸς ὀργήν] Haec verba ex adverso posita sunt verbis *πρὸς ἡδονήν*, *non solum nihil dicebat, quo eos demulceret*, sed etiam interdum contra ipsorum voluntatem loquebatur, quod *οὐ πρὸς ἡδονὴν* sed *πρὸς ὀργήν* audiebant, ut Arn. explicat. At plerumque *πρὸς ὀργήν* non id est, quo quis irascitur, sed quod aliquis iracundus dicit facitve. Mox *καὶ τὰ πράγματα* converte *et rempublicam, negotia publica.*

καὶ τὰ πράγματα ἐνδιδόναι. ἐξ ὧν ἄλλα τε πολλὰ ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ ἡμαρτήθη καὶ ὁ ἐς Σικελίαν πλοῦς, ὃ οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῄεσαν, ὅσον οἱ ἐκπέμψαντες οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλείονι μορίῳ καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις καὶ τοῖς

ὃ οὐ τοσοῦτον] i. e. *haec expeditio non tam fuit error opinionis de iis, contra quos profecti sunt, de Syracusanis, quam* etc. Supplendum igitur περὶ ἐκείνων, πρὸς οὕς etc. Statim τὰ πρόσφορα intellige supplementa et subsidia Niciae non tempore missa. Mox praepositionem ἐπί in ἐπιγιγνώσκοντες valere μετά, *postea*, animadvertit Abr. In proximis structura verborum haec est: ὅσον οἱ ἐκπέμψαντες τὰ ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν, οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ ἐπιγιγνώσκοντες κατὰ — προστασίας. Mox pro διαβολάς alii legunt διαφοράς. Bened. monet, illud retinendum esse, quum tota orationis series et ipsa illorum temporum memoria nos cogat existimare, illas inprimis calumnias (διαβολάς, Kabalen) contra Alcibiadem ab eius inimicis, quum in Siciliam profectus esset, prolatas significari, de quibus agitur 6, 29. Quibus calumniis, quum Alcibiades ad Spartanos confugisset, tam infelicem exitum belli contra Syracusanos gesti et toti Atticae ingentem malorum Iliadem parata esse dicit. Et statim post iterum διαφοράς legitur, ubi scriptor in universum de dissidiis civium domesticis loquitur. „Non autem verisimile est, ait Bened., Thucydidem, cui tanta verborum copia propria sit, tam brevi intervallo eadem verba repetiisse.“ Mox πρῶτον Arn. intelligit *primum inde ab expulsis Pisistratidis*. Porro ἐταράχθησαν neque pro activo positum, quae est Bredovii opinio, neque τὰ περὶ τὴν πόλιν pro nominativo habendum, sed structura haec est: οἳ ἐκπέμψαντες ἐταράχθησαν τὰ περὶ τὴν πόλιν i. e. in rebus urbicis. „Proprie tamen propter superiora οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν (ἐκείνων) sic oratio procedere debebat: ὅσον τῶν ἐκπεμψάντων, οἳ οὐ etc.“ Popp.

τρία ἔτη] Videtur cum Haackio legendum esse δέκα ἔτη, nam a clade Siciliensi (m. Sept. a. 413.) usque ad annum a. Chr. N. 404. post medium Aprilem, quo Athenae Lysandro traditae sunt, non solum Athenienses Lacedaemoniis pares erant, verum etiam nonnunquam superiores, et propemodum decem anni praeterierunt, et Thuc. aut imperfectos annos pro integris numeravit, aut a revocatione Alcibiadis (415. m. Iul.) usque ad illud tempus, quo Athenienses obsessi primos ad Agidem de deditione legatos miserunt (404. m. Ian.) computasse annos existimandus est. Quam coniecturam confirmare videtur locus, quem Popp. attulit, Isocr. Panath. §. 57. τὴν μὲν ἡμετέραν (πόλιν) εὕροι τις ἄν, ἁπάντων αὐτῇ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐπιθεμένων, ἔτη δέκα τούτοις ἀντισχεῖν δυνηθεῖσαν. Vulgatam tamen tuetur etiam Phavorin. in τρισὶν ἔτεσι πονεῖ. Arn. tres illos vulgatae scripturae annos ita explicat, ut dicat praeteriisse „inde a vere anni ante Chr. N. 407., quum Cyrus Asiam minorem gubernare coepit, ad ver anni 404., ubi Athenae in deditionem Lysandri traditae sunt. Eo tempore Atheniensibus necessitas imposita erat contendendi cum viribus universae Graeciae, quae insuper constantius quam unquam pecu-

ἀπὸ Σικελίας μετ' αὐτῶν καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι, Κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ,

nia Persarum sublevabatur.“ At scriptorem sole clarius est loqui de tempore post ipsam cladem Siciliensem, non de iis, quae post Cyri adventum in Asia minori gesta sunt. Krueg. scriptorem dicit agere de eo tempore, quod sit inter cladem Atheniensium in Sicilia et adventum Cyri in Asiam minorem, qui vulgo ponitur a. 407. et ex Haackii (Dissert. Chronol. de postremis Pelop. belli annis p. 15.) sententia a. 408. Ipse ad Clinton. Fast. Hell. p. 84. Cyrum vere a. 408. Sardes venisse ex vulgata huius loci scriptura probare conatur, et idem negat, quod Chronologi et in his ipse Clinto tantum intervallum inter cladem Siciliensem et adventum Cyri ponant, Thucydidis culpam esse; oportere enim Chronologos praesenti loco et Lysia de Bonis Aristoph. §. 52. uti ad rectiorem computationem annorum, quibus gesta sunt, quae Xenoph. narrat prioribus quinque capitibus Hist. Gr. (Conf. Mans. Spart. 2. p. 543. adn. c. Etenim Xen. quinto cap. Cyri in Asia minori adventum memorat, primum caput res continere ad Cynossema gestas, inter omnes constat.) At quibus machinis effici possit, ut tres modo annos inter illas res (cladem Siciliensem et Cyri adventum in Asia M.) praeteriisse credamus, fateor equidem me ignorare. Utut est, hanc Kruegeri opinionem de tribus annis inter cladem illam et Cyri adventum ipsa Thucydidis verba damnant, ut Popp. vidit: ex ea enim opinione si illis verbis: τρία μὲν ἔτη ἀντεῖχον τοῖς ἀφεστηκόσι ex adverso haec posita essent: Κύρῳ τε ὕστερον, necesse fuisset scribi ὕστερόν τε vel potius ὕστερον δὲ Κύρῳ. Idem monet, si propter verba καὶ οὐ πρότερον — περιπεσόντες ἐσφάλησαν usque ad dissidia Athenis orta annos numeremus, non τρία, sed ἓν καὶ ἥμισυ ἔτος scribendum esse; nam in Sicilia Athenienses captos esse m. Sept. 413., in urbe dissensiones incepisse primis mensibus a. 411. Sin autem proximi menses usque ad pugnam apud Cynossema factam (ubi Thucydidis historia desinit), addantur, nec tres annos conficiet, et post illam pugnam a. 411. exeunte ac toto a. 410. ab Alcibiade res splendidissimas gestas, potentiam Atheniensium in Hellesponto et litoribus Asiae restitutam esse, ac ne proximo quidem tempore Athenienses magna damna fecisse.

βασιλέως] Darii II. sive Nothi, qui Artaxerxis I. Longimani filius erat. Mox verba καὶ οὐ πρότερον redeunt ad illud μέν in verbis ὅμως τρία μὲν ἔτη. Verba τοσοῦτον — ἐπερίσσευσε converte: so sehr war es mehr als genug. Sic *superesse* est ap. Livium 2, 42. *ad bella externa prope supererant vires*. Verba ἀφ' ὧν alii iungunt cum περιγενέσθαι, ut sit περιγενέσθαι ἀπὸ τούτων ἃ etc., et subiectum verbi ἐπερίσσευσε sit περιγενέσθαι et convertunt: *tantum superabat virium Pericli ad Peloponnesios solos iis, quae ipse praeviderat, atque facillime quidem in hoc bello devincendos*. Gail. intelligit supplendum esse ἐκείνων, ἀφ' ὧν, hoc sensu: *tantum Pericli suppetebat eorum, quorum ope facillime praevidit se victurum* etc., ut subiectum verbi ἐπερίσσευσε sit τοσοῦτον ἐκείνων etc. Et quidem hoc rectius fit, si quidem rectius vires dicuntur superesse, quam victoria. Et ipsa interpretatio Latina eorum, qui priorem rationem (supplendi ἀπὸ τούτων) sequuntur, non id, quod ipsi volunt, sed sensum a Gailio expositum reddit. De infinitivo post προέγνω v. Matth. §. 549. adn. 2. Vulgo erat περιγενέσθαι τὴν πόλιν, sed τὴν πόλιν om. multi libri. „Infinitivus commode ad Periclem ipsum, populi ducem, qui momentum belli maximum faciebat, referri potest.“ Popp., ut 2, 11. ἔλεγε Περικλῆς ἐς ἀπόδειξιν τοῦ περιέσεσθαι τῷ πολέμῳ. Adde quod, si verba τὴν πόλιν retineas, da-

ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε ἀφ' ὧν αὐτὸς προέγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

66 Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ἤλιδος· εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι καὶ Ἀθηναίοις ξυνεμάχουν. ἐπέπλεον δὲ Λακεδαιμονίων χίλιοι ὁπλῖται καὶ Κνῆμος Σπαρτιάτης ναύαρχος. ἀποβάντες δὲ ἐς τὴν γῆν ἐδῄωσαν τὰ πολλά. καὶ ἐπειδὴ οὐ ξυνεχώρουν, ἀπέπλευσαν ἐπ' οἴκου.

67 Καὶ τοῦ αὐτοῦ θέρους τελευτῶντος Ἀριστεὺς Κορίνθιος καὶ Λακεδαιμονίων πρέσβεις Ἀνήριστος καὶ Νικόλαος καὶ Στρατόδημος καὶ Τεγεάτης Τιμαγόρας καὶ Ἀργεῖος ἰδίᾳ Πόλλις πορευόμενοι ἐς τὴν Ἀσίαν ὡς βασιλέα, εἴ πως πείσειαν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται ὡς Σιτάλκην πρῶτον τὸν Τήρεω ἐς Θράκην, βουλόμενοι πεῖσαί τε αὐτὸν εἰ δύναιντο μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας στρατεῦσαι ἐπὶ τὴν Ποτίδαιαν, οὗ ἦν στράτευμα τῶν Ἀθηναίων πολιορκοῦν, καὶ ᾗπερ ὥρμηντο δι' ἐκείνου πορευθῆναι πέραν τοῦ Ἑλλησπόντου ὡς Φαρνάκην τὸν Φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν. παρατυχόντες δὲ Ἀθηναίων πρέσβεις Λέαρχος Καλλιμάχου καὶ Ἀμεινιάδης Φιλήμονος παρὰ τῷ Σιτάλκῃ πείθουσι τὸν Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον Σιτάλκου υἱὸν τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν, ὅπως μὴ διαβάντες ὡς βασιλέα τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσιν. ὁ δὲ πεισθεὶς πορευομένους αὐτοὺς διὰ τῆς Θράκης ἐπὶ τὸ πλοῖον ᾧ ἔμελλον

tivus τῷ *Περικλεῖ* supervacaneus esset. Nam si ita voluisset, ut de urbe diceret, quod nunc de Pericle, capite civitatis, utrumque subiectum modo non ferendo miscuissét. *Τὴν πόλιν* si memorare volebat, hanc, opinor, orationem instituere debebat: *τοσοῦτον τῇ πόλει ἐπερίσσευσε τότε, ἀφ' ὧν Περικλῆς προέγνω, καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι αὐτήν* etc. *Αὐτῶν*, quod sequitur, idem quod *μόνων* significat.

67. *πολιορκοῦν*] Vulgo *πολιορκοῦν· καὶ παῦσαι βοηθεῖν τε αὐτοῖς, καὶ ᾗπερ* etc. Verba *καὶ παῦσαι — αὐτοῖς* delenda esse, primus vidit Popp., nam et libri haud pauci om. et superflua sunt, quum nihil per ea dicatur, quod non iam insit in verbis *μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας*, et inepta sunt, quia iam dictum erat, legatos Sitalcae persuadere voluisse, ut Potidaeatis subsidio veniret, quod plus valet, quam *παῦσαι βοηθεῖν*, et particula *τε* post *βοηθεῖν* structuram totius loci pervertit. Accedit, quod *παύειν* cum infinitivo (quod ex solis poetis adnotavit Matth. §. 553. adn. 2.) Thucydides nusquam alibi coniunxit, quapropter in Flor. Vim. ad marg. a docta manu *βοηθοῦντα* emendatum est. Ad *τὸ μέρος* supple *οὖσαν*, *urbem*, *quae ipsius ex parte sit*. Nam *τὸ μέρος* non semper significat *pro virili*, sed etiam interdum *pro rata parte*, ut 1, 74. 127. Schol. *ὅσον ἀπὸ τοῦ μέρους αὐτοῦ* i. e. *quantum in Sadoco esset*, sed hoc probari vetant plurales *διαβάντες βλάψωσιν*.

τὸν Ἑλλήσποντον περαιώσειν πρὶν ἐσβαίνειν ξυλλαμβάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ Λεάρχου καὶ Ἀμεινιάδου, καὶ ἐκέλευσεν ἐκείνοις παραδοῦναι· οἱ δὲ λαβόντες ἐκόμισαν ἐς τὰς Ἀθήνας. ἀφικομένων δὲ αὐτῶν δείσαντες οἱ Ἀθηναῖοι τὸν Ἀριστέα μὴ αὖθις σφᾶς ἔτι πλείω κακουργῇ διαφυγών, ὅτι καὶ πρὸ τούτων τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θράκης πάντ' ἐφαίνετο πράξας, ἀκρίτους καὶ βουλομένους ἔστιν ἃ εἰπεῖν αὐθημερὸν ἀπέκτειναν πάντας καὶ ἐς φάραγγας ἐξέβαλον, δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι οἵσπερ καὶ οἱ Λακεδαιμόνιοι ὑπῆρξαν, τοὺς ἐμπόρους οὓς ἔλαβον Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐν ὁλκάσι περὶ Πελοπόννησον πλέοντας ἀποκτείναντες καὶ ἐς φάραγγας ἐρβαλόντες. πάντας γὰρ δὴ κατ' ἀρχὰς τοῦ πολέμου οἱ Λακεδαιμόνιοι ὅσους λάβοιεν ἐν τῇ θαλάσσῃ ὡς πολεμίους διέφθειρον, καὶ τοὺς μετὰ Ἀθηναίων ξυμπολεμοῦντας καὶ τοὺς μηδὲ μεθ' ἑτέρων.

68 Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τελευτῶντος καὶ Ἀμπρακιῶται αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες ἐστράτευσαν ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ τὴν ἄλλην Ἀμφιλοχίαν. ἔχθρα δὲ πρὸς τοὺς Ἀργείους ἀπὸ τοῦδε αὐτοῖς ἤρξατο πρῶτον γενέσθαι. Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ Ἀμφιλοχίαν τὴν ἄλλην ἔκτισε μετὰ τὰ Τρωικὰ οἰκαδε ἀναχωρήσας καὶ οὐκ ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει Ἀμφίλοχος ὁ Ἀμφιάρεω ἐν τῷ Ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας. καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκήτορας. ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι Ἀμπρακιῶται ὁμόρους ὄντας τῇ Ἀμφιλοχικῇ ξυνοίκους ἐπηγάγοντο, καὶ ἠλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων· οἱ δὲ ἄλλοι Ἀμφίλοχοι βάρβαροί εἰσιν. ἐκβάλλουσιν οὖν τοὺς Ἀργείους οἱ Ἀμπρακιῶται χρόνῳ καὶ αὐτοὶ ἴσχυσι τὴν πόλιν. οἱ δ' Ἀμφίλοχοι γενομένου τούτου διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι καὶ προσπαρακαλέσαντες ἀμφότεροι Ἀθηναίους, οἳ αὐτοῖς Φορμίωνά τε

ἐς φάραγγας] Fortasse in barathrum illud *ἐν Κεραΐδων δήμῳ τῆς Οἰνηίδος φυλῆς, εἰς ὃ τοὺς ἐπὶ θανάτῳ καταγνωσθέντας ἐνέβαλον.* Lexic. Bibl. Coislin. in adn. ad 1, 134. Mox *ὑπῆρξαν* est *qua poena Lacedaemonii prius Athenienses affecerant, ea ulcisci eos aequum rati.* De re conf. Herodot. 7, 137.

68. *ἐπὶ Ἄργος*] i. e. *adversus Argos.* De verbis *οὐκ ἀρεσκόμενος τῇ* etc. v. Matth. p. 752. adn. 2. Dein rerum status, qui Argis in maiori patria erat, Amphilocho propterea displicebat, quia matrem Eriphylam ab Alcmaeone (fratre Amphilochi) interemtam reperiebat. v. Apollod. 3, 7, 5. Mox *ἠλληνίσθησαν* pro *ἔλλην*. scripsi secutus iudicium Lobeckii ad Phryn. p. 380. Adde Buttm. Gr. max. Vol. 2. p. 416. De Argivis Amphilochiae barbaris v. Wachsm. Antt. Gr. 1, 1. p. 11, 11. Mox participio *προσπαρακαλέσαντες* verbum suum finitum est in *αἱροῦσι*, nam punctum, quod vulgo extat post *τριάκοντα*, in comma mutandum est, quo facto idem sensus exsistit, ac si scripsisset *πεμψάντων τε τούτων αὐτοῖς Φορμίωνα, τοῦ Φορμίωνος δὲ ἀφικομένου, αἱροῦσιν* etc.

στρατηγὸν ἔπεμψαν καὶ ναῦς τριάκοντα, ἀφικομένου δὲ τοῦ Φορμίωνος, αἱροῦσι κατὰ κράτος Ἄργος καὶ τοὺς Ἀμπρακιώτας ἠνδραπόδισαν, κοινῇ τε ᾤκησαν αὐτὸ Ἀμφίλοχοι καὶ Ἀκαρνᾶνες. μετὰ δὲ τοῦτο ἡ ξυμμαχία ἐγένετο πρῶτον Ἀθηναίοις καὶ Ἀκαρνᾶσιν. οἱ δὲ Ἀμπρακιῶται τὴν μὲν ἔχθραν ἐς τοὺς Ἀργείους ἀπὸ τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν πρῶτον ἐποιήσαντο, ὕστερον δὲ ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται αὐτῶν τε καὶ Χαόνων καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων βαρβάρων· ἐλθόντες τε πρὸς τὸ Ἄργος τῆς μὲν χώρας ἐκράτουν, τὴν δὲ πόλιν ὡς οὐκ ἐδύναντο ἑλεῖν προσβαλόντες, ἀπεχώρησαν ἐπ' οἴκου καὶ διελύθησαν κατὰ ἔθνη. τοσαῦτα μὲν ἐν τῷ θέρει ἐγένετο.

69 Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀθηναῖοι ναῦς ἔστειλαν εἴκοσι μὲν περὶ Πελοπόννησον καὶ Φορμίωνα στρατηγόν, ὃς ὁρμώμενος ἐκ Ναυπάκτου φυλακὴν εἶχε μήτ' ἐκπλεῖν ἐκ Κορίνθου καὶ τοῦ Κρισαίου κόλπου μηδένα μήτ' ἐσπλεῖν, ἑτέρας δὲ ἓξ ἐπὶ Καρίας καὶ Λυκίας καὶ Μελήσανδρον στρατηγόν, ὅπως ταῦτά τε ἀργυρολογῶσι καὶ τὸ ληστικὸν τῶν Πελοποννησίων μὴ ἐῶσιν αὐτόθεν ὁρμώμενον βλάπτειν τὸν πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος καὶ Φοινίκης καὶ τῆς ἐκεῖθεν ἠπείρου. ἀναβὰς δὲ στρατιᾷ Ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμμάχων ἐς τὴν Λυκίαν ὁ Μελήσανδρος ἀποθνήσκει καὶ τῆς στρατιᾶς μέρος τι διέφθειρε νικηθεὶς μάχῃ.

70 Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Ποτιδαιᾶται ἐπειδὴ οὐκέτι ἐδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' αἵ τε ἐς τὴν Ἀττικὴν ἐσβολαὶ Πελοποννησίων οὐδὲν μᾶλλον ἀπανίστασαν τοὺς Ἀθηναίους, ὅ τε σῖτος ἐπελελοίπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας καί τινες καὶ ἀλλήλων ἐγέγευντο, οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις, Ξενοφῶντί τε τῷ Εὐριπίδου καὶ Ἑστιοδώρῳ τῷ Ἀριστοκλείδου καὶ Φανομάχῳ τῷ Καλλιμάχου. οἱ δὲ προσεδέξαντο, ὁρῶντες μὲν τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ, ἀναλωκυίας τε ἤδη τῆς πόλεως διςχίλια τάλαντα ἐς τὴν πολιορκίαν. ἐπὶ τοῖςδε οὖν ξυνέβησαν, ἐξελθεῖν αὐτοὺς καὶ παῖδας καὶ γυναῖκας καὶ τοὺς ἐπικούρους ξὺν ἑνὶ ἱματίῳ, γυναῖκας δὲ ξὺν δυοῖν, καὶ ἀργύριόν τι ῥητὸν ἔχοντας ἐφόδιον. καὶ οἱ μὲν ὑπόσπονδοι ἐξῆλθον ἐπὶ τὴν Χαλκιδικὴν καὶ ἕκαστος ἢ ἐδύνατο· Ἀθηναῖοι

69. *ἀργυρολογῶσι*] i. e. *ut pecuniam cogant* (brandschatzen) et et vel ipsum tributum, vel aliquam eius partem nondum solutam exigant. *Αὐτόθεν* intellige ex Caria et Lycia, non ex Peloponneso. Neque enim, ut ait Osiand. Obss. fasc. 2. p. 9., piratae ex Peloponneso proficiscentes navibus mercatoriis ex Asia venientibus insidiabantur, neque Athenienses ad id impediendum Melesandri classem in Asiae litore collocaturi fuissent. Mox *τῆς ἐκεῖθεν ἠπείρου* est idem, quod *τῆς ἐκεῖ ἠπείρου ἐκεῖθεν πλεουσῶν ὁλκάδων*.

70. *διςχίλια τάλαντα*] v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 312.

δὲ τούς τε στρατηγοὺς ἐπητιάσαντο ὅτι ἄνευ αὐτῶν ξυνέβησαν, ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ᾗ ἐβούλοντο, καὶ ὕστερον ἐποίκους ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν καὶ κατῴκισαν. ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο· καὶ τὸ δεύτερον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε ὃν Θουκυδίδης ξυνέγραψε.

Τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι καὶ οἱ ξύμ- 71
μαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ καθίσας τὸν στρατὸν ἔμελλε δηώσειν τὴν γῆν· οἱ δὲ Πλαταιῆς εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν ἔλεγον τοιάδε· Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε οὐδ' ἄξια οὔτε ὑμῶν οὔτε πατέρων ὧν ἐστε ἐς γῆν τὴν Πλαταιῶν στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου Λακεδαιμόνιος ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης ἡ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιῶν ἀγορᾷ Διὶ ἐλευθερίῳ ἱερὰ καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους ἀπεδίδου Πλαταιεῦσι γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν, στρατεῦσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς μηδ' ἐπὶ δουλείᾳ· εἰ δὲ μή, ἀμύνειν τοὺς παρόντας ξυμμάχους κατὰ δύναμιν. τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐκείνοις τοῖς κινδύνοις γενομένης, ὑμεῖς δὲ τἀναντία δρᾶτε· μετὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ ἥκετε.

71. *ἀπὸ τῶν Μήδων*] v. Matth. p. 665. Mox *ἀπεδίδου* „est *concessit*, (non *reddidit*,) ut apud Demosth. Ol. 2. p. 27. Reisk. Praeterea res, quae concedebatur, magis indicatur verbo *αὐτονόμους*, quam *οἰκεῖν* et refertur ad vetus Thebanorum imperii in Plataeenses postulatum. Et quod sequitur caput huius foederis *στρατεῦσαι μηδένα ἀδίκως, μηδ' ἐπὶ δουλείᾳ*, eo continetur receptio Plataeensium in foedus Graecorum, quo includebatur, eos liberos et nullis aliis parentes fore. Nam iusiurandum, quod inter se foederati praestabant, hanc habebat clausulam: *τῶν μαχεσαμένων ὑπὲρ τῆς Ἑλλάδος πόλεων οὐδεμίαν ἀνάστατον ποιήσειν*. v. Lycurg. c. Leocr. p. 193. Reisk. Ex altera parte foederati iurabant, vindictam sumturos de civitatibus, quae se cum Persis coniunxissent, horum terram Deis sacraturos, qui proinde recepturi erant decimam omnium ex illis redituum. Hinc Xen. H. Gr. 6, 5, 35. dicit *νῦν ἐλπὶς, τὸ πάλαι λεγόμενον, δεκατευθῆναι Θηβαίους*. Conf. Herodot. 7, 132. Arn. v. Wachsm. 1, 1. p. 109, 40. 1, 2. p. 142, 5. *Ἀποδιδόναι* hic eodem sensu dictum, quo haud raro *reddere*, ut sit *suum alicui tribuere*. v. Interpp. ad Tacit. 1. Ann. 72. Gesn. ad Plin. Epist. p. 350. ed. pr. Aptissime hic convertas: *restituerunt*. v. Interpp. ad Tacit. 2. Ann. 3. Mox *θεοὶ πατρῷοι* „sunt Dii stirpis aut familiae alicuius, unde originem habebat is, cuius deus patrius erat. v. Platon. Euthyd. c. 31. p. 302., ubi legitur, neminem Ionem coluisse Iovem loco Dei *πατρῴου*, sed Apollinem, ut qui esset pater Ionis, auctoris generis. At Hercules colebat Iovem loco dei *πατρῴου*, v. Soph. Tr. 755., quia filius Iovis habebatur. Itidemque Euripides Orestem facit precari Iovem *πατρῷον* in El. 675., quia Tantalus, auctor gentis Pelopidarum, dicebatur filius Iovis esse. v. Eur. Orest. 5." Arn. Adde Interpp. ad Eurip. El. 666. Soph. Tr. 287. Platn. Beitr. zum Att. R. p. 88 sqq.

μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους ποιούμενοι καὶ τοὺς ὑμετέρους πατρῴους καὶ ἡμετέρους ἐγχωρίους λέγομεν ὑμῖν τὴν γῆν τὴν Πλαταιίδα μὴ ἀδικεῖν μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐὰν δὲ οἰκεῖν αὐτονόμους καθάπερ Παυσανίας ἐδικαίω-
τοῦ Κρισαίου κόλπου ναυτικόν, ὃ ἔδει παραγενέσθαι τῷ Κνήμῳ, ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρνᾶνες, οὐ παραγίγνεται, ἀλλ' ἠναγκάσθησαν περὶ τὰς αὐτὰς ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς Φορμίωνα καὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων αἳ ἐφρούρουν ἐν Ναυπάκτῳ. ὁ γὰρ Φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλπου ἐτήρει, βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. οἱ δὲ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν οὐχ ὡς ἐπὶ ναυμαχίαν, ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι ἐς τὴν Ἀκαρνανίαν, καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς τὰς σφετέρας τολμῆσαι τοὺς Ἀθηναίους εἴκοσι ταῖς ἑαυτῶν ναυμαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαραπλέοντάς τε ἑώρων αὐτούς, παρὰ γῆν σφῶν κομιζομένων, καὶ ἐκ Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπὶ Ἀκαρνανίας κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐήνου ποταμοῦ προσπλέοντας σφίσι καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ναυ-

82. *Ἄναπον*] qui nunc appellatur Aëtos, et in Acheloum defluit. v. Pouquev. Graec. Vol. 3. p. 127 sqq.

83. *παραπλέοντας — ἔξω — ἐτήρει*] i. e. *παραπλέοντας καὶ πλέοντας ἔξω τοῦ κόλπου ἐτήρει.* Conf. 6, 90. *μὴ διαφύγοιεν ἔξω τοῦ κέρως* i. e. *μὴ διαφύγοιεν φυγόντες ἔξω τοῦ κέρως* et *ὑπεκφεύγειν τὴν ἐπιστροφὴν ἐς* i. e. *ὑπεκφ. τὴν ἐπιστρ. καὶ φεύγειν ἐς* etc. Classis Peloponnesiorum ex vicinis portubus sinus Crisaei navigabat et oram Peloponnesi legens sinu exire tentabat, quod ne fieret, cavens dux classis Atheniensium, Naupacto profectus, adversam i. e. mediae Graeciae oram legens, hostes observabat (*ἀντιπαραπλέων*). Mox structura haec est: *ὅπως μὴ ἄνω* (sursum) *ξυμβοηθῶσιν οἱ παρὰ θαλάσσῃ Ἀκαρνᾶνες ἀπὸ θαλάσσης.* Et *στρατιωτικώτερον* significat: *habentes maiorem numerum militum in tabulatis, quam solitum erat,* quum in terra hostili hinc inde escensuri essent, et proinde numerum minorem nautarum et remigum veherent. v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 300 sq. Mox genitivi absoluti *κομιζομένων* et *διαβαλλόντων* sunt pro nominativis. v. Matth. §. 561. 563. De Patris v. Gell. Itin. per Moream p. 3. Paulo post series sententiarum haec est: *ἐπειδὴ ἀντιπαραπλέοντάς τε ἑώρων αὐτοὺς καὶ κατεῖδον τοὺς Ἀθηναίους προσπλέοντας σφίσι.* Verba *κατεῖδον τοὺς Ἀθηναίους* propter interposita membra perspicuitatis causa post *αὐτούς* addita esse, quod pronomen ad Athenienses redit, Popp. adnotavit.

οὐκ ἔλαθον — ὑφορμισάμενοι] Peloponnesii si tantum Atheniensibus imponere potuissent, ut de loco, ubi noctem illi transigerent, falsi aut maturius subsisterent, aut Patras illos non intrasse rati longius in occidentem versus praeter adversum litus navigarent, ob viciniam utriusque litoris facile nocte in Acarnaniam traiicere potuissent. Arn.

μαχεῖν κατὰ μέσον τὸν πορθμόν. στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων οἳ παρεσκευάζοντο, Κορινθίων δὲ Μαχάων καὶ Ἰσοκράτης καὶ Ἀγαθαρχίδας. καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλον τῶν νεῶν ὡς μέγιστον οἱοί τε ἦσαν μὴ διδόντες διέκπλουν, τὰς πρώρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας, καὶ τά τε λεπτὰ πλοῖα ἃ ξυνέπλει ἐντὸς ποιοῦνται καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν διὰ βραχέος παρα-84 γιγνόμενοι, εἴ πη προσπίπτοιεν οἱ ἐναντίοι. οἱ δὲ Ἀθηναῖοι κατὰ μίαν ναῦν τεταγμένοι περιέπλεον αὐτοὺς κύκλῳ καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν· προείρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος μὴ ἐπιχειρεῖν πρὶν ἂν αὐτὸς σημήνῃ. ἤλπιζε γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν, ὥσπερ ἐν γῇ πεζήν, ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς ναῦς καὶ τὰ πλοῖα ταραχὴν παρέξειν, εἴ τ' ἐκπνεύσαι

κατὰ μέσον τὸν πορθμόν] Infra c. 86. legitur *γνώμην ἔχοντες μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ἐς τὴν εὐρυχωρίαν, φοβούμενοι τὸ πρότερον πάθος*, unde Popp. colligit, cladem Peloponnesiorum, quae mox describitur, extra Rhia in alto accidisse, et propterea eorum sententiam improbat, qui Phormionem dicunt in medio freto quam ad litus pugnare satius duxisse. Nihil igitur restare, nisi ut cum Bloomfieldio et interpretibus Germanicis haec verba interpretemur *in ipso traiectu, in medio traiectu*, quamquam alibi tantum poetae eo sensu vocis *πορθμός* utantur. At mihi ne necesse quidem hoc esse videtur, ut alio sensu, quam freti, verbum *πορθμός* accipiamus, quum fretum non solum ipsa angustissima sui parte, sed etiam, qua se altum versus patescens extendit, appellari possit, ut hic quidem *πορθμός* maris pars intelligi debeat patens inter oras, quae utrimque ab angustiis inde maris, per quas introitus in sinum fit, Acarnaniam et Elidem versus praetenduntur. Mox ante Dukerum edebatur *ἐτάξαντο κύκλον τῶν νεῶν ποιήσαντες*, at participium deest in multis et bonis libris, et F. post *μέγιστον* collocat. Apte Duk. confert 3, 78. *καὶ μετὰ ταῦτα κύκλον ταξαμένων αὐτῶν*. Popp. addit 2, 90. Deinde *τὰ λεπτὰ πλοῖα* sunt *τὰ μικρὰ πλοῖα*.

84. *κατὰ μίαν ναῦν*] Bau. intelligit, naves singulas post singulas invectas esse; alii, naves singulas iuxta singulas, id quod cum verbis *κύκλῳ περιπλεῖν* Popponi melius convenire videtur, quum orbe facto circumvehi non possent, nisi *μετωπηδόν* (mit geschlossener Fronte, sic enim Popp. sentire videtur) advecti, et deinde hostiles naves orbe circumvenientes. At ne sic quidem fieri potuit, nisi postquam *μετωπηδόν* advectae satis prope appropinquaverant, diductis cornibus et *ἐπιστροφῇ* facta iam naves singulae post singulas circumnavigarent, et circumvectae orbem Peloponnesiorum orbe circumdarent. Recte igitur Haack. cogitasse videtur, qui in *κατὰ μίαν* utramque notionem inesse iudicaverit, ut primum singulae iuxta singulas, et deinde singulae post singulas invectae naves esse putandae sint. Hanc autem duplicem significationem formulae *κατὰ μίαν* tribui posse, infra in adn. ad c. 90. declarabitur. Mox verba *ἐν χρῷ* Eustath. ad Hom. Il. p. 1451. Rom. explicat per *γῆς ἐγγύς*. Habebat ante oculos Appian. B. C. 5, 81. p. 819. Schw. Nisi hunc vel similem locum, male addidit verba illa: *„in extremo, ad marginem et oram navium, quas stringerent et carperent“* Bau. *naves semper cursu propemodum radentes.* Port.

εἴ τ' ἐκπνεύσαι] Saepe quum post *μέν*, tum alibi, ubi *δέ* exspe-

ἐκ τοῦ κόλπου τὸ πνεῦμα ὅπερ ἀναμένων τε περιέπλει καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς· καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑαυτῷ τε ἐνόμιζεν εἶναι ὁπόταν βούληται, τῶν νεῶν ἄμεινον πλευσουσῶν, καὶ τότε καλλίστην γίγνεσθαι. ὡς δὲ τό τε πνεῦμα κατῄει καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου τῶν τε πλοίων, ἅμα προσκειμένων ἐταράσσοντο, καὶ ναῦς τε νηὶ προσέπιπτε καὶ τοῖς κοντοῖς διωθοῦντο, βοῇ τε χρώμενοι καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ οὐδὲν κατήκουον οὔτε τῶν παραγγελλομένων οὔτε τῶν κελευστῶν καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδωνίῳ ἀναφέρειν ἄνθρωποι ἄπειροι τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει καὶ οἱ Ἀθηναῖοι προσπεσόντες πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν, ἔπειτα δὲ καὶ πάσας ᾗ χωρήσειαν διέφθειρον, καὶ κατέστησαν ἐς ἀλκὴν μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' ἐς Πάτρας καὶ Δύμην τῆς Ἀχαΐας. οἱ δὲ Ἀθηναῖοι καταδιώξαντες καὶ ναῦς δώδεκα λαβόντες τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι ἐς Μολύκρειον ἀπέπλεον, καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ Ῥίῳ καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι ἀνεχώρησαν ἐς Ναύπακτον. παρέπλευσαν δὲ καὶ οἱ Πελοποννήσιοι εὐθὺς ταῖς περιλοίποις τῶν νεῶν ἐκ τῆς Δύμης καὶ Πατρῶν ἐς Κυλλήνην τὸ Ἠλείων ἐπίνειον· καὶ ἀπὸ Λευκάδος Κνῆμος καὶ αἱ ἐκεῖθεν νῆες, ἃς ἔδει

ctes, Thuc. *τε* infert. v. Krueg. ad Dionys. p. 268. Mox verbis *τὸ πνεῦμα κατῄει* Bloomf. ventum significari dicit, qui a terra flat, sub ortum lucis succedens maritimo, qui plerumque nocte praevalet. Conf. adn. ad 2, 25. Porro „formam imperfecti *ὠθούμην* nostri Grammatici ne memorant quidem, augmentum syllabicum et huic verbo et simili *ὠνέομαι* praefigi postulantes. Vid. Buttm. Gr. max. §. 84. adn. 9. Matth. §. 161. Et apud Atticos augmenti omissio, quam iis abiudicat Thom. M. p. 403., utique rarissima. Apud scriptores non Atticos augmentum deesse posse certissimum est.“ Popp., qui tamen contra affert ex Atticis *ἐξώσθησαν — ἐξωνοῦντο — ἀντωνεῖτο*, haec tria. Porro *κελευσιῶν* erat, „curare ut remiges tempora servarent, dum cantu modulantur motiones remorum, adhortari remiges, et iis alloquendo animos addere. v. Thuc. 7, 70. Xen. H. Gr. 5, 1, 8. Polyb. 1, 21. Schol. ad Arist. Ach. 554., qui docet, hoc quoque eorum fuisse, ut remiges adigerent panis sibi ipsos quod satis esset, coquere et symbolam conferre solitam ad communem victum parandum, utque curarent portionum viritim distribuendarum rectum usum fieri.“ Arn. Adde Ovid. Metam. 3, 618. Mox *διέφθειρον* significare naves ad pugnam inutiles factas, docet comparatio Diodori 12, 48. Et *ἀνελόμενοι* est sie nahmen den grössten Theil der Mannschaft und brachten ihn auf ihre Schiffe. Si dicere voluisset, eos interemtos esse, activo *ἀνελόντες* usus esset. „Quodsi Dukas quaestionem movet, cur plerosque, non omnes, qui in illis navibus vehierentur, Athenienses susceperint, Bloomf. aut non potuisse tuto omnes in naves Atheniensium transferri, aut ceteros lembis, ratibus aliisve modis se servasse bene respondet.“ Popp. Propter navem Neptuno sacratam v. Wessel. ad Herodot. 8, 121.

ἀπὸ Λευκάδος] Eo enim Cnemus profectus erat, quum exercitus

ταύταις ξυμμῖξαι, ἀφικνοῦνται μετὰ τὴν ἐν Στράτῳ μάχην ἐς τὴν Κυλλήνην.

35 Πέμπουσι δὲ καὶ οἱ Λακεδαιμόνιοι τῷ Κνήμῳ ξυμβούλους ἐπὶ τὰς ναῦς Τιμοκράτην καὶ Βρασίδαν καὶ Λυκόφρονα, κελεύοντες ἄλλην ναυμαχίαν βελτίω παρασκευάζεσθαι καὶ μὴ ὑπ' ὀλίγων νεῶν εἴργεσθαι τῆς θαλάσσης. ἐδόκει γὰρ αὐτοῖς ἄλλως τε καὶ πρῶτον ναυμαχίας πειρασαμένοις πολὺς ὁ παράλογος εἶναι καὶ οὐ τοσούτῳ ὤοντο σφῶν τὸ ναυτικὸν λείπεσθαι, γεγενῆσθαι δέ τινα μαλακίαν, οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμπειρίαν τῆς σφετέρας δι' ὀλίγου μελέτης. ὀργῇ οὖν ἀπέστελλον. οἱ δὲ ἀφικόμενοι μετὰ Κνήμου ναῦς τε περιήγγελλον κατὰ πόλεις καὶ τὰς προϋπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυμαχίαν. πέμπει δὲ καὶ ὁ Φορμίων ἐς τὰς Ἀθήνας τήν τε παρασκευὴν αὐτῶν ἀγγελοῦντας καὶ περὶ τῆς ναυμαχίας ἣν ἐνίκησαν φράσοντας, καὶ κελεύων αὐτῷ ναῦς ὅτι πλείστας διὰ τάχους ἀποστεῖλαι, ὡς καθ' ἡμέραν ἑκάστην ἐλπίδος οὔσης ἀεὶ ναυμαχήσειν. οἱ δὲ ἀποπέμπουσιν εἴκοσι ναῦς αὐτῷ, τῷ δὲ κομίζοντι αὐτὰς προεπέστειλαν ἐς Κρήτην πρῶτον ἀφικέσθαι. Νικίας γὰρ Κρὴς Γορτύνιος πρόξενος ὢν πείθει αὐτοὺς ἐπὶ Κυδωνίαν πλεῦσαι, φάσκων προσποιήσειν αὐτὴν οὖσαν πολεμίαν· ἐπῆγε δὲ Πολιχνίταις χαριζόμενος ὁμόροις τῶν Κυδωνιατῶν. καὶ ὁ μὲν λαβὼν τὰς ναῦς ᾤχετο ἐς Κρήτην καὶ μετὰ τῶν Πολιχνιτῶν ἐδῄου τὴν γῆν τῶν Κυδωνιατῶν, καὶ ἀπὸ ἀνέμων καὶ ὑπὸ ἀπλοίας ἐνδιέτριψεν οὐκ ὀλίγον χρόνον.

Οἱ δ' ἐν τῇ Κυλλήνῃ Πελοποννήσιοι ἐν τούτῳ ἐν ᾧ οἱ 86
Ἀθηναῖοι περὶ Κρήτην κατείχοντο παρεσκευασμένοι ὡς ἐπὶ ναυμαχίαν παρέπλευσαν ἐς Πάνορμον τὸν Ἀχαϊκόν, οὗπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν Πελοποννησίων προσεβεβοηθήκει. παρέπλευσε δὲ καὶ ὁ Φορμίων ἐπὶ τὸ Ῥίον τὸ Μολυκρικὸν καὶ ὡρμίσατο ἔξω αὐτοῦ ναυσὶν εἴκοσιν αἵπερ καὶ ἐναυμάχησεν. ἦν δὲ τοῦτο μὲν τὸ Ῥίον φίλιον τοῖς Ἀθηναίοις, τὸ δ' ἕτερον Ῥίον ἐστὶν ἀντιπέρας τὸ ἐν τῇ Πελοποννήσῳ· διέχετον δὲ ἀπ' ἀλλήλων σταδίους μάλιστα ἑπτὰ τῆς θαλάσσης, τοῦ δὲ Κρισαίου κόλπου στόμα τοῦτό ἐστιν. ἐπὶ οὖν τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ οἱ Πελοποννήσιοι ἀπέχοντι οὐ πολὺ τοῦ Πανόρμου, ἐν ᾧ αὐτοῖς ὁ

terrestris Oeniadis relictis in suam quisque patriam revertebantur, ut se iungeret cum navibus Leucadiorum, Ambraciotarum et Anactoriorum, quae naves iam Leucade convenerant exspectantes classem Peloponnesiacam. v. cap. 80. 82. Arn.

85. *ξυμβούλους*] Postea hunc morem usitatissimum factum esse, ex Polybii et Appiani scriptis apparere dicit Bloomf. coll. Schweigh. ad Appian. 1, 193. et Polyb. 6, 35, 4. „Quum Agis bellum contra Argivos male administrasset, nova lex lata est, ut, quemadmodum prius praefectis classium, ita nunc Agidi decem consiliarii, sine quibus exercitum ex urbe educere non liceret, adderentur 5, 63. Quam legem non in omne tempus valuisse, ex 8, 5. demonstrat Mans. Spart. 2, p. 378. Minores tamen duces iam prius comites (*ξυνακόλουθοι*) sequebantur, qui in locum eorum succederent, si quid iis accidisset 3, 100. 4, 38.“ Popp. Serius etiam ad Astyochum legati undecim viri missi sunt, quorum ex consilio res administraret, quique eum, si ex re esse iudicarent, imperio abrogarent. vid. 8, 39. Od. Muell. Dor. 2. p. 105. 240. Wachsm. Antt. Gr. 1, 2. p. 213, 28. C. Fr. Herm. Antt. Gr. p. 68, 5. Mox pro *κατασκευάζεσθαι* in Gr. I. E. M. Vind. Mosqu. Ar. Chr. Dan. est *παρασκευάζεσθαι*, quod sane consuetius est. Vide c. 86. 5, 56. 8, 14. Schneid. ad Xen. Anab. 3, 2, 24., quem attulit Bloomf., qui *κατασκευάζεσθαι* interpretatur *adornare* sive *instruere*, et translato sensu *excogitare*, *meditari*. Et *ἐν κατασκευῇ τοῦ πολέμου* habemus 8, 5. in omnibus libris, cui loco Arn. addit Isocr. Archid. p. 180. Bekk. *κατασκευάζοντες τὸν πόλεμον*. Atque ut libri non raro confundunt utrumque vocabulum, velut 2, 14. 7, 48., ubi unus Chr. habet *κατασκευῆς* et 2, 91., ubi Reg. habet *κατεσκευάζοντο ἀμυνούμενοι*, ita ipsi scriptores promiscue utroque utuntur, velut Demosth. Phil. 3. §. 40., et rursus *παρασκευάζειν* ponunt, ubi *κατασκευάζειν* requiras, velut Thuc. 2, 11. 36. 6, 20. Pendet igitur arbitrium et norma ex consensu librorum scriptorum.

πρῶτον πειρασαμένοις] Schol. *ἐν τῷ Πελοποννησιακῷ πολέμῳ δηλονότι*. „Nam bellis Persicis etiam Spartani navibus dimicaverant, quam militiam inde ab illo tempore dereliquerant.“ Haack. Mox *ἀντιτιθέντες* cum genitivo constructum, ut 3, 56. et apud Eurip. Iphig. T. 358.

Κυδωνίαν] Quod Cretenses et legibus et religione Doribus persimiles erant, et consanguinei his esse putabantur, probabile est Cydoniatas causae Peloponnesiorum favisse; tum Cydoniatas et Atheniense summo inter se odio fuisse, inde patet, quod Cydoniatae magnam partem Aeginetae erant, qui in Cretam coloni venerant Ol. 65, 2. (519). v. Herodot. 3, 59. Od. Muell. Aeginet. p. 112. 113. Dor. 1. p. 30. Arn. adde Hoeck. Creta 3. p. 413 sq. 417 sq. Cydonia autem, ut dicit Strabo p. 479. aequali spatio a Gortyne et Cnosso distabat i. e. ad septingenta circiter stadia.

86. *διέχετον*] Libri omnes *διείχετον*, nisi forte F. et G., de quibus tacetur, *διειχέτην* exhibent, praeterquam quod Lugd. *διέχετο*, „codicum scripturam ne quis ita defendat, ut imperfectorum dualis tertiam personam olim etiam in *τον* terminatam esse dicat (qua de re egit Schaef. ad Apollon. Rhod. 2. p. 146.), non praetermittendum, hanc observationem non posse ad Atticos pertinere. Conf. Buttm. Gr. max. p. 349.“ Popp. Bened. putat, Thucydidem scripsisse *διέχετον*, quia situs horum promontoriorum mutari non potuerit. At conf. 1, 63. 7, 34., ubi complures libri habent *ἀπεῖχον* pro *ἀπέχον*. Schol. in lemmate habens *διείχετον* explicat voce *κεχώρισθον*. Conf. Krueg. Vit. Thuc. p. 73, 3. „Strabo distantiam utriusque promontorii facit esse stadiorum quinque; Plinius accedere ait prope ad mille passus Romanos; Dodw. autem, qui per has angustias maris ipse navigavit, affirmat, si quis oculis intervallum metiatur, videri non minus unius milliar. et dimidii. Classical Tour Vol. 1. p. 126.“ Arn. Consentit Leak. Morea 2. p. 148 sq.

ἀπέχοντι οὐ πολλῷ] quindecim stadia. Pausan. 7, 22, 7. Mox pro *ἀπὸ τῶν Ἀθηναίων* Bekk. coniecit *ἀπὸ τῶν Ἀθηνῶν*. v. Matth. §. 429. 2. „Coniecturam Bekkeri specie firmant loci, ubi est *ἡ ἀπὸ τῆς Θάσου βοήθεια — ἡ ἀπὸ τῆς Ζακύνθου βοήθ.* Nihil tamen mutandum esse, probant loca Thuc. 1, 107. 110. 2, 92. 7, 18. 42. 4, 97. 104. 1, 105., et quod non solum adventus Athenis, sed indidem ab Atheniensibus missum auxilium significatur.“ Popp.

πεζὸς ἦν, ὡρμίσαντο καὶ αὐτοὶ ναυσὶν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ ἡμέρας ἀνθώρμουν ἀλλήλοις μελετῶντές τε καὶ παρασκευαζόμενοι τὴν ναυμαχίαν, γνώμην ἔχοντες οἱ μὲν μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ἐς τὴν εὐρυχωρίαν, φοβούμενοι τὸ πρότερον πάθος, οἱ δὲ μὴ ἐσπλεῖν ἐς τὰ στενά, νομίζοντες πρὸς ἐκείνων εἶναι τὴν ἐν ὀλίγῳ ναυμαχίαν. ἔπειτα ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι τῶν Πελοποννησίων στρατηγοὶ βουλόμενοι ἐν τάχει τὴν ναυμαχίαν ποιῆσαι πρίν τι καὶ ἀπὸ τῶν Ἀθηναίων ἐπιβοηθῆσαι ξυνεκάλεσαν τοὺς στρατιώτας πρῶτον, καὶ ὁρῶντες αὐτῶν τοὺς πολλοὺς διὰ τὴν προτέραν ἧσσαν φοβουμένους καὶ οὐ προθύμους ὄντας παρεκελεύσαντο καὶ ἔλεξαν τοιάδε.

87 Ἡ μὲν γενομένη ναυμαχία, ὦ ἄνδρες Πελοποννήσιοι, εἴ τις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι. τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο, ὥσπερ ἴστε, καὶ οὐχὶ ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ στρατείαν ἐπλέομεν· ξυνέβη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι· καί που τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν. ὥστε οὐ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσᾶσθαι προσεγένετο, οὐδὲ δίκαιον τῆς γνώμης τὸ μὴ κατὰ κράτος νικηθέν,

87. τὸ ἐκφοβῆσαι] Matth. p. 1063. ita intelligit, ut τὸ ἐκφοβῆσαι subiecti, τέκμαρσιν praedicati loco sit, hoc sensu: superius proelium navale habet τὸ ἐκφοβῆσαι non iustam argumentationem futuri i. e., ni fallor, malus eventus proxime pugnatae pugnae et inde ortus timor non iustum argumentum est timoris exitus futuri proelii. Simplicius est explicare cum Hermanno ad Soph. Ai. 114. ita, ut τὸ ἐκφοβῆσαι sit dictum pro ὥστε ἐκφ. Mox quae scriptor οὐκ ὀλίγα dicit, ea Scholiastae videntur ὁ ἄνεμος, καὶ ἡ ἐν κύκλῳ τάξις τῶν νεῶν, καὶ τὸ μὴ ταχέως αὐτοὺς ἐπιχειρῆσαι τῇ ναυμαχίᾳ, ἀλλὰ τὴν τοῦ Φορμίωνος ἀναμένειν διὰ τοῦ ἀνέμου στρατηγίαν cap. 84.

οὐ δὲ δίκαιον] Schol. τὸ ἑξῆς οὐ δίκαιον τῆς γνώμης τὸ μη νικηθὲν κατὰ κράτος ἀμβλύνεσθαι, et hoc postremum verbum explicat per ἀναπίπτειν (v. Thuc. 1, 70.) Verba τῆς γνώμης τὸ μὴ νικηθέν varie explicant. Ac Dukas quidem ita: τὸ μέρος τῆς ψυχῆς, ὅπερ οὐ νενίκηται κατὰ κράτος, siquidem se victos putare debebant fortuna et imperitia, non victos animo et fortitudine. Qui autem (dixerit aliquis) scriptor sic diceret, τὸ τῆς γνώμης, quum non ἡ γνώμη sit τὸ διαιρετέον, sed res, per quas victi sunt, per quasque non victi. Etenim γνώμη animus est, isque tum mens et consilium sive ratio, tum animus sensu artiori (Muth, Entschlossenheit). Fortitudo ergo ea pars est, quam negant in se victam esse; mens et consilium ea pars, qua se superatos fatentur. Gail. intelligit τὸ τῆς γνώμης dictum esse pro ipso animo, Bloomf. τὸ τῆς γνώμης idem valere putat, quod ἐν τῇ γνώμῃ, *in animo*. Audirem utrumque, si legeremus τά vel τὸ τῆς γνώμης μὴ κατὰ κράτος νικηθέν, at ea collocatio verborum, quae in verbis auctoris est, partitionem animi indicat eam, quam dixi. Osiand. et Popp. verba τῆς γνώμης iungunt cum ἀμβλύνεσθαι, quam explicationem praeierat Kistem., et τὸ νικηθέν intelligunt τοὺς νικηθέντας, coll. c. 65. At horum locorum diversa ratio est: nam ibi ἀμβλύτεροι ἐγένοντο sequitur structuram verborum ἧσσον χαλεπῶς ἔφερον, quia

ἔχον δέ τινα ἐν αὐτῷ ἀντιλογίαν, τῆς ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι, νομίσαι δὲ ταῖς μὲν τύχαις ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους, ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ ἀπειρίαν τοῦ ἀνδρείου παρόντος προβαλλομένους εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι. ὑμῶν δὲ οὐδ' ἡ ἀπειρία τοσοῦτον λείπεται ὅσον τόλμῃ προέχετε· τῶνδε δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φοβεῖσθε, ἀνδρείαν μὲν ἔχουσα καὶ μνήμην ἕξει ἐν τῷ δεινῷ ἐπιτελεῖν ἃ ἔμαθεν, ἄνευ δὲ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει. φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ. πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐτῶν τὸ τολμηρότερον ἀντιτάξασθε, πρὸς δὲ τὸ διὰ τὴν ἧσσαν δεδιέναι τὸ ἀπαράσκευοι τότε τυχεῖν. περιγίγνεται δὲ ὑμῖν πλῆθός τε νεῶν καὶ πρὸς τῇ γῇ οἰκεία οὖσῃ ὁπλιτῶν παρόντων ναυμαχεῖν· τὰ δὲ πολλὰ τῶν πλειόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ κράτος ἐστίν. ὥστε οὐδὲ καθ' ἓν εὑρίσκομεν εἰκότως ἂν ἡμᾶς σφαλλομένους· καὶ ὅσα ἡμάρτομεν πρότερον, νῦν αὐτὰ ταῦτα προσγενόμενα διδασκαλίαν παρέξει. θαρσοῦντες οὖν καὶ κυβερνῆται καὶ ναῦται τὸ καθ' ἑαυτὸν ἕκαστος ἔπεσθε, χώραν μὴ προλείποντες ἢ ἄν τις προσταχθῇ. τῶν δὲ πρότερον ἡγεμόνων οὐ χεῖρον τὴν ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν καὶ οὐκ ἐνδώσομεν πρόφασιν οὐδενὶ κακῷ γενέσθαι· ἢν δέ τις ἄρα καὶ βουληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ξημίᾳ, οἱ δὲ ἀγαθοὶ τιμήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς.

Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρεκελεύ- 88
σαντο. ὁ δὲ Φορμίων δεδιὼς καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀρρωδίαν καὶ αἰσθόμενος ὅτι τὸ πλῆθος τῶν νεῶν κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι ἐφοβοῦντο, ἐβούλετο ξυγκαλέσας θαρσῦναί

in utraque phrasi idem sensus est. Hic ἀμβλύνεσθαι est ἀναπίπτειν, ἀποδειλιᾶν et requirit structuram horum verborum: ἀμβλύνεσθαι τῇ γνώμῃ, ut ἀναπίπτειν, ἀποδειλιᾶν τῇ γνώμῃ dicitur. Deinde ἀντιλογίαν est Rechtfertigungsgründe: *et qui rationes aliquas in se habeat, quas adversariis obiiciat.* Hae rationes erant „αἱ περιστάσεις τῆς τύχης καὶ ὁ ὡς ἐπὶ στρατείαν ἔκπλους.“ Dukas. Et τῷ ἀποβάντι est idem quod τῇ ἀποβάσῃ ξυμφορᾷ. Et ὀρθῶς εἶναι idem, quod ὥσπερ ὀρθῶς ἔχει, εἶναι i. e. *iure*. Mox structura haec est: καὶ (νομίσαι δίκαιον) μὴ εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι, προβαλλομένους ἀπειρίαν. De verbis φόβος ἐκπλήσσει v. Hemsterh. ad Thom. M. p. 287. Mox verbum περιγίγνεται „videtur sumtum ex ratiocinandi arte, significans aliquid alicui acceptum referendum esse. Sensus igitur hic est: vestra res est superior maiori numero navium (πλήθει). Conf. c. 89. τὸ πλῆθος τῶν νεῶν καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο.“ Arn. Paulo post ναυμαχεῖν „loco substantivi est, quamquam sine articulo positum. Conf. 3, 38. ἀμύνεσθαι δὲ τὴν τιμωρίαν ἀναλαμβάνει. v. Matth. §. 542. adn. 1. a.“ Id. De verbis οὐδὲ καθ' ἕν v. Matth. p. 1153. Verba τὰ καθ' ἑαυτὸν ἕκαστος significant *pro sua quisque parte, pro virili quisque*. Et τῶν πρότερον intellige Machaonis, Isocratis, Agatharchidae aliorum. v. cap. 83.

τε καὶ παραίνεσιν ἐν τῷ παρόντι ποιήσασθαι. πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε καὶ προπαρεσκεύαζε τὰς γνώμας ὡς οὐδὲν αὐτοῖς πλῆθος νεῶν τοσοῦτον, ἢν ἐπιπλέῃ, ὅ,τι οὐχ ὑπομενετέον αὐτοῖς ἐστι· καὶ οἱ στρατιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν ταύτην εἰλήφεσαν μηδένα ὄχλον Ἀθηναῖοι ὄντες Πελοποννησίων νεῶν ὑποχωρεῖν. τότε δὲ πρὸς τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν, καὶ ξυγκαλέσας τοὺς Ἀθηναίους ἔλεξε τοιάδε.

89 Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀρρωδίᾳ ἔχειν. οὗτοι γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι καὶ μηδὲ αὐτοὶ οἴεσθαι ὁμοῖοι ἡμῖν εἶναι τὸ πλῆθος τῶν νεῶν καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο· ἔπειτα ᾧ μάλιστα πιστεύον-

88. ὑποχωρεῖν] cum accusativo constructum magis ad sensum verbi, quam usu. Sensus autem idem est, qui verbi φεύγειν. Eadem structura verborum ὑπεξέρχεσθαι 3, 34. et ἐξαναχωρεῖν 4, 28.

89. καὶ οὐκ ἀπὸ τοῦ ἴσου] i. e. multitudinem navium, et non ad parem numerum, compararunt, sive non aequalem numerum navium comparare satis habuerunt, sed longe maiorem, quem comparatum videtis, (τὸ πλῆθος), collegerunt. Popp. Sequuntur haec ἔπειτα — θρασύτεροί ἐσμεν i. e. ἔπειτα (τούτῳ), ᾧ μάλιστα πιστεύοντες προσέρχονται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν, ὅτι τὰ πλείω κατορθοῦσι, καὶ (ὅτι) οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ (τοῦτο, ᾧ πιστεύοντες προσέρχονται ἤγουν τὴν προσήκουσαν δῆθεν σφίσιν ἀνδρείαν) ποιήσειν τὸ αὐτὸ ἤγουν τὸ κατορθοῦν· τὸ δὲ (ᾧ πιστεύοντες προσέρχονται ἤγουν ἡ ἀνδρεία) ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις (τοῖς Λακεδαιμονίοις) ἐν ἐκείνῳ (ἐν τῷ πεζῷ·) ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι, τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι θρασύτεροί ἐσμεν. Subiectum primarium per totum vides inesse in τούτῳ, ᾧ μάλιστα πιστεύοντες προσέρχονται. Et ὡς προσῆκον est als läge in ihrer Natur das Muthige. Schol. ad Thuc. 3, 64. οὐ προσήκοντα· τῇ αὐτῶν φύσει δηλονότι. Igitur τὸ οὐ προσῆκον est id, quod ab existimatione, quam de aliquo concepimus, alienum est, in verbis 3, 67. ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι, ubi Schol. ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγενημένοι, οὐ προσήκοντος αὐτοῖς τοῦ ἁμαρτάνειν διὰ τὴν ἐξ ἀρχῆς ἀνδραγαθίαν i. e. propter notam ab initio fortitudinem eorum. Vis vocis προσῆκον declaratur etiam iis, quae orator Corinthius de Lacedaemoniis et reliquis Peloponnesiis dicit 1, 121. μιᾷ τε νίκῃ ναυμαχίας κατὰ τὸ εἰκὸς ἁλίσκονται· εἰ δ' ἀντίσχοιεν, μελετήσομεν καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ τὰ ναυτικά· καὶ ὅταν τὴν ἐπιστήμην ἐς τὸ ἴσον καταστήσωμεν, τῇ γε εὐψυχίᾳ δή που περιεσόμεθα· ὃ γὰρ ἡμεῖς ἔχομεν φύσει ἀγαθόν, ἐκείνοις οὐκ ἂν γένοιτο διδαχῇ· ὃ δὲ ἐκεῖνοι ἐπιστήμῃ προΰχουσι, καθαιρετέον ἡμῖν ἐστι μελέτῃ. Denique τὸ προσῆκον nihil aliud est, nisi quod 2, 45. dicit τὴν ὑπάρχουσαν φύσιν, et promiscue τῆς ὑπαρχούσης atque προσηκούσης δόξης habet 2, 61. fin., quibus adde locum maxime perspicuum 3, 64. Porro verbis κατορθοῦντες καὶ οἴονται structura variatur. Nam his duobus verbis causa declaratur, cur Lacedaemonii confidant; quae quum ad idem consilium declarandae causae fiduciae referantur, debebant pari constructione efferri, vel sic: ὅτι κατορθοῦσι καὶ οἴονται, vel ambo per formam participii: κατορθοῦντες καὶ οἰόμενοι, quia

τες προσέρχονται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν τὰ πλείω κατορθοῦντες, καὶ οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περιέ-

plerumque in pedestribus proeliis feliciter rem gerunt, et quia putant etc. Porro τὸ αὐτό referendum est ad κατορθοῦντες, unde repetendum est τὸ κατορθοῦν, neque minus in pugna navali victoriam sibi paratum iri putant illa, quam sibi vindicant, naturali fortitudine. Verborum autem τὸ δ' ἐκ τοῦ δικαίου etc. subiectum esse illud idem primarium τοῦτο ᾧ πιστεύοντες προσέρχονται etc., vel verba ἐκ τοῦ δικαίου monstrant. Si enim τὸ κατορθοῦν subiectum esset, scriptor dicturus fuisset ἐκ τοῦ εἰκότος, quia τὸ κατορθοῦν non est eiusmodi, ut ab aliquo ἐκ τοῦ δικαίου requiras, sed ut ἐκ τοῦ εἰκότος in certa quadam rerum conditione exspectes. Verba εἴπερ καὶ τούτοις etc. Heilm. sic convertit: wenn man ihnen auch in dem angegebenen Fall (in Landkriegen) einige Ueberlegenheit zugestehen will. At significatio wenn auch verbis εἴπερ καί tribui non potest. Imo hoc dicit: *siquidem ex altera parte plus fiduciae in Lacedaemoniis inest ad pugnas terrestres, quibus ipsi antecellunt; maior nunc in pugna navali, in qua nos praestamus scientia, victoriae fiducia erit.* Quae sequuntur, sic ordinanda sunt: τῷ δὲ ἑκάτεροί τι ἔμπειροι εἶναι ἑκάτεροι θρασύτεροί ἐσμεν, nam ἑκάτεροι consulto illo loco posuit, quia bis cogitatum voluit: *quod autem utrique maiorem alicuius rei peritiam habemus, eo utrique sumus audaciores.* v. Matth. p. 1062. Indicat his verbis, quare Atheniensibus in praesentia quidem maior fiducia esse debeat: nam magno animo et fortitudine Lacedaemonios praestare negat; utrosque inter se alicuius rei peritia antecellere, eoque se audaciores esse ait. In praesentia autem id adesse, quo ipsi, Athenienses, excellant, nam rei navalis prudentiam exhiberi oportere. Infinitivus cum nominativo iunctus ita explicari potest: τῷ δὲ, ὅτι ἑκάτεροί τι ἐμπειρότεροί ἐσμεν, θρασύτεροί ἐσμεν. Mox de formula παρὰ πολύ v. Matth. §. 588. a. p. 1174. Ad verba ἄξιον τοῦ παρὰ πολύ supple προνενικηκέναι. Sed cum his conferri non queunt, quae Krueg. ad Dionys. p. 48. comparavit 7, 66. τῷ παρ' ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι καὶ παρὰ ἰσχὺν τῆς δυνέμεως ἐνδιδόασιν ubi τὸ παρ' ἐλπίδα τοῦ αὐχήματος est das ihrem Uebermuth Unerwartete, nec quidquam supplendum est, nisi ὄντι. Rectius comparavit 8, 41. ἀφεὶς τὸ ἐς τὴν Χίον ἔπλει ἐς τὴν Καῦνον, i. e. ἀφεὶς τὸ πλεῖν ἐς τὴν X. At Popp. supplet ἄξιον τοῦ παρὰ πολὺ πράττειν. πράξειν, aut ἄξιόν του scribit, ad exemplum loci 8, 106. ἀπηλλάγησαν τοῦ-τοὺς πολεμίους ἔτι ἀξίους του ἐς τὰ ναυτικὰ νομίζειν. Hoc si sequaris, nescias, quid verbis παρὰ πολύ opus sit. Verba τὸ παρὰ πολὺ πράσσειν significare ait *eximiam agendi rationem*, incertum an idem, quod ex versione H. Muelleri addit: die grosse Anstrengung, quod est inauditum dicendi genus, et vel ideo reiiciendum, quia in hac formula παρά non potest habere vim comparationis, quam affert demum verbum νικᾶν in formula παρὰ πολὺ νικᾶν. Mihi haec verba Schol. recte interpretari videtur: ἡγοῦνται οἱ ἐχθροὶ μὴ ἀνθίστασθαι ἡμᾶς ἄλλως ἢ μέλλοντάς τι γενναῖον πρᾶξαι i. e. dass wir etwas unseres früheren, vollständigen Sieges Würdiges ausführen wollen. Popp. aliam rationem proponit, existimans τὸ παρὰ πολύ substantive positum esse, comparans τὸ παρ' ἐλπίδα, quo nihil proficitur, quum haec quoque et similes formulae non sine ellipsi ponantur, et proinde quaestio, quid verbi suppleri commodissime possit, non solvatur sic, sed evitetur.

σται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ, ἐπεὶ εὐψυχίᾳ, γε οὐδὲν προφέρουσι, τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι θρασύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγούμενοι τῶν ξυμμάχων διὰ τὴν σφετέραν δόξαν ἄκοντας προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον, ἐπεὶ οὐκ ἄν ποτε ἐπεχείρησαν ἡσσηθέντες παρὰ πολὺ αὖθις ναυμαχεῖν. μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε. πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε καὶ πιστότερον κατά τε τὸ προνενικηκέναι καὶ ὅτι οὐκ ἂν ἡγοῦνται μὴ μέλλοντάς τι ἄξιον τοῦ παρὰ πολὺ πράξειν ἀνθίστασθαι ἡμᾶς. ἀντίπαλοι μὲν γὰρ οἱ πλείους, ὥσπερ οὗτοι, τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ δ' ἐκ πολλῷ ὑποδεεστέρων καὶ ἅμα οὐκ ἀναγκαζόμενοι μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀντιτολμῶσιν. ἃ λογιζόμενοι οὗτοι τῷ οὐκ εἰκότι πλέον πεφόβηνται

ἀντίπαλοι] Schol. θαῤῥοῦντες ἀντιπαλαίειν. Verba sic ordinanda sunt: οἱ πλείους (die Mehrzahl der Menschen) ἀντίπαλοι (ὄντες i. e. wenn sie dem Gegner gewachsen sind), ὥσπερ οὗτοι etc. Sensus idem est, ac si scripsisset ἀντιπάλους ὄντας, τῇ δυνάμει τὸ πλέον ἢ τῇ γνώμῃ πισύνους ἐπέρχεσθαι, τῶν πλειόνων ἐστί, at οἱ ἐκ πολλῷ ὑποδεεστέρων (sc. ἐπερχόμενοι) καὶ ἅμα οὐκ ἀναγκαζόμενοι ἀντιτολμῶσιν (οὐ τῇ δυνάμει τὸ πλέον πίσυνοι) ἢ ὅτι μέγα τι τὸ βέβαιον τῆς διανοίας ἔχουσι, denn dass einer einem Feinde, dem er völlig gewachsen ist, zu Leibe geht, wobei er mehr auf seine Macht als auf seinen Muth und seine Klugheit baut, das ist nichts Seltenes. Allein wer mit weit geringeren Rüstungen und dabei ohne Zwang dergleichen wagt, den kann nur ein nicht zu erschütternder Heldenmuth bewegen, seinem Feind so kühn die Spitze zu bieten. Popp. quaerit, quo pacto is, qui hosti tantum par sit copiis, et non superior, magis copiis, quam consilio fretus aggredi bene dicatur, addens Lacedaemonios saltem tunc non pares, sed longe maiores hostilibus copias in pugnam produxisse. Ad quod respondeas, talem exercitum, qui hosti tantum par sit, si non magis viribus quam consilio confideret, etiam minoribus viribus instructum cum hoste congressurum esse, magis sic consilio fretum, et non viribus. Neque in hac sententia de Lacedaemoniis loquitur, sed de eo, quod plures homines faciunt, quos si dixisset superiores viribus esse velle, priusquam cum hostibus congrediuntur, falso dixisset, siquidem experientia docet, plerumque hostem cum hoste dimicare audere, viribus certe non inferiorem, etiamsi non superiorem. Athenienses autem eximit ex illo numero plurium hominum, praedicans eos vel cum inferioribus copiis, praeter consuetudinem plurium, hostes aggredi audere.

ἃ λογιζόμενοι] i. e. λογιζόμενοι, ὅτι οἱ ἐκ πολλῷ ὑποδεεστέρων ἐπερχόμενοι, καὶ ἅμα οὐκ ἀναγκαζόμενοι, μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀντιτολμῶσιν, hanc nostram peritiae et fiduciae praestantiam reputantes isti nos magis extimescunt propter id, quod non exspectabant, quod non probabile erat (τῷ οὐκ εἰκότι i. e. nos cum tanto minoribus copiis obviam iis ituros), quam propter aequalem sive iustum apparatum, quem non habemus. Ubi inter se contrarie posita sunt τὸ οὐκ εἰκός et ἡ κατὰ λόγον παρασκευή i. e. die verhältnissmässige Rüstung. Apte Arn. confert 6, 34. τῷ ἀδοκήτῳ μᾶλλον ἢ ἐν καταπλαγεῖεν ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει, ubi τὸ ἀδόκητον fere idem est, quod τὸ οὐκ εἰκός. Verba πολλὰ δέ etc. hunc sensum habent: multi enim iam exercitus devicti sunt ob imperitiam ab inferiori-

ἡμᾶς ἢ τῇ κατὰ λόγον παρασκευῇ. πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν. τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ ἑκὰν εἶναι ποιήσομαι, οὐδὲ ἐσπλεύσομαι ἐς αὐτόν. ὁρῶ γὰρ ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν ἐμπείροις καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμφέρει. οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολὴν μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτε ἂν ἀποχωρήσειεν ἐν δέοντι πιεζόμενος· διέκπλοι τε οὐκ εἰσὶν οὐδὲ ἀναστροφαί, ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν, ἀλλ' ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν πεζομαχίαν καθίστασθαι, καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται. τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυνατόν· ὑμεῖς δὲ εὔτακτοι παρὰ ταῖς ναυσὶ μένοντες τά τε παραγγελλόμενα ὀξέως δέχεσθε ἄλλως τε καὶ δι' ὀλίγου τῆς ἐφορμήσεως οὔσης καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθε, ὧς τε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει καὶ ναυμαχίᾳ οὐχ ἥκιστα, ἀμύνασθε δὲ τούσδε ἀξίως τῶν προειργασμένων. ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ ἢ ἐγγυτέρω καταστῆσαι Ἀθηναίοις τὸν

bus numero, adde ob ignaviam: utriusque autem nos expertes sumus. „Non accurata est argumentatio. Nam si exercitus maiores a minoribus vincuntur ob imperitiam et ignaviam, ab his autem vitiis Athenienses liberi sunt, sequitur quidem eos, si plures essent Peloponnesii, ab iis non victum iri, non item sequitur, quum pauciores sint, victoriam iis futuram. Debebat igitur potius scribi ὧν ἑκατέρου οἱ Πελοποννήσιοι νῦν μετέχουσι.“ Popp. Auctor omisit sententiam contrariam Λακεδαιμόνιοι δὲ νῦν μετέχουσι usitatissimo more Graecorum, negantium id, cuius contrarium intelligi volunt, quemadmodum 1, 40. Mox de formula ἑκὼν εἶναι v. Greg. Cor. p. 73. Herm. ad Vig. p. 888. Matth. p. 1070 sq. et de verbis ἂν ἐπιπλεύσειε ibidem p. 977. b. Porro impetus quum fiebat in latera, ἐς ἐμβολήν fieri dicebatur; differt προσβολή, qui est adversus concursus 7, 70. Et pro πρόσοψιν Bekk. coniecit πρόοψιν, quod non videtur necesse esse, quia sequitur ἐκ πολλοῦ, ex longinquo. Mox ἀναστροφαί „sunt recessiones navium, iunctae cum aversione, sive reversiones (das Umkehrtmachen). Ἀναστροφή discernenda est a conversione sive ἐπιστροφῇ (Schwenkung) et ab ἀνακρούσει sive recessione, quae fiebat navi ἀντιπρώρῳ i. e. prora hosti opposita.“ Popp.

τῆς ἐφορμήσεως] Schol. τῶν πολεμίων. „Interpretare: *quum praesertim motiones inter nos tam intentis oculis observemus intra tam breve spatium.* Ἐφόρμησις ab ἐφορμέω, significat occupatam hostili consilio stationem.“ Arn. Vid. adn. ad 6, 49. Mox omnes libri ὥστε τὰ πολλά praeter C., qui ὥσπερ et in marg. ὥστε praebet. Ὥσπερ etiam in marg. cod. Bas. adnotatur. Marg. Flor. Vim. ᾧ τά τε πολλά. Valla: *quae quum in aliis rebus bellicis conducunt, tum* etc. Popp. recepit coniecturam H. Stephani: ὃ ἔς τε τὰ πολλά. Fortasse rectius ὥς τε diductis syllabis scribitur. Vid. Schaef. ad Apoll. Rhod. 2. p. 299. Quamquam desideratur ὡς τά τε πολλά etc. At particulam istam traiici frequentissimum est, ut 7, 18. init. ὥσπερ τε προεδέδοκτο pro ὥσπ. προεδ. τε 4, 24. τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν. pro οὐκ ἐφορμεῖν τε etc. Adde Heind. ad Platon. Protag. §. 42.

φόβον περὶ τῆς θαλάσσης. ἀναμιμνήσκω δ' αὖ ὑμᾶς ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς. ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὁμοῖαι εἶναι.

90 Τοιαῦτα δὲ καὶ ὁ Φορμίων παρεκελεύετο. οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι οὐκ ἐπέπλεον ἐς τὸν κόλπον καὶ τὰ στενά, βουλόμενοι ἄποντας ἔσω προαγαγεῖν αὐτούς, ἀναγόμενοι ἅμα ἕῳ ἔπλεον ἐπὶ τεσσάρων ταξάμενοι τὰς ναῦς ἐπὶ τὴν ἑαυτῶν γῆν ἔσω ἐπὶ τοῦ κόλπου, δεξιῷ κέρᾳ ἡγουμένῳ, ὥςπερ καὶ ὥρμουν· ἐπὶ δ' αὐτῷ εἴκοσι ἔταξαν τὰς ἀριστα πλεούσας, ὅπως εἰ ἄρα νομίσας ἐπὶ τὴν Ναύπακτον αὐτοὺς πλεῖν ὁ Φορμίων καὶ αὐτὸς ἐπιβοηθῶν ταύτῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντα τὸν ἐπίπλουν σφῶν οἱ Ἀθηναῖοι ἔξω τοῦ ἑαυτῶν κέρως, ἀλλ' αὗται αἱ νῆες περικλήσειαν. ὁ δὲ ὅπερ ἐκεῖνοι προσεδέχοντο φοβηθεὶς περὶ τῷ χωρίῳ ἐρήμῳ ὄντι ὡς ἑώρα ἀναγομένους αὐτούς, ἄκων καὶ κατὰ σπουδὴν ἐμβιβάσας ἔπλει παρὰ τὴν γῆν· καὶ ὁ πεζὸς ἅμα τῶν Μεσσηνίων παρεβοήθει. ἰδόντες δὲ οἱ Πελοποννήσιοι κατὰ μίαν ἐπὶ κέρως παρα-

90. *οὐκ ἐπέπλεον*] Etenim Athenienses extra sinum apud Rhium Molycrium stationem habebant; Lacedaemonii apud Panormum naves appulsas tenebant. v. cap. 86. De pugna, cuius descriptio sequitur, v. Mitford. H. Gr. 15, 3. Mox minus recte Matth. p. 1164. verba *ἐπὶ τεσσάρων* intelligit vier Schiffe tief, quum sit vier Schiffe hoch. Nam hae naves erant quaternae iuxta, novenae denae altera post alteram positae, unde numerus exit septuaginta sex navium. Deinde *ἔσω* dixit adiectis verbis *ἐπὶ τὴν ἑαυτῶν γῆν*, significans, Peloponnesios non solum in sinum versus navigasse, sed etiam ad terram suam versus: nam *ἔσω* solum non sufficiebat, siquidem intus in portum velit poterant etiam recta Naupactum versus. Atqui dissimulabant primo se Naupactum petere: quare aliquamdiu suam terram versus naves agebant i. e. latus portum intrantibus dextrum aliquamdiu legebant. Mox *ταύτῃ* intellige *Naupactum versus*. Sensus verborum *πλέοντα τὸν ἐπίπλουν* hic videtur esse: die Peloponnesier stellten an dem rechten Flügel die zwanzig besten Schiffe auf, um zu verhindern, dass nicht Phormions Schiffe schneller über den Peloponnesischen rechten Flügel hinauskämen, und sie also die Athenischen Schiffe nicht zwischen sich und das Festland drängen könnten. Deinde *τῷ χωρίῳ ἐρήμῳ* Naupactum significat.

κατὰ μίαν ἐπὶ κέρως] Schol. *ὡς ἂν εἰ ἔλεγε μίαν κατακολουθοῦσαν τῇ ἑτέρᾳ· τοῦτο γὰρ τὸ ἐπὶ κέρως δηλοῖ.* Dicitur eodem sensu etiam *κατὰ μίαν ναῦν τεταγμένους πλεῖν* 2, 83. „Itaque verba *κατὰ μίαν* facile pro interpretatione locutionis *ἐπὶ κέρως* quispiam habuerit, nisi excusari putet pleonasmis huiusmodi: *τάχ' ἂν ἴσως — μέντοι ὅμως — ἀπὸ βοῆς ἕνεκα* etc.“ Popp. *Ἐπὶ κέρως* solet, opinor, significare longam tenuemque seriem navium, quae alia post aliam invehuntur; interdum tamen etiam longam tenuemque seriem navium, quae alia iuxta aliam stant. Notio extentionis et tenuitatis non minus servatur in ordine navium, quae singulae iuxta singulas, quam quae singulae post singulas collocantur; sed consuetudo evaluit, ut *ἐπὶ κέρως* communiter dicatur de navibus, quae singulae post singulas veluntur, quia motio hoc ordine facta magis secundum naturam fit et magis ex consuetudine, quam eo ordine, quo naves positae sunt alia iuxta aliam

πλέοντας καὶ ἤδη ὄντας ἐντὸς τοῦ κόλπου τε καὶ πρὸς τῇ γῇ, ὅπερ ἐβούλοντο μάλιστα, ἀπὸ σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς μετωπηδὸν ἔπλεον ὡς εἶχε τάχους ἕκαστος ἐπὶ τοὺς Ἀθηναίους, καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι. τῶν δὲ ἕνδεκα μὲν αἵπερ ἡγοῦντο ὑπεκφεύγουσι τὸ κέρας τῶν Πελοποννησίων καὶ τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· τὰς δὲ ἄλλας ἐπικαταλαβόντες ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας καὶ διέφθειραν, ἄνδρας τε τῶν Ἀθηναίων ἀπέκτειναν ὅσοι μὴ ἐξένευσαν αὐτῶν. καὶ τῶν νεῶν τινας ἀναδούμενοι εἷλκον κενάς, μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον ἤδη· τὰς δέ τινας οἱ Μεσσήνιοι παραβοηθήσαντες καὶ ἐπεςβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν καὶ ἐπιβάντες, ἀπὸ τῶν καταστρωμάτων μαχόμενοι ἀφείλοντο ἑλκομένας ἤδη. ταύτῃ μὲν οὖν οἱ Πελοποννήσιοι 91 ἐκράτουν τε καὶ ἔφθειραν τὰς Ἀττικὰς ναῦς· αἱ δὲ εἴκοσι νῆες αὐτῶν αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως ἐδίωκον τὰς ἕνδεκα ναῦς τῶν Ἀθη-

[vel quia quae naves continua longa serie singulae post singulas invehuntur, eaedem levi facta conversione eodem longo ordine alia iuxta aliam stant], significans aciem navium, quae singulae post singulas navigant, formula *ἐπὶ κέρως* vel *ἐπὶ κέρας* legitur his locis: 6, 32. 50. 8, 104., apud Herodot. 6, 12. ubi v. Schweigh., apud Xen. H. Gr. 6, 2, 30. 1, 7, 31. et fortasse etiam ap. Appian. Mithrid. c. 24., quamquam ibi quidem nihil impedit, quominus intelligas seriem navium, quae singulae alia iuxta aliam collocatae sunt. Apud Athenae. 13, 24. p. 568. E. et 569, B. *ἐπὶ κέρως* significat ordinem puellarum, quae alia iuxta aliam ponuntur. Arn. Apud Xenoph. H. Gr. 1, 6, 22. Athenienses ad Arginusas aciem ita instruxerunt, ut plures navium ordines alius post alium starent, non igitur *ἐπὶ κέρως*, sed quod idem scriptor 6, 2, 18. *ἐπὶ φάλαγγος* dicit. Mox *μετωπηδόν* legitur. Etenim „aciem primum instruxerunt in ordines, qui singuli quaternas naves habebant i. e. 4 in der Fronte, deinde conversione facta (mit einer Schwenkung) *adversis frontibus* (*μετωπηδόν*) Athenienses oppositum litus navigando petierunt.“ Popp. At *μετωπηδόν* est *iunctis frontibus* (sic dicas cum Virgilio 5. Aen. 158.), quod nos dicimus in geschlossener Fronte (de front.) Ex adverso ponitur *τὸ ἐπὶ κέρως πλεῖν*, (à la file), ut patet ex Lucian. de Conscr. Hist. c. 29. vers. fin. Vol. 4. p. 194. Bip. *ἀλλ' οὐδὲ ὅπλα ἐκεῖνός γε ἤδει, οὐδὲ μηχανήματα οἷά ἐστιν, οὐδὲ τάξεων ἢ καταλοχισμῶν ὀνόματα. πάνυ γοῦν ἔμελεν αὐτῷ πλαγίαν μὲν τὴν ὀρθίαν φάλαγγα, ἐπὶ κέρως δὲ λέγειν τὸ ἐπὶ μετώπου ἄγειν.* Et c. 37. p. 200. *τί ἐπὶ κέρως, καὶ τί ἐπὶ μετώπου;* Vid. Dorv. ad Charit. p. 584. Schweigh. ad Athenae. 13. p. 568. E. Wessel. ad Herodot. 7, 100., qui *aequata serie* interpretatur, et Wachsm. Antt. Gr. 2, 1. p. 420, 184.

ἕνδεκα μέν] Vulgo additur *τινες*, quod om. plurimi libri. Non raro numeralibus addi docet Popp., nec videri temere oriri potuisse, deesse tamen tale additamentum c. 91. init. Mox verbum *ὑπεκφεύγουσι* iunge cum verbis *ἐς τὴν εὐρυχωρίαν* i. e. in eine breite Stelle des Hafen. Dukas: *εὐρυχωρίαν τὴν περὶ τὴν Ναύπακτον. εὐρύνεται γὰρ ὁ κόλπος ἐνταῦθα.* Hae autem undecim naves ex adverso ponuntur novem illis navibus Atheniensium, quae a Peloponnesiis ita in angustum comprimebantur, ut essent inter litus et naves Peloponnesiorum *μετωπηδόν* (i. e. in geschlossener Fronte) adnavigantium.

ναίων αἵπερ ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. καὶ φθάνουσιν αὐτοὺς πλὴν μιᾶς νεὼς προκαταφυγοῦσαι ἐς τὴν Ναύπακτον, καὶ ἴσχουσαι ἀντίπρωροι κατὰ τὸ Ἀπολλώνιον παρεσκευάζοντο ἀμυνούμενοι, ἢν ἐς τὴν γῆν ἐπὶ σφᾶς πλέωσιν. οἱ δὲ παραγενόμενοι ὕστερον ἐπαιώνιζόν τε ἅμα πλέοντες ὡς νενικηκότες καὶ τὴν μίαν ναῦν τῶν Ἀθηναίων τὴν ὑπόλοιπον ἐδίωκε Λευκαδία ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος, περὶ ἣν ἡ Ἀττικὴ ναῦς φθάσασα [καὶ περιπλεύσασα] τῇ Λευκαδίᾳ διωκούσῃ ἐμβάλλει μέσῃ καὶ καταδύει. τοῖς μὲν οὖν Πελοποννησίοις γενομένου τούτου ἀπροσδοκήτου τε καὶ παρὰ λόγον φόβος ἐμπίπτει· καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν αἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας ἐπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι, αἱ δὲ
92 καὶ ἐς βραχέα ἀπειρίᾳ χωρίων ὤκειλαν. τοὺς δὲ Ἀθηναίους ἰδόντας ταῦτα γιγνόμενα θάρσος τε ἔλαβε καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες ἐπ' αὐτοὺς ὥρμησαν. οἱ δὲ διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα καὶ τὴν παροῦσαν ἀταξίαν ὀλίγον μὲν χρόνον ὑπέμειναν, ἔπειτα δὲ ἐτράποντο ἐς τὸν Πάνορμον, ὅθενπερ ἀνηγάγοντο. ἐπιδιώκοντες δὲ οἱ Ἀθηναῖοι τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον ἔξ καὶ τὰς ἑαυτῶν ἀφείλοντο ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθείραντες τὸ πρῶτον ἀνεδήσαντο· ἄνδρας τε τοὺς μὲν ἀπέκτειναν, τινὰς δὲ καὶ ἐξώγρησαν. ἐπὶ δὲ τῆς Λευκαδίας νεὼς ἡ περὶ τὴν ὁλκάδα κατέδυ Τιμοκράτης ὁ Λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν ἑαυτόν, καὶ ἐξέπεσεν ἐς τὸν Ναυπακτίων λιμένα. ἀναχωρήσαντες δὲ οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν ὅθεν ἀναγόμενοι ἐκράτησαν, καὶ τοὺς νεκροὺς καὶ τὰ ναυάγια ὅσα πρὸς τῇ ἑαυτῶν ἦν ἀνείλοντο, καὶ τοῖς ἐναντίοις τὰ ἐκείνων ὑπόσπονδα ἀπέδοσαν. ἔστησαν δὲ καὶ οἱ Πελοποννήσιοι τροπαῖον ὡς νενικηκότες, τῆς τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν· καὶ ἦνπερ ἔλαβον ναῦν, ἀνέθεσαν ἐπὶ τὸ Ῥίον τὸ Ἀχαϊκὸν παρὰ τὸ τροπαῖον. μετὰ δὲ ταῦτα φοβούμενοι τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ὑπὸ νύκτα ἐσέπλευσαν ἐς κόλπον τὸν Κρισαῖον καὶ Κόρινθον πάντες πλὴν Λευκαδίων. καὶ οἱ ἐκ τῆς Κρήτης Ἀθηναῖοι ταῖς εἴκοσι ναυσίν, αἷς ἔδει πρὸ τῆς ναυμαχίας τῷ Φορμίωνι παραγενέσθαι, οὐ πολλῷ ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται ἐς τὴν Ναύπακτον. καὶ τὸ θέρος ἐτελεύτα.

91. *φθάνουσιν*] sc. naves Atheniensium fuga antevertunt eas, quae persequuntur. Mox *ὁλκάς* secundum Suidam Thucydidi est *ἡ ἐμπορικὴ ναῦς*. Verba *καὶ περιπλεύσασα* om. It. Vat. et s. v. alia man. habent H. et I. In. F. *καὶ διαπλεύσασα*. Lugd. *περιπλέουσα*. Popp. in his verbis reprehendit consecutionem verborum, quum ad significandum *postquam prior circumnaviyaverat*, *καὶ* omittendum eoque omisso oratio in *ἐπεὶ ἔφθασε περιπλεύσασα* solvenda fuerit. Sola verba *περὶ ἣν φθάσασα* offensioni esse non possunt, quum frequentissima sit haec praegnans vis verborum, cum praepositione aliqua iunctorum, qua praepositione facile fit ad intelligendum, quid verbi supplendum sit. Neque omiserunt interpretes exempla afferre, velut Bloomf. attulit locum Arrian. Al. M. 6, 7, 3. *διώκων εἶχετο τῶν φθασάντων εἰς τὴν ἀποχώρησιν*, et dictionis *φθάνειν εἰς* mentionem facere Gregorium Cor. p. 846. monuit. Popp. addit Appian. Syr. 36., nec mihi videtur improbabile, verba illa ab illis ipsis adiecta esse, qui, quae necessaria sibi viderentur, supplere vellent. Mox in *διώκοντες* constructio ad sensum facta, ut in participiis proxime sequentibus *δρῶντες* et *βουλόμενοι*, et supra in hoc ipso cap. in *ἀμυνούμενοι*. Deinde de *καθεῖσαι τὰς κώπας* v. Gronov. Obss. 4, 26., qui inter alia affert verba Livii 36, 44. *demittere in aquam remos ab utroque latere stabiliendae causa navis iussit.* Remos Bloomf. dicit ad perpendiculum ut contos demissos esse, quo fluctuum vis impediatur, idque nautas Anglos vocare backing the oars.

ἀξύμφορον δρῶντες] i. e. *rem sibi perniciosam facientes.* Sic nonnunquam vox Latina *inutilis* accipienda est, sic *ἀλυσιτελής* et *ἀχρεῖος*. Gottl. Est potius *rem stultam facientes.* Hoc scriptor dicit: dum naves Atheniensium e fuga redeuntes incitato cursu contra Peloponnesiorum naves, qui illas fugientes paulo ante persequebantur, parvo iam intervallo distantes feruntur, rem stultam fecisse Peloponnesios, quum remis inhiberent (*ἐπέστησαν τοῦ πλοῦ*) et se propinquae iam Atheniensium incursioni exponerent. Nisi potius non Atheniensium *ἀντεξόρμησις* intelligenda est, sed in universum spatium utrisque patens ad incurrendum, id quod praefero, quia nondum narratum est de incursione Atheniensium, sed ea narratio postea demum sequitur.

92. *ἀπὸ ἑνὸς κελεύσματος*] i. e. *uno iussu.* v. Wessel. ad Diod.

Πρὶν δὲ διαλῦσαι τὸ ἐς Κόρινθόν τε καὶ τὸν Κρισαῖον
93 κόλπον ἀναχωρῆσαν ναυτικὸν ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι ἄρχοντες τῶν Πελοποννησίων ἀρχομένου τοῦ χειμῶνος ἐβούλοντο διδαξάντων Μεγαρέων ἀποπειρᾶσαι τοῦ Πειραιῶς τοῦ λιμένος τῶν Ἀθηναίων· ἦν δὲ ἀφύλακτος καὶ ἄκλητος

3, 14. Mox *διαφθείραντες* est welche sie unbrauchbar gemacht hatten, et *ἐξέπεσεν*, *in portum Naupacti delatus est.* Mox *ἡ σύνταξις* secundum Scholiastam *οὕτως· ὡς νενικηκότες ἕνεκεν τῆς τροπῆς ὧν νεῶν, ἃς πρὸς τῇ γῇ διέφθειραν.* Deinde F. *ἃς ἔδει* pro *αἷς ἔδει*, „at v. Matth. §. 391. 2. Quamquam ne opus quidem eius explicatione, quum ad *ἔδει* etiam suppleas *αὐτούς*.“ Popp.

93. *τοῦ Πειραιῶς τοῦ λιμένος*] Alter articulus additus est, ut Piraeus portus a Piraeo urbe discernatur, sic c. 94. est *ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου*, ut castellum eius nominis discernatur a promontorio cognomine. Porro „verba *τῶν ναυτῶν ἕκαστον* etc. memorabilia sunt propterea, quod comprobant, in triremibus antiquorum Graecorum tantum singulos remiges remos egisse, quum quidam scriptores praeiudicata opinione de magnitudine navium veterum, concepissent, singulos remos a pluribus actos esse.“ Arn. Mox *ὑπηρέσιον* Schol. interpretatur *τὸ κῶας*, *ᾧ ἐπικάθηνται οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς.* v. Bloomf. ad Aesch. Pers. Gloss. 402. Arn. ed. Thuc. Vol. 2. p. 461 sqq. Et „voce *τροπωτήρ* significatur lorum, quo remus alligabatur ad paxillum, qui erat mos similis ei, qui etiam nunc obtinet in mari mediterraneo, quum apud nos remus inter binos paxillos ultro citroque moveatur sine ligaculo. Conf. Aesch. Pers. 374. Schütz. Schol. ad Aïst. Ach. 548.“ Arn. De verbis *μὴ ἄν ποτε* v. Matth. p. 1003 sq. Herm. ad Soph. Tr. 627. et de verbis *ἐπεὶ — τολμῆσαι* Matth. p. 1057. §. 537. extr. Structura haec est:

εἰκότως διὰ τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ. ἐδόκει δὲ λαβόντα τῶν ναυτῶν ἕκαστον τὴν κώπην καὶ τὸ ὑπηρέσιον καὶ τὸν τροπωτῆρα πεζῇ ἰέναι ἐκ Κορίνθου ἐπὶ τὴν πρὸς Ἀθήνας θάλασσαν, καὶ ἀφικομένους κατὰ τάχος ἐς Μέγαρα καθελκύσαντας ἐκ Νισαίας τοῦ νεωρίου αὐτῶν τεσσαράκοντα ναῦς αἳ ἔτυχον αὐτόθι οὖσαι πλεῦσαι εὐθὺς ἐπὶ τὸν Πειραιᾶ· οὔτε γὰρ ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδὲν οὔτε προσδοκία οὐδεμία μὴ ἄν ποτε οἱ πολέμιοι ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν, ἐπεὶ οὐδ' ἀπὸ τοῦ προφανοῦς τολμῆσαι ἂν καθ' ἡσυχίαν, οὐδὲ εἰ διενοοῦντο, μὴ οὐκ ἂν προαισθέσθαι. ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς· καὶ ἀφικόμενοι νυκτὸς καὶ καθελκύσαντες ἐκ τῆς Νισαίας τὰς ναῦς ἔπλεον ἐπὶ μὲν τὸν Πειραιᾶ οὐκέτι, ὥσπερ διενοοῦντο, καταδείσαντες τὸν κίνδυνον, καί τις καὶ ἄνεμος λέγεται αὐτοὺς κωλῦσαι, ἐπὶ δὲ τῆς Σαλαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς Μέγαρα ὁρῶν· καὶ φρούριον ἐπ' αὐτοῦ ἦν καὶ νεῶν τριῶν φυλακὴ τοῦ μὴ ἐσπλεῖν Μεγαρεῦσι μηδ' ἐκπλεῖν μηδέν. τῷ τε φρουρίῳ προσέβαλον καὶ τὰς τριήρεις ἀφείλκυσαν κενάς, τήν τε ἄλλην Σαλαμῖνα ἀπροσδοκήτοις ἐπιπεσόντες ἐπόρθουν.

94 ἐς δὲ τὰς Ἀθήνας φρυκτοί τε ἤροντο πολέμιοι καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς τῶν κατὰ τὸν πόλεμον ἐλάσσων. οἱ μὲν γὰρ ἐν τῷ ἄστει ἐς τὸν Πειραιᾶ ᾤοντο τοὺς πολεμίους ἐσπεπλευκέναι ἤδη, οἱ δ' ἐν τῷ Πειραιεῖ τήν τε Σαλαμῖνα ἡρῆσθαι ἐνόμιζον καὶ παρὰ σφᾶς ὅσον οὐκ ἐσπλεῖν αὐτούς· ὅπερ ἂν εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι, ῥαδίως ἂν ἐγένετο καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσε. βοηθήσαντες δὲ ἅμ' ἡμέρᾳ πανδημεὶ οἱ Ἀθηναῖοι ἐς τὸν Πειραιᾶ νεῶς τε καθεῖλκον καὶ ἐσβάντες κατὰ σπουδὴν καὶ πολλῷ θορύβῳ ταῖς μὲν ναυσὶν ἐπὶ τὴν Σαλαμῖνα

ἐπεὶ οὐδὲ ἐνόμισαν, (quod latet in προσδοκία) ἀπὸ τοῦ προφανοῦς — οὐδ' ἐνόμισαν εἰ (πολέμιοι) διενοοῦντο, μὴ οὐκ ἂν (Ἀθηναίους) προαισθέσθαι. Horum prius οὐδέ est auch nicht; alterum und nicht, sive noch: und man erwartete nicht, dass die Feinde so überraschend herankommen würden, weil man *auch nicht* glaubte, dass sie offen es ungestört wagen könnten, *noch* dass man, wenn sie es wagen würden, es nicht vorher gewahr werden würde i. e. man glaubte nicht, dass die Feinde offen es ungestört wagen könnten, ohne vorher bemerkt zu werden, dachte aber nicht daran, dass ein plötzlicher Ueberfall geschehen könne. Sic non est, cur οὐδ' — οὐδέ in οὔτε — οὔτε mutetur. Et duae negationes in a μὴ οὐκ ἄν hic affirmationem faciunt, nam infinitivus προαισθέσθαι pendet a μὴ οὐκ et praecessit οὐδέ, id est igitur und weil sie glaubten, dass wenn die Feinde es vorhätten, die Athener es bemerken würden. Denique τὸ ἀκρωτήριον est τὸ Βούδορον καλούμενον (Schol.).

94. φρυκτοί] i. e. Signalfeuer, de quibus v. adn. ad 3, 80. Mox in verbis ἔστι γὰρ ὅτε Bekk. et Popp. ὅ, τι pro ὅτε ex coniectura Abreschii reposuerunt, quia narratio exigat dici *nonnihil*, nec vero *nonnunquam*. Et διὰ χρόνου etc. significat die nach langer Zeit in die See gelassen wurden sive die seit langer Zeit nicht in die See gelassen waren. De portuum Atheniensium κλήσει v. Leak. Athen. p. 338 sq. vers. Germ.

ἔπλεον, τῷ πεζῷ δὲ φυλακὰς τοῦ Πειραιῶς καθίσταντο. οἱ δὲ Πελοποννήσιοι ὡς ἤσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς Σαλαμῖνος τὰ πολλὰ καὶ ἀνθρώπους καὶ λείαν λαβόντες καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου κατὰ τάχος ἐπὶ τῆς Νισαίας ἔπλεον· ἔστι γὰρ ὅ,τι καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι καὶ οὐδὲν στέγουσαι ἐφόβουν. ἀφικόμενοι δὲ ἐς τὰ Μέγαρα πάλιν ἐπὶ τῆς Κορίνθου ἀπεχώρησαν πεζοί· οἱ δ' Ἀθηναῖοι οὐκέτι καταλαβόντες πρὸς τῇ Σαλαμῖνι ἀπέπλευσαν καὶ αὐτοί· καὶ μετὰ τοῦτο φυλακὴν ἅμα τοῦ Πειραιῶς μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο λιμένων τε κλῄσει καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ χειμῶνος τούτου ἀρχο- 95
μένου Σιτάλκης ὁ Τήρεω Ὀδρύσης Θρᾳκῶν βασιλεὺς ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου Μακεδονίας βασιλέα καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης, δύο ὑποσχέσεις, τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. ὅ τε γὰρ Περδίκκας αὐτῷ ὑποσχόμενος, εἰ Ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον καὶ Φίλιππον τὸν ἀδελφὸν αὐτοῦ πολέμιον ὄντα μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ ὑπεδέξατο οὐκ ἐπετέλει· τοῖς τε Ἀθηναίοις αὐτὸς ὡμολογήκει ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο τὸν ἐπὶ Θράκης Χαλκιδικὸν πόλεμον καταλύσειν. ἀμφοτέρων οὖν ἕνεκα τὴν ἔφοδον ἐποιεῖτο καὶ τόν τε Φιλίππου υἱὸν Ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ τῶν Μακεδόνων ἦγε καὶ τῶν Ἀθηναίων πρέσβεις, οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, καὶ ἡγεμόνα Ἄγνωνα· ἔδει γὰρ καὶ τοὺς Ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς Χαλκιδέας παραγενέσθαι. ἀνίστησιν οὖν ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος πρῶτον μὲν τοὺς 96
ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾷκας ὅσων ἦρχε μέχρι θαλάσσης ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον, ἔπειτα τοὺς ὑπερβάντι Αἷμον Γέτας καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου πόντου κατῴκητο· εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ

95. δύο ὑποσχέσεις] Si Scholiastae fides, Perdiccas Sitalcae grandem pecuniam promiserat, ni Philippum fratrem in regnum reduceret. Ante δύο vulgo διά additur, quod om. multi et boni libri. Esse notissimum schema Homericum, interpretes adnotarunt. Schol. ἀντὶ γενικῆς ἡ αἰτιατική, Ἀττικῶς, et confert Hom. Od. μ'. 73. Etenim totum et pars eodem casu ponuntur, ut 1, 89. v. Matth. p. 581. adn. 8. Propter verba Ἀθηναίοις — διαλλάξειεν v. 2, 29.

Φίλιππον] Perdiccas fratrem Alcetam imperio privavit. v. Plat. Gorg. c. 59. p. 471. Alter frater Philippus, expulsus et ipse a Perdicca, cum filio Philippi, Amynta, qui erat pater Philippi Demostheni aequalis, et Derdas, fratresque Derdae, et Pausanias (sive filius is fuit sive frater Derdae), hostes Perdiccae erant, regnum Macedoniae affectantes. Philippus, pater Amyntae, eo tempore (Ol. 87, 4. sive 429.) iam mortuus fuisse videtur.

96. De regno Odrysarum v. Arrian. Al. M. 1, 2, 3. et Kortuem. Hellen. Staatsverf. p. 164.

ὅμοροί τε τοῖς Σκύθαις καὶ ὁμόσκευοι πάντες ἱπποτοξόται. παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων καὶ μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες· καὶ τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ' ἐθελονταὶ ξυνηκολούθουν. ἀνίστη δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ ἄλλα ὅσα ἔθνη Παιονικὰ ὧν ἦρχε· καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν μέχρι Γραικῶν καὶ Λαιαίων Παιόνων καὶ τοῦ Στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ Σκόμβρου ὄρους διὰ Γραικῶν καὶ Λαιαίων ῥεῖ, οὗ ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονόμους ἤδη. τὰ δὲ πρὸς Τριβαλλοὺς καὶ τούτους αὐτονόμους Τρῆρες ὥριζον καὶ Τιλαταῖοι· οἰκοῦσι δ' οὗτοι πρὸς βορέαν τοῦ Σκόμβρου ὄρους καὶ παρήκουσι πρὸς ἡλίου δύσιν μέχρι τοῦ Ὀσκίου πο-

μέχρι Γραικῶν — Παιόνων] Popp. verba *καὶ Λαιαίων* om. et contra vulgatam *μέχρι Γραικῶν καὶ Λαιαίων* sic argumentatur: „Sitalces excivisse dicitur Agrianas, Laeaeos et, quibuscunque imperabat, Paeonicas nationes. Hi (Agrianes et Laeaei) extremi in eius imperio fuisse leguntur usque ad Graaeos et Laeaeos. Laeaei igitur extremi fuerunt usque ad Laeaeos. Id quod absurdum est. Unde patet, Thucydidem scripsisse *μέχρι Γραικῶν Παιόνων*, omissis verbis *καὶ Λαιαίων*.“ Hoc argumentum ad nihil recidit, si verba Thucydidis accurate inspicias. Graaei et Laeaei ad utrumque litus Strymonis habitabant; id quod patet ex verbis ὃς (Strymon) *διὰ Γραικῶν καὶ Λαιαίων ῥεῖ*. Ex his populis Graaei liberi erant, tum ii, qui cis, tum qui trans Strymonem habitabant. Id patet ex verbis: *ἀνίστη δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους*. Si enim Graaei Sitalcae parentes fuissent, scriptor adiicere debebat Graaeorum quoque nomen, sic scribens: *καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ Γραικίους ἀνίστη*, nec dicere, imperium Odrysarum pertinuisse usque ad Graaeos, ut mox dicit. Laeaeorum autem alii habitabant trans Strymonem, iique in ditione Sitalcae erant; id quod patet ex verbis: *ἔσχατοι τῆς ἀρχῆς οὗτοι* (Agrianes et Laeaei) *ἦσαν μέχρι Στρυμόνος* sc. *ἀρχῆς μέχρι Στρυμόνος προηκούσης*. Alii Laeaeorum cis Strymonem habitabant, iique liberi; id quod patet ex verbis Thucydidis, quibus dicit, Strymonem imperium Odrysarum terminasse. Quid igitur vetabat, quominus Thuc. scriberet: Agrianes et Laeaei extremi in imperio Sitalcae fuerunt usque ad Graaeos et Laeaeos pertinente? Siquidem hoc nihil aliud est, nisi Agrianes et Laeaeos non liberos in imperio Sitalcae extremos fuisse usque ad Graaeos et Laeaeos liberos pertinente. Neque hoc solum dicit, sed: usque ad Laeaeos et Strymonem, et statim adiicit, per Strymonem Laeaeos bipartitos fuisse. Quinetiam c. 97. scribit, imperium Odrysarum *ἐς ἤπειρον ἀπὸ Βυζαντίου ἐς Λαιαίους καὶ ἐπὶ τὸν Στρυμόνα* pertinuisse, ubi item nomen *Λαιαίους* Popp. delere debebat, si sibi constare volebat, quoniam hic quoque Laeaei usque ad Laeaeos (quippe extremi imperii versus hanc regionem) pertinuisse traduntur; et ne hic quidem in verbis *ἐς Λαιαίους* alii Laeaei intelligi possunt, nisi Laeaei liberi, extra ditionem Sitalcae et cis Strymonem habitantes. Qui enim diceret, imperium Odrysarum pertinuisse usque ad populum, qui et ipse pars imperii Odrysarum esset? Quod si licet, aeque licebit sic loqui: Preussen grenzt gegen Osten an Russland und Ostpreussen.

Ὀσκίου] Hunc Arn. putat eum fluvium esse, qui nunc Isker, ab Herodoto 4, 49. *Σκίος* appellatur, ubi sunt, qui ex Thucydide legi velint *Ὄσκιος*.' Hoc flumen fontes habet in antiqua Paeonia, et in Da-

ταμοῦ. ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους ὅθενπερ καὶ ὁ Νέστος καὶ ὁ Ἕβρος· ἔστι δὲ ἐρῆμον τὸ ὄρος καὶ μέγα, ἐχόμενον τῆς Ῥοδόπης. ἐγένετο δὲ ἡ ἀρχὴ ἡ Ὀδρυσῶν μέγεθος ἐπὶ μὲν 97
θάλασσαν καθήκουσα ἀπὸ Ἀβδήρων πόλεως ἐς τὸν Εὔξεινον πόντον τὸν μέχρι Ἴστρου ποταμοῦ· αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα, ἢν ἀεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα, νηὶ στρογγύλῃ τεσσάρων ἡμερῶν καὶ ἴσων νυκτῶν· ὁδῷ δὲ τὰ ξυντομώτατα ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἐνδεκαταῖος

nubium se exonerat, penetrans per Haemi convallem, quae inter quinque huiusmodi convalles Haemi maxime occasum spectat. At tabulae geographicae vulgares Iscrum ponunt, quasi qui originem habeat in septentrionali latere Haemi montis. Mox *ἐκ τοῦ ὄρους* est, ni fallor, *ex Scombro*.

97. *μέγεθος*] i. e. es war aber die Herrschaft der Odrysen ihrer Grösse nach, sofern sie sich am Meer erstreckte, von Abdera an bis zum Ister ans schwarze Meer reichend. Quare paulo post addit *τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν* et *αὕτη περίπλους ἐστίν* etc. Deinde lateri mare contingenti ex adverso posita mediterranea describit: *ἐς ἤπειρον δέ* etc. Et idem latus Diod. 12, 50. *παραθαλάσσιον* appellat. *Περίπλους* adiectivum est: diese Seite kann man umschiffen innerhalb 4 Tagen und 4 Nächten. Mox verbis *ἦν — ἵστηται* significat *ἄνεμον πρυμναῖον* sive ventum secundum. v. Dorv. ad Charit. p. 269. 626. Et *στρογγύλη* Scholiastae idem est, quod *ἐμπορικῇ* i. e. navis non remis, sed velis acta, cuius alveus non erat tam planus et profunditate carens, quam alveus triremis, sed altus ut nostrarum navium, ideoque oneribus portandis aptus. Talia navigia semper velis agebantur, et iter continuabant die noctuque, quum triremes, remis actae, singulis noctibus appellerent, quia, ut Arn. docuit, in hoc genere navium non apparatus erat quieti et victui capiendis.

τεσσάρων ἡμερῶν] Herodot. 4, 86. spatium itineris diurni computat esse stadiorum circ. 700, et nocturni 600, ubi loquens de itinere nocturno cogitandus est significare iter velis, non remis factum. Quam computationem si sequamur, iter Abderis usque ad Istrum fuerit circ. 5200 stad. Atqui ab veteribus ostiis Istri ad ostia Bospori recta ducta linea amplius tres partes latitudinis, quae dicuntur, sive circ. 210 milliar. Angl. numerantur; longitudo ipsius Bospori est 16; Propontidis 120; et Hellesponti 60 milliar., unde efficiuntur milliar. 196., atque ab ostio Hellesponti Abdera, ducta item recta linea, accedunt amplius 90 milliar. Itaque Abderis ad ostia usque Istri fuerint 496 milliar. Angl., id quod tam prope abest ab computatione Thucydidis, quam exspectari potest a modo computandi tam rudi: nam 5200 stadia exaequant 566 milliaria Angl. et paulo plus, si quis stadium faciat esse pedum 575. (v. Leak. Athen. p. 382. vers. Germ.) Atque distantiam Abderae et ostii Hellesponti credibile est, aliquanto maiorem fuisse centum milliariis, siquidem statuere licet, navem utcunque litus legere coactam esse, etiamsi sinum Cardiae non intrabat. Eademque ratione multo amplius 210 milliar. numeranda sint a Bosporo ad Istrum. Arn. Mox *εὔζωνος* cum Hesychio interpretor *μὴ ἔχων φορτίον*, ut sit *expeditus*.

ἐνδεκαταῖος] Diurnum iter peditis probabile est poni 200 stadiorum i. e. circiter 21¾ milliariorum Angl., si sequaris Herodotum 4, 101. Brevius intervallum 150 stadiorum, quod tradit 5, 53., intelligendum esse videtur de agmine exercitus. Itaque distantia Abderis transversa

τελεῖ. τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν· ἐς ἤπειρον δὲ ἀπὸ Βυζαντίου ἐς Λαιαίους καὶ ἐπὶ τὸν Στρυμόνα, ταύτῃ γὰρ διὰ πλείστου ἀπὸ θαλάσσης ἄνω ἐγίγνετο, ἡμερῶν ἀνδρὶ εὐζώνῳ τριῶν καὶ δέκα ἀνύσαι. φόρος τε ἐκ πάσης τῆς βαρβάρου καὶ τῶν Ἑλληνίδων πόλεων, ὅσον προσῆξαν ἐπὶ Σεύθου, ὃς ὕστερον Σιτάλκου βασιλεύσας πλεῖστον δὴ ἐποίησε, τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα δύναμις, ἃ χρυσὸς καὶ ἄργυρος εἴη· καὶ δῶρα οὐκ ἐλάσσω τούτων χρυσοῦ τε καὶ ἀργύρου προσεφέρετο, χωρὶς δὲ ὅσα ὑφαντά τε καὶ λεῖα. καὶ ἡ ἄλλη κατασκευή, καὶ οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ τοῖς παραδυναστεύουσί τε καὶ γενναίοις Ὀδρυσῶν. κατεστήσαντο γὰρ τοὐναντίον τῆς Περσῶν βασιλείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θραξί, λαμβάνειν μᾶλλον ἢ διδόναι, καὶ αἴσχιον ἦν αἰτηθέντα μὴ δοῦναι ἢ αἰτήσαντα μὴ τυχεῖν· ὅμως δὲ κατὰ τὸ δύνασθαι ἐπὶ πλέον αὐτῷ ἐχρήσαντο·

ad ostium Danubii usque (nam transversum, non secundum litus maris ductam lineam scriptor significat), fuerit circiter 239 milliar. Angl.; at est, si verum spectes, 280 milliar., etiamsi computes tantum distantiam usque ad vetus ostium Danubii, quod spectabat magis ad austrum amplius 50 milliaribus, quam quod nunc est ostium. Tametsi differentia non tanta est, ut non explicari possit, propterea quod additum est epitheton *εὔζωνος*, quo significari videtur maius, quam solitum iter diurnum. Arn. Conf. Dahlm. Herodot. p. 96. adn. 86. 94 sqq.

ἀπὸ Βυζαντίου] In tabulis nostris geographicis intervallum inter Byzantium et ipsos fontes Strymonis vix 20 milliaribus excedit distantiam Abderae et veteris ostii Danubii apud Tomos. At cogitare licet, maiori difficultate soli versus Strymonem itinera diurna contracta esse: praeterea constat, quam vagae et parum accuratae illae computationes esse debeant, quae itineribus diurnis, non veris mensuris distantiarum nituntur. Arn. Mox de aoristo *προσῆξαν* v. Lobeck. ad Phryn. p. 287. Et optativum in *ἃ χρυσὸς εἴη* „defendas eo, quod de annuis, ergo quotannis redeuntibus pecuniis scriptor loquitur. Conf. Matth. §. 527.“ Haack. Et *λεῖα*, ait Schol., *τὰ λιτὰ, πρὸς ἀντιδιαστολὴν τῶν ὑφαντῶν καὶ πεποικιλμένων*. Sunt igitur vestes non acu pictae, neque intextis figuris variae. v. Schneid. Lex. Gr. s. v. *λῖτον* et Fr. A. Wolf. Anall. liter. 4. p. 501. Buttm. Lexil. Vol. 2. p. 10. Mox *παραδυναστεύοντες* Bloomfieldio videntur ii, qui apud regem gratia valebant. Mihi vocabulum significare videtur minores dominos et quasi quosdam regulos, infra regem positos. Velut Seuthes est *παραδυναστεύων* Sitalcae c. 101.

ὅμως — κατὰ τὸ δύνασθαι] Schol. *διὰ τὴν δύναμιν*. Quod scriptor de more Odrysarum contrario Persarum dicit, interpretes conferunt Xenoph. Cyrop. 8, 2, 7., quem locum huc non pertinere, hoc comprobat, quod non de liberalitate et largitionibus regum agitur, sed de iis, quae populi exsolvebant. Mihi ratio huius loci haec esse videtur: Persae vectigalia accipiebant, quae et essent et dicerentur dona; Odrysae vere vectigalia, quamquam etiamtum sub nomine donorum veniebant. Quae vectigalia quum ab Odrysis pro debito exigerentur, et tamen dona appellarentur, Thucydides severitatem exigendorum vectigalium intellexit morem esse, quo magis pudendum fuerit petenti recusare, quam petentem non accipere, quum revera non talis mos et opinio obtineret, sed necessitas praestandorum vectigalium esset, et ex antiquo more, qui quondam Odrysis cum Persis, adde Germanis

οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα. ὥστε ἐπὶ μέγα ἦλθεν ἡ βασιλεία ἰσχύος. τῶν γὰρ ἐν τῇ Εὐρώπῃ ὅσαι μεταξὺ τοῦ Ἰονίου κόλπου καὶ τοῦ Εὐξείνου πόντου μεγίστη ἐγένετο χρημάτων προσόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ, ἰσχύι δὲ μάχης καὶ στρατοῦ πλήθει πολὺ δευτέρα μετὰ τὴν Σκυθῶν. ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι οὐχ ὅτι τὰ ἐν τῇ Εὐρώπῃ; ἀλλ' οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ,τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι. οὐ μὴν οὐδ' ἐς τὴν ἄλλην εὐβουλίαν καὶ ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦνται. Σιτάλκης μὲν οὖν βασιλεύων χώρας τοσαύτης παρε- 98
σκευάζετο τὸν στρατόν. καὶ ἐπειδὴ αὐτῷ ἑτοῖμα ἦν, ἄρας ἐπορεύετο ἐπὶ τὴν Μακεδονίαν πρῶτον μὲν διὰ τῆς αὐτοῦ ἀρ-

(v. Tacit. de Germ. 15. Dufresne Glossar. Latinit. M. Aev. s. v. *Donum*, Luden. Gesch. d. Teutsch. Volk. Vol. 5. p. 180.) communis fuerat, nihil restaret, nisi nomen donorum. Tale quid sensisse videtur etiam Haack., qui „*λαμβάνειν*, ait, h. l. non est *accipere*, sed *sumere*, et *μᾶλλον* non *libentius*, sed *magis, potius*. Hoc intererat: Persae non postulabant, sed potius sponte oblata accipiebant, vel, si quid petebant, repulsam aegre vel moleste ferebant; Thraces contra non exspectabant munera oblata, sed ipsi vel sumebant vel postulabant, quae placerent, nec indignabantur, si forte alter recusabat,“ sed erogabant ut debitum (equidem addiderim), nec recusationi locus erat.

ἓν πρὸς ἓν] Sic Austria et Russia maiores sunt, quam Francia, at non si spectes *ἔθνος ἓν πρὸς ἓν*. Hoc sensu Franciae populus in Europa maximus est. De Scytharum regni amplitudine et viribus v. Herodot. 5, 3. et Nieb. Verm. Schr. Vol. 1. p. 352 sqq. Mox iunctae in verbis *οὐδ' — οὐκ ἔστιν* negationis *οὐδέ*, antecedentis non sequentis particulam *οὐ* exempla Popp. affert Xenoph. Cyrop. 2, 1, 18. *οὐδ' εἰ πάντες ἔλθοιεν Πέρσαι, πλήθει γε οὐχ ὑπερβαλοίμεθ' ἂν τοὺς πολεμίους*. Demosth. c. Androt. §. 32. c. Aristogit. 1. §. 19. c. Phorm. §. 2. et Herm. ad Soph. Antig. 6.

οὐ μὴν — ὁμοιοῦνται] Schol. *ἀλλ' ὑπερβάλλουσι δηλονότι*. Minus recte, opinor; quamquam suadere videtur consecutio particularum, quarum hic sensus est: *nec tamen* (in hoc uno), *sed ne in reliqua quidem solertia et prudentia, quae in rebus ad vitae fructum suppeditantibus requiritur, ceteris nationibus similes sunt* i. e. si poetas audias, *in his rebus superiores sunt*; si Niebuhrium l. c. p. 369., *inferiores*. Et quidem *οὐχ ὁμοιοῦσθαι* patet utrumque significare, et inferiorem et superiorem esse. Qui *τὴν ἄλλην εὐβουλίαν* et *ξύνεσιν* intelligunt *τὴν εὐνομίαν* Scytharum, quam tantopere poetae, velut Aesch. Eum. 700. Horat. 3. Carm. 24, 12. et vel Strab. 7. p. 301. A. praedicant, hi non animadverterunt, scriptorem addere *περὶ τῶν παρόντων ἐς τὸν βίον*, quae verba fortasse non aliter interpretanda sunt, quam supra adscripsi, et ipsa illa *εὐνομία* a Niebuhrio satis explosa est. Intelligenda potius videtur ratio victus et habitationis Scytharum, qui in plaustris vagarentur domorum expertes, frumenti usum ignorarent, carne et lacte equinis vescerentur, adde reliqua, quae prolixe exponit Herodot. 4, 59 sqq., quamquam etiam Scythae agricolae extabant, v. ibidem c. 17. 18. 53. 54. Sed maior pars Nomades erant, v. c. 19. 55. 6, 84. In his igitur rebus (*τοῖς παροῦσιν ἐς τὸν βίον*) longe aliis populis posthabendi erant. Quare placet, verba *οὐχ ὁμοιοῦνται* explicare *inferiores sunt*. Non igitur sententiis differunt Thuc. et Herodot. 5, 3., quamquam Valckenario ille videbatur suam de Scythis sententiam Herodoto opposuisse.

χῆς, ἔπειτα διὰ Κερκίνης ἐρήμου ὄρους, ὅ ἐστι μεθόριον Σιντῶν καὶ Παιόνων· ἐπορεύετο δὲ δι' αὐτοῦ τῇ ὁδῷ ἣν πρότερον αὐτὸς ἐποιήσατο τεμὼν τὴν ὕλην, ὅτε ἐπὶ Παίονας ἐστράτευσε. τὸ δὲ ὄρος ἐξ Ὀδρυσῶν διϊόντες ἐν δεξιᾷ μὲν εἶχον Παίονας, ἐν ἀριστερᾷ δὲ Σιντοὺς καὶ Μαίδους. διελθόντες δὲ αὐτὸ ἀφίκοντο ἐς Δόβηρον τὴν Παιονικήν. πορευομένῳ δὲ αὐτῷ ἀπεγίγνετο μὲν οὐδὲν τοῦ στρατοῦ εἰ μή τι νόσῳ, προσεγίγνετο δέ· πολλοὶ γὰρ τῶν αὐτονόμων Θρακῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν, ὥστε τὸ πᾶν πλῆθος λέγεται οὐκ ἔλασσον πεντεκαίδεκα μυριάδων γενέσθαι· καὶ τούτου τὸ μὲν πλέον πεζὸν ἦν, τριτημόριον δὲ μάλιστα ἱππικόν. τοῦ δ' ἱππικοῦ τὸ πλεῖστον αὐτοὶ Ὀδρύσαι παρείχοντο καὶ μετ' αὐτοὺς Γέται. τοῦ δὲ πεζοῦ οἱ μαχαιροφόροι μαχιμώτατοι μὲν ἦσαν οἱ ἐκ τῆς Ῥοδόπης αὐτόνομοι καταβάντες, ὁ δὲ ἄλλος ὅμιλος ξύμμικτος πλήθει φοβερώτατος ἠκολούθει. ξυνηθροίζοντο οὖν
99 ἐν τῇ Δοβήρῳ καὶ παρεσκευάζοντο ὅπως κατὰ κορυφὴν ἐσβαλοῦσιν ἐς τὴν κάτω Μακεδονίαν, ἧς ὁ Περδίκκας ἦρχε. τῶν γὰρ Μακεδόνων εἰσὶ καὶ Ἀυγκησταὶ καὶ Ἐλιμειῶται καὶ ἄλλα ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα μέν ἐστι τούτοις καὶ ὑπήκοα, βασιλείας δ' ἔχει καθ' αὑτά. τὴν δὲ παρὰ θάλασσαν νῦν Μακεδονίαν Ἀλέξανδρος ὁ Περδίκκου πατὴρ καὶ οἱ πρόγονοι αὐτοῦ Τημενίδαι τὸ ἀρχαῖον ὄντες ἐξ Ἄργους πρῶτον ἐκτήσαντο καὶ

98. *ἐν δεξιᾷ*] v. Od. Muell. de Maced. p. 19. Mox de Sintis Schol. sic: *Σίντιοι* (leg. *Σίντιες*) *ἐλέγοντο ἐν ὅσῳ τὴν Λῆμνον ᾤκουν· εἰς δὲ Θρᾴκην ἐλθόντες μετωνομάσθησαν Σιντοί.* v. Strab. 7. p. 511. 10. p. 702. 12. p. 826 sq. et Gatter. de Thrac. Herod. et Thuc. §. 64.

99. Hoc caput multis explicat Od. Muell. de Maced. p. 20 sq. adde Cram. Geogr. Gr. Vol. 1. p. 202. De verbis *ὅπως — ἐσβαλοῦσιν* v. Matth. p. 1037. s. v. *ὡς, ὅπως.* Et *κατὰ κορυφήν* est *desuper, ex superiori parte*, inde a iugis montium, pro quo desideres *κατὰ κορυφῆς*, nisi ductum in longum per iuga agmen significetur. Mox *ξύμμαχα* Od. Muell. l. c. p. 33. adn. 55. refert ad Lyncestas, et *ὑπήκοα* ad Elimiam, quod falsum esse paulo inferius apparebit. De regibus Macedoniae origine Argivis v. Herodot. 8, 137. Heyn. ad Hom. Il. Vol. 4. p. 421. et ad Apollod. p. 109. Od. Muell. Dor. 1. p. 2. de Maced. p. 23 sqq. Voemel. ad Demosth. Ol. 3. p. 126 sq. Porro *Πιερικὸν κόλπον* intelligi convallem inter montes sitam, non sinum maris, exemplis Xenoph. H. Gr. 6, 5, 17. et Aristoph. Av. 1094. pluribusque aliis locis Bloomf. demonstrat; adde Passov. ad Tacit. Germ. p. 83. Tacit. 4. Ann. 3. Gronov. Obss. 1, 4. Interpp. ad Tacit. Germ. 37. init. Agr. 30. De regione, quam auctor dicit *στενήν τινα* etc. v. Od. Muell. de Maced. p. 18 sq. adn. 56. In hac regione, quae praeter Axium porrigebatur, sitae erant Idomene et Gortynia, v. ibidem p. 41. Dein *Ἀλμωπας* dicit convallem patentem inde ab Elimia, antiquissima quondam sede Minyarum, in confiniis Macedoniae Thessaliaeque non procul a Pieria, ut videtur. v. Od. Muell. l. c. p. 15. Paulo post sequi debebat *τοῦ τε Ἀνθεμοῦντος — Κρηστωνίας — Βισαλτίας — πολλῆς*, quoniam in primaria sententia praecessit *ἐκράτησαν* cum genitivo. Sed, ut fieri solet, sententiae primariae pars post sententiam intermediam posita ipsorum eorum, quae interposita sunt, structurae accommodatur.

ἐβασίλευσαν ἀναστήσαντες μάχῃ ἐκ μὲν Πιερίας Πίερας, οἳ ὕστερον ὑπὸ τὸ Πάγγαιον πέραν Στρυμόνος ᾤκησαν Φάγρητα καὶ ἄλλα χωρία· καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται ἡ ὑπὸ τῷ Παγγαίῳ πρὸς θάλασσαν γῆ· ἐκ δὲ τῆς Βοττίας καλουμένης Βοττιαίους, οἳ νῦν ὅμοροι Χαλκιδέων οἰκοῦσι· τῆς δὲ Παιονίας παρὰ τὸν Ἀξιὸν ποταμὸν στενήν τινα καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ θαλάσσης ἐκτήσαντο, καὶ πέραν Ἀξιοῦ μέχρι Στρυμόνος τὴν Μυγδονίαν καλουμένην Ἤδωνας ἐξελάσαντες νέμονται. ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν Ἐορδίας καλουμένης Ἐορδούς, ὧν οἱ μὲν πολλοὶ ἐφθάρησαν, βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν κατῴκηται, καὶ ἐξ Ἀλμωπίας Ἀλμῶπας. ἐκράτησαν δὲ καὶ τῶν ἄλλων ἐθνῶν οἱ Μακεδόνες οὗτοι, ἃ καὶ νῦν ἔτι ἔχουσι, τόν τε Ἀνθεμοῦντα καὶ Κρηστωνίαν καὶ Βισαλτίαν καὶ Μακεδόνων αὐτῶν πολλήν. τὸ δὲ ξύμπαν Μακεδονία καλεῖται καὶ Περδίκκας Ἀλεξάνδρου βασιλεὺς αὐτῶν ἦν ὅτε Σιτάλκης ἐπῄει.

Καὶ οἱ μὲν Μακεδόνες οὗτοι ἐπιόντος πολλοῦ στρατοῦ 100
ἀδύνατοι ὄντες ἀμύνεσθαι ἔς τε τὰ καρτερὰ καὶ τὰ τείχη ὅσα ἦν ἐν τῇ χώρᾳ ἐσεκομίσθησαν. ἦν δὲ οὗ πολλά, ἀλλὰ ὕστερον Ἀρχέλαος ὁ Περδίκκου υἱὸς βασιλεὺς γενόμενος τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε καὶ ὁδοὺς εὐθείας ἔτεμε καὶ τἆλλα διεκόσμησε τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις καὶ τῇ ἄλλῃ παρασκευῇ κρείσσονι ἢ ξύμπαντες οἱ ἄλλοι βασιλῆς ὁκτὼ

Μακεδόνων αὐτῶν] Qui ipsi Macedones (die eigentlichen, ursprünglichen) fuerint, docet Od. Muell. p. 32. Origine non Macedones fuerunt incolae Pieriae, Bottiaeae, Anthemuntis, Mygdoniae, Methonae, Bisaltiae et Crestonae. Hi omnes origine Thracia erant. Nec magis ortu Macedones erant, qui incolebant Paeoniam, Eordaeam, Almopiam. Vere Macedonicae erant Elimiaeotis, Orestis et Lyncus.

100. *Ἀρχέλαος*] De hoc v. Od. Muell. de Maced. p. 55. Mox *τἆλλα* intellige res pacis, et res bellicas idem instruxit, levi armaturae addens equitatum graviterque armatos (*ὅπλα*) et alium apparatum. Planius erat scribi *καὶ τἆλλα τε διεκόσμησε καὶ τὰ κατὰ τὸν πόλεμον* etc., ut Popp. iudicat. Comparativum *κρείσσονι* idem dicit hunc sensum habere: et rem militarem exornavit equis, et gravibus armis et cetero apparatu ita, ut is melior esset. Post haec sequi debebat: quam apparatus omnium antecedentium regum, *τῆς ξυμπάντων*. Itaque probat scripturam *κρεῖσσον*, quae est in Cl. Ven. et Mosqu. Quod minime placet, nam nominativus *ξύμπαντες* stare potest post *κρείσσονι*, repetito *διεκόσμησαν* ex *διεκόσμησε*. Qui ante Archelaum regnaverant, et ipsi eas res curaverant, inter alia equitatum et graviter armatos paraverant: (qui enim probetur, Archelaum primum in Macedonia hanc militiam instituisse?) sed cuncti et universi non tantum illarum rerum apparatum fecerant, quam unus Archelaus. Ceterum septem priores Macedoniae reges recensentur ab Herodoto 8, 139., post Alexandrum octavus successit Perdiccas, post hunc Archelaus. Conf. Od. Muell. de Maced. p. 24. adn. 16. Mox de Idomene v. Cram. Geogr. Gr. Vol. 1. p. 230. Deinde *Ἀταλάντην* Arnoldo videtur erratum pro *Ἀλλάντην*, quam nominant Plin. et Steph. Byz. Et *Βοττιαίαν* c. 99. dixerat *Βοττίαν*. v. adn. ad 1, 57.

οἱ πρὸ αὐτοῦ γενόμενοι. ὁ δὲ στρατὸς τῶν Θρακῶν ἐκ τῆς Δοβήρου ἐξέβαλε πρῶτον μὲν ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχήν, καὶ εἶλεν Εἰδομένην μὲν κατὰ κράτος, Γορτυνίαν δὲ καὶ Ἀταλάντην καὶ ἄλλα ἄττα χωρία ὁμολογίᾳ διὰ τὴν Ἀμύντου φιλίαν προσχωροῦντα τοῦ Φιλίππου υἱέος παρόντος· Εὐρωπὸν δὲ ἐπολιόρκησαν μέν, ἑλεῖν δὲ οὐκ ἐδύναντο. ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην Μακεδονίαν προυχώρει τὴν ἐν ἀριστερᾷ Πέλλης καὶ Κύρρου. ἔσω δὲ τούτων ἐς τὴν Βοττιαίαν καὶ Πιερίαν οὐκ ἀφίκοντο, ἀλλὰ τήν τε Μυγδονίαν καὶ Κρηστωνίαν καὶ Ἀνθεμοῦντα ἐδῄουν. οἱ δὲ Μακεδόνες πεζῷ μὲν οὐδὲ διενοοῦντο ἀμύνεσθαι, ἵππους δὲ προσμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων ὅπη δοκοῖ ὀλίγοι πρὸς πολλοὺς ἐξέβαλλον ἐς τὸ στράτευμα τῶν Θρακῶν, καὶ ᾗ μὲν προσπέσοιεν, οὐδεὶς ὑπέμενεν ἄνδρας ἱππέας τε ἀγαθοὺς καὶ τεθωρακισμένους, ὑπὸ δὲ πλήθους περικληόμενοι αὐτοὺς πολλαπλασίῳ τῷ ὁμίλῳ ἐς κίνδυνον καθίστασαν· ὥστε τέλος ἡσυχίαν ἦγον, οὐ νομίζοντες
101 ἱκανοὶ εἶναι πρὸς τὸ πλέον κινδυνεύειν. ὁ δὲ Σιτάλκης πρός τε τὸν Περδίκκαν λόγους ἐποιεῖτο ὧν ἕνεκα ἐστράτευσε καὶ ἐπειδὴ οἱ Ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσίν, ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν, δῶρά τε καὶ πρέσβεις ἔπεμψαν αὐτῷ, ἔς τε τοὺς Χαλκιδέας καὶ Βοττιαίους μέρος τι τοῦ στρατοῦ πέμπει, καὶ τειχήρεις ποιήσας ἐδῄου τὴν γῆν. καθημένου δ' αὐτοῦ περὶ τοὺς χώρους τούτους οἱ πρὸς νότον οἰκοῦντες Θεσσαλοὶ καὶ

ἀπὸ τῶν ἄνω ξυμμάχων] a Lyncestis, intelligit Od. Muell. de Maced. p. 59. adn. At hi non erant socii Macedonum, sed ipsi Macedones, et Perdiccae parebant. Qui isti ἀπὸ τῶν ἄνω fuerint, dicitur c. 99., unde apparet, qui socii ex supernis Macedoniae praesenti loco appellantur, eos non alios fuisse, quam illa ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα ἦν, βασιλείας δ' εἶχε καθ' αὑτά, quae ibi a Lyncestis et Elimiotis discernuntur.

101. δῶρά τε] Popp. legi vult. δῶρα δὲ καὶ πρέσβεις, quoniam haec sententia sit: Athenienses navibus non advenisse, sed dona ac legatos ad Sitalcem misisse. „Duae enunciationes, ait, inter se contrarie positae per particulam τε coniungi nequeunt. Sitalces, quum Atheniensium classis non adesset, id efficere aut non potuit, aut noluit, quod iis spoponderat, se Chalcidico bello finem impositurum esse. Sed quum Athenienses et dona ad eum perferri et legatos eodem proficisci iussissent, aliquid certe faciendum ratus, partem quandam exercitus in Chalcidenses atque Bottiaeos misit, quorum terram, postquam hos intra muros compulerat, vastavit.“ Mox de ὑπηκόοις Thessalorum v. Od. Muell. Dor. 2. p. 65. Deinde Gatter. censet, Δρῶοι in Λεραῖοι mutandum esse, et verba καὶ Δερσαῖοι expungenda. Putat enim nomen Δρῶοι corruptelam esse, ex male lecto nomine Λεραῖοι natam, qui Deraei iidem sint, quos Herodotus Δερσαίους appellat. Steph. Byz. Λεραῖοι, Θρακῶν ἔθνος. Ἡρόδοτος Δερσαίους αὐτούς φησι. Arn. negat, in rebus tam incertis quidquam mutari debere, posse etiam Droos populum in illis regionibus extitisse, certe non extitisse neminem spondere posse. Mox de verbis ὥσπ' ἐν τάχει v. Matth. p. 1038., de verbis ἐπ' αὐτῇ ibidem p. 1167.

Μάγνητες καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν καὶ οἱ μέχρι Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες ὅσοι πεδία εἶχον, Παναῖοι καὶ Ὀδόμαντοι [καὶ Δρῶοι] καὶ Δερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες. παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν Ἀθηναίων πολεμίους Ἕλληνας μὴ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ τὸ ξυμμαχικὸν καὶ ἐπὶ σφᾶς χωρήσωσιν. ὁ δὲ τήν τε Χαλκιδικὴν καὶ Βοττικὴν καὶ Μακεδονίαν ἅμα ἐπέχων ἔφθειρε, καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο ὧν ἕνεκα ἐξέβαλε καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ καὶ ὑπὸ χειμῶνος ἐταλαιπώρει, ἀναπείθεται ὑπὸ Σεύθου τοῦ Σπαρδάκου, ἀδελφιδοῦ ὄντος καὶ μέγιστον μεθ' αὐτὸν δυναμένου, ὥστ' ἐν τάχει ἀπελθεῖν· τὸν δὲ Σεύθην κρύφα Περδίκκας ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν καὶ χρήματα ἐπ' αὐτῇ προσποιεῖται. καὶ ὁ μὲν πεισθεὶς καὶ μείνας τριάκοντα τὰς πάσας ἡμέρας, τούτων δὲ ὀκτὼ ἐν Χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατὰ τάχος ἐπ' οἴκου· Περδίκκας δὲ ὕστερον Στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι Σεύθῃ, ὥσπερ ὑπέσχετο. τὰ μὲν οὖν κατὰ τὴν Σιτάλκου στρατείαν οὕτως ἐγένετο.

Οἱ δὲ ἐν Ναυπάκτῳ Ἀθηναῖοι τοῦδε τοῦ χειμῶνος, ἐπειδὴ 102
τὸ τῶν Πελοποννησίων ναυτικὸν διελύθη, Φορμίωνος ἡγουμένου ἐστράτευσαν, παραπλεύσαντες ἐπ' Ἀστακοῦ καὶ ἀποβάντες, ἐς τὴν μεσόγειαν τῆς Ἀκαρνανίας τετρακοσίοις μὲν ὁπλίταις Ἀθηναίων τῶν ἀπὸ τῶν νεῶν, τετρακοσίοις δὲ Μεσσηνίων, καὶ ἔκ τε Στράτου καὶ Κορόντων καὶ ἄλλων χωρίων ἄνδρας οὐ δοκοῦντας βεβαίους εἶναι ἐξήλασαν καὶ Κύνητα τὸν Θεολύτου ἐς Κόροντα καταγαγόντες ἀνεχώρησαν πάλιν ἐπὶ τὰς ναῦς. ἐς γὰρ Οἰνιάδας ἀεί ποτε πολεμίους ὄντας μόνους Ἀκαρνάνων οὐκ ἐδόκει δυνατὸν εἶναι χειμῶνος ὄντος στρατεύειν· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγραίων καὶ Ἀμφιλόχων καὶ διὰ τοῦ Ἀκαρνανικοῦ πεδίου, ἄνωθεν μὲν παρὰ Στράτον πόλιν, ἐς θάλασσαν δ' ἐξιεὶς παρ' Οἰνιάδας καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεύειν. κεῖνται δὲ καὶ τῶν νήσων τῶν Ἐχινάδων αἱ πολλαὶ καταντικρὺ Οἰνιαδῶν, τοῦ Ἀχελῴου τῶν ἐκβολῶν

102. ἐπ' Ἀστακοῦ] Praepos. hic non significat hostilem animum, nam Astacus urbs erat non inimica; receperant eam Athenienses c. 30. Paulo post ad ἄνωθεν μὲν supple ῥέων i. e. superne quidem Stratum urbem, ubi vero in mare influit, Oeniadas praeterfluens. Mox δ' ἐξιείς probabilis est coniectura Popponis pro vulgata διεξιείς. Conf. Herodot. 2, 10. Oeniadae, si Scholiastam audias, ea urbs est, quae nunc Dragomestri; Cram. et Arn. ponunt in ora ab vetere alveo Acheloi orientem spectante; alii ibi, ubi nunc Trigardon est; Gell. ibi, ubi Kuria Irene, loco quatuor circiter milliaribus ab Missolongia ad septentriones versus remotiore, in colle saxoso, ubi etiamnunc rudera antiquae urbis reperiuntur; ipsam Missolongiam Oeniadas fuisse putat Wachsm. Antt. Gr. 1, 1. p. 9, 34.

οὐδὲν ἀπέχουσαι, ὥστε μέγας ὢν ὁ ποταμὸς προσχοῖ ἀεὶ καὶ εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται, ἐλπὶς δὲ καὶ πάσας οὐκ ἐν πολλῷ τινι ἂν χρόνῳ τοῦτο παθεῖν. τό τε γὰρ ῥεῦμά ἐστι μέγα καὶ πολὺ καὶ θολερόν, αἵ τε νῆσοι πυκναὶ καὶ ἀλλήλαις τῆς προσχώσεως τῷ μὴ σκεδάννυσθαι σύνδεσμοι γίγνονται, παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχουσαι εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. ἐρῆμοι δ' εἰσὶ καὶ οὐ μεγάλαι. λέγεται δὲ καὶ Ἀλκμαίωνι τῷ Ἀμφιάρεω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρός, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν, ὑπειπόντα οὐκ εἶναι λύσιν τῶν δεινάτων πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ κατοικίσηται ἥτις ὅτε ἔκτεινε τὴν μητέρα μήπω ὑπὸ ἡλίου ἑωρᾶτο μηδὲ γῇ ἦν, ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. ὁ δ' ἀπορῶν, ὥς φασι, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην τοῦ Ἀχελῴου, καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῷ σώματι ἀφ' οὗπερ κτείνας τὴν μητέρα οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο. καὶ κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους ἐδυνάστευσέ τε καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπε. τὰ μὲν περὶ Ἀλκμαίωνα τοιαῦτα λεγόμενα παρελάβομεν.

103 Οἱ δὲ Ἀθηναῖοι καὶ ὁ Φορμίων ἄραντες ἐκ τῆς Ἀκαρνανίας καὶ ἀφικόμενοι ἐς τὴν Ναύπακτον ἅμα ἦρι κατέπλευσαν ἐς τὰς Ἀθήνας, τούς τε ἐλευθέρους τῶν αἰχμαλώτων ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν, καὶ τὰς

τῷ μὴ σκεδάννυσθαι] Pauci libri τὸ μή, quod Reisk. volebat, sensu ὥστε μή. (Vid. Matth. §. 543.) Nihil vitiosi in vulgata esse videtur, nam ea nihil dicit, nisi id quod verbis παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι dicitur: und sie sind einander Bindungsmittel des Angeschwemmten, indem sie nicht *zerstreut liegen*, sondern hinter und zwischen je zweien eine (παραλλάξ), und nicht in Einer Linie parallel hinter einander (οὐ κατὰ στοῖχον). Quo factum est, ut aqua non haberet liberum effluvium, nullis spatiis vacuis inter binas insulas relictis, sed insulis exitum aquae in mare obstruentibus. De voce παραλλάξ v. Lobeck. ad Soph. Ai. 1076. Mox infinitivus ἀλᾶσθαι legitur post ὅτε in oratione obliqua more tum Graecorum tum Latinorum. v. Matth. p. 1057. Post ἂν κεχῶσθαι supple: si ibi considere decrevisset, ut Popp. monuit. Et δίαιτα Arn. convertit a place sufficient to support life. Deinde de παιδὸς ἑαυτοῦ Popp. quaerit, utrum significetur *unus ex eius filiis*, an *unus, quem habebat, filius*. Hoc quidem τοῦ παιδὸς ἑαυτοῦ dici velle ait Grammaticos nostros, velut Buttmannum Gr. max. §. 124. adn. 1. Contra quam sententiam quae exempla profert, ea sunt a re, quam refutare vult, alienissima, nam sumta sunt de avis, uxore et eiusmodi parentibus, quorum quum numerus per se definitus, vel ex serie orationis cognitus sit, non erat necesse, articulo vel addito vel demto differentiam facere; at filiorum non item numerus definitus est, quare ubi unum esse significare volunt, articulum utiliter et apte adiiciunt.

τὴν ἐπωνυμίαν] Schol. πρότερον γὰρ Κουρῆτις ἐκαλεῖτο, et citat Hom. Il. 9, 525. De rebus Alcmaeonis v. Herodot. 2, 10. Apollod. 3, 6, 2. 7, 2, 5. Marx in Ephoreis p. 124 sqq.

ναῦς ἃς εἷλον. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

103. ξυνέγραψεν] Cum *ν* paragogico C. F. G. I. E. Ven. Mosqu. Vulgo sine isto. Herm. de Em. Rat. Gr. Gr. p. 22. literam istam addi iubet, quia his insignior pars argumenti finiatur, et vox recitantis diutius debeat consistere: habere quosdam libros in fine libri 4. ξυνέγραψεν, id igitur etiam libr. 2. et 3. reponendum esse.

TEMPORA

RERUM IN LIBRO SECUNDO MEMORATARUM.

Cap.
1. Ἄρχεται] Ol. 87, 1. (431.) Munychione.
8. Λῆλος ἐκινήθη] Ol. 87¼. (431.)
27. ἀνέσισαν] v. Boeckh. C. I. Vol. 1. p. 294. b.
31. περὶ δὲ τὸ φθινόπωρον] Ol. 87, 2. (431.) circ. d. 21. Sept.
32. τοῦ θέρους τούτου] fin. Sept. 431. Ol. 87, 2.
33. τοῦ δ' ἐπιγιγνομένου χειμῶνος] ab Octobr. ineunte.
47. τοῦ δὲ θέρους εὐθύς] Ol. 87, 2. (430.) a d. 28. Mart. usque in m. Mai.
57. ἡμέρας γὰρ τεσσαράκοντα] inde ab d. 28. Mart. usque ad d. 8. Apr. 430. Ol. 87, 2.
58. ἐστράτευσαν εὐθύς] Ol. 87¾. (430.)
65. δύο ἔτη καὶ μῆνας ἕξ] Ol. 87, 4. (429.) usque ad m. Sept.
66. τοῦ αὐτοῦ θέρους] Ol. 87¾. (430.)
67. τοῦ αὐτοῦ θέρους τελευτῶντος] Ol. 87, 3. (430.) Sept.
69. τοῦ δ' ἐπιγιγνομένου χειμῶνος] Ol. 87, 3. (430.) ab Octobr.
70. τοῦ δ' αὐτοῦ χειμῶνος] Ol. 87, 3. (429.) post d. 17. Mart.
71. τοῦ δ' ἐπιγιγνομένου θέρους] Ol. 87, 3. (429.)
75. ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα] Ol. 87, 3. (429.) fere inde a d. 6. Iul.
79. ἀκμάζοντος τοῦ σίτου] Ol. 87, 4. (429.) m. Iul.
80. οὐ πολλῷ ὕστερον] Ol. 87, 4. (429.) Sept.
83. περὶ τὰς αὐτὰς ἡμέρας] Ol. 87, 4. (429.) Sept.
93. ἀρχομένου τοῦ χειμῶνος] Ol. 87, 4. (429.) ineunte m. Octobr.
101. ἀνεχώρησε τῷ στρατῷ] Ol. 87, 4. (429.) Novembr.
102. τοῦδε τοῦ χειμῶνος] Ol. 87, 4. (428.) ante Apr.
103. ἅμα ἦρι] Ol. 87, 4. (428.) m. Apr.

ARGUMENTUM LIBRI TERTII.

Tertia incursio Peloponnesiorum in Atticam duce Archidamo 1. Lesbi omnis praeter Methymnam defectio 2—6. Expeditio Atheniensium in Laconicam, contra Oeniadas et in Leucadem 1. Mytilenaei legatos mittunt in Peloponnesum auxilia impetratum 8—15. Oratio Mytilenaeorum 9—14. Athenienses centum navibus Isthmum praeternavigant; Lacedaemonii exercitum in Lesbum mittendum parant 16. Magnitudo navalium opum Atheniensium, sumtuumque in illas expensorum 17. Expeditio Mytilenaeorum contra Methymnam et Methymnaeorum contra Antissam. Mytilene operibus clauditur 18. Athenienses misso Lysicle, ut pecunias contribuendas cogeret, vincuntur 19. Plataeenses ducenti viginti muris Peloponnesiorum superatis Athenas evadunt 20—24. Salaethus Lacedaemonius Mytilenam intrat 25. Quarta expeditio Peloponnesiorum in Atticam duce Cleomene 26. Mytilenaei se dedunt Pacheti, duci Atheniensium 27. 28. (Hic est πόλεμος Πελοποννησιακὸς Παχήτιος, quem dicit Strabo 13. p. 896. B. Alm.) Alcidae et quadraginta navium Peloponnesiorum in Ioniam navigatio et reditus 29—33. Paches Alcidam persecutus Notium capit et res Lesbi componit 33—35. Mytilenaeorum Athenis accusatio et damnatio 36—50. Prius decretum Atheniensium et poenitentia 36. Oratio Cleonis 37—40. Adversa oratio Diodoti 41—48. Decretum Atheniensium et poena Mytilenaeorum 49. 50. Atheniensium expeditio contra Minoam duce Nicia 51. Plataeensium deditio et iudicium 52—68. Plataeenses dedita urbe iudicium subeunt 52. Oratio Plataeensium 53—59. Adversa oratio Thebanorum 60—67. Plataeensium saeva damnatio 68. Res Corcyrae 69—85. Lacedaemonii navigationem in Corcyram parant 69. Seditio Corcyraeorum, ex qua plebs superior discedit 70—75. Adventus Alcidae et Brasidae, ducum Lacedaemoniorum, victoria et discessus 76—80. Corcyraeorum in inimicos saevitia 81. Degressio de natura et causis omnium Graecorum seditionum 82—84. Exules Corcyraeorum Istonen occupant 85. Atheniensium prima in Siciliam expeditio ducibus Lachete et Charoeade 86. Pestilentia iterum Atheniensibus ingruit 87. Atheniensium in Sicilia expeditio contra Aeoli insulas 88. Terrae motus passim per Graeciam 89. In Sicilia Mylae et Messana expugnantur 90. Atheniensium expeditiones in Peloponnesum, Melum, Tanagram, Locridem 91. Lacedaemonii Heracleam in Trachinia condunt 92. 93. Demosthenis Atheniensis primo in Leucadiam, deinde in Aetolos expeditio, et hic clades 94—98. Atheniensium in Sicilia navigatio in Locridem 99. Aetoli cum Lacedaemoniis Eurylocho duce per Locros Ozolas contra Naupactum frustra expeditionem suscipiunt 100—102. Atheniensium in Sicilia contra Inessam et in Locridem expeditio 103. Deli lustratio 104. Digressio de antiquis rebus Deli, quarum Homerus in Hymnis testis est. Ambraciotarum et Eurylochi contra Argos Amphilochicum expeditio et ingens apud Olpas et Idomenen strages 105—114. Res Siculae, Pythodori adventus, Aetnae eruptio 115. 116.

Γ.

Τοῦ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι 1
ἅμα τῷ σίτῳ ἀκμάζοντι ἐστράτευσαν ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ
αὐτῶν Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ
ἐγκαθεζόμενοι ἐδήουν τὴν γῆν· καὶ προσβολαί, ὥσπερ εἰώθε-
σαν, ἐγίγνοντο τῶν Ἀθηναίων ἱππέων ὅπη παρείκοι, καὶ τὸν
πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον τὸ μὴ προεξιόντας τῶν
ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. ἐμμείναντες δὲ χρόνον
οὗ εἶχον τὰ σιτία ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις.

Μετὰ δὲ τὴν ἐσβολὴν τῶν Πελοποννησίων εὐθὺς Λέσβος 2
πλὴν Μηθύμνης ἀπέστη ἀπ' Ἀθηναίων, βουληθέντες μὲν καὶ
πρὸ τοῦ πολέμου, ἀλλ' οἱ Λακεδαιμόνιοι οὐ προσεδέξαντο,
ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον ἢ διε-

1. *τὸ μὴ κακουργεῖν*] i. e. *ὥστε μὴ κακουργεῖν* sive *τοῦ μὴ κακουργεῖν*. v. Matth. p. 1068. 1047. 3. Mox *οὐ εἶχον τὰ σιτία* dixit, quemadmodum *σιτία ἔχειν τριῶν, τεσσάρων ἡμερῶν*.

2. *βουληθέντες μὲν — ἀναγκασθέντες δὲ*] Priori harum sententiarum exponit, Mytilenaeos quamvis iam ante bellum defectionem machinatos usque differre voluisse; altera, eos invitos ad eam maturandam impulsos esse. Deinde profert duplicem rationem, per *γάρ* incipientem, quarum rationum altera docet, cur seditionem etiamtum differre voluerint; altera, cur inviti iam tum defecerint: *τῶν τε γὰρ λιμένων — Τενέδιοι γάρ*. Dein ad *καὶ ταύτην* Schol. adnotavit: *οὐχ ὡς καὶ ἄλλην αὐτῶν πεποιημένων ἀπόστασιν, ἀλλὰ τὸ ταύτην ἐν ἴσῳ τέθεικε τῷ ἐν τῷ τότε χρόνῳ*. Mox de portubus Mytilenae vid. Plehn. Lesbiac. p. 12 sqq. Zander. Beitr. zu der Kunde der Insel Lesbos p. 24 sqq. Urbs duplicem portum habebat, alterum a septentrione, Maloenta dictum, alterum ab austro. v. Thuc. 3, 6. Strab. 13. p. 917. B. Wachsm. Antt. Gr. 1, 1. p. 54, 76. portum australem confundit cum portu Hierae (Olivenhafen). Mox structura *ἀπὸ κοινοῦ* est, pro *καὶ ἀφικέσθαι ὅσα ἔδει ἀφικέσθαι*. Dein verba *καὶ ἃ μεταπεμπόμενοι ἦσαν* significant *et in quibus arcessendis versabantur*. Schaef. Ind. ad Long. s. v. *σιέρεσθαι* coniecit *καὶ ἄλλα ἃ μεταπεμπ. ἦσαν*, quia e Dan. enotatum est *καὶ ἅμα μεταπεμπ. ἦσ.* „Sed *ἄλλα* etiamsi diserto verbo non effertur, inest in totius orationis conformatione.“ Popp. De inimicitia Tenediorum, Methymnaeorum et Mytilenaeorum et inde exorto bello v. Diod. 12, 55 sqq. Aristot. Polit. 5, 3, 3. De scriptura nominis Mytilene (alii Mitylene), v. Herodian. de Barbarism. p. 195. Valck. Cod. Marcian. nr. 489. apud Villoison. Anecdd. Gr. p. 176. *Μυτιληναῖοι* et *Μυτιλήνη* ex libris Thuc. tantum non ubique It. et Pal. habent; rarius Gr. Eandem scripturam Stephani Byz. fuisse, ordo alphabeticus arguit. De nummis v. Spanh. de Praest. et Usu Numism. 9. p. 645. 11. p. 279. 12. p. 489., ad Callim. Vol. 2. p. 175. 250. Ern. Rasche Lexic.

νοσοῦντο ποιήσασθαι. τῶν τε γὰρ λιμένων τὴν χῶσιν καὶ τειχῶν οἰκοδόμησιν καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι, καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι, τοξότας τε καὶ σῖτον, καὶ ἃ μεταπεμπόμενοι ἦσαν. Τενέδιοι γὰρ ὄντες αὐτοῖς διάφοροι καὶ Μηθυμναῖοι, καὶ αὐτῶν Μυτιληναίων ἰδίᾳ ἄνδρες κατὰ στάσιν πρόξενοι Ἀθηναίων μηνυταὶ γίγνονται τοῖς Ἀθηναίοις ὅτι ξυνοικίζουσί τε τὴν Λέσβον ἐς τὴν Μυτιλήνην βίᾳ καὶ τὴν παρασκευὴν ἅπασαν μετὰ Λακεδαιμονίων καὶ Βοιωτῶν ξυγγενῶν ὄντων ἐπὶ ἀποστάσει ἐπείγονται· καὶ εἰ μή τις προκαταλήψεται ἤδη, στερήσεσθαι
3αὐτοὺς Λέσβου. οἱ δ' Ἀθηναῖοι, ἦσαν γὰρ τεταλαιπωρημένοι ὑπό τε τῆς νόσου καὶ τοῦ πολέμου ἄρτι καθισταμένου καὶ

Numism. 3, 2. p. 1017. et Froehlich. IV. Tentam. in Re Numism. Vet. p. 230. Adde Voss. ad Melam 2, 7. Zander. Beitr. p. 19. et inprimis Plehn. Lesbiac. p. 10 sqq.

ξυνοικίζουσι] Mytilenaei conabantur idem efficere, quod Theseus in Attica effecerat i. e. volebant, ut ceterae urbes Lesbi liberae civitates (*πόλεις*) esse desinerent et *δῆμοι* sive municipia fierent cum administratione suarum quaeque rerum, ita tamen ut summa rerum non iam penes ipsas, sed penes Mytilenaeos esset. Itaque Mytilenae commune prytaneum, ibidemque futurum erat, ut ius diceretur, et reliqui populi insulae non iam Methymnaei, Antissaei etc. essent separati separatis nominibus, sed communi nomine Mytilenaei. Arn. Sic etiam Wachsm. Antt. Gr. 1, 1. p. 128, 21. c. intellexit. At mihi haec *συνοίκισις* eiusmodi fuisse videtur, qualis urbium Olynthum translatarum 1, 58., quae translatio hoc consilio facta erat, ut incolae urbium in unam collatarum adversus communem hostem validiores fierent, non ut unius urbis cives essent, *ξυντελοῦντες* in novam metropolin, qualis fuit *συνοίκισις* per Theseum facta. Idem sentit Schol. *ἄκοντας τοὺς Λεσβίους ἀναγκάζουσιν εἰς τὴν Μυτιλήνην οἰκῆσαι· ἐβούλοντο γὰρ ἐκ μιᾶς πόλεως ὁρμώμενοι πολεμεῖν.* Mox de Boeotis, consanguineis Lesbiorum v. 3, 13. init. Arn. ad h. l. et Plehn. Lesb. p. 39. Qui Aeoles fuerint, docet Od. Muell. Orchom. p. 140.

3. *ἄρτι καθισταμένου*] i. e. des eben bestehenden Krieges. Popp. Mox *προσπολεμώσασθαι* est *bellum sibi conflare cum Lesbo, praeter bellum cum aliis iam geri coeptum.* Eam vim medii esse, recte Arn. adnotavit. Et *μεῖζον μέρος νέμοντες* interpretor sie räumten ihrem Wunsch, dass es nicht so seyn möchte, mehr ein, als ihrer Furcht, es möchte so seyn, sive *facilius eo inclinabant, ut non crederent ita esse, quia nolebant ita esse.* Nam quod quis non optat, id non facile credit: contra ea *ἃ ἐπιθυμεῖ ψυχή, καὶ πιστεύειν φιλεῖ* Heliod. Aeth. 8. p. 379. Bourd. v. Krueg. ad Dionys. p. 164. Mox Apollinem Maloenta Sturz. ad Hellan. p. 90. ducit a Malea, promontorio; aliter sentit Od. Muell. Dor. 1. p. 227. Nomen nihil aliud significat, nisi Apollinem *ἀκραῖον*, nam Dii *ἀκραῖοι* multi sunt in nummis Mytilenaeorum. v. Wachsm. Antt. Gr. 2, 2. p. 164, 106. Idem audit Apollo Maleates, Malaeotes, Maleotes a Malea i. e. promontorio. v. Od. Muell. Etrusk. p. 83 sq. adn. Pausan. 2, 27. extr. Boeckh. C. I. Vol. 1. p. 590. b. Zander. Beitr. p. 14. adn. Non aliter dux Tyrrhenorum Pelasgorum, qui in Malea Laconiae consederat, Malaeotes appellatur. v. Od. Muell. l. c. Quae autem Malea fuerit, unde Apollo Mytilenaeorum nomen Maloentis habuit, docebitur ad c. 4. *Μαλόεις* in fin. huius ipsius cap. est templum Apollinis Maloentis. Hinc Steph. Byz. *Μαλλόεις Ἀπόλλων ἐν Λέσβῳ· καὶ ὁ τόπος τοῦ ἱεροῦ Μαλλόεις.* Paulo post structura variatur per

ἀκμάζοντος, μέγα μὲν ἔργον ἡγοῦντο εἶναι Λέσβον προσπολεμώσασθαι ναυτικὸν ἔχουσαν καὶ δύναμιν ἀκέραιον, καὶ οὐκ ἀπεδέχοντο πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ πέμψαντες πρέσβεις οὐκ ἔπειθον τοὺς Μυτιληναίους τήν τε ξυνοίκησιν καὶ τὴν παρασκευὴν διαλύειν, δείσαντες προκαταλαβεῖν ἐβούλοντο. καὶ πέμπουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς αἳ ἔτυχον περὶ Πελοπόννησον παρεσκευασμέναι πλεῖν· Κλεϊππίδης δὲ ὁ Δεινίου τρίτος αὐτὸς ἐστρατήγει. ἐσηγγέλθη γὰρ αὐτοῖς ὡς εἴη Ἀπόλλωνος Μαλόεντος ἔξω τῆς πόλεως ἑορτή, ἐν ᾗ πανδημεὶ Μυτιληναῖοι ἑορτάζουσι, καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω, καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα, εἰ δὲ μή, Μυτιληναίοις εἰπεῖν ναῦς τε παραδοῦναι καὶ τείχη καθελεῖν, μὴ πειθομένων δὲ πολεμεῖν. καὶ αἱ μὲν νῆες ὥχοντο· τὰς δὲ τῶν Μυτιληναίων δέκα τριήρεις, αἳ ἔτυχον βοηθοὶ παρὰ σφᾶς κατὰ τὸ ξυμμαχικὸν παροῦσαι, κατέσχον οἱ Ἀθηναῖοι καὶ τοὺς ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο. τοῖς δὲ Μυτιληναίοις ἀνὴρ ἐκ τῶν Ἀθηνῶν διαβὰς ἐς Εὔβοιαν καὶ πεζῇ ἐπὶ Γεραιστὸν ἐλθὼν ὁλκάδος ἀναγομένης ἐπιτυχὼν πλῷ χρησάμενος καὶ τριταῖος ἐκ τῶν Ἀθηνῶν ἐς Μυτιλήνην ἀφικόμενος ἀγγέλλει τὸν ἐπίπλουν. οἱ δὲ οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα

ὡς cum optativo (*ὡς εἴη*) et infinitivum (*ἐλπίδα εἶναι*). v. Elmsl. ad Eurip. Med. 760. De infinitivo aoristi *ἐπιπεσεῖν* post *ἐλπίδα* v. ibidem ad v. 750. De participio *ἐπειχθέντας* v. Matth. p. 930. init.

καὶ ἢν μὲν ξυμβῇ — εἰ δὲ μή] Greg. Cor. p. 47. ad sententiam apodosi carentem supplet *καλῶς ἂν εἴη*, usus Scholiis ad Aristoph. Plut. 469. et Thucydidis. Supplere debebat *καλῶς ἂν ἔχειν*. De figura illa elliptica v. ibi Koen. et Interpp. ad Hom. Il. 1, 135. Zeun. ad Vig. p. 509. ibidemque Herm. p. 833, 308. Matth. p. 1248. §. 617. Buttm. Gr. p. 458. 4. (ed. 13.) Interpp. ad Arist. Plut. l. c. Mox infinitivus *εἰπεῖν* non potest pendere ab *ἐσηγγέλθη*, sicut ne ille quidem, qui loco apodosis tacite suppletur: *καλῶς ἂν ἔχειν*. Nam neque illud *εἰπεῖν*, neque hoc *ἔχειν*, neque quod sequitur, *πολεμεῖν* erant in rebus per nuntium perlatis ad Athenienses. Ex tota serie orationis apparet, sic haec supplenda esse: *putabant*, rem bene habituram; *volebant* sive *iubebant* dicere Mytilenaeis — si non persuaderent, bellum inferre. Quae sequuntur naves decem, quum nondum antea memoratae sint, aliquis quaerat, cur articulus appositus sit. Eadem quaestio oritur 3, 22. in verbis *οἱ τριακόσιοι, οἷς ἐτέτακτο*. Utroque loco Arn. monet articulum explicari verbis, quae continuo sequuntur: *illae decem naves, quae forte apud Athenienses erant — Illi trecenti, quibus mandatum erat* etc." Insequens clausula, ait, ita articulum explanat, quasi si auctor scriptum reliquisset *τὰς δέκα τριήρεις, τοσαῦται γὰρ ἔτυχον παροῦσαι, — καὶ οἱ τριακόσιοι, ἦσαν γὰρ οἷς ἐτέτακτο* etc. Mox Geraestus est promontorium in Euboea cum portu.

τά τε ἄλλα] Haec Haack. per se accipit, ut sit im Uebrigen; genitivos *τῶν τειχῶν καὶ λιμένων* pendere facit a verbis *τὰ ἡμιτέλεστα*, et *φυλάσσειν* dicit esse idem, quod *φυλακὰς ποιεῖσθαι*. Dein *περὶ* iungit cum *φυλάσσειν*, supplens, puto, *αὐτά* post *φραξάμενοι*. Mihi quidem simplicius videtur ita interpretari: *ὁ Μαλόεις* erat templum

τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύλασσον. καὶ οἱ Ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες ὡς ἑώρων, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα, οὐκ ἐσακουόντων δὲ τῶν Μυτιληναίων ἐς πόλεμον καθίσταντο. ἀπαράσκευοι δὲ οἱ Μυτιληναῖοι καὶ ἐξαίφνης ἀναγκασθέντες πολεμεῖν, ἔκπλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ ναυμαχίᾳ ὀλίγον πρὸ τοῦ λιμένος, ἔπειτα καταδιωχθέντες ὑπὸ τῶν Ἀττικῶν νεῶν λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμενοι τὰς ναῦς τὸ παραυτίκα εἰ δύναιντο ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψασθαι. καὶ οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἀπεδέξαντο καὶ αὐτοὶ φοβούμενοι μὴ οὐχ ἱκανοὶ ὦσι Λέσβῳ πάσῃ πολεμεῖν. καὶ ἀνακωχὴν ποιησάμενοι πέμπουσιν ἐς τὰς Ἀθήνας οἱ Μυτιληναῖοι τῶν τε διαβαλλόντων ἕνα ᾧ μετέμελεν ἤδη καὶ ἄλλους, εἴ πως πείσειαν τὰς ναῦς ἀπελθεῖν ὡς σφῶν οὐδὲν νεωτεριούντων. ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις τριήρει, λαθόντες τὸ τῶν Ἀθηναίων ναυτικόν, οἳ ὥρμουν ἐν τῇ Μαλέᾳ πρὸς βορέαν τῆς πόλεως· οὐ γὰρ ἐπίστευον τοῖς

Apollinis in suburbio. Eo narrat Mytilenaeos non exisse, sed reliqua urbis, cuius quasi quaedam pars erat vicina aedes Apollinis, custodiebant, ea parte moenium portuumque, ubi opera non perfecta erant (v. cap. 2.) palis sudibusque munita, quo illa ex dimidio perfecta certe hoc genere munitionis paulo tutiora fierent. Itaque structura haec mihi esse videtur: *τά τε ἄλλα ἐφύλασσον, περὶ τὰ ἡμιτέλεστα τῶν τ. καὶ λ. φραξάμενοι.* Itidem palis munitio fit ubi murus obsidionalis infirmior est 4, 69.

4. *οἱ Ἀθηναῖοι — οἱ στρατηγοί*] Greg. Cor. p. 83. dicit, haec esse dicta pro *Ἀθηναίων δὲ καταπλευσάντων*. Haec repetit Phavorin. in *εὐθεῖα*. Pertinet huc etiam glossa Photii in *ἑώρων*. Sed falluntur Grammatici. Verba enim *καὶ οἱ Ἀθηναῖοι — ἑώρων* protasis sunt, cuius apodosis inest in *ἀπήγγειλαν* et sequentibus. Coniunctio *ὡς* postposita est, ut 3, 5. 5, 28. 7, 32. init. Locorum, quae Matth. p. 1109. adn. adfert, alia ratio est. Mox *τὸ παραυτίκα* est *πρὸς τὸ παρόν, μέχρις ἂν εὖ ὦσι παρεσκευασμένοι*, ut Dukas explicat. v. Lobeck. ad Phryn. p. 47. Et *τῶν διαβαλλόντων* est *accusatorum*. v. Lob. ad Soph. Ai. p. 277.

πρὸς βορέαν τῆς πόλεως] Quo certius est, Mytilenen inter Methymnam et Maleam sitam esse, eo maiorem admirationem excitat Thucydides his verbis. Difficultas, quae in iis inest, nulla interpretatione tolli potest, sed erroris insimulandus auctor. Plehn. Lesbiac. p. 18. At Malea hic non intelligitur promontorium ab austro Mytilenae situm, et ab ea urbe 70 stadiis (circ. 1¾ milliar. Germ.) distans, quae est item distantia promontorii Zeitoun ab urbe nunc appellata Metelin. Sed Malea haec est locus, ubi templum Apollinis Maloentis erat a parte septentrionali urbis et ad mare portumque urbis septentrionalem, qui et ipse ab hac Malea portus Maloeis appellatus est, ut discimus ex Aristot. libello *Ἀνέμων θέσεις καὶ προσηγορίαι* (Aurel. Allobr. 1605. fol.) Vol. 1. p. 946. *Καικίας· οὗτος ἐν μὲν Λέσβῳ καλεῖται Θηβαίας· πνεῖ γὰρ ἀπὸ Θήβης πεδίου τοῦ ὑπὲρ τὸν Ἑλαιατικὸν κόλπον τῆς Μυσίας, ἐνοχλεῖ δὲ τὸν Μυτιληναίων λιμένα, μάλιστα δὲ τὸν Μαλόεντα.* Malea nomen erat appellativum linguae Graecae antiquissimae, significans prominentiam aliquam montis vel litoris, et

ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν. καὶ οἱ μὲν ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ πελάγους κομισθέντες αὐτοῖς ἔπρασσον ὅπως τις βοήθεια ἥξει. οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις ὡς οὐδὲν ἦλθον πράξαντες, ἐς πόλεμον καθίσταντο οἱ Μυτιληναῖοι καὶ ἡ ἄλλη Λέσβος πλὴν Μηθύμνης· οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν καὶ Ἴμβριοι καὶ Λήμνιοι καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων καὶ ξόδον μέν τινα πανδημεὶ ἐποιήσαντο οἱ Μυτιληναῖοι ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον, καὶ μάχη ἐγένετο, ἐν ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ Μυτιληναῖοι οὔτε ἐπηυλίσαντο οὔτε ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν· ἔπειτα οἱ μὲν ἡσύχαζον, ἐκ Πελοποννήσου καὶ μετ' ἄλλης παρασκευῆς βουλόμενοι εἰ προγένοιτό τι κινδυνεύειν. καὶ γὰρ αὐτοῖς Μελέας Λάκων ἀφικνεῖται καὶ Ἑρμαιώνδας Θηβαῖος, οἳ προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν κρύφα μετὰ τὴν μάχην ὕστερον ἐσπλέουσι τριήρει, καὶ παρῄνουν πέμπειν τριήρη ἄλλην

conveniens cum nomine Helvetico die Flue, neque reperitur nomen esse nisi locorum Doricorum Aeoliorumque, velut Lesbi, Cretae, Laconicae. Praesenti loco Thucydidis significat prominentiam insulae, in qua Mytilene antiquior sita erat, quae ab oriente portum septentrionalem claudebat, qualis ungula portum Phaesti in Creta claudens item Malea dicta est, ut docet Eustath. ad Od. 3. p. 1469, 20. *Μάλειον* (nam etiam sub hac forma nomen reperitur), *ὠνομάζετο τὸ πρὸ τοῦ λιμένος τῶν Φαιστίων ἀκρωτήριον*. Adde Hesych. in *Μάλεοι* et *Κύθηρα*, ibique interpp. Zander. Beitr. p. 14. *τὴν Μαλέαν* praesentis loci intelligit totam peninsulam sive terrae prominentiam, quae ab oriente mari, ab occidente portu Hierae (Olivenhafen sive Porto Iero) includitur, longa circiter duo milliaria geogr. et per promontorium Maleae (Zeitoun) terminata. Id quod falsum esse, ad c. 6. videbimus. Ceterum de statu urbis Mytilenae, qualis nunc est, v. idem p. 26, 144. p. 28 sq.

προχωρήσειν] i. e. *non fidebant iis, quae ab Atheniensibus exspectabant, fore ut bene cedant.* Supple *προχωρήσειν αὐτά*. Nam *τὰ ἀπὸ τῶν Ἀθηναίων* dictum est, ut *τὰ παρὰ τῶν Ἐγεσταίων* 6, 46. Popp. 1, 1. p. 176. sic explicat: *non enim confidebant, legatis Athenas missis ab Atheniensibus aliquid processurum.* Videtur ergo ita accepisse: *οὐ γὰρ ἐπίστευον τοῖς παρὰ τοῖς Ἀθηναίοις ἀπὸ τῶν Ἀθηναίων τὰ πράγματα προχωρήσειν.* Componit enim haec cum talibus: *ἤδη ἡκόντων, αὐτοῖς τῶν ἀπὸ Θράκης μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν* i. e. *ἤδη ἡκόντων αὐτοῖς ἀπὸ Θράκης τῶν ἐς Θράκην μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν.* Quis autem est, quin videat, haec inter se plurimum differre? Ubi enim talis permutatio praepositionum fit, qualis in loco posterius adscripto, utraque praepositio ad idem subiectum refertur, velut hic ad illos, qui cum Brasida profecti erant; praesenti vero loco *παρά* et *ἀπό* ad diversa subiecta, illud ad legatos, hoc ad *πράγματα* vel quidquid pro *πράγματα* supples, redeunt.

5. *ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον*] sc. *τὸ ὅρμουν ἐν τῇ Μαλέᾳ*. Mox ordo verborum hic est: *ἐκ Πελοποννήσου εἰ προγένοιτό τι, καὶ μετ' ἄλλης παρασκευῆς (εἰ προγένοιτο) βουλόμενοι κινδυνεύειν.* Deinde dicit *τριήρη ἄλλην*, quia iam prius (c. 4.) triremem Spartam miserant.

6 καὶ πρέσβεις μεθ' ἑαυτῶν· καὶ ἐκπέμπουσιν. οἱ δὲ Ἀθηναῖοι πολὺ ἐπιῤῥωσθέντες διὰ τὴν τῶν Μυτιληναίων ἡσυχίαν ξυμμάχους τε προσεκάλουν, οἳ πολὺ θᾶσσον παρῆσαν ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν Λεσβίων, καὶ περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως ἐτείχισαν στρατόπεδα δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς Μυτιληναίους, τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ Μυτιληναῖοι καὶ οἱ ἄλλοι Λέσβιοι προσβεβοηθηκότες ἤδη, τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι, ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς

6. *περιορμισάμενοι*] circa insulam, puto, in qua Mytilene antiquior sita erat, vecti; nam Euripus sive maris angustiae inter antiquiorem et novam Mytilenen (haec ex adverso antiquiori in ipsa Lesbo sita erat, et situm eius vides in tabula nostra punctis indicatum), transversa mole, quae portum septentrionalem et australem dirimebat, clausae esse videntur, sicut etiamnunc. Vide Zander. Beitr. p. 25, 139. 26, 144. Porro Arn. desiderat *ἐς τὸ πρὸς νότον*. At Poppo vulgatam tuetur his locis 4, 23. *περιώρμουν πλὴν τὰ πρὸς τὸ πέλαγος*. 5, 59. *τὸ πρὸς Νεμέας Βοιωτοὶ εἶργον τῆς πόλεως*. 6, 2. *οἰκοῦσι τὰ πρὸς ἑσπέραν τὴν Σικελίαν*. 6, 63. *πλέοντες τὰ ἐπέκεινα τῆς Σικελίας*. 4, 15. *σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον*. At nullo horum locorum locus significatur, *quo* quis movet, sed *ubi* vel *circa* quod quis movet. Quare verba *τὸ πρὸς νότον* iungenda sunt cum *ἐτείχισαν*, ut bina illa castra ab parte australi urbis fuisse cogitanda sint, altera ab oriente urbis mare versus, altera ab occidente introrsus Lesbum ipsam versus. Ac quum simul classe utrumque portum obsiderent, et a latere septentrionali *ναύσταθμον* cum foro haberent, totam insulam et Mytilenen in ea sitam quasi plagis irretitam tenebant. Mox de verbis *εἶργον μὴ χρῆσθαι* v. Matth. p. 1040 sq. Addit *τῆς γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ Μυτιληναῖοι* sc. terrae ex adverso sitae sive litoris ipsius Lesbi; addit *τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθ.*, quippe tota insula urbe Mytilena occupata, nec per se ampla erat, utpote, si Pocockium apud Zander. Beitr. p. 26, 144. audias, circuitum habens non amplius milliaris Angl. Verumtamen ampliorem fuisse credibile est, aut Pocockium falli.

ναύσταθμον — πλοίων καὶ ἀγορᾶς] Haec si ad verbum interpreteris, absurda sunt. Tantum notio loci alicui rei destinati ex voce *ναύσταθμον* ad *ἀγορᾶς* repetenda est, quum notio loci navibus destinati apta sit tantum voci *πλοίων*. Conf. Aristot. Rhet. 3, 5, 7. Arn. Haec iunctura hic excusationem habet, quia naves et forum in expeditionibus navalibus nunquam separari poterant. Ceterum Maleam, in qua Athenienses *ναύσταθμον* habebant, Zander. Beitr. p. 13 sq. totam peninsulam promontorio Maleae terminatam intelligit, qui minus ampla regio alendo Atheniensium exercitui non suffecerit. Haec opinio mihi ideo improbanda videtur, quia Malea nunquam peninsulae, sed tantum prominentiae montis vel litoris nomen est; nec potest hoc loco alia Malea cogitari nisi *ἡ πρὸς βορέαν τῆς πόλεως*, ubi Athenienses primo adventu appulerant, quamque stationem ab iis relictam esse nusquam adhuc dixit. Si aliam ab illa Maleam intelligi voluisset, peculiari significatione, puto, eam distinxisset a septentrionali Malea. Adde quod consilium observandae et ab ipsa Lesbo intercludendae urbis deserturi fuissent, si castra maritima ab illa statione urbi proxima re-

πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα. καὶ τὰ μὲν περὶ Μυτιλήνην οὕτως ἐπολεμεῖτο.

7 *Κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου Ἀθηναῖοι καὶ ἐς Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα καὶ Ἀσώπιον τὸν Φορμίωνος στρατηγόν, κελευσάντων Ἀκαρνάνων τῶν Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ ἄρχοντα. καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν. ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ' οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ' ἔχων δώδεκα ἀφικνεῖται ἐς Ναύπακτον, καὶ ὕστερον Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ στρατεύει ἐπ' Οἰνιάδας καὶ ταῖς τε ναυσὶ κατὰ τὸν Ἀχελῷον ἔπλευσε καὶ ὁ κατὰ γῆν στρατὸς ἐδήου τὴν χώραν. ὡς δ' οὐ προσεχώρουν, τὸν μὲν πεζὸν ἀφίησιν, αὐτὸς δὲ πλεύσας ἐς Λευκάδα καὶ ἀπόβασιν ἐς Νήρικον ποιησάμενος ἀναχωρῶν διαφθείρεται αὐτός τε καὶ τῆς στρατιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων καὶ φρουρῶν τινων ὀλίγων. καὶ ὕστερον ὑποσπόνδους τοὺς νέκρους ἀποπλεύσαντες οἱ Ἀθηναῖοι παρὰ τῶν Λευκαδίων ἐκομίσαντο.*

8 *Οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μυτιληναίων πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι εἶπον Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν Ὀλυμπίαν· ἦν δὲ Ὀλυμπιὰς ἡ Δωριεὺς Ῥόδιος τὸ δεύτερον ἐνίκα. καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, εἶπον τοιάδε.*

movissent. Denique undeunde victum et copias Athenienses paraverunt, non cogitare licet, milites et nautas quotidie ultra milliare unum et dimidium Germ. ivisse commeatus causa.

7. *τῶν Φορμίωνός τινα*] Phormio, qui cum captivis Athenas vere illius anni redierat (v. 2, 103.), videtur aut paulo post mortem obiisse, aut valetudine et imbecillitate, quum esset senex, impeditus esse, quominus ipse rem administraret. Haack. Paulo post verba *ὑπὸ τῶν αὐτόθεν* „significant ipsos incolas, qui primo tumultu appulsarum navium conveniebant. Ab his distinguuntur *φρουροί* sive milites collocati in variis oppidis castellisque orae maritimae ad repellendas huiusmodi incursiones. Conf. 2, 25. 5, 52. 8, 22." Arn. Et *ἀποπλεύσαντες* est *quum paululum ab insula recessissent*. Conf. 4, 44. *καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους· ἐκ δ' αὐτῶν ἐπικηρυκευσάμενοι τοὺς νεκροὺς, οὓς ἐγκατέλιπον, ὑποσπόνδους ἀνείλοντο*, ut Popp. adnotavit.

8. *ἐπὶ τῆς πρώτης νεώς*] v. cap. 4. vers. fin. Discernuntur hi legati Mytilenaeorum ab illis, qui post pugnam Lacedaemona missi erant auctoribus Melea et Hermaeonda, de quibus est c. 5. Quare legati Mytilenaeorum Olympiam venire iussi sint, docet Dahlm. Herodot. p. 18 sq., quippe ut reliqui socii, qui frequentes ad solennia ludorum convenirent, et ipsi transactionibus interessent. Porro in anagraphe Olympiadum Dorieus Rhodius primum pancratio vicisse dicitur Ol. 87. (432.), iterum Ol. 88. (428.), tertium Ol. 89. (424.) V. Boeckh. Explicc. Pind. p. 166. Heis. de Ellips. belli Peloppp. 3 sq.

9 Τὸ μὲν καθεστὸς τοῖς Ἕλλησι νόμιμον, ὦ ἄνδρες Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἴσμεν· τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας οἱ δεξάμενοι καθ' ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι, νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων χείρους ἡγοῦνται. καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς ἐστιν, εἰ τύχοιεν πρὸς ἀλλήλους οἵ τε ἀφιστάμενοι καὶ ἀφ' ὧν διακρίνοιντο ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει, πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι τῆς ἀποστάσεως· ὃ ἡμῖν καὶ Ἀθηναίοις οὐκ ἦν. μηδὲ τῳ χείρους δόξωμεν εἶναι εἰ ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ' αὐτῶν ἐν τοῖς δεινοῖς ἀφιστάμεθα.
10 περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι τοὺς λόγους ποιησόμεθα, εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδέν, εἰ μὴ μετ' ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο καὶ τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμ-

9. *τὸ καθεστός*] De forma participii v. Buttm. Gr. max. 2, 1. p. 158 sq. Matth. §. 198. 3. f. Sic *περιεστός* est 4, 10. pro *περιεστώς*. Mox *χείρους* Greg. Cor. p. 113. ait positum esse pro *κακούς*, eademque Scholiastae sententia est. At Steph. vere animadvertit, nihil obstare, quominus comparativus vim suam hic quoque obtineat, ut intelligamus *deteriores eos existimant, quam existimaturi fuissent.* v. Matth. §. 451. p. 854.

10. *περὶ — ἀρετῆς*] i. e. von unserer redlichen Absicht, ut sequentia docent, et sic verba *εἰ μὴ μετ' ἀρετῆς δοκούσης* convertenda sunt wo die Verbindung nicht mit dem Vertrauen einer redlichen Absicht gegen einander verknüpft ist. Sensus est idem, ac si dixisset *εἰ μὴ δοκοῖεν γίγνεσθαι φίλοι μετ' ἀρετῆς ἐς ἀλλήλους.* Post *γίγνοιντο* supple *φίλοι*, quod ex *φιλίαν* repetendum est, vel cum Poppone cogita *φιλία καὶ κοινωνία.* Mox de verbo *ἀπολιπόντων* v. Matth. p. 933. 1. Et *τοῖς Ἕλλησι* iunge cum *ξύμμαχοι ἐγενόμεθα.* Mox *ἐπαγομένους* Popp. interpretabatur *suscipientes, sibi proponentes.* Ego volebam *adducentes,* ut nos herbeiführen. Quam vim Popp. negat in medio inesse posse, probans interpretationem: *sibi in usum suum adducentes.* „Quum autem, ait, oppositum sit *ἀντέντας*, eleganter *ἐπειγομένους* coniecerunt Ros. in Explicat. trium inscrr. Syri repertarum ad v. 21. et Bekk. in ed. stereot. Nam *ἐπείγεσθαι* transitive legi apud Thuc. c. 2. iam vidimus. „Paulo post verba *διὰ πολυψηφίαν* iunge cum *ἀδύνατοι ὄντες*, nam „*πολυψηφίαν* non esse multitudinem suffragiorum aut suffragia ferentium, sed multitudinem opinionum diversarum inter eos, quibus ius suffragia ferendi fuit, monet Levesqu.“ Beck. Deinde particula *δή* post *αὐτόνομοι* „non significat opinionem auctoris sed sententiam rationemve ab aliis allatam. Eandem particulam rursus eodem sensu habes 1, 24. 3, 103. 6, 54. 7, 81., nisi quod primo et postremo horum locorum non tam est pro *δῆθεν*, quam animum legentium advertit ad verbum, cui *δή* appositum est.“ Arn., qui interpretatur per you see, sive you are to observe: (being, you see, independent i. e. *αὐτόνομοι, ut Athenienses praetexunt*). Vel interpretatur per as they professed, ut *κατὰ χρησμόν δή τινα*, in compliance, as they professed, with a certain oracle.

μαχία ἐγένετο πρῶτον ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησι. καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως εἱπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομένους, οὐκ ἀδεεῖς ἔτι ἦμεν. ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι διὰ πολυψηφίαν ἀμύνασθαι οἱ ξύμμαχοι ἐδουλώθησαν πλὴν ἡμῶν καὶ Χίων· ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ ὀνόματι ξυνεστρατεύσαμεν. καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας Ἀθηναίους, παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι· οὐ γὰρ εἰκὸς ἦν αὐτοὺς οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, εἴποτε ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο. καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βε- 11
βαιότεροι ἂν ἦμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου, ἄλλως τε καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο καὶ ἡμεῖς ἐρημότεροι. τὸ δὲ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν· ὁ γὰρ παραβαίνειν τι βουλόμενος τῷ μὴ προέχων ἂν ἐπελθεῖν ἀποτρέπεται. αὐτόνομοί τε ἐλείφθημεν οὐ δι' ἄλλο τι ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν

11. *βεβαιότεροι*] i. e. *βεβαιότερον ἂν ἦν αὐτοὺς μηδὲν νεωτεριεῖν.* Bau.

ἔχοντες τοὺς πλείους] Schol. *τῶν Ἑλλήνων δηλονότι· ἤγουν Βυζαντίους, Ναξίους, Σαμίους καὶ τοὺς λοιπούς.* Mox *καί* in verbis *καὶ πρὸς τὸ πλεῖον εἶκον* est *insuper:* während überdiess der grössere Theil sich ihnen fügte. In *πρός* est notio comparationis, quam Haack. ita expressit: *quumque nos adhuc soli pares ipsis dignitate simus, comparati ceteris maximam partem iam cedentibus.* v. Matth. §. 591. *γ.* p. 1181 sq. Tres classes sociorum distinguit: *ὑποχειρίους*, qui cedere nolebant; *εἴκοντας*, qui cedebant, ideoque non subiectos; *ἀντισουμένους*, qui non parere, sed liberi agere videbantur. Mox de *αὐτοὶ αὑτῶν*, forma comparationis praecipue Herodoto usitata v. Matth. §. 452. Paulo post vulgo legebatur *τὸ μὴ προέχον*, atque ita legit et explicat Matth. p. 1068. „Verum ita verba significarent: *qui aliquid praeter ius facere vult, prohibetur, quominus viribus superior id aggredi possit*; quum causa, cur *τὸ ἀντίπαλον δέος* societatem confirmet, explicanda ideoque dicendum sit: *qui aliquid praeter ius facere vult, si viribus non praepollet, ab aggrediendo deterretur.*“ Popp., qui addit vere, hunc sensum effici non posse, nisi recepto ex aliquot libris *τῷ*. Partitionem argumenti recte indicavit Schol. *τέτταρα τεκμήρια τέθεικε, δι' ὧν συνίσησιν ὅτι οὐχὶ διὰ δικαιοσύνην μέχρι δεῦρο ἀπέσχοντο ἡμῶν οἱ Ἀθηναῖοι, ἀλλὰ διὰ πανουργίαν· ἓν μὲν τὸ κατὰ τὴν εὐπρέπειαν τοῦ λόγου, δεύτερον δὲ τὸ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύι τὰ πράγματα φαίνεσθαι καταληπτά, τρίτον τὸ φοβεῖσθαι τὸ ναυτικὸν τῶν Μυτιληναίων, τέταρτον τὸ ὑπεραπεύεσθαι πρὸς τῶν Μυτιληναίων κολακείᾳ μὲν κοινῇ τοὺς Ἀθηναίους, δώροις δὲ τῶν προεστώτων ἕκαστον.*

οὐ δι' ἄλλο] i. e. aus keinem andern Grund, als weil sie glaub-

εὐπρεπείᾳ τε λόγου καὶ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύος τα πράγματα ἐφαίνετο καταληπτά. ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο μὴ ἂν τούς γε ἰσοψήφους ἄκοντας εἰ μή τι ἠδίκουν οἷς ἐπήεσαν, ξυστρατεύειν· ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον καὶ τὰ τελευταῖα λιπόντες τοῦ ἄλλου περιῃρημένου ἀσθενέστερα ἔμελλον ἕξειν. εἰ δὲ ἀφ' ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων αὐτῶν τε ἰσχὺν καὶ πρὸς ὅ,τι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως ἐχειρώσαντο. τό τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον μή ποτε καθ' ἓν γενόμενον ἢ ὑμῖν ἢ ἄλλῳ τῳ προσθέμενον κίνδυνον σφίσι παράσχῃ· τὰ δὲ καὶ ἀπὸ θεραπείας τοῦ τε κοινοῦ αὐτῶν καὶ τῶν ἀεὶ προεστώτων περιεγιγνόμεθα. οὐ μέντοι ἐπὶ πολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ μὴ ὁ πόλεμος ὅδε κατέστη, παραδείγμασι χρώ-
12μενοι τοῖς ἐς τοὺς ἄλλους. τίς οὖν αὕτη ἡ φιλία ἐγίγνετο;

ten, sie müssten, um die Herrschaft zu gewinnen, die Sache mit schönem Vorwand, mehr mit List (*γνώμης*), als mit Gewalt angreifen. Mox *ἐς τὴν ἀρχήν* est in Beziehung auf die Herrschaft. Paulo post primum *εὐπρέπεια λόγου* explicatur inde a verbis *ἅμα — ξυστρατεύειν*, deinde *ἡ γνώμης ἔφοδος* explicatur his: *ἐν τῷ αὐτῷ — ἕξειν*. In his porro inter se respondet *ἅμα μὲν — ἐν τῷ αὐτῷ δέ*, ut 4, 73. *Nobis enim documento utebantur, dicentes, etiamsi alii coacti se adiuvare perhiberentur, eos certe, qui ius paris suffragii haberent, invitos sibi auxilium non laturos esse nisi ii, quos aggrediuntur, aliquid deliquissent.* *Ἄκοντας* igitur arte cum *ξυστρατεύειν* iungendum. Ex falsa huius loci interpretatione glossa Hesychii orta est: *οὐκ ἄκοντες, οὐχ ἑκόντες*, quam Phavorin. repetit. Putaverant autem multi, *ἄκοντας* mutandum esse in *ἑκόντας*, quia vulgatae non alius sensus esse possit, quam hic, Athenienses dixisse: nisi quos aggrederentur, delinquerent, socios sibi non invitos opem non laturos esse. Concedere igitur videri Athenienses, se a sociis non ultro adiuvari, quo *εὐπρεπείᾳ* eos usos esse non appareret, sed contra. At „bene animadvertendum, Thucydidem non generatim dixisse *τοὺς ξυμμάχους*, sed *τοὺς ἰσοψήφους*, quod sensum valde mutat. Quorum notionem si tenemus, et illud *ἄκοντας* non coniungimus, nisi cum *ξυστρατεύειν*, verbis *εἰ μή τι ἠδίκουν οἷς ἐπήεσαν* magis per se spectatis, Mytilenaeos, qui loquuntur, intelligimus hoc dicere: Athenienses libertatem nobis concesserunt non alia de causa, quam quod speciosis verbis sibi opus esse putabant ad imperium consequendum. Nobis enim documento utebantur dicentes (etiamsi alii coacti se adiuvare perhiberentur), eos certe, qui idem ius suffragii ferendi haberent (plena libertate fruerentur), invitos sibi auxilium non laturos esse (neque omnino id facturos), nisi ipsa causae aequitate permoverentur, ut participes bellorum fierent.“ Popp. Plenius scriptor ita dicere potuisset: *ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο, μὴ ἂν τούς γε ἰσοψήφους, εἰ μή τι ἠδίκουν οἷς ἐπήεσαν, ξυστρατεύειν, οὐ γὰρ ἂν ἄκοντάς γε ξυστρατεύειν, ἰσοψήφους ὄντας.*

ἐν τῷ αὐτῷ δέ] Hinc alterum incipit, quod refertur ad supra dictam *γνώμης μᾶλλον ἔφοδον*. Mox *τὰ κράτιστα* est pro *τοὺς κρατίστους ἐπὶ τοὺς ἀσθενεστέρους*, sicut deinde *τὰ τελευταῖα* pro *τοὺς τελευταίους*. Ad *περιεγιγνόμεθα* intellige *αὐτόνομοι ὄντες* i. e. wir bleiben frei.

12. *ἡ φιλία*] Dind. legit *ἢ φιλία*, quod probans Popp. interpretatur: was war diess also für eine Freundschaft? Quocum non bene

ἢ ἐλευθερία πιστή, ἐν ᾗ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα, καὶ οἱ μὲν ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν· ὅ τε τοῖς ἄλλοις

convenit *πιστή*, nam dum quaerit, qualis fuerit haec amicitia vel libertas, non potest in ipsa interrogatione includere, quid fuerit, dicens *ἐλευθερίαν πιστήν*. Nec recte alterum habet, *ἡ φιλία*, si verba *αὕτη ἡ* etiam ad *ἐλευθερία πιστή* pertineant (hoc sensu: wie war also diese Freundschaft und diese angeblich sichere Freiheit beschaffen?), sic enim, ut Popp. adnotavit, scribendum esset (*αὕτη ἡ*) *πιστὴ ἐλευθερία*, anteponendo adiectivum et cum eo articulum iungendo, quia *πιστη* maius momentum habere debet. Restat tertia via, eademque, puto, vera, ut ita distinguamus: *τίς οὖν αὕτη ἡ φιλία ἐγίγνετο; ἢ ἐλευθερία πιστὴ, ἐν ᾗ* etc. Articulum *ἡ* tuetur etiam quodammodo Dionys. A. R. 6, 78. *τίς οὖν ἡ τοιαύτη φιλία καὶ πίστις, ἐν ᾗ παρὰ γνώμην ἀλλήλους θεραπεύειν ἀναγκασθησόμεθα;* deinde *παρὰ γνώμην* est, wobei es uns nicht recht von Herzen geht sive *praeter animi sententiam.*

ὅ τε τοῖς ἄλλοις] i. e. *ac quum* (*ὅ τε* i. e. und wohingegen, and whereas) *aliis benevolentia maxime fidei vinculum sit, id nobis timor tantum praestat.* Paulo post *μέλλησιν* duplicem habet genitivum, alterum subiecti (*ἐκείνων*), alterum obiecti (*ἡμῶν δεινῶν*). v. Matth. p. 699. adn. 1. Et *αὐτοί* est unsrerseits. Mox scripsi *ἰέναι* et *ἀντιμελλῆσαι* pro vulgatis *εἶναι* et *ἀντεπιμελῆσαι*, et (*ἐπ' ἐκείνοις*) *ἰέναι* quidem ex coniectura. Cass. Pal. Vat. H. Reg. D. I. E. Aug. teste Bekk. Laur. m. Vind. Vall. *ἀντεπιμελλῆσαι*. At *ἀντιμελλῆσαι* legit Schol., monuitque Dind., verbum *ἀντεπιμέλλειν* hinc relatum in lexica esse nihili, idque librariis obrepsisse consueto ex praecedente *ἀντεπιβουλεῦσαι*. „Ita, ait, ne plura conferam, infr. cap. 104. *μήτ' ἐναποθνήσκειν μήτ' ἐναποτίκτειν* liber unus pro *ἐντίκτειν*.“ Heilm. coniecit *εἰ γὰρ — ἀντεπιμελῆσαί τι, ἔδει — εἶναι*, quae verba sic interpretatur: wären wir in den Umständen gewesen, dass wir mit gleichem Vortheil unsere Maasregeln und Anstalten gegen sie nehmen könnten; so hätten wir in der That bei allen jetzt erwähnten Bedenklichkeiten unser Betragen nach dem ihrigen einrichten müssen. Sed et *τι* languet, et *ἐπ' ἐκείνοις εἶναι* non potest aliud significare, nisi *ab eorum arbitrio pendere*, neque inest in verbis *ἐκ τοῦ ὁμοίου* sensus: bei allen jetzt erwähnten Bedenklichkeiten, sed idem exprimunt, quod antecedentia *ἐκ τοῦ ἴσου*. Nec melior Scholiastae explicatio: *εἰ γὰρ ἴσοι αὐτοῖς ὑπήρχομεν κατὰ δύναμιν, ὥστε καὶ ἐπιβουλεύουσιν αὐτοῖς ἀντεπιβουλεῦσαι καὶ βραδυνόντων αὐτῶν ἀντιμελλῆσαι καὶ μελλόντων ἀντιμελλῆσαι καὶ ἀντιβραδῦναι, τί ἔδει ἡμᾶς ἐπ' ἐκείνοις ταχθῆναι ἢ ὑπακούειν αὐτοῖς; ὁπότε δὲ οὐκ ἦμεν ἴσοι ἀλλ' ἐπ' ἐκείνοις ἦν τὸ ἐπιχειρεῖν καθ' ἡμῶν ὅτε θέλουσιν, ἔδει καὶ ἐφ' ἡμῖν εἶναι τὸ ἀποστῆναι αὐτῶν πρίν τι παρ' αὐτῶν παθεῖν.* Nam neque quaeritur, num Mytilenaei in potestate Atheniensium esse debuerint, sed num opus fuerit pari potestate valentibus pacem rumpere, neque illi *ἴσοι* appellari possunt, qui *ὑπ' ἄλλοις τάσσονται ἢ ὑπακούουσιν αὐτοῖς*, neque prorsus idem est *ἐπί τινι* et *ὑπό τινι εἶναι*. Herm. ita legit: *εἰ γὰρ — καὶ ἀντιμελλῆσαί τι, ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνοις εἶναι*, ubi verba *ἐπ' ἐκείνοις εἶναι* dicit dicta esse pro *τὸ ἐπ' ἐκείνοις εἶναι*, et *τι* encliticum esse, hoc sensu: *si enim potestatem habebamus, paribus viribus vicissim insidias struendi et contra moliendi aliquid, oportebat nos, quantum quidem per illos liceret, insidias vicissim struere et contra moliri pariter.* At neque *ἐπ' ἐκείνοις εἶναι* dici potest pro *τὸ ἐπ' ἐκείνοις εἶναι*, et improbari debet sententia: *quantum quidem per illos liceret.* Quid enim? si Athenienses et

μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε· δέει τε τὸ πλέον ἢ φιλίᾳ κατεχόμενοι ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια θάρσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον. ὥστε εἰ τῳ δοκοῦμεν ἀδικεῖν προαποστάντες διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀνταναμείναντες σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ. εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι καὶ ἀντιμελλῆσαι, τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνοις ἰέναι; ἐπ' ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν καὶ ἐφ' ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι.

15 Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς ἀκούουσι γνῶναι ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι, βουλομένους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ ξειρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ ἀποστάσεως, ὑμῶν δὲ οὐ προσδεξαμένων κωλυθέντας· νῦν δὲ ἐπειδὴ Βοιωτοὶ προύκαλέσαντο, εὐθὺς ὑπηκούσαμεν, καὶ ἐνομίζομεν ἀποστήσεσθαι

Mytilenaei pares viribus erant, quaerine poterat, num per Athenienses Mytilenaeis liceret liberis et paribus esse, necne? An forte liberi et pares Mytilenaei existimari poterant, si ex Atheniensibus pendebat, decernere, in quantum illis liberis et paribus esse liceret? Sed praeterea Herm. aliam rationem proposuit, ut omisso *ἐπί* legeret *ἐκ τοῦ ὁμοίου ἐκείνοις εἶναι*, quam rationem amplexus Popp. sic interpretatur: *Si enim aeque potentes essemus et ad insidias vicissim struendas et ad vicissim cunctandum in re quapiam, oportebat nos similes in agendo illis esse.* Recte, si *ἐκ τοῦ ὁμοίου εἶναι* significare posset *similes in agendo esse.* At illa verba nihil significant nisi in gleichen Umständen seyn, ut 4, 10. vel im Gleichgewicht der Macht seyn, ut hic. Agendi notionem auctori inferciens obtrusit. Et otiosum additamentum est *in re quapiam* et proinde *τι* falso legitur. Neque consultum est, invitis libris omnibus praepositionem *ἐπί* exterminare. Scriptor, ni fallor, hoc dicit: *Quid oportebat nos pari potentia et aequalibus viribus praeditos (ἐκ τοῦ ὁμοίου) contra eos ire? quid quum eos impetum in nos facientes propulsare potuissemus, ultro aggredi?* Proinde *ἰέναι* legendum est, quod tanto facilius in *εἶναι* mutari potuit, quia statim verba similia *ἐφ' ἡμῖν εἶναι* sequuntur. *Ἐπί* cum dativo constat hostilem aggressionem significare. v. Matth. p. 1168. *δ*. Quod si displicet, quia *ἐπιέναι τινί* vel *ἰέναι ἐπί τινα* frequentius sit, quid facilius mutatione *ἐπ' ἐκείνους*, quod in *ἐκείνοις* abiisse putandum est, quia mox sequitur *ἐπ' ἐκείνοις δὲ ὄντος.*

13. *ἐνομίζομεν ἀποστήσεσθαι*] sc. *δεῖν ἀποστήσεσθαι.* v. Lobeck. ad Phrynich. Parerg. 6. p. 753. Mox verbum *ἀπόστασις* duplicem sensum habet, alterum *defectionis*, qua refertur ad Athenienses; alterum *absistendi, recedendi, refugiendi*, qua ad Graecos refertur, ut 4, 118. prop. fin. *οὐδενὸς γὰρ ἀποστήσονται, ὅσα ἂν δίκαια λέγητε.* 7, 7. *παντάπασιν ἔτι ἀρεστήκει τοῦ πολέμου.* 8, 2. *ὡς οὐκ ἀποστατέον ἔτι τοῦ πολέμου εἴη.* Soph. Oed. C. 567. Herm. Popp. cum Gailio utrimque intelligit *defectionem*, statuens, verbis *ἀπὸ τῶν Ἑλλήνων* significari Graecos cum Atheniensibus coniunctos. Qui autem dicas te deficere ab eo, quocum alteri servias? et qui Mytilenaei Graecos Atheniensibus parentes liberarent, nec tamen eos laederent, quamdiu hi in praesidiis Atheniensium erant? Imo notio Graecorum in universum

διπλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλήνων μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν, ἀπό τε Ἀθηναίων μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ, ἀλλὰ προποιῆσαι. ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται καὶ ἀπαράσκευος· ᾗ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ καὶ ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. καιρὸς δὲ ὡς οὔπω πρότερον. νόσῳ τε γὰρ ἐφθάραται Ἀθηναῖοι καὶ χρημάτων δαπάνῃ, νῆές τε αὐτοῖς αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσίν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται, ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἣν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον, ἀλλ' ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας ἢ ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς πέρι οἰκεῖον κίνδυνον ἕξειν. ᾧ γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφέλειαν αὐτῷ ἐγγύθεν παρέξει. οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις οἴεται, ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ

tenenda est, quos profecto laedebat, quisquis a partibus Atheniensium stans Graecorum libertati adversabatur.

μὴ ξὺν κακῶς ποιεῖν] D. Ar. Chr. *ξυνκακῶς*, nisi quod in D. *ον* sup. *ως* eadem man. *Ξυγκακῶς*, quod praebent m. et ex corr. Laur., placere debebat Buttmanno Gr. max. §. 25. adn. 4. At v. praeter eos, quos 1, 1. p. 256. memoravi, Blomf. Glossar. ad Aesch. Agam. 569. et Lobeck. ad Phryn. p. 620. Popp. adde Matth. p. 1190. Spohn. ad Isocr. Panegyr. p. 12. Interpp. ad Greg. Cor. p. 446. 799. Schaef. Melet. critt. p. 68., ad Long. p. 417. Appar. Demosth. Vol. 1. p. 536. Krueg. ad Dionys. p. 21. Brem. ad Demosth. de Cherson. §. 65. Minus recte ad tmesin demonstrandam utuntur Xen. Conv. 8, 17., ubi in verbis *παρά τι ποιήσῃ* praepositio *παρά* non pertinet ad verbum, sed ad *τι*. Coniecerunt *ξυγκακῶσαι λοιπὸν αὐτούς*. Certe veram tmesin non inesse in his verbis vidit Bloomf., quia non dici potest *κακῶς ξυμποιεῖν*, sed *ξύν* magis adverbii loco est.

προποιῆσαι] i. e. *sed ut ante faceremus* sive *ut facere occuparemus* sive non exspectaremus, donec ab illis patiamur aliquid, sed eos hoc faciendo praeveniremus. Steph. Mox de *ἐφθάρατα* v. Matth. §. 204. 6. adn. 1. p. 378. Mox *τὸ δεύτερον* dicit, quia incursionem ea ipsa aestate iam unam in Atticam fecerant. v. cap. 1. Et *ἀπ' ἀμφοτέρων* est: a Peloponneso et Mytilene naves abduceret, obviam ituri Spartanis mari et terra Atticam incursantibus. Et *δι' ἣν* explica *ἐν ταύτῃ, δι' ἥν*. Et *τά τε ἡμέτερα* intellige *προσλήψονται, πρότερον οὐ φροντίσαντες*. Adde naves Mytilenaeorum, quas illis Athenienses ademturi erant. Mox *πάθοιμεν τἄν* i. e. *τοι ἄν* coniecit Elmsl. ad Arist. Ach. 323., quae crasis ab hoc scriptore prorsus aliena est. v. Matth. §. 515. *β*. Paulo post *δεινότερα* intellige *saeviora, quam ii, qui servie-bant antequam deficiebant.* Etenim Mytilenaei visi essent defecisse multo minus ad defectionem provocati. V. oration. Cleonis c. 39., ubi ultionem poscit a Mytilenaeis gravissimam, propter id ipsum, quod liberi defecerant." Arn. Adde cap. 36. *ἐπικαλοῦντες τήν τε ἄλλην* etc. Mox *βοηθησάντων ὑμῶν* genitivi absoluti sunt pro casu participii, quem sequens verbum postulat. v. Matth. §. 561. Sequuntur haec: *τοῖς ἀφισταμένοις*, velut Samiis, Thasiis, Euboensibus etc. et Spartani 1, 40. edixerant *τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν.*

ὠφελεῖται. ἔστι δὲ τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται· οὔτε γὰρ ἀποστήσεται ἄλλος τά τε ἡμέτερα προσγενήσεται, πάθοιμέν τ' ἂν δεινότερα ἢ οἱ πρὶν δουλεύοντες. βοηθησάντων δὲ ὑμῶν προθύμως πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχουσαν μέγα, οὗπερ ὑμῖν μάλιστα προσδεῖ, καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους· θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται· τήν τε αἰτίαν ἀποφεύξεσθε ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφισταμένοις. ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος
14 τοῦ πολέμου βεβαιότερον ἕξετε. αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμέν, ἐπαμύνατε Μυτιληναίοις ξύμμαχοι γενόμενοι, καὶ μὴ πρόησθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι ὠφέλειαν ἅπασι δώσοντας, ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ μὴ πεισθέντων ὑμῶν σφαλησόμεθα. γίγνεσθε δὲ ἄνδρες οἵουσπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι καὶ τὸ ἡμέτερον δέος βούλεται.

15 Τοιαῦτα μὲν οἱ Μυτιληναῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐπειδὴ ἤκουσαν, προσδεξάμενοι τοὺς λόγους ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν τοῖς τε ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησόμενοι, καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ ἰσθμῷ ὡς ὑπεροίσοντες ἐκ τῆς Κορίνθου ἐς τὴν πρὸς Ἀθήνας θάλασσαν καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες. καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον· οἱ δὲ ἄλλοι ξύμμαχοι βραδέως τε ξυνελέγοντο καὶ ἐν καρποῦ ξυγκομιδῇ ἦσαν καὶ ἀῤῥωστίᾳ τοῦ στρατεύειν.

16 Αἰσθόμενοι δὲ αὐτοὺς οἱ Ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας σφῶν παρασκευαζομένους, δηλῶσαι βουλόμενοι ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν, ἀλλ' οἷοί τε εἰσὶ μὴ κινοῦντες τὸ ἐπὶ Λέσβῳ ναυτικὸν καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατὸν ἐσβάντες αὐτοί τε πλὴν ἱππέων καὶ

14. *Δία τὸν Ὀλύμπιον*] In huiusmodi formulis aut semper duplicem articulum, aut neutrum positum videri narrat Krueg. de Authent. Anab. p. 61. adn., quem h. l. refellit. Popp. Mox de *δώσοντας* v. Krueg. ad Dionys. p. 322.

15. *τὴν ἐς τὴν Ἀττικὴν ἐσβολήν*] Ordo verborum hic est: *καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν ὡς ποιησόμενοι, τοῖς τε ξυμμάχοις — ἔφραζον, καὶ αὐτοί* etc. Mox de sociis messis tempore cunctantibus v. Od. Muell. Dor. 1. p. 180. Et *ἐν ἀῤῥωστίᾳ εἶναι* veteres Grammatici explicant *ἐν ἀπροθυμίᾳ εἶναι*.

16. *ναῦς ἑκατόν*] Popp. has naves easdem esse putat, quae 2, 24. memorantur. Krueg. ad Dionys. p. 311. Suspicatur, naves centum ineunte bello sepositas iam tum (quarto belli anno, in quo nunc sumus) adhibitas esse, quod Thuc. 8, 15., ubi mille talenta, quae eodem et

πεντακοσιομεδίμνων καὶ οἱ μέτοικοι, καὶ παρὰ τὸν ἰσθμὸν ἀναγαγόντες ἐπίδειξίν τε ἐποιοῦντο καὶ ἀποβάσεις τῆς Πελοποννήσου ἢ δοκοῖ αὐτοῖς. οἱ δὲ Λακεδαιμόνιοι ὁρῶντες πολὺν τὸν παράλογον τά τε ὑπὸ τῶν Λεσβίων ῥηθέντα ἠγοῦντο οὐκ ἀληθῆ καὶ ἄπορα νομίζοντες ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν καὶ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν Πελοπόννησον τριάκοντα νῆες τῶν Ἀθηναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι, ἀνεχώρησαν ἐπ' οἶκου. ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον ὅ,τι πέμψουσιν ἐς τὴν Λέσβον, καὶ κατὰ πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν πλῆθος, καὶ ναύαρχον προσέταξαν Ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. ἀνεχώρησαν δὲ καὶ οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσίν, ἐπειδὴ καὶ ἐκείνους εἶδον. καὶ κατὰ τὸν χρόνον 17
τοῦτον ὃν αἱ νῆες ἔπλεον ἐν τοῖς πλεῖσται δὴ νῆες ἅμ' αὐτοῖς

tempore et consilio seposita erant, mota esse refert, navium istarum centum mentionem non faciat. Mox de equitibus et pentacosiomedimnis v. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 29. Wachsm. Antt. Gr. 1, 1. p. 155. C. Fr. Herm. Antt. Gr. p. 204. §. 108. Solon quatuor classes populi Attici instituerat, quarum in prima pentacosiomedimni erant, sive ii, qui ex proprio fundo quingenos frumenti medimnos totidemque fluidi metretas colligerent; in secunda, qui trecenos, et equo alendo essent, equo inquam pugnare apto, cui addendus erat alter, quo servus veheretur, quibus scilicet etiam iugo ad arandos agros opus erat: hi dicti sunt equites. Tertia classis Zeugitae erant, quibus a iugo (ζεύγει) nomen inventum est, quod colendo agro alebant, quorumque proventus ducenorum medimnorum, parisque fluidi mensurae aestimabatur. In infima classe Thetes erant, qui infra censum Zeugitarum censebantur. Hi plerique *χειροτέχναι* erant et inter leviter armatos stipendia merebant, quemadmodum in Sparta perioeci. v. Od. Muell. Dor. 2. p. 27. De medimno v. Boeckh. l. c. 1. p. 99 sqq. „Addi potest, eo tempore Athenis medimnos farris constitisse binis drachmis, ut census pecuniarius primae classis fuerit millen. drachmarum sive denarum minarum (i. e. 600 Imperial. Boruss.) v. Leak. Athen. p. 415. adn. 10. (p. 434. vers. Germ.) Aristot. Polit. 2, 10. Polluc. 8, 129. 130. Plut. V. Solon. 18.“ Arn. Adde Boeckh. l. c. p. 102 sqq.

ἄπορα νομίζοντες] sc. *τὰ ὑπὸ τῶν Λεσβίων ῥηθέντα*, ut *ῥηθέντα* nunc valeat *mandata*, *imperata*. Popp. Mox de *πορθοῦσαι* v. Matth. p. 1092. init. et futurum simplex in *ὅ, τι πέμψουσιν* positum pro *ἔμελλον πέμψειν*. Deinde supple: *ἐπειδὴ καὶ ἐκείνους ἀναχωρήσαντας εἶδον*.

17. *ἐν τοῖς πλεῖσται*] v. Herm. ad Vig. p. 787, 250. Reiz. de Accent. Incl. p. 17. Wolf. Matth. p. 583. 584. lit. r. Mox structura haec esse videtur: *νῆες αὐτοῖς ἐνεργοὶ ἅμα κάλλει ἐγένοντο*. At Arn. *ἅμα* seiungens a *κάλλει* convertit on active service in fine condition, quod vix permittere solum dativum, Popp. obloquitur. Ipse cum H. Muellero *κάλλει* pendere facit ab *ἐνεργοί* interpretans: durch ihre treffliche Ausrüstung vorzüglich brauchbar, et *ἅμα* intelligit esse *uno eodemque tempore*. Schol. *ἐνεργοί, αἱ τὸ ἔργον ποιοῦσαι τῶν νεῶν, τουτέστι πλώιμοι καὶ χρησταί*, dienstthuende Schiffe. Ceterum in enumeratione harum navium aliquid repugnans inesse videtur cum iis, quae dixerat 2, 13., Atheniensibus ineunte bello fuisse *τριήρεις τὰς πλωίμους τριακοσίας* et 24., ubi narraverat, ex trecentis navibus centum quotannis reservatas esse, unde efficitur, non plus ducenas naves bello ad-

ἐνεργοὶ κάλλει ἐγένοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πολέμου. τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα ἑκατὸν ἐφύλασσον καὶ περὶ Πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν, χωρὶς δὲ αἱ περὶ Ποτίδαιαν καὶ ἐν τοῖς ἄλλοις χωρίοις, ὥστε αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἐνὶ θέρει διακόσιαι καὶ πεντήκοντα. καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ Ποτιδαίας. τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν, αὐτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας, τρισχίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν, ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ Φορμίωνος, οἳ προαπῆλθον· νηές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. τὰ μὲν οὖν χρήματα οὕτως ὑπαναλώθη τὸ πρῶτον καὶ νῆες τοσαῦται δὴ πλεῖσται ἐπληρώθησαν.

18 Μυτιληναῖοι δὲ κατὰ τὸν αὐτὸν χρόνον ὃν οἱ Λακεδαιμόνιοι περὶ τὸν ἰσθμὸν ἦσαν ἐπὶ Μήθυμναν ὡς προδιδομένην ἐστράτευσαν κατὰ γῆν αὐτοί τε καὶ οἱ ἐπίκουροι· καὶ προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ προὐχώρει ᾗ προσεδέχοντο, ἀπῆλθον ἐπ' Ἀντίσσης καὶ Πύῤῥας καὶ Ἐρέσσου καὶ καταστησάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα καὶ τείχη κατύναντες διὰ τάχους ἀπῆλθον ἐπ' οἴκου. ἐστράτευσαν δὲ καὶ οἱ Μηθυμναῖοι ἀναχωρησάντων αὐτῶν ἐπ' Ἄντισσαν· καὶ ἐκβοηθείας τινὸς γε-

hiberi potuisse. Atqui hic memorat ducentas quinquaginta belli usibus inservire. „Cuius difficultatis haec probabilis solutio est, illas centum naves non sepositas esse ante aestatem vertentem, postquam exercitus Peloponnesiorum abierat, quare initio maior numerus in mari versans (ἐνεργός) prope patriam praesidio esse poterat. Qui numerus, quum repertus esset non necessarius esse, valde imminutus effecit, ut centenae quotannis naves sepositae reservarentur. Non autem centum naves serius oram Atticam et Salaminem custodisse, apparet ex narratione facti per Cnemum et Brasidam in Piraeum conatus 2, 93., ubi illi non inveniebant opes sibi resistere validas. Neque usquam scriptor reperitur loquens de navibus Atticis custodientibus sinum Saronicum praeter tres, quae quodammodo portum Megarae obsidebant.“ Arn. Mox de hoplitis mercedem binarum drachmarum obtinentibus v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 131. 292 sqq. per totum c. 22. adde p. 258 sq. Wachsm. Antt. Gr. 2, 1. p. 120, 21. 426. C. Fr. Herm. Antt. Gr. p. 294, 16. Quod autem paulo post idem stipendium navibus datum esse perhibetur, non in hanc sententiam accipiendum esse, ut binas, sed ut singulas drachmas nautis et classiariis, quippe quibus ministri non fuerint, solutas esse censeamus, adnotavit Bloomf.

18. *προδιδομένην*] Participium praesentis pro participio futuri, quia sententia proprie haec est: *putantes parari ibi proditionem*, esse ibi proditores, per quos urbs sibi traderetur. Popp. De voce *αὐτερέται* v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 301. Mox Bloomf. praefert scripturam pessimorum librorum *ἔστιν ᾗ*, quae Arnoldo videtur correctio esse, et *ἐγκατοικοδομεῖν εἰς τόπον* recte dici, demonstrat Schneid. Lex. Gr., ut Popp. adnotavit. Paulo post *ἐν κύκλῳ*, alibi fere semper sine praepositione *κύκλῳ* dixit. Utrumque tamen sine discrimine dici, et apud ipsum Thuc. c. 74. *ἐν κύκλῳ* redire, monuit Popp. Denique pro *ἐγκατῳκοδόμηται* Vall. praesens habet. Bekk. in praef. ed. min. coniecit *ἐγκατῳκοδομήθη*. Arn. perfectum tuetur, interpretans there are built in it.

νομένης πληγέντες ὑπό τε τῶν Ἀντισσαίων καὶ τῶν ἐπικούρων ἀπέθανόν τε πολλοὶ καὶ ἀνεχώρησαν οἱ λοιποὶ κατὰ τάχος. οἱ δὲ Ἀθηναῖοι πυνθανόμενοι ταῦτα τούς τε Μυτιληναίους τῆς γῆς κρατοῦντας καὶ τοὺς σφετέρους στρατιώτας οὐχ ἱκανοὺς ὄντας εἴργειν πέμπουσι περὶ τὸ φθινόπωρον ἤδη ἀρχόμενον Πάχητα τὸν Ἐπικούρου στρατηγὸν καὶ χιλίους ὁπλίτας ἑαυτῶν. οἱ δὲ αὐτερέται πλεύσαντες τῶν νεῶν ἀφικνοῦνται καὶ περιτειχίζουσι Μυτιλήνην ἐν κύκλῳ ἁπλῷ τείχει· φρούρια δὲ ἔστιν οἷ ἐπὶ τῶν καρτερῶν ἐγκατῳκοδόμηται. καὶ ἡ μὲν Μυτιλήνη κατὰ κράτος ἤδη ἀμφοτέρωθεν καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης εἴργετο καὶ ὁ χειμὼν ἤρχετο γίγνεσθαι.

Προσδεόμενοι δὲ οἱ Ἀθηναῖοι χρημάτων ἐς τὴν πολιορκίαν 19
καὶ αὐτοὶ ἐσενεγκόντες τότε πρῶτον ἐσφορὰν διακόσια τάλαντα ἐξέπεμψαν καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους ναῦς δώδεκα καὶ Λυσικλέα πέμπτον αὐτὸν στρατηγόν. ὁ δὲ ἄλλα τε ἠργυρολόγει καὶ περιέπλει, καὶ τῆς Καρίας ἐκ Μυοῦντος ἀναβὰς διὰ τοῦ Μαιάνδρου πεδίου μέχρι τοῦ Σανδίου λόφου, ἐπιθεμένων τῶν Καρῶν καὶ Ἀναιτῶν αὐτός τε διαφθείρεται καὶ τῆς ἄλλης στρατιᾶς πολλοί.

Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Πλαταιῆς, ἔτι γὰρ ἐπολιορκοῦντο 20
ὑπὸ τῶν Πελοποννησίων καὶ Βοιωτῶν, ἐπειδὴ τῷ τε σίτῳ ἐπιλιπόντι ἐπιέζοντο καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἐλπὶς ἦν τιμωρίας οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτον μὲν πάντες ἐξελθεῖν καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐρρωμένου τὴν πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τολμίδου ἀνδρὸς μάντεως καὶ Εὐπομπίδου τοῦ Δαϊμάχου, ὃς καὶ ἐστρατήγει· ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως τὸν κίνδυνον μέγαν ἡγησάμενοι, ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ τρόπῳ τοιῷδε. κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων· ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν πλίνθων ᾗ ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον

19. *ἐσφορὰν*] i. e. Vermögenssteuer. v. Boeckh. Staatsh. d. Ath. Vol. 2. ineunte et de hoc ipso loco p. 4. adn. Wachsm. Antt. Gr. 2, 1. p. 136. Tittm. Gr. Staatsverf. p. 41. C. Fr. Herm. Antt. Gr. p. 315, 10. De Lysicle v. Schol. Arist. Equ. 132. 736. 762. Eum Abronychi filium fuisse ex Herodot. 8, 21. Thuc. 1, 91. colligit Krueg. ad Dionys. p. 328. Deinde Anaeitae sunt exules Samiorum, qui Anaeam in continente adverso traiecti Peloponnesios opibus iuvabant. v. 4, 75. 8, 19. et Krueg. ad Dionys. l. c. adn. 19. Mox *ἄλλης* in verbis *τῆς ἄλλης στρατιᾶς* om. nonnulli libri, Krueg. l. c. omissum volebat, at tuetur locus 3, 112. *Λημοσθένης καὶ τὸ ἄλλο στράτευμα* et, quem Popp. citavit Xenoph. Cyrop. 6, 4, 1. *Κῦρος μὲν ἐβούλετο· ὁ δ' ἄλλος στρατός* etc. Haack. contulit Tacit. 4. Hist. 56. *legatis interfectis ceterum vulgus facile accessurum.*

20. *ἐξαληλιμμένον*] Moeris ex h. l. commemorans itidem ut Schol. interpretatur *κεχρισμένον*. v. ibi interpp. p. 144. At Zonar., Suid. et Hesych. explicant per *ἠλειμμένος*. Interpretor noch nicht

τὸ τεῖχος αὐτῶν. ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολὰς καὶ ἔμελλον οἱ μέν τινες ἁμαρτήσεσθαι, οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες καὶ ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥᾳδίως καθορωμένου ἐς ὃ ἐβούλοντο τοῦ τείχους. τὴν μὲν οὖν ξυμμέτρησιν τῶν κλιμάκων οὕτως ἔλαβον, ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες τὸ μέτρον.
21 τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ οἰκοδομήσει. εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε Πλαταιῶν καὶ εἴ τις ἔξωθεν ἀπ' Ἀθηνῶν ἐπίοι, διεῖχον δὲ οἱ περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων· τὸ οὖν μεταξὺ τοῦτο, οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο, καὶ ἦν ξυνεχῆ ὥστε ἓν φαίνεσθαι τεῖχος παχὺ ἐπάλξεις ἔχον ἀμφοτέρωθεν. διὰ δέκα δὲ ἐπάλξεων πύργοι ἦσαν μεγάλοι καὶ ἰσοπλατεῖς τῷ τείχει, διήκοντες ἔς τε τὸ ἔσω μέτωπον αὐτοῦ καὶ οἱ αὐτοὶ καὶ ἐς τὸ ἔξω, ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον,

recht (ἐς) überworfen. Bloomf. whitewashed, not plastered. Arn. not thoroughly whitewashed, existimans scriptorem significare, opus non ita absolutum fuisse, ut strata laterum non distingui et numerari possent, ut si externa facies domus tantum est dealbata, non trullisata sive tectorio obducta. Pollux 7, 124. distinguit *χρίειν* et *ἀλείφειν*, haec enim eius verba sunt: *τιτάνῳ δὲ χρίειν, εἶτα ἀλείφειν, ἐπαλείφειν, καταλείφειν, ἐξαλείφειν*, quo gradus dealbandi significantur. Mox medium *ἠριθμοῦντο* est sie zählten ein jeder für sich. Paulo post, ubi hic sensus non obtinet, activum *ἀριθμοῦντες* habet.

ἐς ὃ ἐβούλοντο] Contra linguae leges Kistem. et Arn. *in quantum cupiebant* (supplentes *καθορᾶν*) interpretantur, quae *ἐς ὅσον* dicenda erant. Schol. *θεῖναι κλίμακας*, Haack. in ed. 1. *ἰέναι* subaudit, utrumque male, quia neutrum in serie verborum inest. Melius Dukas *καθορᾶν* repetit, quod nunc probat Haack., docens *ἐς* cum cernendi verbis recte iungi ut 4, 18. *ἐς τὰς ξυμφορὰς ἀπιδόντες*. Sed *καθορᾶν* nec eandem vim habet, quam *ἐφορᾶν*, et nunc ipsum transitive in *καθορωμένου τοῦ τείχους* legitur, et *καθορᾶν ἔς τι*, quod alibi *despicere in aliquid* significat, si valeat hic *in aliquid intueri, oculos vertere* (nach etwas hinblicken), ob *ἐβούλοντο* multo minus aptum quam *καθορᾶν τι, aliquid perspicere, penitus conspicere et cognoscere.* Nos igitur *ἐς ὃ ἐβούλοντο* convertimus worauf sie hinwollten, worauf sie es abgesehen hatten, whereto they designed Bloomf. (qui tamen *ἐλθεῖν, ἰέναι* aut simile verbum suppleri vult). Conf. Matth. §. 535. adn. 2. Popp. De re conf. Liv. 25, 23.

21. Ad explicandam hanc descriptionem oppugnationis Plataearum plura conferunt Lips. 2. Poliorc. 1. et Casaub. ad Polyb. p. 181. Duk. adde Mans. Spart. 2. p. 405 sqq.

οἰκήματα] i. e. der Zwischenraum von 16 Fuss war zu einer unter sie vertheilten Wohnung angelegt. *Τὸ μεταξὺ* est nominativus, cuius appositio sunt verba *οἱ ἑκκαίδεκα πόδες*. Nos dicturi fuissemus *τὸ μεταξὺ τὸ ἑκκαίδεκα ποδῶν*. v. Matth. p. 794. 5. Arn. confert Herodot. 1, 180. *τὸ δὲ ἀπὸ τούτων, αἱ ἐπικαμπαὶ παρὰ χεῖλος ἑκάτερον τοῦ ποταμοῦ, αἱμασιὴ πλίνθων ὀπτέων παρατείνει.* Bloomf. addit Appian. B. C. 4, 106. Vol. 2. p. 667, 10. Schw. *τὸ δὲ μέσον τῶν λόφων τὰ ὀκτὼ στάδια δίοδος ἦν.* Mox *χειμὼν νοτερός* est ventosa pluviaque tempestas, quam paucis interiectis dicit *χειμέριον ὕδατι καὶ ἀνέμῳ*, importunam pluvia ventisque.

ἀλλὰ δι' αὐτῶν μέσων διῆσαν. τὰς οὖν νύκτας ὁπότε χειμὼν εἴη νοτερός, τὰς μὲν ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων ὄντων δι' ὀλίγου καὶ ἄνωθεν στεγανῶν τὴν φυλακὴν ἐποιοῦντο. τὸ μὲν οὖν τεῖχος ᾧ περιεφρουροῦντο οἱ Πλαταιῆς τοιοῦτον ἦν. οἱ δ', ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον 22
ὕδατι καὶ ἀνέμῳ καὶ ἅμα ἀσέληνον ἐξῆσαν· ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν ἣ περιεῖχεν αὐτούς, ἔπειτα προσέμιξαν τῷ τείχει τῶν πολεμίων λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακουσάντων· ἅμα δὲ καὶ διέχοντες πολὺ ἦσαν, ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν. κατὰ οὖν μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἐρῆμοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον, ὧν ἦγεῖτο Ἀμμέας ὁ Κοροίβου καὶ πρῶτος ἀνέβη, μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι ἐξ ἑφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον· ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν, οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν, καὶ ἔμελλον δώσειν ὁπότε πρὸς τοῖς πολεμίοις εἶησαν. ὡς δὲ ἄνω πλείους ἐγένοντο, ἤσθοντο οἱ ἐκ τῶν πύργων φύλακες· κατέβαλε γάρ τις τῶν Πλαταιῶν ἀντιλαμβανόμενος ἀπὸ τῶν ἐπάλξεων κεραμίδα, ἣ πεσοῦσα δοῦπον ἐποίησε. καὶ αὐτίκα βοὴ ἦν, το δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος

22. *τῆς πείρας αἴτιοι*] sc. Theaenetus, vates, et Eupompidas, praetor. Mox structura haec est: *ἔλαθον τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντας, ὅτι δὲ ψόφῳ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπατάγει ὁ ἄνεμος, οὐ κατακούσαντας.* Et alterum tantum pedem habebant calceatum, ut alter nudus prohiberet, ne in luto laberentur. Sinistrum autem cur calceatum habuerint, et non dextrum, Wass. explicat: „in pedem sinistrum miles fere nititur, dextra manu usurus: idque gladiatores fecerunt. Sinistrum pedem quasi pro centro habent, unde totum corpus circumagant.“ Adde Heyn. ad Virg. 7. Aen. 690. Lips. 3. de Mil. R. 7. Aristot. ap. Macrob. 5. Sat. 18. Arn. confert Gualteri Scotti descriptionem Germanorum mercenariorum in Lay of the Last Minstrel Cant. 4. St. 18. Each better knee was bared, to aid The warriors in the escalade. Paulo post *μεταπύργιον* est intervallum inter duas turres, et hoc loco murus inter duas turres. (Curtain, Curtine.) Deinde verba *ἐφ' ἑκάτερον τῶν πύργων* significant *ad utramque turrim.* Nam dixerat *κατὰ μεταπύργιον προσέμισγον*, cuius ab utroque latere turris fuit. Mox alii libri *καὶ αὐτίκα βοὴ ἦν*, alii *βοὴ ἦν*, alii *βοὴ* sine *ἦν*, „*Αὐτίκα βοὴ ἦν* scripsisse Thucydidem, non *αὐτίκα βοήν*, nec *αὐτίκα βοή*, omisso *ἦν*, intelligi potest ex Hermog. *π. ἰδεῶν* 1, 12. p. 361.“ Duk.

ἐπὶ τὸ τεῖχος] Ex turribus et *ἐκ τοῦ μεταξὺ τῶν πύργων*, *ὃ τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο* (c. 21.) progressus exercitus petebat murum et loricas. vid. 7, 28., ubi idem dicit *πρὸς τῇ*

ὥρμησεν· οὐ γὰρ ἤδει ὅ,τι ἦν τὸ δεινὸν σκοτεινῆς νυκτὸς καὶ χειμῶνος ὄντος, καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν Πλαταιῶν ὑπολελειμμένοι ἐξελθόντες προσέβαλον τῷ τείχει τῶν Πελοποννησίων ἐκ τοὔμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς, ἀλλ' ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον. καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο παραβοηθεῖν εἴ τι δέοι, ἐχώρουν ἔξω τοῦ τείχους πρὸς τὴν βοήν. φρυκτοί τε ἤροντο ἐς τὰς Θήβας πολέμιοι· παρανῖσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλοὺς πρότερον παρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ καὶ μὴ βοηθοῖεν, ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι ἢ τὸ ὄν, πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν καὶ τοῦ
23 ἀσφαλοῦς ἀντιλάβοιντο. οἱ δ' ὑπερβαίνοντες τῶν Πλαταιῶν ἐν τούτῳ, ὡς οἱ πρῶτοι αὐτῶν ἀναβεβήκεσαν καὶ τοῦ πύργου ἑκατέρου τοὺς φύλακας διαφθείραντες ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν πύργων ἐνστάντες αὐτοὶ ἐφύλασσον μηδένα δι' αὐ-

ἐπάλξει et ἐπὶ τοῦ τείχους et 7, 37. ἐπὶ τὰ τείχη est *ad loricas*. Adde 8, 69. n. l. ab init. ἐπὶ τείχει, idemque redit 8, 94. extr. Et mox dicit, eos κατὰ χώραν μένοντας βοηθεῖν οὐδένα τολμᾶν ἐκ τῆς ἑαυτοῦ φυλακῆς, ubi κατὰ χώραν est auf ihrem Posten. v. interpp. ad Callim. Vol. 1. p. 184. Ern. Mox alii libri ἔξω τοῦ τείχους, alii ἔξωθεν, „quae si vera scriptura est, hoc scriptor dicit: ἐχώρουν πρὸς τὴν βοὴν ἔξωθεν τοῦ τείχους i. e. an der äusseren Seite der Mauer. Conf. ἄνωθεν 2, 102." Arn.

87. *ἡ νόσος*] Omnibus febribus Aethiopicis omnino commune est natura summum ad modum mortifera vis inficiendi, ut neque aetati puerili parcant, neque senectuti. Omnes per longius tempus gentem mortalium vexasse, historia docet. Haec per tres annos Athenienses ipsos affligere non desiit. Quamdiu ceteras Graeciae regiones laeserit, ex veteribus colligi non potest. Galeni autem lues decem ad quindecim annos Romam devastavit. Memoria dignissimum est, febrem, quae illi successit, per plenos quindecim annos saeviisse, et luem illam terribilem et pertinacissimam, quae seculo sexto irrepsit, aetatem quindecim annorum quater absolvisse, quarum indictionum prima speciem febri Atticae haud dissimilem prae se tulit. Krauss. Disquis. de Natur. Morb. Att. etc. p. 51 sq.

ὥστε Ἀθηναίων γε — δύναμιν] Locus valde turbatus a librariis et multa scripturae varietate insignis. *Ἀθηναίων γε* Cass. Aug. (qui in marg. vulgatum adnotat), Ven. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Laur. Lugd., tacite m. cod. Bas. Gr. D. I. Ar. Chr. Dan. marg. Steph. Vall. In Mosqu. *Ἀθηναίους γε.* Vulgo *Ἀθηναίους τε.* Post *μᾶλλον* sequitur vulgo *τούτου ἐπίεσε καί*, sed *τούτου* om. Cass. Aug. Ven. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Vind. Ar. Chr. Dan. marg. Steph. Schol. Aug. Pro eo *τούτους* praebent Laur. Cod. Bas. marg. Aug. (hic insuper dicitur habere *μᾶλλον* post *τούτους ἐπίεσε καί*,) Ald. Flor. atque ed. Bas., *τούτοις* E. Atque *ἐπίεσε καί* om. Cass. Aug. (in quo in marg. adnotatum), Ven. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Cam. Gr. Consentiunt Vall. *adeo ut nihil magis Atheniensium vires afflixerit* et Schol., addens, in alio libro inveniri id, quod vulgo legitur: *ὥστε Ἀθηναίους τε μὴ εἶναι ὅ τι μᾶλλον τούτου ἐπίεσε καὶ ἐκάκωσε τὴν δύναμιν. Τούτου* tamen et ipse agnoscit, nisi quod in cod. Aug. *τούτου* apud scholiastam deest. Thucydidem nusquam dicere *πιέζειν τὴν δύναμίν τινος*, sed ubique *πιέζειν τινά*, adnotavit Popp., qui coniicit probabiliter: *ὥστε Ἀθηναίους γε μὴ εἶναι ὅ τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν.* Sic ait intelligi, quomodo alicui in mentem venire potuerit, ut *ἐπίεσε καί* inserendum censeret. Mox *οἱ ἐκ τῶν τάξεων* videntur graviter armati esse, qui alias conscripti *ἐκ καταλόγου* dicuntur i. e. ex albo militari, unde dicuntur *ὁπλῖται ἐκ καταλόγου* 6, 43. et discernuntur ab hoplitis non ad hoc genus militiae obstrictis, qui conscribebantur ex numero thetarum (v. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 35.) et ex numero inquilinorum, quin et peregrinorum, firmas sedes Athenis non habentium. (v. ibidem Vol. 1. p. 279. 280.

θανον ἐκ τῶν τάξεων καὶ τριακοσίων ἱππέων, τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός. ἐγένοντο δὲ καὶ οἱ πολλοὶ τότε σεισμοὶ τῆς γῆς ἔν τε Ἀθήναις καὶ ἐν Εὐβοίᾳ καὶ ἐν Βοιωτοῖς καὶ μάλιστα ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.

88 Καὶ οἱ μὲν ἐν Σικελίᾳ Ἀθηναῖοι καὶ Ῥηγῖνοι τοῦ αὐτοῦ χειμῶνος τριάκοντα ναυσὶ στρατεύουσιν ἐπὶ τὰς Αἰόλου νήσους καλουμένας· Φέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. νέμονται δὲ Λιπαραῖοι αὐτὰς Κνιδίων ἄποικοι ὄντες. οἰκοῦσι δ' ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ, καλεῖται δὲ Λιπάρα· τὰς δὲ ἄλλας ἐκ ταύτης ὁρμώμενοι γεωργοῦσι Διδύμην καὶ Στρογγύλην καὶ Ἱεράν. νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι ἐν τῇ Ἱερᾷ ὡς ὁ Ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ ἀναδιδοῦσα πολὺ καὶ τὴν ἡμέραν καπνόν. κεῖνται δὲ αἱ νῆσοι αὗται κατὰ τὴν Σικελῶν καὶ Μεσσηνίων γῆν, ξύμμαχοι δ' ἦσαν Συρακοσίων. τεμόντες δ' οἱ Ἀθηναῖοι τὴν γῆν, ὡς οὐ προσεχώρουν, ἀπέπλευσαν ἐς τὸ Ῥήγιον. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ πέμπτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

89 Τοῦ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι μέχρι μὲν τοῦ ἰσθμοῦ ἦλθον ὡς ἐς τὴν Ἀττικὴν ἐσβαλοῦντες Ἄγιδος τοῦ Ἀρχιδάμου ἡγουμένου Λακεδαιμονίων βασιλέως, σεισμῶν δὲ γενομένων πολλῶν ἀπετράποντο πάλιν καὶ οὐκ ἐγένετο ἐσβολή. καὶ περὶ τούτους τοὺς χρόνους τῶν σεισμῶν κατεχόντων, τῆς Εὐβοίας ἐν Ὀροβίαις ἡ θάλασσα ἐπελ-

Hemsterh. ad Lucian. Tim. c. 51. Vol. 1. p. 425. Bip. Schneid. ad Aristot. Polit. 5, 2, 8. Sturz. Lexic. Xenoph. Vol. 2. p. 688. Conf. adn. ad 7, 20.

88. *δι' ἀνυδρίαν*] Quamquam aliquot ibi sunt fontes exigui, tamen penuria aquae communis est, quum solum, totum ex scoriis, tophis, pumicibus, pulvere Puteolano et cineribus constans, nullo lapideo strato interveniente, exceptis si forte struibus obduratae in similitudinem vitri materiae, celerrime liquorem absorbeat. Quare incolae magnas cisternas, ubi aquam pluviam servent, exstruere coguntur. Smith. Commentt. de Sic. p. 249. apud Arn. De Lipara conf. C. Fr. Herm. Antt. Gr. p. 146, 10.

νομίζουσι] In fabulosis, quae perpauca duntaxat attigit, *λέγεται* ponere solet Thuc., quo historicorum principe mihi quidem minus digna videntur, quae prostant 3, 88., quo libenter referrem scholion e Ms. ad finem p. 219. Duk. i. e. ad 3, 84. relatum: *τὰ ὠβελισμένα οὐδενὶ τῶν ἐξηγητῶν ἔδοξε Θουκυδίδου εἶναι.* Valck. ad Herodot. 7, 198. v. adn. ad 3, 84. init.

89. *τῶν σεισμῶν κατεχόντων*] i. e. terrae motibus obtinentibus, quum alibi, tum in Euboea. Mox pro *ἐπελθοῦσα* E. *ἐπεξελθοῦσα*. Legendum videtur *ἐπανελθοῦσα ἀπὸ τῆς τότε γῆς*. Mare quippe terrae motu a litore repulsum (*ἐπανελθοῦσα*, quod deinde dicit *κύματος ἐπαναχώρησιν* et *ἀποστέλλειν*, *removeri*), deinde fluctibus agitatum in partem urbis recidit. Tum *ἐπανελθοῦσα*, tum *ἀπὸ τῆς πότε γῆς* Schol. legisse videtur. At *τότε* non mutaverim, vulgatum cum Enenkelio interpretans: *mare illatum per illam regionem, qua tunc terra erat.* Etiam alter Schol. *ἐπανελθοῦσα* legisse videtur. Utrumque Scholion sic habet: *ἐπανελθοῦσα ἡ θάλασσα μέρος ἀπὸ τῆς ποτε οὔσης γῆς ἐπῆλθε καὶ ἀπέλαβε. καλῶς δὲ εἶπε τῆς ποτε οὔσης γῆς ὡς νῦν θα-*

θοῦσα ἀπὸ τῆς τότε οὔσης γῆς καὶ κυματωθεῖσα ἐπῆλθε τῆς πόλεως μέρος τι, καὶ τὸ μὲν κατέκλυσε, τὸ δ' ὑπενόστησε, καὶ θάλασσα νῦν ἐστι πρότερον οὖσα γῆ· καὶ ἀνθρώπους διέφθειρεν ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδραμόντες. καὶ περὶ Ἀταλάντην τὴν ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσον παραπλησία γίγνεται ἐπίκλυσις καὶ τοῦ τε φρουρίου τῶν Ἀθηναίων παρεῖλε καὶ δύο νεῶν ἀνειλκυσμένων τὴν ἑτέραν κατέαξεν. ἐγένετο δὲ καὶ ἐν Πεπαρήθῳ κύματος ἐπαναχώρησίς τις, οὐ μέντοι ἐπέκλυσέ γε· καὶ σεισμὸς τοῦ τείχους τι κατέβαλε καὶ τὸ πρυτανεῖον καὶ ἄλλας οἰκίας ὀλίγας. αἴτιον δ' ἔγωγε νομίζω τοῦ τοιούτου, ᾗ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν θάλασσαν καὶ ἐξαπίνης πάλιν ἐπισπωμένην βιαιότερον τὴν ἐπίκλυσιν ποιεῖν· ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι γενέσθαι.

Τοῦ δ' αὐτοῦ θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι ὡς ἑκάστοις 90
ξυνέβαινεν ἐν τῇ Σικελίᾳ καὶ αὐτοὶ οἱ Σικελιῶται ἐπ' ἀλλήλους στρατεύοντες καὶ οἱ Ἀθηναῖοι ξὺν τοῖς σφετέροις ξυμμάχοις· ἃ δὲ λόγου μάλιστα ἄξια ἦ μετὰ τῶν Ἀθηναίων οἱ ξύμμαχοι ἔπραξαν ἢ πρὸς τοὺς Ἀθηναίους οἱ ἀντιπολέμιοι, τούτων μνησθήσομαι. Χαροιάδου γὰρ ἤδη τοῦ Ἀθηναίων στρατηγοῦ τεθνηκότος ὑπὸ Συρακοσίων πολέμῳ Λάχης ἅπασαν ἔχων τῶν νεῶν τὴν ἀρχὴν ἐστράτευσε μετὰ τῶν ξυμμάχων ἐπὶ Μυλὰς τὰς τῶν Μεσσηνίων. ἔτυχον δὲ δύο φυλαὶ ἐν ταῖς Μυλαῖς τῶν Μεσσηνίων φρουροῦσαι καί τινα καὶ ἐνέδραν πεποιημέναι τοῖς ἀπὸ τῶν νεῶν. οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι τούς τε ἐκ τῆς ἐνέδρας τρέπουσι καὶ διαφθείρουσι πολλούς, καὶ τῷ ἑρύματι προσβαλόντες ἠνάγκασαν ὁμολογίᾳ τήν τε ἀκρόπολιν παραδοῦναι καὶ ἐπὶ Μεσσήνην ξυστρατεῦσαι. καὶ μετὰ τοῦτο

λάσσης οὔσης, δηλονότι διὰ τὸν σεισμόν. Ἄλλοι δὲ οὕτως· ἡ θάλασσα εἰς ἑαυτὴν ἐπαναχωρήσασα καὶ ὑποστρέψασα ἀπὸ τοῦ λιμένος καὶ τῆς γῆς ἐπὶ τὰ κυμαιώδη — αὖθις δ' ἐλθοῦσα ἐπὶ τὴν γῆν κατέλαβε μέρος τι ἕτερον τῆς γῆς, ὅπερ πρότερον οὐ κατεῖχε. „Si *ἐπελθοῦσα* vera scriptura est, hic tantum potest sensus esse: mare non solum terram inundasse, ita ut perpetuo partem eius occuparet, sed cum inundatio summum attigisset, usque longius processisse et partem urbis obtinuisse.“ Arn. Ergo censebimus, scriptorem dedisse *ἐπελθοῦσα ἐπῆλθε*? Porro *τὸ μὲν — τὸ δέ* non possunt non nominativi esse. Et verba *καὶ θάλασσα — γῆ* idem necesse est significent, quod *καὶ γῆ πρότερον οὖσα γῆ νῦν θαλασσά ἐστι*, nam subiectum non potest esse *θάλασσα*, ut sit: *καὶ θάλασσα πρότερον οὖσα γῆ νῦν θάλασσά ἐστι*, id quod absurdum foret. Est ergo und früher gewesenes Land ist jetzt Meer. Deinde falso Od. Muell. Orchom. p. 61. scribit, Atalanten hoc terrae motu a continente Locrorum Opuntiorum avulsam esse. Nam iam multo ante (2, 32.) insula appellatur. Et *ἀποστέλλειν* neutrum est pro *ἐπαναχωρεῖν*. Ex contrario positum est *ἐπισπωμένην*, quod significat reditum aquae prius per terrae motum repulsae.

90. *πεποιημέναι*] Ar. Chr. Dan. *πεποιηκέναι*, „unde *πεποιηκυῖαι* efficit Coraes ad Plut. Vol. 1. p. 375.“ Bekk. Medium hic requiri, non activum, respondit Popp. Vid. Matth. p. 926.

ἐπελθόντων οἱ Μεσσήνιοι τῶν τε Ἀθηναίων καὶ τῶν ξυμμάχων προσεχώρησαν καὶ αὐτοὶ ὁμήρους τε δόντες καὶ τἆλλα πιστὰ παρασχόμενοι.

91 Τοῦ δ' αὐτοῦ θέρους οἱ Ἀθηναῖοι τριάκοντα μὲν ναῦς ἔστειλαν περὶ Πελοπόννησον, ὧν ἐστρατήγει Δημοσθένης τε ὁ Ἀλκισθένους καὶ Προκλῆς ὁ Θεοδώρου, ἑξήκοντα δὲ ἐς Μῆλον καὶ δισχιλίους ὁπλίτας, ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου. τοὺς γὰρ Μηλίους ὄντας νησιώτας καὶ οὐκ ἐθέλοντας ὑπακούειν οὐδὲ ἐς τὸ αὐτῶν ξυμμαχικὸν ἰέναι ἐβούλοντο προσαγαγέσθαι. ὡς δὲ αὐτοῖς δηουμένης τῆς γῆς οὐ προσεχώρουν, ἄραντες ἐκ τῆς Μήλου αὐτοὶ μὲν ἔπλευσαν ἐς Ὠρωπὸν τῆς πέραν γῆς, ὑπὸ νύκτα δὲ σχόντες εὐθὺς ἐπορεύοντο οἱ ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ ἐς Τάναγραν τῆς Βοιωτίας. οἱ δ' ἐκ τῆς πόλεως πανδημεὶ Ἀθηναῖοι Ἱππονίκου τε τοῦ Καλλίου στρατηγοῦντος καὶ Εὐρυμέδοντος τοῦ Θουκλέους ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γῆν ἀπήντων. καὶ στρατοπεδευσάμενοι ταύτην τὴν ἡμέραν ἐν τῇ Τανάγρᾳ ἐδήουν καὶ ἐνηυλίσαντο. καὶ τῇ ὑστεραίᾳ μάχῃ κρατήσαντες τοὺς ἐπεξελθόντας τῶν Ταναγραίων καὶ Θηβαίων τινὰς προσβεβοηθηκότας καὶ ὅπλα λαβόντες καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν, οἱ μὲν ἐς τὴν πόλιν, οἱ δὲ ἐπὶ τὰς ναῦς. καὶ παραπλεύσας ὁ Νικίας ταῖς ἑξήκοντα ναυσὶ τῆς Λοκρίδος τὰ ἐπιθαλάσσια ἔτεμε καὶ ἀνεχώρησεν ἐπ' οἶκον.

91. *Ἀλκισθένους*] Alciphronis filium Demosthenem nostrum appellat Themist. de Pace ad Val. p. 138., si scriptura sana. At v. infr. 4, 66. 7, 16. Popp. Mox pro *Προκλῆς* alii libri *Παροκλῆς*. Atque sic Montefalc. Palaeogr. Gr. p. 342. hic et apud Xenoph. H. Gr. 7, 1, 1. legi vult, dubitantius tamen apud hunc scriptorem, quam apud Xenophontem. v. Sturz. ad Hellanic. p. 246. ed. sec. Wess. ad Herodot. 3, 50. Proclis huius, Theodori filii, iterum mentio fit 3, 98. Alius Procles Atheniensis est, qui memoratur 5, 19. 24.

τῆς πέραν γῆς] Hinc Arn. putat *Πειραϊκήν* nomen habere; quin Cram. putat, hic legendum esse *τῆς Πειραϊκῆς*. Vid. adn. ad 2, 24. Popp. quoque haec depravata esse iudicat, quia Oropus non e regione Meli, sed Euboeae sita sit. At propter hoc ipsum puto agrum Oropi *τὴν πέραν γῆν* ita constanter appellatam esse, ut haec appellatio in nomen proprium abiret, atque Oropi ager hic *ἡ πέραν γῆ* audiat, quamquam Euboea non appellata. Sic *τὸ ἠπειρωτικόν*, quod Thucydidi usque appellativum fuit, (velut c. 94. *τὸ ταύτῃ ἠπειρωτικόν*,) eodem tempore coepit nomen proprium fieri, nec secus *terrae firmae* Veneta et Hispanica (in America australi) ex nominibus appellativis, ut Arn. adnotavit, propria facta sunt. Qui paulo post nominatur, „Hipponicus socer Alcibiadis et unus ditissimorum Graecorum erat. Callias, pater eius, legatus effecisse dicitur, ut rex Persarum famosum illud foedus faceret, ex quo naves eius bellicae intra Cyaneas et Chelidonias insulas navigare vetitae sunt. v. Andocid. c. Alcib. p. 117. Demosth. de Fals. Leg. p. 428. Herodot. 7, 151. Plenam enumerationem eorum, qui deinceps gentis Calliae et Hipponici principes fuerunt, dat Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 14 sqq.“ Arn. Adde Heind. ad Plat. Cratyl. p. 5. Wachsm. Antt. Gr. 1, 2. p. 33, 21. 187, 52. C. Fr. Herm. Antt. Gr. p. 334, 10.

Ὑπὸ δὲ τὸν χρόνον τοῦτον Λακεδαιμόνιοι Ἡράκλειαν τὴν 92
ἐν Τραχινίᾳ ἀποικίαν καθίστανται ἀπὸ τοιᾶσδε γνώμης. Μηλιῆς οἱ ξύμπαντες εἰσὶ μὲν τρία μέρη, Παράλιοι, Ἱερῆς, Τραχίνιοι· τούτων δὲ οἱ Τραχίνιοι πολέμῳ ἐφθαρμένοι ὑπὸ Οἰταίων ὁμόρων ὄντων τὸ πρῶτον μελλήσαντες Ἀθηναίοις προσθεῖναι σφᾶς αὐτούς, δείσαντες δὲ μὴ οὐ σφίσι πιστοὶ ὦσι, πέμπουσιν ἐς Λακεδαίμονα, ἑλόμενοι πρεσβευτὴν Τισαμενόν. ξυνεπρεσβεύοντο δὲ αὐτοῖς καὶ Δωριῆς ἡ μητρόπολις τῶν Λακεδαιμονίων τῶν αὐτῶν δεόμενοι· ὑπὸ γὰρ τῶν Οἰταίων καὶ αὐτοὶ ἐφθείροντο. ἀκούσαντες δὲ οἱ Λακεδαιμόνιοι γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν, τοῖς τε Τραχινίοις βουλόμενοι καὶ τοῖς Δωριεῦσι τιμωρεῖν. καὶ ἅμα τοῦ πρὸς Ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις καθίστασθαι· ἐπί τε γὰρ τῇ Εὐβοίᾳ ναυτικὸν

92. *ἐν Τραχινίᾳ*] Scripsi cum nuperrimis editoribus pro vulgata *ἐν Τραχινίαις*. Mosqu. *ἐν Τραχῖνι*. Graece dicitur aut *Ἡράκλεια ἡ ἐν Τραχῖνι*, aut *ἡ ἐν Τραχινίᾳ*, ut docent Duk. et Wass. Arn. suspicatur, *ἐν Τραχινίαις* ortum esse ex titulo nobilissimo fabulae Sophocleae. „*Τραχίς* proprie erat nomen agri, et *Τραχίνιος* eius erat possessivum. Sed quum illud nomen postea urbi daretur, *Τραχινία* usitatior erat appellatio ad significandum agrum.“ Bloomf. Mox „Matth. §. 319. male nominativum *Μηλιῆς* (in verbis *M. εἰσὶ τρία μέρη*) pro genitivo dictum vult; Bloomf. peius etiam *κατά* supplet, quo oratio barbara efficeretur. Tu interpretare simpliciter *Melienses sunt tres partes* i. e. constant ex tribus partibus.“ Popp. Hierenses, quos hic scriptor nominat, Arn. suspicatur nobiles sacerdotes fuisse, qui Athenis Eupatridae dicebantur, civitatis quondam conditores; Paralios dicit fuisse mixtum populum, qui in decursu temporum circa nobiles augeri solebat. Hos ab origine *δῆμον* fuisse, qui paulatim civitatem adipiscebantur vel plenam vel minus plenam. Athenis hos homines Paralos appellatos esse, quum in omnibus oppidis maritimis mercatores, nautae et peregrini confluerent, quibus mare, communis gentium traiectus, aditum ad peregrinas terras patefecerat, quique victum parabant ex varietate negotiorum, quae maris vicinitas adiuvat. Trachinios, quemadmodum *ὑπερακρίους* Athenarum, addit reliquias fuisse vetustissimorum terrae incolarum, reiectos in montana per populum expugnatorem, qui in locis maxime opimis sedes fixerat. Conf. Od. Muell. Dor. 1. p. 43 sqq. Paucis interiectis ad *Δωριῆς ἡ μητρόπολις* v. C. Fr. Herm. Antt. Gr. p. 36. §. 16. et praecipue adn. 7. De verbis *τοῦ πολέμου καλῶς* v. Matth. p. 645.

ἐπὶ — Εὐβοίᾳ ναυτικόν] Materiam navalem raram esse in Peloponneso, sed Trachiniae montes Clarkio Itin. 3. p. 231. teste adhuc quercubus et pinis refertos esse Bloomf. adnotavit. Mox *ἐκ καινῆς* est *denuo*. „Iam enim antea urbs ibi fuerat non eiusdem nominis, sed Trachis nominata. Herodot. 7, 199.“ Haack. Deinde „Strabo perhibet, Heracleam a portu 40, non 20 stadiis abesse. v. Berkel. ad Steph. Byz.“ Huds. Mutatio faciei terrae prope Thermopylas iacentis, consecuta inde, quod mare recessit, et Sperchius cursum alio vertit (cuius fluvii ostium nunc est ab austro Thermopylarum, postquam praefluxit per aliquantum spatii pari usque distantia ab serie scopulorum litus praetexente, et recepit minores fluvios Asopum, Melanem et Dyrantem, qui prius recta in mare excurrebant), — ea igitur mutatio effecit, ut non facile situs variorum oppidorum reperiatur, quae vete-

παρασκευασθῆναι ἄν, ὥστ' ἐκ βραχέος τὴν διάβασιν γίγνεσθαι, τῆς τε ἐπὶ Θρᾴκης παρόδου χρησίμως ἔξειν. τό τε ξύμπαν ὥρμηντο τὸ χωρίον κτίζειν. πρῶτον μὲν οὖν ἐν Δελφοῖς τὸν Θεὸν ἐπήροντο· κελεύοντος δὲ ἐξέπεμψαν τοὺς οἰκήτορας αὐτῶν τε καὶ τῶν περιοίκων, καὶ τῶν ἄλλων Ἑλλήνων τὸν βουλόμενον ἐκέλευον ἕπεσθαι πλήν γ' Ἰώνων καὶ Ἀχαιῶν καὶ ἔστιν ὧν ἄλλων ἐθνῶν. οἰκισταὶ δὲ τρεῖς Λακεδαιμονίων ἡγήσαντο Λέων καὶ Ἀλκίδας καὶ Δαμάγων. καταστάντες δὲ ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς, ἣ νῦν Ἡράκλεια καλεῖται, ἀπέχουσα Θερμοπυλῶν σταδίους μάλιστα τεσσαράκοντα, τῆς δὲ θαλάσσης εἴκοσι. νεώριά τε παρεσκευάζοντο καὶ ἤρξαντο κατὰ Θερμοπύλας κατ' αὐτὸ
93 τὸ στενόν, ὅπως εὐφύλακτα αὐτοῖς εἴη. οἱ δὲ Ἀθηναῖοι τῆς πόλεως ταύτης ξυνοικιζομένης τὸ πρῶτον ἔδεισάν τε καὶ ἐνόμισαν ἐπὶ τῇ Εὐβοίᾳ μάλιστα καθίστασθαι, ὅτι βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ Κήναιον τῆς Εὐβοίας. ἔπειτα μέντοι παρὰ δόξαν αὐτοῖς ἀπέβη· οὐ γὰρ ἐγένετο ἀπ' αὐτῆς δεινὸν οὐδέν. αἴτιον δὲ ἦν· οἵ τε Θεσσαλοὶ ἐν δυνάμει ὄντες τῶν ταύτῃ χωρίων καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο φοβούμενοι μὴ σφίσι μεγάλῃ ἰσχύι παροικῶσιν, ἔφθειρον καὶ διὰ παντὸς ἐπολέμουν ἀνθρώποις νεοκαταστάτοις, ἕως ἐξετρύχωσαν γενομένους τὸ πρῶτον καὶ πάνυ πολλούς· πᾶς γάρ τις Λακεδαιμονίων οἰκιζόντων θαρσαλέως ᾔει, βέβαιον νομίζων τὴν πόλιν. οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν Λακεδαιμονίων οἱ ἀφικνούμενοι τὰ πράγματά τε ἔφθειρον καὶ ἐς ὀλιγανθρωπίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς πολλούς, χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι, ὥστε ῥᾷον ἤδη αὐτῶν οἱ πρόσοικοι ἐπεκράτουν.
94 Τοῦ δ' αὐτοῦ θέρους καὶ περὶ τὸν αὐτὸν χρόνον ὃν ἐν τῇ Μήλῳ οἱ Ἀθηναῖοι κατείχοντο καὶ οἱ ἀπὸ τῶν τριάκοντα

res scriptores in his plagis memorant. At reliquiae Heracleae et arcis eius in colle, et vestigia oppidi inferius siti (secundum Livium 36, 22. in septentrionali ora Asopi), distantisque 4 milliaribus Thermopylis (v. Dodw. Class. Tour Vol. 2. p. 73.), usque conveniunt cum descriptione Thucydidis. Portus Heracleae secundum Strabonem 40 stadiis ab urbe aberat, id quod pulchre convenit cum Thucydide, qui urbem dicit 40 stadiis Thermopylis abfuisse, ubi portus et navalia construebantur. Mare, quod urbe aberat non ultra 20 stadia, non erat mare apud portum, sed pars sinus Maliensis proxima, quo recto itinere perveniri poterat a latere Oetae, in quo Heraclea exstructa erat. Ibi tamen aqua non erat satis profunda, ut portus aperiri posset vel naviculis Graecorum. Itaque Appian. Syr. c. 17. appellat *θάλασσαν τραχεῖαν καὶ ἀλίμενον*. De praesenti statu Thermopylarum v. Guil. Gell. Itin. Gr. p. 238. ARN.

93. *αἴτιον δὲ ἦν*] Hunc locum explanat Matth. p. 611 sq. §. 309. Mox *ὧν ἐπὶ τῇ γῇ* est *adversus quorum terram*. Et *νεοκαταστάτους* per *νεωστὶ κατῳκισμένους* explicant Phot. Suid. Phavor. Verbis *ἔστιν ἃ οὐ καλῶς* „respicitur maxime ad Hegesippidam Lacedaemonium, *οὐ καλῶς ἄρχοντα*, 5, 22. Pertinetne huc etiam narratiuncula apud Polyaen. 2, 21?“ POPP.

νεῶν Ἀθηναῖοι περὶ Πελοπόννησον ὄντες πρῶτον ἐν Ἑλλομένῳ τῆς Λευκαδίας φρουρούς τινας λοχήσαντες διέφθειραν, ἔπειτα ὕστερον ἐπὶ Λευκάδα μείζονι στόλῳ ἦλθον, Ἀκαρνᾶσί τε πᾶσιν, οἳ πανδημεὶ πλὴν Οἰνιαδῶν ξυνέσποντο, καὶ Ζακυνθίοις καὶ Κεφαλλῆσι καὶ Κερκυραίων πεντεκαίδεκα ναυσί. καὶ οἱ μὲν Λευκάδιοι, τῆς τε ἔξω γῆς δῃουμένης καὶ τῆς ἐντὸς τοῦ ἰσθμοῦ, ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, πλήθει βιαζόμενοι ἡσύχαζον· οἱ δὲ Ἀκαρνᾶνες ἠξίουν Δημοσθένην τὸν στρατηγὸν τῶν Ἀθηναίων ἀποτειχίζειν αὐτούς, νομίζοντες ῥᾳδίως τ' ἂν ἐκπολιορκῆσαι πόλεώς τε ἀεὶ σφίσι πολεμίας ἀπαλλαγῆναι. Δημοσθένης δ' ἀναπείθεται κατὰ τὸν χρόνον τοῦτον ὑπὸ Μεσσηνίων ὡς καλὸν αὐτῷ στρατιᾶς τοσαύτης ξυνειλεγμένης Αἰτωλοῖς ἐπιθέσθαι, Ναυπάκτῳ τε πολεμίοις οὖσι, καὶ ἢν κρατήσῃ αὐτῶν, ῥᾳδίως καὶ τὸ ἄλλο ἠπειρωτικὸν τὸ ταύτῃ Ἀθηναίοις προσποιήσειν. τὸ γὰρ ἔθνος μέγα μὲν εἶναι τὸ τῶν Αἰτωλῶν καὶ μάχιμον, οἰκοῦν δὲ κατὰ κώμας ἀτειχίστους καὶ ταύτας διὰ πολλοῦ καὶ σκευῇ ψιλῇ χρώμενον, οὐ χαλεπὸν ἀπέφαινον, πρὶν ξυμβοηθῆσαι, καταστραφῆναι. ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδώτοις, ἔπειτα δὲ Ὀφιονεῦσι, καὶ μετὰ

94. *οἱ ἀπὸ τῶν τριάκοντα νεῶν*] v. cap. 91. Mox „*Ἑλλομένῳ* per spiritum asperum scribi mavult Grashof. in Ephemm. Schol. a. 1831. m. Iul. p. 525.“ POPP.

τῆς Λευκαδίας] Libri prope omnes *Ἀρκαδίας*, cuius mentio ab h. l. prorsus abhorret. Alteram scripturam certam esse, Popp. docet verbis Dodwelli Itin. Gr. p. 49.: „Thuc. Ellomenum, ut videtur, castrum in peninsula collocat. Qui locus hodieque vetus nomen retinet et est vicus cum ruinis nonnullis in vicinia et portu, cui nomen Ulica, a capite insulae meridiem versus.“ Quibus Popp. postea addidit Vincent. de Ins. Ion. p. 395. Petrizzopulo Saggio sulle prime età dell'Isola di Leucadia p. 34. Porro tenendum, „Leucadia quum antiquitus peninsula esset, isthmum a Corinthiis per Cypselum et Gargasum illic missis perfossum esse. Strab. 10, 2. §. 8., sed serius eum necesse esse redditum pristinae formae, quae Thucydidis aetate ei erat, quum naves machinarum ope eum superarent. v. Thuc. 3, 81. 4, 8. Peninsula fuit usque quum Philippus Macedo contra Romanos bellum gerebat, sed Livii aetate rursus insula.“ POPP. Mox de templo Apollinis v. Od. Muell. Dor. 1. p. 231 sq. Deinde interpretes *ἠπειρωτικόν* litera minuscula scripserunt, quia *τὸ ἠπειρ.* tum nondum nomen proprium factum fuerit, id quod et verba *τὸ ταύτῃ* declarant, quae supervacanea essent, si nomen illud fuisset proprium. Et „Athenienses non Epirum, bello Peloponnesiaco minime implicatam, sed Ambraciotas, Leucadios, Oeniadas, qui Lacedaemoniorum in his oris socii erant, sibi adiungere maxime cupiebant, et Aetolis, qui soli potentiores erant, domitis se facile id effecturos sperare poterant, quod in Epirotis remotioribus et per se satis validis secus erat.“ POPP. qui monet, quum antea *Ναυπάκτῳ τε πολεμίοις οὖσι* dictum esset, sequi debuisse *καὶ ἄδειαν (καιρὸν) δώσουσι προσποιεῖν*. Mutatam orationem, quasi *τε* non praecessisset, sicut aliquoties post genitivos absolutos, in infinitivum ad *ἀναπείθεται* referendum transisse dicit. Mox *κατὰ κώμας ἀτειχίστους* idem est, quod alibi dicit *κωμηδόν*. v. Od. Muell. Dor. 2. p. 71. De tota re Aetolorum v. C. Fr. Herm. Antt. Gr. p. 367. §. 183. praecipue adn. 2.

τούτους Εὐρυτᾶσιν, ὅπερ μέγιστον μέρος ἐστὶ τῶν Αἰτωλῶν, ἀγνωστότατοι δὲ γλῶσσαν καὶ ὠμοφάγοι εἰσίν, ὡς λέγονται· 95 τούτων γὰρ ληφθέντων ῥᾳδίως καὶ τἄλλα προσχωρήσειν. ὁ δὲ τῶν Μεσσηνίων χάριτι πεισθεὶς καὶ μάλιστα νομίσας ἄνευ τῆς τῶν Ἀθηναίων δυνάμεως τοῖς ἠπειρώταις ξυμμάχοις μετὰ τῶν Αἰτωλῶν δύνασθαι ἂν κατὰ γῆν ἐλθεῖν ἐπὶ Βοιωτοὺς διὰ Λοκρῶν τῶν Ὀζολῶν ἐς Κυτίνιον τὸ Δωρικὸν ἐν δεξιᾷ ἔχων τὸν Παρνασσόν, ἕως καταβαίη ἐς Φωκέας, οἳ προθύμως ἐδόκουν κατὰ τὴν Ἀθηναίων ἀεί ποτε φιλίαν ξυστρατεύειν ἢ κἂν βίᾳ προσαχθῆναι· καὶ Φωκεῦσιν ἤδη ὅμορος ἡ Βοιωτία ἐστίν· ἅρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ τῆς Λευκάδος ἀκόντων Ἀκαρνάνων παρέπλευσεν ἐς Σόλλιον. κοινώσας δὲ τὴν ἐπίνοιαν τοῖς Ἀκαρνᾶσιν, ὡς οὐ προσεδέξαντο διὰ τῆς Λευκάδος τὴν οὐ περιτείχισιν, αὐτὸς τῇ λοιπῇ στρατιᾷ, Κεφαλλῆσι καὶ Μεσσηνίοις καὶ Ζακυνθίοις καὶ Ἀθηναίων τριακοσίοις τοῖς ἐπιβάταις

95. *τοῖς ἠπειρώταις ξυμμάχοις*] Acarnanibus, Amphilochis, Locris Ozolis etc. Et *μετὰ τῶν Αἰτωλῶν* est *si Aetoli accesserint*. Mox infinitivus praesentis *ξυστρατεύειν* et aoristi *προσαχθῆναι* infertur, ut 4, 24. eadem tempora post *ἤλπιζον*. Iunctionem particulae *οὐ* cum substantivo *περιτείχισιν* ex h. l. memorat Eustath. ad Hom. Il. 1. p. 111. Rom. *τριακοσίοις τοῖς ἐπιβάταις*] Secundum hos numeros Epibatae (classiarii sive Seesoldaten) in singulis triremibus fuere decem. Nam numerus navium, quibus tunc utebantur, triginta fuit. Vid. c. 91. 94. Itaque collatis c. 92. 102. reperimus 400 epibatis impletas fuisse 40 naves, *τεττεράκοσίοις ὁπλίταις Ἀθηναίων τῶν ἀπὸ τῶν νεῶν*. Ubi (in navibus) *ὁπλῖται* separatim memorantur, hi non ordinarii Epibatae intelligendi sunt, sed milites alicui peculiari rei gerendae destinati: utrum vero Epibatis graviter armati accensendi sint nec ne, non liquido apparet. Graviter armati, ubi separatim memorantur, ex classe Zeugitarum sunt, *ἐκ καταλόγου*; Epibatae plerumque videntur sumti esse ex quarta classe, in qua Thetae censebantur. Arn. Cum his tamen non convenire videtur, quod legitur de his iisdem Epibatis, de quibus praesenti loco agitur, caesis c. 98. *οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν*, quales homines non probabile est Thetas fuisse. Pergit Arn.: „Numerus, qui 6, 43. memoratur septingentorum Epibatarum in centum navibus, quarum sexaginta ut vulgo impletae erant (i. e. naves *ταχεῖαι* erant), et quarum quadraginta milites vehebant (i. e. *στρατιώτιδες* naves erant), difficilis est ad explicandum.“ De differentia *ταχειῶν* et *στρατιωτίδων* triremium v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 300 sq. Pergit Arn.: „Sexaginta illae leviores naves debebant habere sexcentos Epibatas; at centum numerus est neque sexagenario neque quadragenario numero dividuus, ut non facile sit explicare illos septingentos Epibatas descriptos in centum naves.“ Vera videtur ratio Boeckhii Staatsh. d. Ath. Vol. 1. p. 301., sumentis, Epibatas non lectos quidem esse ex militibus terrestribus (hoplitis, cetratis, equitibusque), at interdum tamen auctos esse militibus terrestribus. Pergit Arn.: „Numerus quadraginta Epibatarum in una nave, qui memoratur ab Herodoto 6, 15., pertinet ad statum Graecorum rei navalis antiquiorem, quando victoria magis decidebatur per numerum et strenuitatem militum in tabulatis, quam per motiones nautarum (v. Thuc. 1, 49.), et ea ipsa in re Athenienses emendabant rem navalem, quod minuebant numerum epibatarum et confidebant

τῶν σφετέρων νεῶν, αἱ γὰρ πεντεκαίδεκα τῶν Κερκυραίων ἀπῆλθον νῆες, ἐστράτευσεν ἐπ' Αἰτωλούς. ὥρμᾶτο δὲ ἐξ Οἰνεῶνος τῆς Λοκρίδος. οἱ δὲ Ὀζόλαι οὗτοι Λοκροὶ ξύμμαχοι ἦσαν, καὶ ἔδει αὐτοὺς πανστρατιᾷ ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειαν· ὄντες γὰρ ὅμοροι τοῖς Αἰτωλοῖς καὶ ὁμόσκευοι μεγάλη ὠφέλεια ἐδόκουν εἶναι ξυστρατεύοντες μάχης τε ἐμπειρίᾳ τῆς ἐκείνων καὶ χωρίων. αὐλισάμενος δὲ τῷ στρατῷ 96 ἐν τοῦ Διὸς τοῦ Νεμείου τῷ ἱερῷ, ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ τοῦτο παθεῖν, ἅμα τῇ ἕῳ ἅρας ἐπορεύετο ἐς τὴν Αἰτωλίαν. καὶ αἱρεῖ τῇ πρώτῃ ἡμέρᾳ Ποτιδανίαν καὶ τῇ δευτέρᾳ Κροκύλειον καὶ τῇ τρίτῃ Τείχιον, ἔμενέ τε αὐτοῦ καὶ τὴν λείαν ἐς Εὐπάλιον τῆς Λοκρίδος ἀπέπεμψε· τὴν γὰρ γνώμην εἶχε τἄλλα καταστρεψάμενος οὕτως ἐπὶ Ὀφιονέας, εἰ μὴ βούλοιντο ξυγχωρεῖν, ἐς Ναύπακτον ἐπαναχωρήσας στρατεῦσαι ὕστερον. τοὺς δὲ Αἰτωλοὺς οὐκ ἐλάνθανεν αὖτη ἡ παρασκευὴ οὔτε ὅτε τὸ πρῶτον ἐπεβουλεύετο, ἐπειδή τε ὁ στρατὸς ἐσεβεβλήκει, πολλῇ χειρὶ ἐπεβοήθουν πάντες, ὥστε καὶ οἱ ἕσχατοι Ὀφιονέων οἱ πρὸς τὸν Μηλιακὸν κόλπον καθήκοντες Βωμιῆς καὶ Καλλιῆς

magis artificio ac celeritate dirigendarum navium. v. Thuc. 7, 62.“ Mox *τὴν μεσόγειον* vulgo legebatur pro *τὴν μεσόγειαν*, quod habent optimi libri. Thucydides nunquam *μεσόγειος* adiective dicit, sed semper *μεσόγεια* substantive. v. Lobeck. ad Phryn. p. 298.

96. *Νεμείου*] Notanda rarior adiectivi *Νέμειος* forma, quum urbis Nemeae certe gentilia *Νέμεος* et *Νεμεαῖος* sola agnoscat Steph. Byz. Popp. Haec ipsa diversitas gentilium ad ambiguitatem oraculi contulisse cogitanda est. Ad proxima conf. Proclum Vit. Hesiod. p. 3. Dind. *μετὰ τὴν νίκην ἣν αὐτὸν νενικηκέναι φασὶν ἐπὶ τῇ τελευτῇ Ἀμφιδάμαντος εἰς Δελφοὺς ἐπορεύθη καὶ ἐδόθη αὐτῷ οὑτοσί ὁ χρησμός*, ei fato destinatum esse in luco Iovis Nemei obire. *ὁ δὲ τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγὼν ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφανους καὶ Γανύκτορος τῶν Φηγέως παίδων ἁναιρεῖται καὶ ῥίπτεται εἰς τὴν θάλασσαν, ὡς φθείρας τὴν ἀδελφὴν ἐκείνων Κλυμένην, ἐξ ἧς ἐγεννήθη Σησίχορος· ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν*. Proclus Oenoen dicit pro Oeneone. Ceterum v. Holst. ad Steph. Byz. in *Νεμέα*. Fusius causam mortis Hesiodi exponit Plut. Dioclis Conv. vers. fin. et Conv. VII. Sap. c. 19. De participio *χρησθέν* v. Herm. ad Vig. p. 769, 213. Et Crocyleum Eustath. ad Hom. Il. 2. p. 307. insulam dicit, cum oppidum esset. Mox „Thuc. videtur ita incipere, ut si verba *πολλῇ χειρὶ ἐπεβοήθουν πάντες* non sit additurus. Quibus subiunctis *οὔτε* proprie pro *οὐκ* ante *ἐλάνθανεν* ponendum erat.“ Popp. Porro „*καθήκοντες* non ita intelligendum est, quasi tribus quaedam Aetolicae pertinuerint ad ipsum litus sinus Maliensis, sed tamen significat, Bomienses et Callienses non solum occupasse ipsa capita vallium a latere Oetae Aetolico (siquidem Strab. 10, 2. §. 5. dicit, fontem Eueni fuisse in terra Bomiensium,) sed etiam pertinuisse trans iuga per aliquantum spatii deorsum valles fluviorum, qui versus mare Aegaeum cursum habent. Convalles fluviorum, qui ab austro in Sperchium influunt, apparet partem fuisse ditionis Calliensium, quemadmodum Krus. in tabula ponit. Conf. Pausan. 10, 22.“ Arn. Conf. Od. Muell. ad Tabul. Gr. Septentr. p. 26 sq.

97 ἐβοήθησαν. τῷ δὲ Δημοσθένει τοιόνδε τι οἱ Μεσσήνιοι παρῄνουν ὅπερ καὶ τὸ πρῶτον· ἀναδιδάσκοντες αὐτὸν τῶν Αἰτωλῶν ὡς εἴη ῥᾳδία ἡ αἵρεσις ἰέναι ἐκέλευον ὅτι τάχιστα ἐπὶ τὰς κώμας καί μὴ μένειν ἕως ἂν ξύμπαντες ἀθροισθέντες ἀντιτάξωνται, τὴν δ' ἐν ποσὶν ἀεὶ πειρᾶσθαι αἱρεῖν. ὁ δὲ τούτοις τε πεισθεὶς καὶ τῇ τύχῃ ἐλπίσας, ὅτι οὐδὲν αὐτῷ ἠναντιοῦτο, τοὺς Λοκροὺς οὐκ ἀναμείνας οὓς αὐτῷ ἔδει προσβοηθῆσαι, ψιλῶν γὰρ ἀκοντιστῶν ἐνδεὴς ἦν μάλιστα, ἐχώρει ἐπὶ Αἰγίτιον, καὶ κατὰ κράτος αἱρεῖ ἐπιών. ὑπέφευγον γὰρ οἱ ἄνθρωποι καὶ ἐκάθηντο ἐπὶ τῶν λόφων τῶν ὑπὲρ τῆς πόλεως· ἦν γὰρ ἐφ' ὑψηλῶν χωρίων ἀπέχουσα τῆς θαλάσσης ὀγδοήκοντα στα-
98 δίους μάλιστα. οἱ δὲ Αἰτωλοί, βεβοηθηκότες γὰρ ἤδη ἦσαν ἐπὶ τὸ Αἰγίτιον, προσέβαλλον τοῖς Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις καταθέοντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλλοθεν καὶ ἐσηκόντιζον, καὶ ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων στρατόπεδον, ὑπεχώρουν, ἀναχωροῦσι δὲ ἐπέκειντο· καὶ ἦν ἐπὶ πολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαί, ἐν οἷς ἀμφοτέροις ἦσσους ἦσαν οἱ Ἀθηναῖοι. μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν τε τὰ βέλη αὐτοῖς καὶ οἷοί τε ἦσαν χρῆσθαι, οἱ δὲ ἀντεῖχον· τοξευόμενοι γὰρ οἱ Αἰτωλοὶ ἄνθρωποι ψιλοὶ ἀνεστέλλοντο· ἐπειδὴ δὲ τοῦ τε τοξάρχου ἀποθανόντος οὗτοι διεσκεδάσθησαν καὶ αὐτοὶ ἐκεκμήκεσαν καὶ ἐπὶ πολὺ τῷ αὐτῷ πόνῳ ξυνεχόμενοι οἵ τε

97. ὅπερ καὶ τὸ πρῶτον] v. cap. 94. Mox Schol. non legit ἐκέλευον, ut patet ex eius explicatione: τῷ δὲ Δημοσθένει τοιόνδε τι παρῄνουν οἱ Μεσσήνιοι, ἰέναι αὐτὸν ἐπὶ κώμην ἑκάστην, διδάσκοντες αὐτὸν ὅτι ῥᾳδία ἐστὶν ἡ αἵρεσις αὐτῶν, πρὶν συστραφῆναι πάντας καὶ ἅμα γενέσθαι. Nec Valla expressit: *Ibi Demosthenem Messenii, tale quiddam quale prius admonendum, faciles esse Aetolos ad debellandum, hortabantur ut quam primum iret ad vicos.* Nolim tamen invitis libris eiicere. „Etenim et durior fit constructio verborum interpositis his: ἀναδιδάσκοντες — αἵρεσις, et Schol. etiam in proximis καὶ μὴ μένειν etc. magis universam sententiam, quam grammaticam singulorum cohaerentiam expendit. Popp. Paulo post de verbis τῇ τύχῃ ἐλπίσας v. Matth. p. 729. e. §. 399.

98. οἱ δὲ ἀντεῖχον] Non posse aliter fieri videtur, quam ut οἱ δέ ad Athenienses referatur; nam si ad sagittarios referretur, tenuissima sententia oriretur. De ὁ δέ in apodosi v. adn. ad 2, 46. Popp. potius μέν quam δέ se exspectasse dicit, posse tamen praesentia verba non male cum Xenophonteis comparari, de quibus Buttm. ad Demosth. Mid. p. 158. disputat. Mox de Toxarcho v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 223, Vol. 2. p. 207.

καὶ αὐτοὶ ἐκεκμήκεσαν] Schol. οὐχ οἱ τοξόται (nam ad hos refertur οὗτοι), ἀλλ' οἱ ὁπλῖται. Mox particulam καί in verbis καὶ ἐπὶ πολύ, quam omnes libri tuentur, deletam voluerat Popp., sed eam nunc ipse tuetur post Kruegerum ad Dionys. p. 274., qui eam docet vim intendendi habere, quemadmodum dicitur καὶ μάλα, καὶ πάλαι, καὶ ἄγαν, καὶ πάνυ, καὶ πολύ, καὶ τὸ κάρτα et sim. Deinde pro ἐξιφρομένους Bekk. coniecit ἐκφερομένους; et τῷ στρατοπέδῳ coniectura Benedicti est pro τῶν στρατοπέδων. Porro τοῖς πεπραγμένοις converte wegen des Geschehenen. v. Matth. p. 728. b.

Αἰτωλοὶ ἐνέκειντο καὶ ἐσηκόντιζον, οὕτω δὴ τραπόμενοι ἔφευγον, καὶ ἐσπίπτοντες ἔς τε χαράδρας ἀνεκβάτους καὶ χωρία ὧν οὐκ ἦσαν ἔμπειροι διεφθείροντο· καὶ γὰρ ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν Χρόμων ὁ Μεσσήνιος ἐτύγχανε τεθνηκώς. οἱ δὲ Αἰτωλοὶ ἐσακοντίζοντες πολλοὺς μὲν αὐτοῦ ἐν τῇ τροπῇ κατὰ πόδας αἱροῦντες ἄνθρωποι ποδώκεις καὶ ψιλοὶ διέφθειρον, τοὺς δὲ πλείους τῶν ὁδῶν ἁμαρτάνοντας καὶ ἐς τὴν ὕλην ἐσφερομένους, ὅθεν διέξοδοι οὐκ ἦσαν, πῦρ κομισάμενοι περιεπίμπρασαν· πᾶσά τε ἰδέα κατέστη τῆς φυγῆς καὶ τοῦ ὀλέθρου τῷ στρατοπέδῳ τῶν Ἀθηναίων, μόλις τε ἐπὶ τὴν θάλασσαν καὶ τὸν Οἰνεῶνα τῆς Λοκρίδος, ὅθενπερ καὶ ὡρμήθησαν, οἱ περιγενόμενοι κατέφυγον. ἀπέθανον δὲ τῶν τε ξυμμάχων πολλοὶ καὶ αὐτῶν Ἀθηναίων ὁπλῖται περὶ εἴκοσι μάλιστα καὶ ἑκατόν, τοσοῦτοι μὲν τὸ πλῆθος καὶ ἡλικία ἡ αὐτή· οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν. ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προκλῆς. τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν Αἰτωλῶν καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον ὕστερον ἐς τὰς Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν. Δημοσθένης δὲ περὶ Ναύπακτον καὶ τὰ χωρία ταῦτα ὑπελείφθη, τοῖς πεπραγμένοις φοβούμενος τοὺς Ἀθη-
ναίους.

Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ οἱ περὶ Σικελίαν Ἀθη- 99
ναῖοι πλεύσαντες ἐς τὴν Λοκρίδα ἐν ἀποβάσει τέ τινι τοὺς προσβοηθήσαντας Λοκρῶν ἐκράτησαν καὶ περιπόλιον αἱροῦσιν ὃ ἦν ἐπὶ τῷ Ἅλικι ποταμῷ.

Τοῦ δ' αὐτοῦ θέρους Αἰτωλοὶ προπέμψαντες πρότερον ἔς 100
τε Κόρινθον καὶ ἐς Λακεδαίμονα πρέσβεις Τόλοφόν τε τὸν

99. περιπόλιον] Vulgo per literam maiusculam efferebant, quasi nomen proprium esset, at est appellativum, et infr. c. 115. idem φρούριον dicitur. v. Polluc. 9, 16. Suid. in περιπόλους. Schol. οὐ χωρίου ὄνομα τὸ περιπόλιον, ἀλλὰ φρουρίου τινός, ἐν ᾧ περίπολοι φρουροῦσιν. Conf. Thuc. 4, 67. 6, 45. 7, 48., ibique Duk.

100. προπέμψαντες πρότερον] sc. ante expeditionem Atheniensium adversus Aetoliam. Nam c. 96. Aetoli dicti sunt hostilia Atheniensium consilia, priusquam effecta essent, comperisse. Inimicitia inter Aetoliam et Naupactum item iam antea c. 94. memorata est et una ex causis, cur Demosthenes expeditionem faceret, haec fuit, ut fidelissimos socios Atheniensium, Naupactios, ab aggressionibus hostium liberaret, qui eo ipso tempore Peloponnesios adibant, ut se in illis evertendis adiuvarent. Arn. Mox Μενέδατος hic omnes libri habent, excepto Vat., atque infra c. 109. bis saltem Cl. Ven. Vulgatam Μενεδᾶος defendit Valck. ad Herodot. 6, 52. Deinde articulum ante Σπαρτιᾶται impugnat Krueg. ad Dionys. p. 294. „Legimus tamen supra c. 25. Σάλαιθος ὁ Λακεδαιμόνιος, quod non commode potest significare *notus ille Spartanus.*“ Popp. Porro „apparet ex verbis 4, 38. αὐτὸς τρίτος ἐφηγημένος ἄρχειν κατὰ νόμον plerumque duos duces lectos esse, qui alter alteri sufficiendi succederent post mortem decessoris, quandocumque exercitus Lacedaemoniorum in expeditionem pro-

Ὀφιονέα καὶ Βοριάδην τὸν Εὐρυτᾶνα καὶ Τίσανδρον τὸν Ἀπόδωτον πείθουσιν ὥστε σφίσι πέμψαι στρατιὰν ἐπὶ Ναύπακτον διὰ τὴν τῶν Ἀθηναίων ἐπαγωγήν. καὶ ἐξέπεμψαν Λακεδαιμόνιοι περὶ τὸ φθινόπωρον τρισχιλίους ὁπλίτας τῶν ξυμμάχων. τούτων ἦσαν πεντακόσιοι ἐξ Ἡρακλείας τῆς ἐν Τραχῖνι πόλεως τότε νεοκτίστου οὔσης· Σπαρτιάτης δ' ἦρχεν Εὐρύλοχος τῆς στρατιᾶς καὶ ξυνηκολούθουν αὐτῷ Μακάριος καὶ Μενεδαῖος οἱ
101 Σπαρτιᾶται. ξυλλεγέντος δὲ τοῦ στρατεύματος ἐς Δελφοὺς ἐπεκηρυκεύετο Εὐρύλοχος Λοκροῖς τοῖς Ὀζόλαις· διὰ τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς Ναύπακτον, καὶ ἅμα τῶν Ἀθηναίων ἐβούλετο ἀποστῆσαι αὐτούς. ξυνέπρασσον δὲ μάλιστα αὐτῷ τῶν Λοκρῶν Ἀμφισσῆς, διὰ τὸ τῶν Φωκέων ἔχθος δεδιότες· καὶ αὐτοὶ πρῶτον δόντες ὁμήρους καὶ τοὺς ἄλλους ἔπεισαν δοῦναι φοβουμένους τὸν ἐπιόντα στρατόν, πρῶτον μὲν οὖν τοὺς ὁμόρους αὐτοῖς Μυονέας, ταύτῃ γὰρ δυσερβολώτατος ἡ Λοκρίς, ἔπειτα Ἱπνέας καὶ Μεσσαπίους καὶ Τριταιέας καὶ Χαλαίους καὶ Τολοφωνίους καὶ Ἡσσίους καὶ Οἰανθέας. οὗτοι καὶ ξυνεστράτευον πάντες. Ὀλπαῖοι δὲ ὁμήρους μὲν ἔδοσαν, ἠκολούθουν δὲ οὔ· καὶ Ταῖοι οὐκ ἔδοσαν ὁμήρους πρὶν αὐτῶν εἶλον κώμην. Πόλιν
102 ὄνομα ἔχουσαν. ἐπειδὴ δὲ παρεσκεύαστο πάντα καὶ τοὺς ὁμήρους κατέθετο ἐς Κυτίνιον τὸ Δωρικόν, ἐχώρει τῷ στρατῷ ἐπὶ τὴν Ναύπακτον διὰ τῶν Λοκρῶν, καὶ πορευόμενος Οἰνεῶνα αἱρεῖ αὐτῶν καὶ Εὐπάλιον· οὐ γὰρ προσεχώρησαν. γενόμενοι δ' ἐν τῇ Ναυπακτίᾳ, καὶ οἱ Αἰτωλοὶ ἅμα ἤδη προσβεβοηθηκότες, ἐδῄουν τὴν γῆν καὶ τὸ προάστειον ἀτείχιστον ὂν εἷλον· ἐπί τε Μολύκρειον ἐλθόντες τὴν Κορινθίων μὲν ἀποικίαν Ἀθηναίων δὲ ὑπήκοον αἱροῦσι. Δημοσθένης δὲ ὁ Ἀθηναῖος, ἔτι γὰρ ἐτύγχανεν ὢν μετὰ τὰ ἐκ τῆς Αἰτωλίας περὶ Ναύπακτον, προαισθόμενος τοῦ στρατοῦ καὶ δείσας περὶ αὐτῆς, ἐλθὼν πείθει Ἀκαρνᾶνας χαλεπῶς διὰ τὴν ἐκ τῆς Λευκάδος ἀναχώρησιν βοηθῆσαι Ναυπάκτῳ. καὶ πέμπουσι μετ' αὐτοῦ ἐπὶ τῶν νεῶν χιλίους ὁπλίτας, οἳ ἐσελθόντες περιεποίησαν τὸ χωρίον. δεινὸν γὰρ ἦν μὴ μεγάλου ὄντος τοῦ τείχους, ὀλίγων δὲ τῶν ἀμυνομένων, οὐκ ἀντίσχωσιν. Εὐρύλοχος δὲ καὶ οἱ μετ' αὐτοῦ ὡς ἤσθοντο τὴν στρατιὰν ἐσελῃλυθυῖαν καὶ ἀδύνατον ὂν τὴν πόλιν βίᾳ ἑλεῖν, ἀνεχώρησαν οὐκ ἐπὶ Πελοποννήσου, ἀλλ' ἐς

ficiscebatur. Sic tres nominantur missi, ut praeessent novae coloniae Heracleae 3, 92., idemque numerus bis redit 4, 132. 5, 12., ubi duces Spartani memorantur missi, ut imperium in Chalcidica haberent." ARN.

101. *Μυονέας*] v. Pausan. 10, 38, 4. De genere communi superlativi *δυσερβολώτατος* v. Matth. p. 815. adn.

102. *μετὰ τὰ ἐκ τῆς Αἰτωλίας*] pro *μετὰ τὰ ἐν τῇ Αἰτωλίᾳ*, quia scriptor in mente habuit *μετὰ τὴν ἐξ Αἰτωλίας ἀναχώρησιν*. Mox Bekk. scriptum volebat *δείσας περὶ αὐτῇ*, quae est sane consuetior structura. Nec tamen exempla genitivi desunt, ut 7, 75. *περὶ τῶν ἐν ἀφανεῖ δεδιότας*.

τὴν Αἰολίδα τὴν νῦν καλουμένην Καλυδῶνα καὶ Πλευρῶνα καὶ ἐς τὰ ταύτῃ χωρία καὶ ἐς Πρόσχιον τῆς Αἰτωλίας. οἱ γὰρ Ἀμπρακιῶται ἐλθόντες πρὸς αὐτοὺς πείθουσιν ὥστε μετὰ σφῶν Ἄργει τε τῷ Ἀμφιλοχικῷ καὶ Ἀμφιλοχίᾳ τῇ ἄλλῃ ἐπιχειρῆσαι καὶ Ἀκαρνανίᾳ, ἅμα λέγοντες ὅτι ἢν τούτων κρατήσωσι, πᾶν τὸ ἠπειρωτικὸν Λακεδαιμονίοις ξύμμαχον καθεστήξει. καὶ ὁ μὲν Εὐρύλοχος πεισθεὶς καὶ τοὺς Αἰτωλοὺς ἀφεὶς ἡσύχαζε τῷ στρατῷ περὶ τοὺς χώρους τούτους ἕως τοῖς Ἀμπρακιώταις ἐκστρατευσαμένοις περὶ τὸ Ἄργος δέοι βοηθεῖν. καὶ τὸ θέρος ἐτελεύτα.

Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ ἐπιγιγνομένου χειμῶνος 103
ἐπελθόντες μετὰ τῶν Ἑλλήνων ξυμμάχων καὶ ὅσοι Σικελῶν κατὰ κράτος ἀρχόμενοι ὑπὸ Συρακοσίων καὶ ξύμμαχοι ὄντες

Αἰολίδα] Urbem, non, ut Wass. voluit, regionem intelligunt Valck. ad Theocr. 1, 56. Popp. 1, 2. p. 162. adn. et Casaub. Lectt. Theocr. p. 57 sq. Vol. 2. Reisk., nisi maxime Hesychio: *Αἰολικὸν θέαμα, ἡ γὰρ Καλυδὼν Αἰολὶς ἐκαλεῖτο*. Alii Aeolida intelligunt dictam Calydona simul et Pleurona et agros harum urbium, nisi illi Strabone 10, 3, 6. Contra quod Popp. dixit: „Si Aeolis regio fuit, eam postea Calydonem dictam esse cogitari non posse, quum Calydon urbis, non regionis nomen sit." At facilius Calydon urbem et una urbis agrum significare existimabitur, quam Aeolida, quod est aperte regionis nomen, urbem significare. Hesychii manco, ut plerumque, loco nihil effici paulo post videbimus. Quodsi Aeolida dictam esse unam Calydona scriptor dicere voluisset, sic scripsisset: *καὶ ἐς Πλευρῶνα καὶ τὰ ταύτῃ χωρία* etc. Conf. Od. Muell. Orchom. p. 141. Rationi, quam in h. l. explicando sequor, aliam Popp. opposuit, volens primum agri Calydonii atque Pleuronii potius quam harum ipsarum urbium mentionem iuxta regionem Aeolidem factam esse. Atque Thuc. non solum nominat has urbes, sed addit: *καὶ ἐς τὰ ταύτῃ χωρία*, et singulare est, Popponem Aeolida nunc regionem appellare, quam regionem fuisse paulo superius negavit. Addit, quum urbes Calydon et Pleuron iam Curetum aetate (v. Strab. l. c.) nominentur, mirum videri, Thucydidem affirmare eam regionem, quae olim Aeolis, bello Peloponnesiaco Calydona et Pleurona vocatam esse. At hoc Popponis argumentum, si verum esset, eo valeret, ut ne Calydona quidem Aeolida vocatam esse (quod tamen ipse Popp. verum putat), inde colligi deberet. Denique Popp. locum Xen. H. Gr. 4, 6, 1. profert, ubi auctor de una Calydone loquens scribat *Καλυδῶνα, ἣ τὸ παλαιὸν Αἰτωλία ἦν*, ubi *Αἰολίς* legi vult. Sane unam Calydona Aeolida appellari, non mirum est, quum Pleurone devicta communi utriusque urbis agro victrix urbs nomen dedisset. Idemque iudicare licet de Hesychii loco supra adscripto. Postea rursus hae urbes suis utraque legibus separatim agere coeperunt: quo facto commune nomen exolevit, et suo utraque nomine appellata est. Probabile enim, quod Od. Muell. ad tabul. Gr. septentr. p. 27 sq. scribit, ex duabus aemulis urbibus Pleurone et Calydone hanc proprie sedem Aeolum, illam Curetum fuisse, sed his per illos expulsis etiam Pleuronem Aeolidi adnumeratam esse. Bloomf. monet, hanc Aeolida partem fuisse Aetoliae Eueni flexu paene inclusam, et ex Eustathio ad primum vers. Hom. Catal. Navv. Aeoles hanc regionem vindicasse ut suam, apparere.

103. *κατὰ κράτος*] mit Gewalt, plerumque mit Waffen-Gewalt. v. Thuc. 1, 118. ibique Schol. 2, 87. ibique adn. 3, 97. Contrarie po-

ἀποστάντες αὐτοῖς ἀπὸ Συρακοσίων ξυνεπολέμουν, ἐπ' Ἴνησσαν τὸ Σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν Συρακόσιοι εἶχον, προσέβαλον· καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν, ἀπῆεσαν. ἐν δὲ τῇ ἀναχωρήσει ὑστέροις Ἀθηναίων τοῖς ξυμμάχοις ἀναχωροῦσιν ἐπιτίθενται οἱ ἐκ τοῦ τειχίσματος Συρακόσιοι, καὶ προσπεσόντες τρέπουσί τε μέρος τι τοῦ στρατοῦ καὶ ἀπέκτειναν οὐκ ὀλίγους. καὶ μετὰ τοῦτο ἀπὸ τῶν νεῶν ὁ Λάχης καὶ οἱ Ἀθηναῖοι ἐς τὴν Λοκρίδα ἀποβάσεις τινὰς ποιησάμενοι κατὰ τὸν Καικῖνον ποταμὸν τοὺς προσβοηθοῦντας Λοκρῶν μετὰ Προξένου τοῦ Καπάτωνος ὡς τριακοσίους μάχῃ ἐκράτησαν καὶ ὅπλα λαβόντες ἀπεχώρησαν.

104 Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Δῆλον ἐκάθηραν Ἀθηναῖοι κατὰ χρησμὸν δή τινα. ἐκάθηρε μὲν γὰρ καὶ Πεισίστρατος ὁ τύραννος πρότερον αὐτήν, οὐχ ἅπασαν, ἀλλ' ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου· τότε δὲ πᾶσα ἐκαθάρθη τοιῷδε τρόπῳ. θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν Δήλῳ πάσας ἀνεῖλον καὶ τὸ λοιπὸν προεῖπον μήτε ἐναποθνήσκειν ἐν τῇ νήσῳ μήτε ἐντίκτειν, ἀλλ' ἐς τὴν Ῥήνειαν διακομίζεσθαι. ἀπέχει δὲ ἡ Ῥήνεια τῆς Δήλου οὕτως ὀλίγον ὥστε Πολυκράτης ὁ Σαμίων τύραννος ἰσχύσας τινὰ χρόνον ναυτικῷ καὶ τῶν τε ἄλλων νήσων ἄρξας καὶ τὴν Ῥήνειαν ἑλών, ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ ἁλύσει δήσας πρὸς τὴν Δῆλον. καὶ τὴν πεντετηρίδα τότε πρῶτον μετὰ τὴν κάθαρσιν ἐποίησαν οἱ Ἀθηναῖοι, τὰ Δήλια. ἦν δέ ποτε καὶ τὸ πάλαι μεγάλη ξύνοδος ἐς τὴν Δῆλον τῶν Ἰώνων τε καὶ περικτιόνων νησιωτῶν· ξύν τε γὰρ γυναιξὶ καὶ παισὶν ἐθεώρουν ὥσπερ νῦν ἐς τὰ Ἐφέσια Ἴωνες, καὶ ἀγὼν

nitur dolus, vel pactum vel quicunque modus debellandi et imperandi, qui non vi armorum fit. Mox vulgo legebatur *ἐπὶ Νῆσσαν*. Emendaverunt Cluver. et Bochart. et firmant nonnulli libri Thuc. Conf. Thuc. 6, 94. Urbs postea Aetna appellata est. v. Diod. 11, 76.

104. *Δῆλον ἐκάθηραν*] In insula Delo Apollini sacra nec parere fas fuit, nec mortuum sepelire. Hinc, quod mortui in insula sepulturae mandati erant, illa Deli *κάθαρσις*, quam non semel Athenienses procurarunt. v. Diod. 12, 58. Strab. 10. p. 744. Huds. Partu quoque cum alia loca sacra, tum Delum contaminari, veteres credidisse Bloomf. docet ex Arist. Lysistr. 743. Ran. 1080. Mox *κατὰ χρησμόν δή τινα* Arn. intelligit *secundum quoddam oraculum*, ut *profitebantur*. De re v. adn. ad 1, 8. 2, 47. Rhenea Delo distabat quatuor stadiis teste Strab. 10. p. 744. Dein *τὰ Δήλια* intellige *τὴν πεντετηρίδα τῶν Δηλίων*. v. Matth. p. 794. 5. De Deliis actis primum post instaurationem dd. 6 et 7 Thargelionis Ol. 88, 3. (426.) v. post Ruhnk. Epist. cr. p. 8. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 217. C. I. Vol. 1. p. 255 sq. Adde C. Fr. Herm. Antt. Gr. §. 11. p. 26. Repetita sunt Ol. 89, 3. (422.) expulsis veteribus insulae incolis. v. Thuc. 5, 1. 8, 108. et Boeckh. Staatsh. ibid. p. 218. Et *περικτιόνων* quod dicit, intellige incolas Cycladum, de quarum vario apud varios scriptores numero v. Hoeck. Cret. 2. p. 219. Et *ἐθεώρουν* est sie wallfahrteten. Verbum etiam activum sensum nonnunquam habet. v. Herm. ad Soph. Oed. C. 1085. De Ephesiis v. Locell. ad Xen. Ephes. p. 132. Adde Dionys. A. R. 4, 25. Strab. p. 948.

ἐποιεῖτο αὐτόθι καὶ γυμνικὸς καὶ μουσικός, χορούς τε ἀνῆγον αἱ πόλεις. δηλοῖ δὲ μάλιστα Ὅμηρος ὅτι τοιαῦτα ἦν ἐν τοῖς ἔπεσι τοῖσδε, ἃ ἐστιν ἐκ προοιμίου Ἀπόλλωνος·

> ἄλλοτε Δήλῳ, Φοῖβε, μάλιστά γε θυμὸν ἐτέρφθης,
> ἔνθα τοι ἑλκεχίτωνες Ἴαονες ἠγερέθονται
> σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν·
> ἔνθα σε πυγμαχίῃ καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ
> μνησάμενοι τέρπουσιν, ὅταν καθέσωσιν ἀγῶνα.

ὅτι δὲ καὶ μουσικῆς ἀγὼν ἦν καὶ ἀγωνιούμενοι ἐφοίτων ἐν τοῖσδε αὖ δηλοῖ, ἃ ἐστιν ἐκ τοῦ αὐτοῦ προοιμίου. τὸν γὰρ Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας ἐτελεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη, ἐν οἷς καὶ ἑαυτοῦ ἐπεμνήσθη·

> ἀλλ' ἀγεθ', ἑλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξύν,
> χαίρετε δ' ὑμεῖς πᾶσαι. ἐμεῖο δὲ καὶ μετόπισθε

ἐκ προοιμίου] Schol. *ἐξ ὕμνου· τοὺς γὰρ ὕμνους προοίμια ἐκάλουν*. v. Hemsterh. Anecdd. Vol. 2. p. 111. „At carmina ista non veri hymni, sed eo consilio composita videntur, ut maioribus carminibus decantandis iis praeluderetur. Vid. Fr. A. Wolf. Prolegg. ad Hom. p. CV. Matth. Animadvv. in Hymn. Hom. p. 11 sqq.“ Popp.

ἄλλοτε — ἀγῶνα] H. Ap. 146 sqq. Herm. Hos versus edidi non quales in exemplaribus Homericis exhibentur vulgo, sed quales in libris scriptis Thuc. leguntur. Idem factum est in versibus paulo inferius a scriptore appositis. Vid. Herm. ad Hom. Hymn. p. 15. 17. Locum Homeri in prosam orationem conversum reddit Aristid. Vol. 2. p. 409. v. Herm. l. l. p. 19.

τοῦ ἐπαίνου] Quum proximi versus vulgo hymnum Homericum non finiant, Ruhnk. hinc argumentum sumsit, quo Thucydidis aetate duos hymnos, quorum alter 178 versus priores complectens Apollinis Delii, alter Delphici laudes persequeretur, nondum in unum coaluisse demonstraret. V. Matth. Animadvv. in Hymn. Hom. p. 15. Popp. Verba *τοῦ ἐπαίνου ἐτελεύτα* non significant *finem fecit laudis*, *choro Deliaco tributae*, sed *finem fecit hymno in Apollinem*, ut recte intellexit Aristid. Vol. 2. p. 409. *διαλεγόμενος* (Homerus) *ταῖς Δηλιάσι καὶ καταλύων τὸ προοίμιον, Εἴ τις ἔροιθ' ὑμᾶς, φησίν, ὦ κοῦραι* etc., ubi Normannus nihil de hac re suspicatus misere se torquet in explicandis verbis *καταλύων τὸ προοίμιον*. Ruhnk. Epist. crit. p. 91. At Herm. ad v. 173. p. 19. neminem sperat fore, qui verba Thucydidis *ἐτελεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη* pro Ruhnkenii opinione interpretetur. Etenim sive *τοῦ ἐπαίνου* iungas cum *ἐτελεύτα* (conf. 3, 59. *τελευτᾶν τοῦ λόγου*), sive cum *ἐς τάδε τὰ ἔπη*, utrumque recte fiet. Hoc tamen dubium videri possit, utrum *ἔπαινος* sit laus Deliarum, an Apollinis. Praefero prius, quia Deus vix potest dici *ἐπαινεῖσθαι*. Quod autem Aristides *καταλύων τὸ προοίμιον* scripsit, intelligens laudes Apollinis, respondendum esse puto, quod Herm. Ruhnkenium de alia re impugnans (quippe defendens v. 173. ed. suae contra Ruhnkenii suspiciones), respondit, Aristidem ex solo Thucydide hunc hymnum cognitum habuisse videri.

ἀλλ' ἄγεθ'] H. Ap. 165 sqq. Herm. Mox de verbis *τοὺς χορούς ἐπεμπεν* „v. Xen. M. S. 3, 3, 12. ibique Ern. et Schn.“ Popp. Et *μεθ' ἱερῶν* etc. intellige *ἔχοντας τὰ ἱερεῖα καὶ τὴν ἄλλην παρασκευήν*, ut est ap. Plut. V. Nic. c. 3., ut adn. Arn. Denique *τότε* refer ad Ol. 88, 3. (426.)

μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
ἐνθάδ' ἀνείρηται ταλαπείριος ἄλλος ἐπελθών,
Ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
ἐνθάδε πωλεῖται καὶ τέῳ τέρπεσθε μάλιστα;
ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθ' εὐφήμως,
Τυφλὸς ἀνήρ, οἰκεῖ δὲ Χίῳ ἐνὶ παιπαλοέσσῃ.

τοσαῦτα μὲν Ὅμηρος ἐτεκμηρίωσεν ὅτι ἦν καὶ τὸ πάλαι μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ Δήλῳ· ὕστερον δὲ τοὺς μὲν χοροὺς οἱ νησιῶται καὶ οἱ Ἀθηναῖοι μεθ' ἱερῶν ἔπεμπον, τὰ δὲ περὶ τοὺς ἀγῶνας καὶ τὰ πλεῖστα κατελύθη ὑπὸ ξυμφορῶν, ὡς εἰκός, πρὶν δή οἱ Ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.

105 Τοῦ δ' αὐτοῦ χειμῶνος Ἀμπρακιῶται ὥσπερ ὑποσχόμενοι Εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκστρατεύονται ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν τρισχιλίοις ὁπλίταις, καὶ ἐσβαλόντες ἐς τὴν Ἀργείαν καταλαμβάνουσιν Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ, ὃ ποτε Ἀκαρνᾶνες τειχισάμενοι κοινῷ δικαστηρίῳ ἐχρῶντο· ἀπέχει δὲ ἀπὸ τῆς Ἀργείων πόλεως ἐπιθαλασσίας οὔσης πέντε καὶ εἴκοσι σταδίους μάλιστα. οἱ δὲ Ἀκαρνᾶνες οἱ μὲν ἐς Ἄργος ξυνεβοήθουν, οἱ δὲ τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ ὃ Κρῆναι καλεῖται, φυλάσσοντες τοὺς μετὰ Εὐρυλόχου Πελοποννησίους μὴ λάθωσι πρὸς τοὺς Ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύσαντο. πέμπουσι δὲ καὶ ἐπὶ Δημοσθένην τὸν ἐς τὴν Αἰτωλίαν Ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται, καὶ ἐπὶ τὰς εἴκοσι ναῦς Ἀθηναίων αἳ ἔτυχον περὶ Πελοπόννησον οὖσαι, ὧν ἦρχεν Ἀριστοτέλης τε ὁ Τιμοκράτους καὶ Ἱεροφῶν ὁ Ἀντιμνήστου. ἀπέστειλαν δὲ καὶ ἄγγελον οἱ περὶ τὰς Ὄλπας Ἀμπρακιῶται ἐς τὴν πόλιν κελεύοντες σφίσι βοηθεῖν πανδημεί, δεδιότες μὴ οἱ μετ' Εὐρυλόχου οὐ δύνωνται διελθεῖν τοὺς Ἀκαρνᾶνας καὶ σφίσιν ἢ μονωθεῖσιν ἡ μάχη γένηται ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ἢ ἀσφα-
106 λές. οἱ μὲν οὖν μετ' Εὐρυλόχου Πελοποννήσιοι ὡς ἤσθοντο τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας, ἅραντες ἐκ τοῦ Προσχίου ἐβοήθουν κατὰ τάχος, καὶ διαβάντες τὸν Ἀχελῷον ἐχώ-

105. *ὥσπερ ὑποσχόμενοι — κατέσχον*] i. e. *quemadmodum polliciti Eurylocho exercitum eius detinuerant.* Hvds. vid. c. 92. De *κοινῷ δικαστηρίῳ* v. Wachsm. Antt. Gr. 1, 1. p. 116, 29., qui putat iudicium fuisse dirimendis litibus, quae cum accolis septentrionalibus intercederent Acarnanibus. Mox *ἐς τὴν πόλιν* intellige Ambraciam.

δεδιότας] Schol. *μήποτε ἄρα οἱ ἐν τῇ πόλει τῇ Ἀμπρακίᾳ Ἀμπρακιῶται οὐ δυνηθῶσι διελθεῖν τοὺς ἐν ταῖς Κρήναις Ἀκαρνᾶνας φυλάττοντας καὶ τοὺς μετ' Εὐρυλόχου Πελοποννησίους.* Imo *μὴ οἱ μετ' Εὐρυλόχου οὐ δυνηθῶσι διελθεῖν τοὺς ἐν Κρήναις Ἀκαρνᾶνας.* Nam Crenas necesse est sitas fuisse ab oriente et austro Argorum, unde Eurylochus advenire debebat. At Ambracia sita erat ab septentrionibus Argorum, ubi nihil ab Acarnanibus Eurylocho certe impedimenti erat.

106. *τοὺς ἐν Ὄλπαις — ἥκοντας*] i. e. *τοὺς ἐν Ὄλπαις εἰς Ὄλπας ἥκοντας*, ea vis perfecti est, quasi dicas in Olpae angekommen.

ρουν δι' Ἀκαρνανίας οὔσης ἐρήμου διὰ τὴν ἐς Ἄργος βοήθειαν, ἐν δεξιᾷ μὲν ἔχοντες τὴν Στρατίων πόλιν καὶ τὴν φρουρὰν αὐτῶν, ἐν ἀριστερᾷ δὲ τὴν ἄλλην Ἀκαρνανίαν. καὶ διελθόντες τὴν Στρατίων γῆν ἐχώρουν διὰ τῆς Φυτίας καὶ αὖθις Μεδεῶνος παρ' ἔσχατα, ἔπειτα διὰ Λιμναίας· καὶ ἐπέβησαν τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας, φιλίας δὲ σφίσι. λαβόμενοι δὲ τοῦ Θυάμου ὄρους, ὃ ἔστιν ἀγροῖκον, ἐχώρουν δι' αὐτοῦ καὶ κατέβησαν ἐς τὴν Ἀργείαν νυκτὸς ἤδη, καὶ διεξελθόντες μεταξὺ τῆς τε Ἀργείων πόλεως καὶ τῆς ἐπὶ Κρήναις Ἀκαρνάνων φυλακῆς ἔλαθον καὶ προξέμιξαν τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις. γενόμενοι δὲ ἀθρόοι **107** ἅμα τῇ ἡμέρᾳ καθίζουσιν ἐπὶ τὴν Μητρόπολιν καλουμένην καὶ

διὰ τῆς Φυτίας] Boeckh. C. I. Vol. 2. p. 1. scribi vult *διὰ τῆς Φοιτίας* ex inscriptione Gr., in qua est *Φιλοξένου τοῦ Ἡρακλείτου Φοιτιᾶνος* (ut *Ἀκαρνᾶνος*, pro *Φοιτιέως*). Mox Od. Muell. ad tabul. Gr. septentr. p. 26. legi vult *ὃ ἔστιν Ἀγραϊκόν*, at Bloomf. monuit locutionis similis 2, 98. init. *διὰ Κερκίνης, ἐρήμου ὄρους.* Palmerii coniectura 2, 80. legentis *καὶ διὰ τῆς Ἀγραίας ἰόντες* praesenti loco non firmatur, nam Cnemus illo loco narratur a septentrionibus inde proficisci, quem Limnaeam petiturum necesse erat per terram Argivorum Amphilochorum transire, quo fit, ut vulgata *διὰ τῆς Ἀργείας* recte habeat. At Eurylochus appropinquat ab austro inde profectus, quem necesse erat Argos petentem per Agraeam transire, siquidem ex praesenti loco certum est, terram Agraeorum inter orientem solem et austrum ab Amphilochis spectasse, imo ad austrum simul et orientem. Dubium videri possit, num Agraea etiam inter orientem atque septentriones ab Amphilochis spectaverit, quod tamen Popp., qui Dolopes habitare facit inter Ambraciotas et Agraeos, et Agraeos inter Dolopes et Amphilochos, recte colligere videtur ex 2, 102., ubi Achelous ex Pindo fluere dicitur, et hoc ordine inde ab septentrionibus ad occasum hibernum terras peragrare: *διὰ Δολοπίας, καὶ Ἀγραίων, καὶ Ἀμφιλόχων, καὶ διὰ τοῦ Ἀκαρνανικοῦ πεδίου.* Hanc partem situs terrae Agraeae Od. Muell. in tabula Gr. septentr. omisit. Rursus quod Popp. scribit, Eurylochum, quum ab Aetolia Limnaeam pervenisset, per situm locorum potuisse quidem statim regionem Argivorum intrare, sed quo Acarnanes, qui Crenis eum exspectabant, evitaret, ad dextram conversum esse, et longiori quidem, sed tutiori itinere per Agraeos in Amphilochiam irrupisse; erroris arguitur per scriptorem clare dicentem, Eurylochum *μεταξὺ τῆς τε Ἀργείων πόλεως καὶ τῆς ἐπὶ Κρήναις Ἀκαρνάνων φυλακῆς* clam Acarnanibus Argos penetrasse, et Olpas devenisse. Dixerit aliquis, Crenas paulo remotius Argis orientem versus sitas fuisse; at dixerit improbabiliter, neque enim cogitare licet, scriptorem omissurum fuisse referre, Eurylochum ab via, quam ingressus erat, eaque, ut videtur, teri solita, et a Limnaea ad dextram conversum esse, et ab consilio Acarnanum alienum fuisset, locum remotiorem legere observando hostium transitui, qui inter se et Argos via communi per has terras ducente exspectari debebat. Unde simul sequitur, Thyamum montem non longe ab Argis ad dextram situm fuisse, sed ad eandem viam, quae per Limnaeam procurrebat, ubi in tabula Od. Muelleri positus est. „Thyamus nunc appellatur Spartanoros (Pouquev. 3, 148.) et continuatio est montis, qui dicitur Macrinoros.“ Krus. Hellad. 2, 2. p. 302.

107. *Μητρόπολιν*] Olpis proximam et earum fortassis adeo partem aliquam. Popp. Mox aliquot libri *Δημοσθένη*, vulgo *Δημοσθένην*.

στρατόπεδον ἐποιήσαντο. Ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ ὕστερον παραγίγνονται ἐς τὸν Ἀμπρακικὸν κόλπον βοηθοῦντες τοῖς Ἀργείοις, καὶ Δημοσθένης Μεσσηνίων μὲν ἔχων διακοσίους ὁπλίτας, ἑξήκοντα δὲ τοξότας Ἀθηναίων. καὶ αἱ μὲν νῆες περὶ τὰς Ὄλπας τὸν λόφον ἐκ θαλάσσης ἐφώρμουν· οἱ δὲ Ἀκαρνᾶνες καὶ Ἀμφιλόχων ὀλίγοι, οἱ γὰρ πλείους ὑπὸ Ἀμπρακιωτῶν βίᾳ κατείχοντο, ἐς τὸ Ἄργος ἤδη ξυνεληλυθότες παρεσκευάζοντο ὡς μαχούμενοι τοῖς ἐναντίοις, καὶ ἡγεμόνα τοῦ παντὸς ξυμμαχικοῦ αἱροῦνται Δημοσθένη μετὰ τῶν σφετέρων στρατηγῶν. ὁ δὲ προσαγαγὼν ἐγγὺς τῆς Ὄλπης ἐστρατοπεδεύσατο· χαράδρα δ' αὐτοὺς μεγάλη διεῖργε. καὶ ἡμέρας μὲν πέντε ἡσύχαζον, τῇ δ' ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην. καὶ, μεῖζον γὰρ ἐγένετο καὶ περιέσχε τὸ τῶν Πελοποννησίων στρατόπεδον, ὁ δὲ Δημοσθένης δείσας μὴ κυκλωθῇ λοχίζει ἐς ὁδόν τινα κοίλην καὶ λοχμώδη ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους ἐς τετρακοσίους, ὅπως κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ αὐτῇ ἐξαναστάντες οὗτοι κατὰ νώτου γίγνωνται. ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ἦεσαν ἐς χεῖρας, Δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ Μεσσηνίων καὶ Ἀθηναίων ὀλίγων· τὸ δὲ ἄλλο Ἀκαρνᾶνες ὡς ἕκαστοι τεταγμένοι ἐπεῖχον καὶ Ἀμφιλόχων οἱ παρόντες ἀκοντισταί· Πελοποννήσιοι δὲ καὶ Ἀμπρακιῶται ἀναμὶξ τεταγμένοι πλὴν Μαντινέων· οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ μᾶλλον καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες ἀθρόοι ἦσαν, ἀλλ' Εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον καὶ οἱ μετ'
108 αὐτοῦ, κατὰ Μεσσηνίους καὶ Δημοσθένην. ὡς δ' ἐν χερσὶν

„Utrum accusativi talium nominum apud Atticos rectius in *ην* an in *η* flectantur, acriter disceptant viri docti. *Η* post Brunckium praetulit Elmsl. ad Eurip. Suppl. 928. et al. Conf. quos appellat Matth. §. 91. 1. p. 195. At v. etiam Moer. p. 134. Brem. ad Demosth. 1. adv. Aphob. p. 818, 15. Reisk. Dind. praef. ad Demosth. p. VII. Blum. ad Lycurg. Leocr. 30, 13. Thuc. utraque flexione usus est, multo saepius tamen *ην* posuit.“ Popp. Adde Krueg. ad Dionys. p. 289 sq.

καὶ — ὁ δὲ *Δημοσθένης δείσας*] *Δέ* eiiciunt haud pauci libri, ea particula tamen post parentheses sic infertur, ut simillimo loco 4, 132. *καὶ ,ἐτύγχανε γὰρ τότε Ἰσχαγόρας — μέλλων — πορεύσειν ὡς Βρασίδαν. ὁ δὲ Περδίκκας — διεκώλυσε τὸ στράτευμα.* 8, 29. *Ἑρμοκράτους δὲ ἀντειπόντος — ὁ γὰρ Θηραμένης — μαλακὸς ἦν περὶ τοῦ μισθοῦ — ὅμως δὲ* etc. 8, 79. *οἱ δὲ Ἀθηναῖοι — ὑπεχώρησαν ἐς τὴν Σάμον — καὶ ἅμα, προῄσθοντο γὰρ αὐτοὺς ἐκ τῆς Μιλήτου ναυμαχήσοντας, προσεδέχοντο δὲ καὶ τὸν Στρομβιχίδην.* Sicut *δέ*, ita *ἀλλά*, *καί* post parentheses infertur, ut eodem loco: *οἱ δ' Ἀθηναῖοι — ναυσὶν — αἳ ἔτυχον ἐν Γλαύκῃ — ὁρμοῦσαι — διέχει δὲ ὀλίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου — καὶ ὡς εἶδον* etc. Quibus particulis *ἀλλὰ*, *δὲ*, *καὶ* etc. sic usurpatis quodammodo parentheses continuantur. v. adn. ad 1, 72. Dein ad *Πελοποννήσιοι δὲ τεταγμένοι* supple *ἦσαν*.

οἱ μετ' αὐτοῦ] *Τίνας δὲ λέγει τοὺς μετ' αὐτοῦ; τοὺς Πελοποννησίους; ἀλλ' οὗτοί γε ἀναμὶξ ἦσαν τεταγμένοι τοῖς Ἀμπρακιώταις πανταχῇ ἐν ταῖς τάξεσιν ὄντες. ἀλλά τινας, ὡς ἔοικεν, αὐτῶν περὶ τὸ ἄκρον εἶχεν Εὐρύλοχος.* Dukas.

ἤδη ὄντες περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων, οἱ ἐκ τῆς ἐνέδρας Ἀκαρνᾶνες ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου προσπίπτουσί τε καὶ τρέπουσιν ὥστε μήτε ἐς ἀλκὴν ὑπομεῖναι φοβηθέντας τε ἐς φυγὴν καὶ τὸ πλέον τοῦ στρατεύματος καταστῆσαι· ἐπειδὴ γὰρ εἶδον τὸ κατ' Εὐρύλοχον καὶ ὁ κράτιστον ἦν διαφθειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. καὶ οἱ Μεσσήνιοι ὄντες ταύτῃ μετὰ τοῦ Δημοσθένους τὸ πολὺ τοῦ ἔργου ἐξῆλθον. οἱ δὲ Ἀμπρακιῶται καὶ οἱ κατὰ τὸ δεξιὸν κέρας ἐνίκων τὸ καθ' ἑαυτοὺς καὶ πρὸς τὸ Ἄργος ἀπεδίωξαν· καὶ γὰρ μαχιμώτατοι τῶν περὶ ἐκεῖνα τὰ χωρία τυγχάνουσιν ὄντες. ἐπαναχωροῦντες δὲ ὡς ἑώρων τὸ πλέον νενικημένον καὶ οἱ ἄλλοι Ἀκαρνᾶνες σφίσι προσέκειντο, χαλεπῶς διεσώζοντο ἐς τὰς Ὄλπας, καὶ πολλοὶ ἀπέθανον αὐτῶν, ἀτάκτως καὶ οὐδενὶ κόσμῳ προσπίπτοντες πλὴν Μαντινέων· οὗτοι δὲ μάλιστα ξυντεταγμένοι παντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ.

Μενεδαῖος δὲ τῇ ὑστεραίᾳ Εὐρυλόχου τεθνεῶτος καὶ 109
Μακαρίου αὐτὸς παρειληφὼς τὴν ἀρχὴν καὶ ἀπορῶν μεγάλης ἥσσης γεγενημένης ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται ἔκ τε γῆς καὶ ἐκ θαλάσσης ταῖς Ἀττικαῖς ναυσὶν ἀποκεκλημένος, ἢ καὶ ἀναχωρῶν διασωθήσεται, προσφέρει λόγον περὶ σπονδῶν καὶ ἀναχωρήσεως Δημοσθένει καὶ τοῖς Ἀκαρνάνων στρατηγοῖς, καὶ περὶ νεκρῶν ἅμα ἀναιρέσεως. οἱ δὲ νεκροὺς μὲν ἀπέδοσαν καὶ τροπαῖον αὐτοὶ ἔστησαν καὶ τοὺς ἑαυτῶν τριακοσίους μάλιστα ἀποθανόντας ἀνείλοντο· ἀναχώρησιν δὲ ἐκ μὲν τοῦ προφανοῦς οὐκ ἐσπείσαντο ἅπασι, κρύφα δὲ Δημοσθένης μετὰ τῶν ξυστρατήγων Ἀκαρνάνων σπένδονται Μαντινεῦσι καὶ Μενεδαίῳ καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν Πελοποννησίων καὶ ὅσοι

108. *προσπίπτοντες*] i. e. *fuga contendentes*. Mox alii libri *ἐτελεύτα ἐς ὀψέ*, alii cum Thoma M. p. 668. et Phavorino (in *ὀψέ*) *ἐτ. ἕως ὀψέ*, alii ἕως et ἐς sive εἰς iunctum habent. Bened. post Dukerum *ἐς ὀψὲ* praetulit, quem secuti sunt etiam Popp. et Doederl. in Philol. Beitr. aus d. Schw. Vol. 1. p. 308., qui negavit Graece dici *τελευτᾶν ἕως ὀψέ*, quum quamvis recte continuatum aliquid esse usque ad aliquod tempus dicamus, *finitum esse usque ad hoc tempus* dicere nequeamus. „At ἕως ὀψέ hoc modo intelligendum est: *παρέτεινεν ἕως ὀψέ* et *ὀψέ ἐτελεύτα*, eaque constructio mihi exquisitior videtur, quam ut librariis tribui possit.“ Lob. ad Phryn. p. 47. adn. Aptissime confertur 1, 71. *μέχρι τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής*. Dukeri haec explicatio est, *ἐς ὀψέ* rursus dicere Thucydidem 8, 23. *ἀναγαγόμενος ἐς ὀψέ*, idque hic non reiiciendum videri propter verbum *ἐτελεύτα*, quod saepissime cum praep. *ἐς* iungatur, velut 1, 51. 3, 78., quo tamen dicta a Lobeckio non infirmantur.

109. *σπένδονται*] E. *σπένδεται*. Plurali usus est, quia Demosthenes *μετὰ τῶν ξυστρατήγων* idem est, quod *Demosthenes et collegae*; in sequentibus Demosthenem solum in mente habens *βουλόμενος* et *χρῆζων* scripsit. Vid. Matth. p. 603. adn. Mox *ὥσπερ ὑπῆρχε* idem est atque *ὡς ἦν αὐτοῖς δυνατὸν, ὡς ἐκ τῶν παρόντων δυνατὸν ἦν*.

αὐτῶν ἦσαν ἀξιολογώτατοι ἀποχωρεῖν κατὰ τάχος, βουλόμενος ψιλῶσαι τοὺς Ἀμπρακιώτας τε καὶ τὸν μισθοφόρον ὄχλον τὸν ξενικόν, μάλιστα δὲ Λακεδαιμονίους καὶ Πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνῃ χρήζων Ἕλληνας ὡς καταπροδόντες τὸ ἑαυτῶν προὐργιαίτερον ἐποιήσαντο. καὶ οἱ μὲν τούς τε νεκροὺς ἀνείλοντο καὶ διὰ τάχους ἔθαπτον, ὥςπερ ὑπῆρχε, καὶ τὴν
110 ἀποχώρησιν κρύφα οἷς ἐδέδοτο ἐπεβούλευον. τῷ δὲ Δημοσθένει καὶ τοῖς Ἀκαρνᾶσιν ἀγγέλλεται τοὺς Ἀμπρακιώτας τοὺς ἐκ τῆς πόλεως πανδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν Ὀλπῶν ἀγγελίαν ἐπιβοηθεῖν διὰ τῶν Ἀμφιλόχων, βουλομένους τοῖς ἐν Ὀλπαις ξυμμῖξαι, εἰδότας οὐδὲν τῶν γεγενημένων. καὶ πέμπει εὐθὺς τοῦ στρατοῦ μέρος τι τὰς ὁδοὺς προλοχιοῦντας καὶ τὰ καρτερὰ προκαταληψομένους, καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρεσκευάζετο
111 βοηθεῖν ἐπ' αὐτούς. ἐν τούτῳ δ' οἱ Μαντινῆς καὶ οἷς ἔσπειστο πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες ὑπαπῄεσαν κατ' ὀλίγους, ἅμα ξυλλέγοντες ἐφ' ἃ ἐξῆλθον δῆθεν· προκεχωρηκότες δὲ ἤδη ἄποθεν τῆς Ὄλπης θᾶσσον ἀπεχώρουν. οἱ δ' Ἀμπρακιῶται καὶ οἱ ἄλλοι ὅσοι μὲν ἐτύγχανον οὕτως ἀθρόοι

καὶ τὴν ὑποχώρησιν] Schol. καὶ οἷς σπεισάμενος Δημοσθένης Μαντινεῦσι καὶ Μενεδαίῳ συνεχώρησεν ἀναχωρῆσαι, οὗτοι κρύφα ἐβουλεύοντο ἀναχωρεῖν, ἵνα μήτε οἱ Ἀκαρνᾶνες κωλύσωσιν αὐτούς (οὐ γὰρ ἐσπείσαντο), μήτε οἱ Ἀμπρακιῶται μένειν ἀναγκάσωσι.

110. *καιὰ τὴν πρώτην — ἀγγελίαν*] v. cap. 105. De verbis *παρεσκευάζετο βοηθεῖν* v. Matth. p. 1036.

111. *καὶ οἱ ἄλλοι*] i. e. mercenarii v. c. 109. Mox verba *οὕτως ἀθρόοι* etc. ita intellige: *qui sic* (per *πρόφασιν τοῦ λαχανισμοῦ καὶ τῆς φρυγάνων ξυλλογῆς*, qua reliqui, quibuscum pactio inita erat, utebantur), *una magno numero* (*ἀθρόοι*) *exierant*, nescii tamen, reliquos illo praetexto usos Olpias abire velle, secundum pactionem. Recte igitur H. Muell.: die andern, die so zufällig in Haufen mit ausgezogen waren, neque hili refert, utrum vulgatam serves, an cum C. Laur. et Mosqu. legas *ξυνεξελθόντες*. Conf. infr. c. 113. *ὅτε μετὰ τῶν Μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξῄεσαν ἄσπονδοι* hi ipsi Ambraciotae, de quibus hic agitur. At Popp., „haec ratio, ait, ideo displicet, quod Ambraciotae profecti Olpis esse demum postea verbis *ὥρμησαν καὶ αὐτοί* narrantur.“ Num poterant aliter, quam priusquam reliquos, quibuscum pactum initum erat, *ἔγνωσαν ἀπιόντας*? Videlicet ipsi *ξυνεξῆλθον*, non ut aufugerent, sed ut olera et sarmenta colligerent, quod reliquos quoque facere velle persuasum habebant, donec verum eorum consilium cognoverunt. Porro *ἀποκαταλαβεῖν* est um sie einzuholen, ihnen nachzukommen, nam de retinendis reliquis cogitare non poterant, postquam consilium eorum cognoverunt. Deinde post alios verba *ἠκόντισέ τις* explicandi conatus Schol. addit: *ἴσως δὲ οὐκ ἀδυνατόν ἐστιν, ἕνα πλείω ἀκόντια ἔχοντα πλείους ἀκοντίσαι τῶν στρατηγῶν· δυνατὸν δὲ τὸ ἠκόντισέ τις καὶ ἐπὶ πλήθους λαμβάνεσθαι* (propter *ἀοριστίαν* pronominis *τις*), *οἷον καὶ ἄλλος καὶ ἄλλος ἠκόντισεν.* Ita Homer. saepissime: *ὧδε δέ τις εἶπεσκεν*, so sprach Mancher. Atque hic convertas: einer und der andere schoss. Arn. confert Herodot. 3, 140. *ἀναβέβηκε δ' ἤ τις ἢ οὐδείς* et Xen. Anab. 1, 8, 20. *τοξευθῆναί τις ἐλέγετο.* Bloomf. addit Herodot. 9, 18. *καὶ δὴ διετείνοντο τὰ βέλεα ὡς ἀπήσοντες· καὶ κού τις καὶ ἀπῆκε.* Denique de *διακοσίους τινάς* v. Matth. p. 911. 4.

ξυνελθόντες ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ καὶ ἔθεον δρόμῳ, ἐπικαταλαβεῖν βουλόμενοι. οἱ δὲ Ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως, καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον· καί τινας αὐτῶν τῶν στρατηγῶν κωλύοντας καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς ἠκόντισέ τις, νομίσας καταπροδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ' Ἀμπρακιώτας ἔκτεινον. καὶ ἦν πολλὴ ἔρις καὶ ἄγνοια εἴτε Ἀμπρακιώτης τίς ἐστιν εἴτε Πελοποννήσιος. καὶ ἐς διακοσίους μέν τινας αὐτῶν ἀπέκτειναν· οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν Ἀγραΐδα ὄμορον οὖσαν, καὶ Σαλύνθιος αὐτοὺς ὁ βασιλεὺς τῶν Ἀγραίων φίλος ὢν ὑπεδέξατο.

Οἱ δ' ἐκ τῆς πόλεως Ἀμπρακιῶται ἀφικνοῦνται ἐπ' Ἰδο- 112
μένην. ἐστὸν δὲ δύο λόφω ἡ Ἰδομένη ὑψηλώ· τούτοιν τὸν μὲν μείζω νυκτὸς ἐπιγενομένης οἱ προαποσταλέντες ὑπὸ τοῦ Δημοσθένους ἀπὸ τοῦ στρατοπέδου ἔλαθόν τε καὶ ἔφθασαν προκαταλαβόντες, τὸν δ' ἐλάσσω ἔτυχον οἱ Ἀμπρακιῶται προαναβάντες, καὶ ηὐλίσαντο. ὁ δὲ Δημοσθένης δειπνήσας ἐχώρει, καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθύς, αὐτὸς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ τῆς ἐσβολῆς, τὸ δ' ἄλλο διὰ τῶν Ἀμφιλοχικῶν ὀρῶν. καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς καὶ οὐ προησθημένοις τὰ γεγενημένα, ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυτῶν εἶναι· καὶ γὰρ τοὺς Μεσσηνίους πρώτους ἐπίτηδες ὁ Δημοσθένης προὔταξε, καὶ προσαγορεύειν ἐκέλευε, Λωρίδα τε γλῶσσαν ἱέντας καὶ τοῖς προφύλαξι πίστιν παρεχομένους, ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει νυκτὸς ἔτι οὔσης. ὡς οὖν ἐπέπεσε τῷ στρατεύματι αὐτῶν, τρέπουσι, καὶ

112. *ἐστόν — Ἰδομένη*] Verbum adstructum est praedicato. v. Matth. p. 606. §. 305. Et *ἔλαθόν τε καὶ ἔφθασαν* est *clam hostibus itinere facto prius occupaverant* etc. Deinde *ἐπὶ τῆς ἐσβολῆς* est *in aditu in montana*, ubi via inde ab Olpis litus legens, deinde a planis prope mare patentibus recedens intra montes se insinuat; convertas igitur *ad transitum* sive *spatium duobus illis tumulis* (Idomenae) *interiectum*. Conf. 4, 127. *καὶ τὴν ἐσβολὴν, ἣ ἐστι μεταξὺ δυοῖν λόφοιν στενὴ ἐς τὴν Ἀρίβαιον, φθάσαντες προκατέλαβον.* „Hac via, ait Arn., utpote brevissima, ipse Demosthenes agmen ducebat, dum alterum agmen per viam super colles ductum terga hostium appetit, ut hostes a fuga intercluderet. Mox ad *ἔτι ἐν ταῖς εὐναῖς* Krueg. ad Dionys. p. 302. supplet *οὔσι*. De variante tempore in *προὔταξε* et *ἐκέλευε* v. Matth. §. 505. II. De locutione *γλῶσσαν ἱέντας* conf. Herodot. 1, 57. 6, 29. Plut. V. Sol. 15. Schaef. ad Dionys. de C. V. p. 39. De re v. Od. Muell. Dor. 1. p. 190 sq. Et *παρεχομένους* est *fiduciam facientes*, ut 4, 87. 7, 67. Et *τῇ ὄψει* converte: *quod eorum facies cerni non posset.*

νυκτὸς ἔτι οὔσης] Paulo ante *ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις.* Est ergo *ὄρθρος*, quum nondum cerni potest et adhuc nox est i. e. tempus, quod praecedit auroram, quo quis adhuc lucerna uti potest. Ita veteres. Recentiores, ut auctor est Phrynichus, *ὄρθρον* dixerunt, quae antiquis erat *ἕως*, *aurora*. Et hanc significationem vo-

τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν, οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν ὥρμησαν. προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν μὲν Ἀμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων ὅπη τράπωνται, ἐκπίπτοντες ἔς τε χαράδρας καὶ τὰς προλελοχισμένας ἐνέδρας διεφθείροντο. καὶ ἐς πᾶσαν ἰδέαν χωρήσαντες τῆς φυγῆς ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν οὐ πολὺ ἀπέχουσαν, καὶ ὡς εἶδον τὰς Ἀττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ, προσένευσαν, ἡγησάμενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς ναυσίν, εἰ δεῖ, διαφθαρῆναι ἢ ὑπὸ τῶν βαρβάρων καὶ ἐχθίστων Ἀμφιλόχων. οἱ μὲν οὖν Ἀμπρακιῶται τοιούτῳ τρόπῳ κακωθέντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν· Ἀκαρνᾶνες δὲ σκυλεύσαντες τοὺς νεκροὺς καὶ τροπαῖα στήσαντες ἀπεχώρησαν ἐς Ἄργος.

113 καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κήρυξ ἀπὸ τῶν ἐς Ἀγραίους καταφυγόντων ἐκ τῆς Ὄλπης Ἀμπρακιωτῶν ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν οὓς ἀπέκτειναν ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν Μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξῆσαν ἄσπονδοι. ἰδὼν δ' ὁ κήρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως Ἀμπρακιωτῶν ἐθαύμαζε τὸ πλῆθος· οὐ γὰρ ᾤδει τὸ πάθος, ἀλλ' ὤετο τῶν μετὰ σφῶν εἶναι. καί τις αὐτὸν ἤρετο ὅ,τι θαυμάζοι καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν, οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν Ἰδομέναις. ὁ δ' ἔφη διακοσίους μάλιστα. ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν, Οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον ἢ χιλίων. αὖθις δὲ εἶπεν ἐκεῖνος, Οὐκ ἄρα τῶν μεθ' ἡμῶν μαχομένων ἐστίν. ὁ δ' ἀπεκρίνατο, Εἴπερ γε ὑμεῖς ἐν Ἰδομένῃ χθὲς ἐμάχεσθε. Ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθές, ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει. Καὶ μὲν δὴ τούτοις γε ἡμεῖς

cis ὄρθρος Thom. M. in ὀρθρεύω etiam e Thuc. 2, 3. ostendit: *φυλάξαντες ἔτι νύκτα καὶ αὐτὸ τὸ περίορθρον.* Duk. Conf. 4, 110. *νυκτὸς ἔτι καὶ περὶ ὄρθρον.* Propter voces ὑπὸ τῶν βαρβάρων v. Thuc. 2, 68.

113. τῆς πρώτης μάχης] Schol. *οἱ εἰς Ἀγραίους καταφυγόντες κήρυκα ἔπεμψαν, αἰτήσοντες ἀναίρεσιν νεκρῶν, οὓς ἀπέκτειναν Ἀκαρνᾶνες ὕστερον τῆς πρώτης μάχης. πρώτη μὲν γὰρ μάχη ἐγένετο πρὸς τὸν Εὐρύλοχον καὶ τοὺς Πελοποννησίους, δευτέρα δὲ ἡ ἐν τῇ φυγῇ πρὸς τοὺς Ἀμπρακιώτας, τρίτη δὲ ἡ πρὸς τοὺς ἐν Ἰδομένῃ. ὁ οὖν κήρυξ τὴν ἀναίρεσιν ἠτεῖτο τῶν δευτέρᾳ μάχῃ τεθνηκότων, οὐκ εἰδὼς ὅτι τρίτῃ γέγονε μάχη, ἐν ᾗ πολλοὶ ἀπώλοντο.* v. cap. 107. 108. Mox ad οὔκουν *φαίνεται* supple (*τὰ ὅπλα*) *ὄντα διακόσια*, etenim *φαίνεσθαι* in numerando et rationibus subducendis significat *comparere, reperiri*, vorhanden seyn, sich finden, et *φαίνεται* est *ratio constat*, die Rechnung ist richtig, trifft zu. Converte: also trifft die Zahl der Rüstungen *hier* (*ταυτί*) nicht zu (sondern es finden sich mehr als tausend). Conf. 6, 46. *τριάκοντα τάλαντα μόνα φαίνεται*, es finden sich nach der Zählung nur 30 Tal. Dein *εἴπερ γε* est *ja*, wenn anders etc., ellipsi in diverbiis frequentissima. Et *πρώην* est *nudius tertius*. Demosthenes enim vespere secundae pugnae profectus c. 112. primo mane apud Idomenam conflixit. Ergo secunda pugna pridie tertiam fuit, ut adnotavit Popp.

χθὲς ἀπὸ τῆς πόλεως βοηθήσασι τῆς Ἀμπρακιωτῶν ἐμαχόμεθα. ὁ δὲ κήρυξ ὡς ἤκουσε καὶ ἔγνω ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν ἀπῆλθεν εὐθὺς ἄπρακτος καὶ οὐκέτι ἀπήτει τοὺς νεκρούς. πάθος γὰρ τοῦτο μιᾷ πόλει Ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον τόνδε ἐγένετο. καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. Ἀμπρακίαν μέντοι οἶδα ὅτι εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι Ἀθηναίοις καὶ Δημοσθένει πειθόμενοι ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον· νῦν δ' ἔδεισαν μὴ οἱ Ἀθηναῖοι ἔχοντες αὐτὴν χαλεπώτεροι σφίσι πάροικοι ὦσι. μετὰ δὲ ταῦτα τρίτον μέρος 114
νείμαντες τῶν σκύλων τοῖς Ἀθηναίοις τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. καὶ τὰ μὲν τῶν Ἀθηναίων πλέοντα ἔαλω, τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς Ἀττικοῖς ἱεροῖς Δημοσθένει ἐξηρέθησαν τριακόσιαι πανοπλίαι, καὶ ἄγων αὐτὰς κατέπλευσε· καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν τῆς Αἰτωλίας ξυμφορὰν ἀπὸ ταύτης τῆς πράξεως ἀδεεστέρα ἡ κάθοδος. ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν Ἀθηναῖοι ἐς Ναύπακτον. Ἀκαρνᾶνες δὲ καὶ Ἀμφίλοχοι ἀπελθόντων Ἀθηναίων καὶ Δημοσθένους τοῖς ὡς Σαλύνθιον καὶ Ἀγραίους καταφυγοῦσιν Ἀμπρακιώταις καὶ Πελοποννησίοις ἀναχώρησιν ἐσπείσαντο ἐξ Οἰνιαδῶν, οἵπερ καὶ μετανέστησαν παρὰ Σαλυνθίου.

ἐν ἴσαις ἡμέραις] *ἐν τρισὶν ἡμέραις.* Dukas. At alteram pugnam, qua Ambraciotae profecti cum Mantinensibus caesi sunt, postridie primam factam esse nusquam narratum est; sed postridie primam pugnam primum Menedaeus cum Demosthene et Acarnanum ducibus de compositione egit, eamque impetravit, tum mortuos suos humavit, denique discessum parabat cap. 109. Quibus omnibus hunc diem, si non plures, insumtos esse probabile est. Quare quae c. 111. de receptu Eurylochi et Ambraciotarum relata sunt, vix ante tertium diem a prima pugna accidere potuerunt. Popp. De verbis *ὡς πρὸς τὸ μέγεθος* v. Matth. p. 1182.

114. *πλέοντα ἑάλω*] Valla legisse videtur *πλέονα*, at *σκῦλα πλεῖν* dicuntur, ut merces *ἐκπλεῖν* et *ἐκπλεῖν*, ut monuit Popp. Mox verbum *ἐξηρήθησαν* praedicato accommodatum. Porro „quum Demosthenes 4, 2. homo privatus dicatur, num statim ab reditu in privatam vitam se receperit, ademtumque ei munus fuerit, an in proximum annum non denuo praetor factus sit, examinant Seidl. et Boeckh. in Praef. Soph. Antig. ed. Herm. p. LXXIX. et CX.“ Popp.

οἵπερ — παρὰ Σαλυνθίου] Vulgo *οἵπερ καὶ μετανέστησαν παρὰ Σαλύνθιον καὶ Ἀγραίους*, at verba *καὶ Ἀγραίους* om. Cass. Aug. Ven. Cl. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Laur., tacite Lugd. Vind. m. Dan. Vall. et aperte ea ex praecedentibus originem traxisse monuit Popp. B. *περὶ Σαλύνθιον* habet et ita a prima man. etiam H. Vulgatae nemo potuit sensum aperire: quare Lindav. Spicil. p. 6. coniecturam *ἔξω Οἰνιαδῶν* proposuit, non Hemsterh.: certe ubi eam ab Hemsterhusio propositam Krueg. ad Dionys. p. 234. dicit, ad Lucian. Vol. 1. p. 324. Bip., ibi non reperitur, quamquam ibi de particula *ἔξω* agitur, sed hoc loco Thucydidis non memorato. Causa autem cur Oenia-

καὶ ἐς τὸν ἔπειτα χρόνον σπονδὰς καὶ ξυμμαχίαν ἐποιήσαντο ἑκατὸν ἔτη Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι πρὸς Ἀμπρακιώτας ἐπὶ

des induciis exclusi sint, haec cogitari possit, quod causam suam et arma seiunxerant a reliquis Acarnanibus et soli a partibus Peloponnesiorum steterunt. Thuc. 3, 94. Quid autem attinet res Oeniadarum ad mentionem induciarum cum Peloponnesiis et Ambraciotis, *qui ad Agraeos confugerant*, conclusarum? siquidem non cum universis Peloponnesiis et Ambraciotis illae conclusae sunt. Adde quod verborum οἵπερ καὶ *μετανέστησαν παρὰ Σαλύνθιον* non potest hic sensus esse: *qui confugerant ad Salynthium.* Nam ea vis verbi *μετανέστησαν* non est. Putet aliquis sensum esse: *qui ad Salynthium transeuntes sedes ibi fixerant.* Verum sic et *ἐξ Οἰνιαδῶν* quid sit, non magis constat, neque ibi sedes fixisse dici possunt, qui eo subita fuga delati sunt. His rationibus ductus vulgata deserta recepi coniecturam Hermanni, quae sensum planissimum reddit, eademque facillima literarum mutatione facta est: *Acarnanes vero et Amphilochi — Ambraciotis et Peloponnesiis, qui ad Salynthium confugerant, fide publica interposita, ex Oeniadis abeundi potestatem dederunt, quippe quo a Salynthio discessissent. Μετανέστησαν* videtur significare, Salynthium regulum timore Acarnanum non passum esse diutius illos profugos apud se commorari. Contra coniecturam Hermanni Popp. dubitationes movit, quarum haec summa est: I. Quod pactionem tum demum factam esse statuendum sit, quum Ambraciotae et Peloponnesii ab Agraeis iam ad Oeniades pervenissent. Atqui si hoc iter ante pactionem cum Acarnanibus facere poterant, pactione omnino non opus fuisse, quia ab Oeniadis post discessum classis Atheniensium facile mari domum redire aut aliquamdiu in urbe amica commorari poterant. Huic dubitationi Arn. ita occurrit, ut dicat, naves Ambraciotis et Peloponnesiis defuisse: quibus addo, intutum iis fuisse, etiamsi naves habuissent, per mare ab Atheniensibus perpetuam Naupacti stationem observandorum hostium causa habentibus obsessum navigare. II. Addit Popp.: Exercitus ad Agraeos compulsus, a victoribus obsessus, quomodo victoribus invitis ex Agraeorum agro, qui tota Acarnania ab Oeniadis separatus erat, ad Oeniadas terra pervadere poterat? At hanc obsessionem Popp. de suo addidit: per Acarnaniam Ambraciotae et Peloponnesii non minus facile Oeniadas pervenire poterant, quam Eurylochus pervenerat. Etenim *ἐχώρουν δὲ Ἀκαρνανίας, οὔσης ἐρήμου διὰ τὴν ἐς Ἄργος βοήθειαν* Acarnanum c. 106. Acarnanes autem quum expeditione paulo post Ambraciotarum ad Salynthium fugam finita in patriam redissent, non iam fieri poterat, ut Ambraciotae et Peloponnesii Oeniadis se invitis abirent. III. Cum interpretatione *quo* discesserant, ait Popp., particula *καί* aegre conciliari potest. At puto hoc tacito quemque in Graecis versatum sensu doceri, *καί* persaepe non aliter sonare, quam Latinum *et quidem* sive wirklich auch, wie denn auch, ja auch. Hic igitur erit: *quippe quo discessissent*, wohin sie auch wirklich abgegangen waren sive welches ja auch der Ort war, wohin sie aufgebrochen waren. Mox de formula *ἐπὶ τοῖσδε ὥστε* v. Matth. p. 895. a. Dein *ἢ ὁμήρους* Popponis coniectura est pro vulgata *ὁμόρους*, postea per codicem Paur. (v. Arn. Vol. 2. Praef. p. XII.) firmata. Sed eam „etiam libris Aug. Pal. It. Vat. confirmari inde suspicere, quod *ὁμόρους* in ed. stereotypa Bekk. ex solo m. enotavit. Sed tacito illorum librorum testimonio eo minus confidendum, quod nec in maioribus exemplis ex It. et Vat. *ὁμήρους* a se restitutum esse professus est, et ex Pal. nec Frommel. nec Morst. hanc scripturam excitarunt. Tacite tamen Lugd. quoque comprobat.“ Popp.

τοῖσδε ὥστε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους μήτε Ἀκαρνᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ' Ἀθηναίους, βοηθεῖν δὲ τῇ ἀλλήλων καὶ ἀποδοῦναι Ἀμπρακιώτας ὁπόσα ἢ χωρία ἢ ὁμήρους Ἀμφιλόχων ἔχουσι, καὶ ἐπὶ Ἀνακτόριον μὴ βοηθεῖν πολέμιον ὄν Ἀκαρνᾶσι. ταῦτα ξυνθέμενοι διέλυσαν τὸν πόλεμον. μετὰ δὲ ταῦτα Κορίνθιοι φυλακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν, ἐς τριακοσίους ὁπλίτας, καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ κομιζόμενοι χαλεπῶς διὰ τῆς Ἠπείρου ἀφίκοντο. τὰ μὲν κατ' Ἀμπρακίαν οὕτως ἐγένετο.

Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ αὐτοῦ χειμῶνος ἔς τε 115
τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν μετὰ τῶν Σικελῶν ἄνωθεν ἐσβεβληκότων ἐς τὰ ἔσχατα τῆς Ἱμεραίας, καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν. ἀναχωρήσαντες δὲ ἐς Ῥήγιον Πυθόδωρον τὸν Ἰσολόχου Ἀθηναίων στρατηγὸν καταλαμβάνουσιν ἐπὶ τὰς ναῦς διάδοχον ὢν ὁ Λάχης ἦρχεν. οἱ γὰρ ἐν Σικελίᾳ ξύμμαχοι πλεύσαντες ἔπεισαν τοὺς Ἀθηναίους βοηθεῖν σφίσι πλείοσι νανσί· τῆς μὲν γὰρ γῆς αὐτῶν οἱ Συρακόσιοι ἐκράτουν, τῆς δὲ θαλάσσης ὀλίγαις νανσὶν εἰργόμενοι παρεσκευάζοντο

115. *μετὰ τῶν Σικελῶν*] Ita Bloomf. emendavit pro *Σικελιωτῶν*, quaerens, qui sint hi *Σικελιῶται*? Quamquam enim Atheniensis socios habebant non solum Leontinos, ut Bloomf. adnotabat, sed etiam ceteras Chalcidicas civitates et Camarinaeos (v. cap. 86.), ut Popp. addidit, tamen hos nec simpliciter *τοὺς Σικελιώτας*, quasi solos hoc nomen habentes, appellari posse, Popponi; eosque socios Atheniensium oram inhabitasse, Bloomfieldio concedendum est, quum *Σικελοί*, indigenae insulae, distincti a *Σικελιώταις* advenis et medias partes insulae incolerent (id quod cum praesenti loco convenit, ubi irruptio a superiori regione facta memoratur), et plerumque cum Atheniensibus facerent. Etiam 7, 57. extr. in libris ad duos omnibus *Σικελιωτῶν* pro *Σικελῶν* male legi Arn. adnotavit. Schol. ad Thuc. 5, 5. *ἰστέον ὅτι οἱ μὲν Ἕλληνες οἱ ἐν Σικελίᾳ Σικελιῶται λέγονται, οἱ δὲ βάρβαροι οἱ ἐν αὐτῇ Σικελοί. οὕτω δὲ καὶ ἐπὶ Ἰταλιωτῶν.* Illi Latinis sunt Sicilienses, hi Siculi. Idem docent Steph. Byz., Eustath., Ammon. alii. Hi Siculi igitur incursionem faciebant *ἐς τὰ ἔσχατα* i. e. in eam partem agri Himeraeorum, quae maxime mediterranea erat. Deinde Lachetem propter criminationem aliquam per Cleonem intentatam domum revocatum esse, ex Arist. Vesp. 240. et eius Scholiasta, et crimen peculiatus fuisse, ex eadem fab. 241., docet Bloomf., unde corrigendum esse Seidlerum in Praef. ad Soph. Antig. p. LXXIX. ed. Herm. Popp. monuit. „Pro *πλεύσαντες* est, qui *πρεσβεύσαντες* malit,“ ait Bekk., id quod Popp. reiicit, nam activum *πρεσβεύειν* in sola notione *seniorem esse*, et semel tantum 6, 55. Thucydidem habere, qui saepissime *πρεσβεύεσθαι* eo sensu, quo hic opus esset (sive *legatum proficisci*, sive *legationem mittere*).

ὀλίγαις ναυσίν] Schol. *οἱ Συρακούσιοι τῆς θαλάσσης ὑπὸ ὀλίγων νεῶν εἰργόμενοι, τῶν Ἀττικῶν δηλονότι.* De Sophocle, qui statim memoratur, alio a poeta nobilissimo, v. Lessing. V. Soph. p. 24. 133. 165. Eundem postea exilio multatum esse constat ex Thuc. 4, 65. et Philochoro apud Scholiastam Arist. Vesp. 240. Denique *φρούριον ὃ πρότερον* etc. procul dubio idem est, quod c. 99. *περιπόλιον* appellavit, memorans a Lachete captum esse.

ναυτικὸν ξυναγείροντες ὡς οὐ περιοψόμενοι. καὶ ἐπλήρουν ναῦς τεσσαράκοντα οἱ Ἀθηναῖοι ὡς ἀποστελοῦντες αὐτοῖς, ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐκεῖ πόλεμον καταλυθήσεσθαι, ἅμα δὲ βουλόμενοι μελέτην τοῦ ναυτικοῦ ποιεῖσθαι. τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν Πυθόδωρον ὀλίγαις ναυσί, Σοφοκλέα δὲ τὸν Σωστρατίδου καὶ Εὐρυμέδοντα τὸν Θουκλέους ἐπὶ τῶν πλειόνων νεῶν ἀποπέμψειν ἔμελλον. ὁ δὲ Πυθόδωρος ἤδη ἔχων τὴν τοῦ Λάχητος τῶν νεῶν ἀρχὴν ἔπλευσε τελευτῶντος τοῦ χειμῶνος ἐπὶ τὸ Λοκρῶν φρούριον, ὃ πρότερον Λάχης εἶλε· καὶ νικηθεὶς μάχῃ ὑπὸ τῶν Λοκρῶν ἀνεχώρησεν.

116 Ἐρρύη δὲ περὶ αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς Αἴτνης, ὥσπερ καὶ τὸ πρότερον. καὶ γῆν τινα ἔφθειρε τῶν Καταναίων, οἳ ἐπὶ τῇ Αἴτνῃ τῷ ὄρει οἰκοῦσιν, ὅπερ μέγιστόν ἐστιν ὄρος ἐν τῇ Σικελίᾳ. λέγεται δὲ πεντηκοστῷ ἔτει ῥυῆναι τοῦτο μετὰ τὸ πρότερον ῥεῦμα, τὸ δὲ ξύμπαν τρὶς γεγενῆσθαι τὸ ῥεῦμα ἀφ' οὗ Σικελία ὑπὸ Ἑλλήνων οἰκεῖται. ταῦτα μὲν κατὰ τὸν χειμῶνα τοῦτον ἐγένετο. καὶ ἕκτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

116. *μετὰ τὸ πρότερον ῥεῦμα*] Ex h. l. Dodw. Appar. ad Annales Thuc. §. 27. colligit, eruptionem Aetnae, quae teste Diod. 14. 59. Ol. 96, 1. (396.), teste Orosio 2, 18. Ol. 95. (400.) evenit, Thucydidi cognitam fuisse. At quod Thuc. hic *τὸ πρότερον ῥεῦμα* dicit, secundum est ex tribus illis, quae acciderunt inde ab eo tempore, quo Sicilia a Graecis occupata est i. e. inde ab Ol. 10. (740.) „Sole clarius est, tertiam harum trium eruptionum non posse evenisse inter duas, quarum tempus Thuc. edit. Sic enim non minus tempus huius quam superioris eruptionis constituturus fuisset; et quod gravissimum est, hoc *ῥεῦμα* non licebat ei dicere *τὸ πρότερον*, debebat *τὸ πρῶτον ῥεῦμα* dicere." Krueg. V. Thuc. p. 64. Haec secunda eruptio secundum marmor Parium Epoch. 53. p. 169. accidit Ol. 75, 2. (479.) Xanthippo archonte, sedecim annis ante Hieronis victoriam, a Pindaro Pyth. 1. celebratam, cuius versu 29. mentionem Aetnae et incendii eius iniicit, de quo loco v. A. Gell. N. A. 17, 10. Eius incendii aequalis fuit Aeschylus, quippe qui iuvenis pugnae Marathoniae (Ol. 72, 3. 490.) interfuisset, idemque ex eius Prom. 351. liquet, ubi Schol. alteram hanc eruptionem omnino narrat sub Hierone evenisse. Hiero autem Ol. 75, 3. (478.) Syracusarum tyrannus factus est. Auctore ipso Thucydide illa altera eruptio evenit Ol. 76, 2. (475.) Boeckh. Explicc. Pind. Pyth. 1. p. 224. marmor Parium sequitur; Krueg. l. c. apud Thucydidem pro *πεντηκοστῷ* legit *πεντηκοστῷ πέμπτῳ*, statuens, alteram illam eruptionem factam esse Ol. 75, 1. (480.) Tertium incendium illud est, quod Thuc. hic sexto belli Pelop. anno i. e. Ol. 88, 3. (425.) accidisse refert. Primum quoddam addit memoria hominum accidisse *ante illa duo*, non quo anno acciderit, indicat. Non cogitavit igitur de eruptione, quam Diod. et Orosius memorant. Veram rationem huius rei iam Cluver. S. A. 1, 8. Dorv. Siculis p. 241. Heyn. Exc. 10. ad Virg. 3. Aen. Vol. 2. p. 502. Ukert. Geogr. Gr. et Rom. 1, 2. p. 337. et alii docuerant. Conf. Letronn. in Biogr. Univers. de Michaud s. v. Xenophon. Nihilominus Dodwellum temere secuti sunt Popp. 1, 1. p. 31. Dahlm. Herodot. p. 217. Welck. Aeschyl. Trilog. p. 116. Gosselin. ad Strab. Vol. 1. p. 109. adn. 2.

TEMPORA

RERUM IN LIBRO TERTIO MEMORATARUM.

Cap.

1. *ἅμα τῷ σίτῳ ἀκμάζοντι*] Ol. 88, 1. (428.) m. Iul.
8. *μετὰ τὴν ἑορτήν*] Ol. 88, 1. (428.) 20. Iul.
15. *καὶ ἐν καρποῦ ξυγκομιδῇ ἦσαν*] Ol. 88, 1. (428.) exeunte Iul., si non m. Aug. ineunte.
18. *περὶ τὸ φθινόπωρον ἤδη ἀρχόμενον*] circ. 21. Sept. 428. Ol. 88, 1.
20. *τοῦ δ' αὐτοῦ χειμῶνος*] Ol. 88, 1. (427.) Ian. vel Febr.
25. *τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος*] Ol. 88, 1. (427.) post med. Apr.
26. *τοῦ δ' ἐπιγιγνομένου θέρους*] Ol. 88, $\frac{1}{2}$. (427.) post 24. Apr.
51. *μετὰ τὴν Λέσβου ἅλωσιν*] Ol. 88, $\frac{1}{2}$. (427.) vere admodum affecto.
86. *τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος*] Ol. 88, 2. (427.) ante 18. Oct.
87. *τοῦ δ' ἐπιγιγνομένου χειμῶνος*] Ol. 88, 2. (427.) Oct. desinente.
88. *Κνιδίων ἄποικοι*] Lipara condita Ol. 50. (580.) v. Od. Muell. Dor. 1. p. 124. 2. p. 493.
89. *τοῦ δ' ἐπιγιγνομένου θέρους*] Ol. 88, $\frac{2}{3}$. (426.) post 13. Apr.
90. *τοῦ δ' αὐτοῦ θέρους*] Ol. 88, $\frac{2}{3}$. (426.)
91. *τοῦ δ' αὐτοῦ θέρους*] v. cap. 90. Ad idem tempus referuntur c. 92. 94. 99. 100.
103. *τοῦ ἐπιγιγνομένου χειμῶνος*] Ol. 88, 3. (426.) post 7. Oct.
104. *τοῦ δ' αὐτοῦ χειμῶνος*] Eodem tempore. Ad idem tempus refertur c. 105.
115. *τοῦ αὐτοῦ χειμῶνος*] Ol. 88, 3. (425.) post Ian.
τελευτῶντος τοῦ χειμῶνος] Ol. 88, 3. (425.) m. Mart.

ARGUMENTUM LIBRI QUARTI.

Messanam Syracusani et Locri ad defectionem ab Atheniensibus permovent, terram Rheginorum Locri depopulantur 1. Peloponnesii in Atticam incurrunt, Athenienses navigantes in Siciliam Pylum communiunt 2—6. Eiona, Mendaeorum coloniam, Simonides Atheniensis capit, mox rursus expellitur 7. Lacedaemonii Pylum aggressi reiiciuntur, et qui ex illis in Sphacteriam traiecerunt, intercipiuntur 8—14. Oratio Demosthenis 10. Induciae fiunt circa Pylum et incassum transactiones de pace 15—22. Induciae propter Pylum 16. Oratio Lacedaemoniorum 17—20. Induciae rumpuntur; iniustitia Atheniensium; de Pylo vi certatur 23. Res in Sicilia gestae 24. 25. Sphacteria post laboriosam obsidionem a Cleone et Demosthene vi capitur 26—39. Res post captam Pylum gestae 40. 41. Atheniensium expeditio in Corinthiam Nicia duce 42—45. In Corcyra exules, qui Istonen occupaverant, capiuntur et caeduntur 46—48. Anactorium capitur ab Atheniensibus et Acarnanibus 49. Artaphernem cum Regis literis Lacedaemona iter facientem Athenienses comprehendunt. Obitus Artaxerxis 50. Chii moenia deiiciunt 51. Mytilenaeorum exules primo Rhoeteum, deinde Antandrum expugnant 52. Atheniensium expeditio Cythera 53. 54. Lacedaemoniorum apparatus et consternatio 55. Atheniensium Thyream adversus ibi habitantes Aeginetas expeditio 56. 57. Sicilienses pacto inter se inito Athenienses dimittunt 58—65. Oratio Hermocratis 59—64. Atheniensium expeditio in Megarenses, in qua Nisaeam et longos muros capiunt, ipsa enim Megara Brasidas servat 66—74. Antandrus ab Atheniensibus expugnatur. Lamachi adversae res in Ponto 75. Cum Hippocrate et Demosthene a Boeotis quibusdam imperio populari studentibus clam transigitur 76. 77. Brasidae iter in terras Thraciae adiacentes 78—82. Quo postquam pervenit primo contra Arrhibaeum pugnat 83, deinde in Acanthum 84—88. Concio Brasidae Acanthi 85—87. Pugna ad Delium et Delii expugnatio 89—101. Adhortatio Pagondae 92. Admonitio Hippocratis 93. Brasidas proficiscitur adversus Amphipolin, quam capit, auso Eionem expugnandi per Thucydidem excidit 102—108. Megarenses longos muros evertunt; Brasidas, expeditione in Acten facta, plurima eius oppida subiicit 109. Brasidas in Toronen profectus tum urbem, tum Lecythum castellum expugnat 110—116. Induciae annuae Lacedaemoniorum et Atheniensium 117—119. Scione deficit ad Brasidam, de qua Lacedaemonii cum Atheniensibus discordant 120—122. Mende quoque desciscit; apparatus utrimque 123. Brasidae et Perdiccae altera contra Arrhibaeum expeditio, in qua Brasidas extremum periculum incurrit 124—128. Athenienses Mendam recipiunt, Scionen obsidione claudunt 129—131. Perdiccae pactum cum Atheniensibus, Ischagoras subsidia Brasidae adducere non valet 132. Thebani Thespiensium moenia deiiciunt, templum Iunonis Argivae incendio deletur 133. Mantinensium et Tegeatarum pugna in campo Laodicio 134. Brasidas Potidaeam tentat 135.

Δ.

Τοῦ δ' ἐπιγιγνομένου θέρους περὶ σίτου ἐκβολὴν Συρακοσίων 1
δέκα νῆες πλεύσασαι καὶ Λοκρίδες ἴσαι Μεσσήνην τὴν ἐν Σικελίᾳ κατέλαβον, αὐτῶν ἐπαγαγομένων, καὶ ἀπέστη Μεσσήνη Ἀθηναίων. ἔπραξαν δὲ τοῦτο μάλιστα οἱ μὲν Συρακόσιοι ὁρῶντες προσβολὴν ἔχον τὸ χωρίον τῆς Σικελίας καὶ φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐξ αὐτοῦ ὁρμώμενοί ποτε σφίσι μείζονι παρασκευῇ ἐπέλθωσιν, οἱ δὲ Λοκροὶ κατὰ ἔχθος τὸ Ῥηγίνων, βουλόμενοι ἀμφοτέρωθεν αὐτοὺς καταπολεμεῖν. καὶ ἐσεβεβλήκεσαν ἅμα ἐς τὴν Ῥηγίνων οἱ Λοκροὶ πανστρατιᾷ, ἵνα μὴ ἐπιβοηθῶσι τοῖς Μεσσηνίοις, ἅμα δὲ καὶ ξυνεπαγόντων Ῥηγίνων φυγάδων, οἳ ἦσαν παρ' αὐτοῖς· τὸ γὰρ Ῥήγιον ἐπὶ πολὺν χρόνον ἐστασίαζε καὶ ἀδύνατα ἦν ἐν τῷ παρόντι τοὺς Λοκροὺς ἀμύνεσθαι, ἢ καὶ μᾶλλον ἐπετίθεντο. δηώσαντες δὲ οἱ μὲν Λοκροὶ τῷ πεζῷ ἀπεχώρησαν, αἱ δὲ νῆες Μεσσήνην ἐφρούρουν· καὶ ἄλλαι αἱ πληρούμεναι ἔμελλον αὐτόσε ἐγκαθορμισάμεναι τὸν πόλεμον ἐντεῦθεν ποιήσεσθαι.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος πρὶν τὸν σῖτον ἐν 2
ἀκμῇ εἶναι Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐσέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς· καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν. Ἀθηναῖοι δὲ τάς τε τεσσαράκοντα ναῦς ἐς Σικελίαν ἀπέστειλαν, ὥσπερ παρεσκευάζοντο, καὶ στρατηγοὺς τοὺς ὑπολοίπους Εὐρυμέδοντα καὶ Σοφοκλέα· Πυθόδωρος γὰρ ὁ τρίτος αὐτῶν ἤδη προαφῖκτο ἐς Σικελίαν. εἶπον δὲ τούτοις καὶ Κερκυραίων ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, οἳ ἐληστεύοντο ὑπὸ τῶν ἐν τῷ ὄρει φυγάδων· καὶ Πελοποννησίων αὐτόσε νῆες ἑξήκοντα παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροί, καὶ λιμοῦ ὄντος μεγάλου ἐν τῇ πόλει νομίζοντες κατασχήσειν ῥᾳδίως τὰ πράγματα. Δημοσθένει δὲ

1. *περὶ σίτου ἐκβολήν*] i. e. um die Zeit, da das Getraide im Schossen ist, Stengel oder Halme bekömmt. Veteres Grammatici (Schol. Suidas in *σίτου*, Photius, Eustath. ad Od. 1. p. 1405. Rom., Pollux 1, 61. al.) et pars interpretum recentiorum, velut Bloomf. Arn. al. *σίτου ἐκβολὴν* et *ἀκμὴν* confundunt. Vid. adn. ad 2, 19. Mox *αὐτῶν ἐπαγομένων* redit ad Messenios, quod nomen latet in praegresso *Μεσσήνην*. Et *προσβολὴν ἔχον* idem est, quod *προσόρμισιν, ἔφοδον* (Siciliae) *παρέχον*. Vid. Thuc. 4, 53. 6, 48. 7, 4. Dein *ἀμφοτέρωθεν* intellige *e terra sua*, Locride, *et simul maritimis opibus* proficiscentes Messana.

ὄντι ἰδιώτῃ μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ Ἀκαρνανίας αὐτῷ δεηθέντι εἶπον χρῆσθαι ταῖς ναυσὶ ταύταις, ἣν βούληται, περὶ τὴν Πελοπόννησον. καὶ ὡς ἐγένοντο πλέοντες κατὰ τὴν Λακωνικὴν καὶ ἐπυνθάνοντο ὅτι αἱ νῆες ἐν Κερκύρᾳ ἤδη εἰσὶ τῶν Πελοποννησίων, ὁ μὲν Εὐρυμέδων καὶ Σοφοκλῆς ἠπείγοντο ἐς τὴν Κέρκυραν, ὁ δὲ Δημοσθένης ἐς τὴν Πύλον πρῶτον ἐκέλευε σχόντας αὐτοὺς καὶ πράξαντας ἃ δεῖ τὸν πλοῦν ποιεῖσθαι· ἀντιλεγόντων δὲ κατὰ τύχην χειμὼν ἐπιγενόμενος κατήνεγκε τὰς ναῦς ἐς τὴν Πύλον. καὶ ὁ Δημοσθένης εὐθὺς ἠξίου τειχίζεσθαι τὸ χωρίον, ἐπὶ τούτῳ γὰρ ξυνεκπλεῦσαι, καὶ ἀπέφαινε πολλὴν εὐπορίαν ξύλων τε καὶ λίθων, καὶ φύσει καρτερὸν ὂν καὶ ἐρῆμον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας· ἀπέχει γὰρ σταδίους μάλιστα ἡ Πύλος τῆς Σπάρτης τετρακοσίους, καὶ ἔστιν ἐν τῇ Μεσσηνίᾳ ποτὲ οὖση γῇ. καλοῦσι δὲ αὐτὴν οἱ Λακεδαιμόνιοι Κορυφάσιον. οἱ δὲ πολλὰς ἔφασαν εἶναι ἄκρας ἐρήμους τῆς Πελοποννήσου, ἣν βούληται καταλαμβάνων τὴν πόλιν δαπανᾶν. τῷ δὲ διάφορόν τι ἐδόκει εἶναι τοῦτο τὸ χω-

2. *ταῖς ναυσὶ ταύταις*] Insignes sunt errores Scholiastae ad Aristoph. Equ. 55., dum scribit de Demosthene: *ἀποσταλεὶς ἐς Σικελίαν διὰ τὸν αὐτόθι πόλεμον*, et dum *Πύλον* confundit cum *Πύλαις*, ubi Leonidas cecidit, et dum Leonidam Macedonum et Lacedaemoniorum regem facit, ubi tamen librarii lapsus subesse videtur.

3. *ἐπὶ πολὺ τῆς χώρας*] i. e. *πολλὴν, μεγάλην μοῖραν τῆς χώρας.* v. Lys. in Agorat. ap. Matth. p. 596 sq. et alia ibidem exempla. Mox *γάρ* in *ἀπέχει γάρ* spectat ad *ἐρημίαν πολλὴν τῆς χώρας*, ut Haack. adnotavit. Utrum vero urbem an promontorium, in quo urbs sita erat, nomine Coryphasii Spartani appellarint, dubium est. „Non Pylum, sed illam partem agri Messeniaci, in qua Pylus sita est. Ita Holst. ad Steph. v. *Πύλος*. Etiam Pausan. Messen. c. 36. promontorium vocat Coryphasium, et in eo Pylum sitam esse dicit. Et Ptolemaeus p. 89. Pylum a promontorio Coryphasio distinguit. Item Strab. 8. p. 348. et Steph. in *Κορυφάσιον*. Idem tamen v. *Πύλος*: *Πύλος πόλις ἐν Μεσσήνῃ· ἐκαλεῖτο δὲ Κορυφάσιον.* Et Schol. ad Thuc. 5, 18. Coryphasium exponit Pylum. Non necessaria quidem videri possit ista interpretatio, nam ibi nomine Coryphasii, quod restitui Lacedaemoniis inter eos et Athenienses convenerat, contineri potest Pylus, quae erat in promontorio Coryphasio. Sed confirmat quodammodo Scholiastae interpretationem ipse Thuc., qui deinde c. 35. scribit, Athenienses Lacedaemoniis ex legibus pacis Pylum reddere noluisse. Casaub. quoque ad Strab. 8. p. 359. verba haec Thucydidis *καλοῦσι δὲ αὐτήν* non ad proxime praecedentia *ἐν τῇ Μεσσηνίων γῇ*, sed ad ipsam Pylum refert, quam quia Strabo sub Coryphasio fuisse dicit, ideo ipsam etiam Coryphasium dictam putat.“ Duk. Restitui Lacedaemoniis non tantum urbem, sed etiam agrum urbis usque ad Buphradem et Tomea inter eos et Athenienses convenerat. Vid. 4, 118. Verius itaque videtur, Coryphasium intelligere modo agrum, modo urbem, sed ubi de cedendo Coryphasio agitur, certe Coryphasium et urbem et agrum significat.

τὴν πόλιν δαπανᾶν] Suidas in v. *δαπ.*: *Θουκυδίδης δὲ τὴν πόλιν δαπανᾶν φησιν ἀντὶ τοῦ εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν.* Male, nam *πόλιν* est accusativus subiecti. Dein satis erat scribere *διάφορον* sine *μᾶλλον*, nunc hoc adiecit, quasi praecessisset *ἐπιτήδειον* vel si-

ρίον ἑτέρου μᾶλλον, λιμένος τε προσόντος, καὶ τοὺς Μεσσηνίους οἰκείους ὄντας αὐτῷ τὸ ἀρχαῖον καὶ ὁμοφώνους τοῖς Λακεδαιμονίοις πλεῖστ' ἂν βλάπτειν ἐξ αὐτοῦ ὁρμωμένους καὶ βεβαίους ἅμα τοῦ χωρίου φύλακας ἔσεσθαι. ὡς δὲ οὐκ ἔπειθεν οὔτε τοὺς στρατηγοὺς οὔτε τοὺς στρατιώτας, ὕστερον καὶ τοῖς ταξιάρχοις κοινώσας ἡσύχαζεν, ὑπὸ ἀπλοίας μέχρι αὐτοῖς τοῖς

mile quid. Et accusativum *τοὺς Μεσσηνίους* Matth. p. 1057. pendere facit ab *ἐδόκει*, mihi propter *τε* in *λιμένος τε προσόντος* et propter sequens *καί* magis altera rationum, cur Demostheni Pylus potior locus ad Spartanos infestandos visa fuerit, his verbis: *καὶ τοὺς Μεσσηνίους — ἔσεσθαι* contineri videtur, quam accusativus ille pendere ab *ἐδόκει*. Accusativus *τοὺς Μεσσηνίους* pendet ab omisso *ἔφη*, quod in oratione indirecta cogitari solere, utpote tota orationis conformatione satis indicatum, inter omnes constat: eines Theils, weil ein Hafen dabei war, und andern Theils *sagte er*, die Messenier würden etc. Denique *αὐτῷ* in verbis *οἰκείους ὄντας αὐτῷ* Schol. observat, alios referre ad Demosthenem, alios ad *χωρίον*, quod praecessit: *οἱ γὰρ μετὰ τοῦ Δημοσθένους ἐληλυθότες ἐκ Ναυπάκτου Μεσσήνιοι συγγενεῖς ὄντες τοὶς περὶ τὴν Πύλον οἰκοῦσι Μεσσηνίοις καὶ ὁμόφωνοι τοῖς Λακεδαιμονίοις τυγχάνοντες ἔμελλον ὁρμώμενοι ἐκ τῆς Πύλου πλεῖστα βλάπτειν τὴν Λακωνικὴν, οὐ διαγιγνωσκόμενοι διὰ τὴν ὁμοφωνίαν, εἴτε πολέμιοί εἰσιν εἴτε οἰκεῖοι.* Verius interpretantur, opinor, hi, qui pronomen ad *χωρίον* referunt, propter *τὸ ἀρχαῖον*, von uralter Zeit her. Quod ad Demosthenem non aptum est. Ceterum quod attinet ad Scholiastae verba *οἱ μετὰ Δ. ἐληλυθότες ἐκ Ναυπάκτου Μεσσήνιοι*, Duk. negat liquere, Demosthenem Messenios a Naupacto secum adduxisse, eos enim postea demum ad illum venisse intelligi ex cap. 9. et 32.

4. *τοῖς ταξιάρχοις*] Alii libri *τοῖς ταξιάρχαις*. Prior forma antiquior est. v. Wyttenb. Ecll. Hist. p. 397. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 223. Vol. 2. p. 207. Et nomina ex *ἄρχειν* facta, quae apud alios modo secundae modo primae declinationis sunt, apud Thuc. semper in *αρχος* desinere, demonstravit Popp. 1, 1. p. 220.

κοινώσας] Moeris docet, *ἀνακοινῶσαι* Atticum et Thucydideum esse, et affert verba tamquam ex eius libris allata *ἀνακοίνωσον τοῖς φίλοις*. Sed *ἀνακοινῶσαι* frustra apud hunc scriptorem quaesiveris, et videntur verba ab eo adscripta particula senarii esse. Mox cum Poppone distinxi *ἡσύχαζεν, ὑπὸ ἀπλοίας*, quum vulgo comma post *ἀπλοίας* ponatur. Nam mare quietum non effecit, ut quiesceret, sed potius ut quod vellet, consequeretur. Vulgatam distinctionem Bred. ita tuetur: Demosthenem otiosum ibi sedisse, quoniam per tempestatem navigare non licuerit, alias enim nihilominus navigaturum fuisse. Sed verbum *ἡσυχάζειν* videtur aliud, quam commorationem significare, videlicet eum non amplius institisse, ut Pylum munirent. Num enim Demosthenes solus otiosus sedebat, quidve non *ἡσύχαζον* legimus? Et *ὑπὸ ἀπλοίας* ante *μέχρι* consulto posuit contrarie positorum causa: sensus enim hic est: *ὑπὸ ἀπλοίας μέχρι αὐτοῖς ὁρμὴ ἐπέπεσε καὶ οὐχ ὑπὸ Δημοσθένους.* Porro *περισιᾶσιν* dedi ex emend. Reiskii, vulgo *περὶ στάσιν*. Sensus est *mutata sententia*. Et *λογάδην* Suidas explicat *ἐπιλέκτως*, Schol. *ἐκλελεγμένους λίθους*, addens *οἱ μὲν τοὺς ἐπιτυχόντας ἤκουσαν, ἄμεινον δὲ τοὺς ἐπιλέκτους, ὡς καὶ ἄνδρας λογάδας. τειχοποιοῦντες γὰρ ἄνευ σιδηρίων οὐκ ἔμελλον τοὺς τυχόντας συνθήσειν λίθους, ὥστε ἀσθενὲς ἐργάσασθαι τὸ τεῖχος, ἀλλ' ἐπελέγοντο ὁμοίους τοῖς εἰργασμένοις, τουτέστι τετραπέδους.* Conf. 6, 66. *λίθοις λογάδην — ὠρθωσαν*, ubi iterum Schol. *ὅτι λογάδας ἐν τῇ τετάρτῃ λί-*

στρατιώταις σχολάζουσιν ὁρμὴ ἐπέπεσε περιστᾶσιν ἐκτειχίσαι τὸ χωρίον. καὶ ἐγχειρήσαντες εἰργάζοντο, σιδήρια μὲν λιθουργὰ οὐκ ἔχοντες, λογάδην δὲ φέροντες λίθους, καὶ ξυνετίθεσαν ὡς ἕκαστόν τι ξυμβαίνοι· καὶ τὸν πηλόν, εἴπου δέοι χρῆσθαι, ἀγγείων ἀπορίᾳ ἐπὶ τοῦ νώτου ἔφερον ἐγκεκυφότες τε, ὡς μάλιστα μέλλοι ἐπιμένειν, καὶ τῷ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀποπίπτοι. παντί τε τρόπῳ ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι πρὶν ἐπιβοηθῆσαι· τὸ γὰρ πλέον τοῦ χωρίου αὐτὸ καρτερὸν ὑπῆρχε καὶ οὐδὲν ἔδει τείχους.

5 Οἱ δὲ ἑορτήν τινα ἔτυχον ἄγοντες καὶ ἅμα πυνθανόμενοι ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς ὅταν ἐξέλθωσιν, ἢ οὐχ ὑπομενοῦντας σφᾶς ἢ ῥᾳδίως ληψόμενοι βίᾳ· καί τι καὶ αὐτοὺς ὁ στρατὸς ἔτι ἐν ταῖς Ἀθήναις ὢν ἐπέσχε. τειχίσαντες δὲ οἱ Ἀθηναῖοι τοῦ χωρίου τὰ πρὸς ἤπειρον καὶ ἃ μάλιστα ἔδει ἐν ἡμέραις ἓξ τὸν μὲν Δημοσθένην μετὰ νεῶν πέντε αὐτοῦ φύλακα καταλείπουσι, ταῖς δὲ πλείοσι ναυσὶ τὸν ἐς τὴν Κέρκυραν πλοῦν καὶ Σικελίαν ἠπείγοντο.

6 Οἱ δ' ἐν τῇ Ἀττικῇ ὄντες Πελοποννήσιοι ὡς ἐπύθοντο τῆς Πύλου κατειλημμένης, ἀνεχώρουν κατὰ τάχος ἐπ' οἴκου, νομίζοντες μὲν οἱ Λακεδαιμόνιοι καὶ Ἄγις ὁ βασιλεὺς οἰκεῖον σφίσι τὸ περὶ τὴν Πύλον· ἅμα δὲ πρωὶ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς, χειμών τε ἐπιγενόμενος μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν ἐπίεσε τὸ στράτευμα. ὥστε πολλαχόθεν ξυνέβη ἀναχωρῆσαί τε θᾶσσον αὐτοὺς καὶ βραχυτάτην γενέσθαι τὴν ἐσβολὴν ταύτην· ἡμέρας γὰρ πεντεκαίδεκα ἔμειναν ἐν τῇ Ἀττικῇ.

7 Κατὰ δὲ τὸν αὐτὸν χρόνον Σιμωνίδης Ἀθηναίων στρατηγὸς Ἠιόνα τὴν ἐπὶ Θράκης Μενδαίων ἀποικίαν, πολεμίαν δὲ οὖσαν, ξυλλέξας Ἀθηναίους τε ὀλίγους ἐκ τῶν φρουρίων καὶ τῶν

γει λίθους τοὺς ἐπιλέκτους καὶ οὐ τοὺς ἐπιτυχόντας, δῆλον ἐντεῦθεν. Adde 3, 31. Recte igitur Heilm.» so suchten sie nur die besten aus und legten solche zusammen, wie sie am besten passten. Et ὡς ξυμβαίνοι est ὡς ἕκαστα ἔμελλον συναρμόσεσθαι καὶ συμφωνήσειν πρὸς ἀλλήλους. Denique πηλός est *mortarium* (Mörtel), ut 1, 93. A mille hominibus hoc tumultuarium opus confectum esse, ex h. l. memorat Themist. p. 138. A. Putavit igitur, homines quinque triremium Demosthenis operam navasse, et singulis triremibus ducentos homines tribuit (v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 298 sq.). „Verum si animum ad verba scriptoris attendisset, totum opus vidisset profligatum esse non per quinque, sed quadraginta triremium homines.“ Bloomf. Vid. cap. 5. extr.

5. ὡς — οὐχ ὑπομενοῦντας] v. Buttm. Gr. §. 145. adn. 5. (ed. 13.) et de nominativo ληψόμενοι Matth. p. 1121. 1.

6. τῆς Πύλου] v. Matth. p. 659. adn. 2. Mox χειμὼν est hyems (ein später Winter), non spurca tempestas, pluvia ventisque importuna. Dicit enim παρὰ τὴν καθεστηκυῖαν ὥραν, eine strengere Kälte, als man von der Jahreszeit (m. Mai.) hätte erwarten sollen.

ἐκείνῃ ξυμμάχων πλῆθος προδιδομένην κατέλαβε. καὶ παραχρῆμα ἐπιβοηθησάντων Χαλκιδέων καὶ Βοττιαίων ἐξεκρούσθη τε καὶ ἀπέβαλε πολλοὺς τῶν στρατιωτῶν.

8 Ἀναχωρησάντων δὲ τῶν ἐκ τῆς Ἀττικῆς Πελοποννησίων οἱ Σπαρτιᾶται αὐτοὶ μὲν καὶ οἱ ἐγγύτατα τῶν περιοίκων εὐθὺς ἐβοήθουν ἐπὶ τὴν Πύλον, τῶν δὲ ἄλλων Λακεδαιμονίων βραδυτέρα ἐγίγνετο ἡ ἔφοδος ἄρτι ἀφιγμένων ἀφ' ἑτέρας στρατείας. περιήγγελλον δὲ καὶ κατὰ τὴν Πελοπόννησον βοηθεῖν ὅτι τάχιστα ἐπὶ Πύλον καὶ ἐπὶ τὰς ἐν τῇ Κερκύρᾳ ναῦς σφῶν τὰς ἑξήκοντα ἔπεμψαν, αἳ ὑπερενεχθεῖσαι τὸν Λευκαδίων ἰσθμὸν καὶ λαθοῦσαι τὰς ἐν Ζακύνθῳ Ἀττικὰς ναῦς ἀφικνοῦνται ἐπὶ Πύλον· παρῆν δὲ ἤδη καὶ ὁ πεζὸς στρατός. Δημοσθένης δὲ προσπλεόντων ἔτι τῶν Πελοποννησίων ὑπεκπέμπει φθάσας δύο ναῦς ἀγγεῖλαι Εὐρυμέδοντι καὶ τοῖς ἐν ταῖς ναυσὶν ἐν Ζακύνθῳ Ἀθηναίοις παρεῖναι ὡς τοῦ χωρίου κινδυνεύοντος. καὶ αἱ μὲν νῆες κατὰ τάχος ἔπλεον κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους· οἱ δὲ Λακεδαιμόνιοι παρεσκευάζοντο ὡς τῷ τειχίσματι προσβα-

φοράν esse possit *infligere*, *irrogare infortunium*, sic tamen non πρὸ αἰσχροῦ τινος dicendum erat, sed ἄνευ αἰσχροῦ τινος. Et exemplum, quod probandae significationis causa, quam modo memoravi, Arn. attulit, Xen. Venat. 10, 8. εἰς τοῦτον τὴν ὀργὴν καιέσθαι significare videtur: an diesem liess er seinen Zorn ausgehen (quasi dicas *in hoc iram deposuit* i. e. iram explevit). De verbis ὁποτέρων ἀρξάντων v. Matth. p. 1118. Paulo post ἡμῶν — καὶ ὑμῶν genitivi absoluti sunt, pro accusativis, quos sequens verbum postulat. Denique τὰ μέγιστα τιμήσει idem est, ac si dixisset (ut verbis Livii 36, 30. dicam), *quodcunque egerimus, ratum civitates Graecae habiturae sunt.* Euphemismum subesse recte observavit Bloomf. pro *domini erimus Graecorum nostro arbitrio obnoxiorum.* Verum ita sine illo euphemismo Spartanis palam loqui non licitum erat propter socios liberos, qui se Graeciae liberatores, ut profitebantur, ultro sequerentur.

21. δημαγωγός] De vi huius nominis Wachsm. Antt. Gr. 1, 2. p. 25, 15. agit. Deinde alias Graeci dicunt (ut Suidas docet) πιθανοὺς τοὺς εὐπειθεῖς, at hic πιθανώτατος est, ut ait Photius, ὁ πείθων τοὺς ἄλλους, non secus atque alibi (ut item Suidas monet), φοβερούς a communi usu recedens Thuc. dixit τοὺς φοβουμένους. Vid. Albert. in Miscc. Crit. p. 285.

ἀπὸ τῆς προτέρας ξυμβάσεως] vid. 1, 115.

ὁπόσον ἂν δοκῇ χρόνον ἀμφοτέροις. οἱ δὲ πρὸς μὲν τὴν ἀπό- 22
κρισιν οὐδὲν ἀντεῖπον, ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι οἵτινες λέγοντες καὶ ἀκούοντες περὶ ἑκάστου ξυμβήσονται κατὰ ἡσυχίαν ὅ,τι ἂν πείθωσιν ἀλλήλους. Κλέων δὲ ἐνταῦθα δὴ πολὺς ἐνέκειτο, λέγων γιγνώσκειν μὲν καὶ πρότερον οὐδὲν ἐν νῷ ἔχοντας δίκαιον αὐτούς, σαφὲς δ' εἶναι καὶ νῦν, οἵτινες τῷ μὲν πλήθει οὐδὲν ἐθέλουσιν εἰπεῖν, ὀλίγοις δὲ ἀνδράσι ξύνεδροι βούλονται γίγνεσθαι· ἀλλὰ εἴ τι ὑγιὲς διανοοῦνται, λέγειν ἐκέλευσεν ἅπασιν. ὁρῶντες δὲ οἱ Λακεδαιμόνιοι οὔτε σφίσιν οἷόν τε ὂν ἐν πλήθει εἰπεῖν, εἴ τι καὶ ὑπὸ τῆς ξυμφορᾶς ἐδόκει αὐτοῖς ξυγχωρεῖν, μὴ ἐς τοὺς ξυμμάχους διαβληθῶσιν εἰπόντες καὶ οὐ τυχόντες, οὔτε τοὺς Ἀθηναίους ἐπὶ μετρίοις ποιήσοντας ἃ προὐκαλοῦντο, ἀνεχώρησαν ἐκ τῶν Ἀθηνῶν ἄπρακτοι. ἀφι- 23
κομένων δὲ αὐτῶν διελύοντο εὐθὺς αἱ σπονδαὶ αἱ περὶ Πύλον, καὶ τὰς ναῦς οἱ Λακεδαιμόνιοι ἀπῄτουν, καθάπερ ξυνέκειτο· οἱ δ' Ἀθηναῖοι ἐγκλήματα ἔχοντες ἐπιδρομήν τε τῷ τειχίσματι παράσπονδον καὶ ἄλλα οὐκ ἀξιόλογα δοκοῦντα εἶναι οὐκ ἀπεδίδοσαν, ἰσχυριζόμενοι ὅτι δὴ εἴρητο, ἐὰν καὶ ὁτιοῦν παραβαθῇ, λελύσθαι τὰς σπονδάς. οἱ δὲ Λακεδαιμόνιοι ἀντέλεγόν τε καὶ ἀδίκημα ἐπικαλέσαντες τὸ τῶν νεῶν ἀπελθόντες ἐς πόλεμον καθίσταντο. καὶ τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο, Ἀθηναῖοι μὲν δυοῖν ἐναντίαιν ἀεὶ τὴν νῆσον περιπλέοντες τῆς ἡμέρας, τῆς δὲ νυκτὸς καὶ ἅπασαι περιώρμουν, πλὴν τὰ πρὸς τὸ πέλαγος, ὁπότε ἄνεμος εἴη· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς εἴκοσι νῆες ἀφίκοντο ἐς τὴν φυλακήν, ὥστε αἱ πᾶσαι ἑβδομήκοντα ἐγένοντο· Πελοποννήσιοι δὲ ἐν τῇ ἠπείρῳ στρατοπεδευόμενοι, καὶ προσβολὰς ποιούμενοι τῷ τείχει, σκοποῦντες καιρὸν εἴ τις παραπέσοι ὥστε τοὺς ἄνδρας σῶσαι.

Ἐν τούτῳ δὲ οἱ ἐν τῇ Σικελίᾳ Συρακόσιοι καὶ οἱ ξύμμαχοι 24
πρὸς ταῖς ἐν Μεσσήνῃ φρουρούσαις νανσὶ τὸ ἄλλο ναυτικὸν ᾧ παρεσκευάζοντο προσκομίσαντες τὸν πόλεμον ἐποιοῦντο ἐκ τῆς Μεσσήνης. καὶ μάλιστα ἐνῆγον οἱ Λοκροὶ τῶν Ῥηγίνων κατὰ

22. ξύνεδροι] v. Od. Muell. Dor. 2. p. 187 sq. Mox „futurum simplex ξυμβήσονται est pro futuri periphrastici tempore imperfecto, ut 8, 1. οἵτινες προβουλεύσουσι, ubi pronomen relativum item structuram particulae ὅπως sequitur.“ Popp. De locutione πολὺς ἐνέκειτο agunt Schaef. Appar. Cr. Demosth. Vol. 2. p. 203. Wessel. ad Diod. 16, 85. Wyttenb. ad Plut. Moral. 1. p. 267. sic Sallust. Jug. 84. *multus instabat.* Mox in libris inepte εἴτε καί, quum οὔτε — οὔτε inter se respondeant. Emendavit Popp.

23. Ἀθηναῖοι μὲν — Πελοποννήσιοι δέ] Saepissime participium in nominativo ponitur, ita ut scriptor verbum ei accommodatum vel praecessisse putet, ut hic, vel subiicere in mente habeat, pro quo deinde structura mutata aliud dictionis genus infertur. Itaque h. l. structuram ita continuavit, quasi antea scripsisset τὰ περὶ Πύλον ἀμφότεροι κατὰ κράτος ἐπολέμουν. Mox περιορμεῖν, ut ait Pollux 1, 122., est τὸ ἐν κύκλῳ περιπλεῖν νῆσον καὶ προσκαθῆσθαι πολιορκητικῶς νήσῳ ἀπὸ νεῶν.

ἔχθραν· καὶ αὐτοὶ δέ ἐσβεβλήκεσαν πανδημεὶ ἐς τὴν γῆν αὐτῶν. καὶ ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο, ὁρῶντες τοῖς Ἀθηναίοις τὰς μὲν παρούσας ὀλίγας ναῦς, ταῖς δὲ πλείοσι καὶ μελλούσαις ἥξειν πυνθανόμενοι τὴν νῆσον πολιορκεῖσθαι. εἰ γὰρ κρατήσειαν τῷ ναυτικῷ, τὸ Ῥήγιον ἤλπιζον πεζῇ τε καὶ ναυσὶν ἐφορμοῦντες ῥᾳδίως χειρώσασθαι, καὶ ἤδη σφῶν ἰσχυρὰ τὰ πράγματα γίγνεσθαι· ξύνεγγυς γὰρ κειμένου τοῦ τε Ῥηγίου ἀκρωτηρίου τῆς Ἰταλίας τῆς τε Μεσσήνης τῆς Σικελίας, τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν καὶ τοῦ πορθμοῦ κρατεῖν. ἔστι δὲ ὁ πορθμὸς ἡ μεταξὺ Ῥηγίου θάλασσα καὶ Μεσσήνης, ἥπερ βραχύτατον Σικελία τῆς ἠπείρου ἀπέχει· καὶ ἔστιν ἡ Χάρυβδις κληθεῖσα τοῦτο, ἣ Ὀδυσσεὺς λέγεται διαπλεῦσαι. διὰ στενότητα δὲ καὶ ἐκ μεγάλων πελαγῶν, τοῦ τε Τυρσηνικοῦ καὶ τοῦ Σικελικοῦ, ἐμπίπτουσα ἡ θάλασσα ἐς αὐτὸ καὶ ῥοώδης οὖσα εἰκότως καλεπὴ ἐνομίσθη. ἐν τούτῳ οὖν τῷ μεταξὺ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶν ὀλίγῳ πλείοσιν ἢ τριάκοντα ἠναγκάσθησαν ὀψὲ τῆς ἡμέρας ναυμαχῆσαι περὶ πλοίου διαπλέοντος, ἀντεπαναγόμενοι πρός τε Ἀθηναίων ναῦς ἑκκαίδεκα καὶ Ῥηγίνας ὀκτώ. καὶ νικηθέντες ὑπὸ τῶν Ἀθηναίων διὰ τάχους ἀπέπλευσαν ὡς ἕκαστοι ἔτυχον ἐς τὰ οἰκεῖα στρατόπεδα, τό τε ἐν τῇ Μεσσήνῃ καὶ ἐν τῷ Ῥηγίῳ, μίαν

24. *βραχύτατον*] Supple *διάστημα*. Nam si neutrum superlativi pro adverbio ponere voluisset, e more Graecorum dixisset *βραχύτατα*, ut monuit Popp. 1, 1. p. 92. Ad *τοῦτο ᾗ* supple *τὸ μέρος τῆς θαλάσσης*. De h. l. dignissimus est, qui legatur, Dorv. Siculis p. 9. „Charybdis appears to be an agitated water of from seventy to ninety fathoms in depth, circling in quick eddies. It is owing probably to the meeting of the harbour and lateral currents with the main one, the latter being forced over in this direction by the opposite point of Pezzo. This agrees in some measure with the relation of Thucydides, who is the only writer of remote antiquity, I remember to have read, who has assigned this danger its true situation, and not exaggerated its effects.“ Smyth. Memoir of Sicily. p. 123 sq. ap. Arn.

25. *τό τε ἐν τῇ Μεσσήνῃ καί*] Olim *τότε*, commate post hanc particulam collocato. Quod saltem ante eam cum Kistem. transponendum erat. Sed potius *τό τε* disiunctim scribendum et altera virgula post *Ῥηγίῳ* figenda cum Reisk. al. Valla nec *τότε*, nec *τό τε* expressit. Et ita emendaverat Poppo Obss. p. 63. adn., quum postea in Addendis ab amico se induci passus est, ut priori sententia mutata scriberet *ἐς τὰ οἰκεῖα στρατόπεδα, τότε ἐν τῇ — Ῥηγίῳ*. Quae si vera scriptura esset, plane inutilia et frustra essent adiecta verba *τότε — Ῥηγίῳ*. Nam quum scriptor iam prius regionem, qua pugnatum est, verbis *ἐν τούτῳ τῷ μεταξύ* initio capitis designaverit, et quum prorsus nulla alia, quam hac ipsa pugna navis illa amitti potuerit, quid potest cogitari ineptius, quam tale additamentum? Retinenda igitur emendatio. Nam quod amicus Popponis obloquitur, a Syracusanis eorumque sociis non satis prudenter factum esse, si vicinis hostibus, a quibus iam victi essent, se separassent, atque aliae naves Messanam, aliae Rhegium abiissent, quod quum nondum cepissent, eos non potuisse ibi tuto loco in statione esse, satis hoc argumentum refellunt verba scri-

ναῦν ἀπολέσαντες· καὶ νὺξ ἐπεγένετο τῷ ἔργῳ. μετὰ δὲ τοῦτο οἱ μὲν Λοκροὶ ἀπῆλθον ἐκ τῆς Ῥηγίνων· ἐπὶ δὲ τὴν Πελωρίδα τῆς Μεσσήνης συλλεγεῖσαι αἱ τῶν Συρακοσίων καὶ ξυμμάχων νῆες ὥρμουν καὶ ὁ πεζὸς αὐτοῖς παρῆν. προσπλεύσαντες δὲ οἱ Ἀθηναῖοι καὶ Ῥηγῖνοι ὁρῶντες τὰς ναῦς κενὰς ἐνέβαλον, καὶ χειρὶ σιδηρᾷ ἐπιβληθείσῃ μίαν ναῦν αὐτοὶ ἀπώλεσαν τῶν ἀνδρῶν ἀποκολυμβησάντων. καὶ μετὰ τοῦτο τῶν Συρακοσίων ἐσβάντων ἐς τὰς ναῦς καὶ παραπλεύντων ἀπὸ κάλω ἐς τὴν

ptoris *διὰ τάχους ἀπέπλευσαν*, *ὡς ἕκαστοι ἔτυχον*, quippe quum tempus non esset, perfugium circumspicere, sed manus hostium quam celerrime effugere.

χειρὶ σιδηρᾷ] Schol. *δηλονότι ὑπὸ τῶν Συρακουσίων ἐπιβληθείσῃ Ἀττικῇ νηΐ. μίαν οὖν ἀπώλεσαν οἱ Ἀθηναῖοι.* Unde sequitur, *αὐτοὶ ἀπώλεσαν* legendum esse, ut est in Cl. (in quo *αὐτοῖς* est in marg.) F. Reg. (G.) cod. Bas. Gr. D. E. Schol. „Laur. *a.*“ Arn. Vulgo *αὐτοῖς*. Scripturam *αὐτοί* Popp. ascivit, his argumentis inductus: „Syracusani atque socii dicuntur victi in castra se recepisse, una navi amissa. Paulo post Syracusanorum et sociorum naves ad Peloridem collectae in statione erant. Quas quum Athenienses vacuas vidissent, impetu facto unam navem hostibus (*αὐτοῖς*) *perdiderunt*. Quod fieri nullo modo potest. Sequuntur enim haec: *καὶ μετὰ τοῦτο τῶν Συρακοσίων ἐμβάντων ἐς τὰς ναῦς — αὖθις προσβαλόντες οἱ Ἀθηναῖοι — ἑτέραν ναῦν ἀπολλύουσιν*. Ubi Port. convertit: *Atheniences alteram navem amiserunt*. Sed qui, quaeso, ii alteram navem amisisse dicantur, quos nondum legimus, nec legemus, si vulgatam *αὐτοῖς* sequimur, una privatos esse? Heilm. igitur verbo *ἀπολλύναι* aliam notionem tribuit, ut sit unbrauchbar machen. At ne ita quidem recte dixeris *ἑτέραν*, quum Syracusani ex hac interpretatione tres naves amisisse dicerentur. Repugnant praeterea, quae statim subiiciuntur: *καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακόσιοι παρεκομίσθησαν ἐς τὸν ἐν τῇ Μεσσήνῃ λιμένα*. Sin dicas, unam navem Syracusanos amisisse, duas iis corruptas esse, ideoque recte habere *ἑτέραν ναῦν*, sane interpretationis regulis non convenit, si verbum *ἀπολλύναι* in eadem orationis serie bis explicamus *corrumpere* et semel (initio capitis) *amittere*. Denique difficultas inest in verbis *προσπλεύσαντες δὲ οἱ Ἀθηναῖοι — ἀποκολυμβησάντων*. Qui enim, si naves Syracusanorum et sociorum vacuae erant, una earum corrumperetur Syracusanis et sociis *τῶν ἀνδρῶν ἀποκολυμβησάντων*?“ Denique multo probabilius est, manum ferream a Syracusanis iniectam esse, quia his solenne fuisse ex hac historia patet, hoc instrumento adversus Atheniensium naves uti, quum Athenienses non tali ope uti solerent, sed *τῷ διεκπλεῖν, περιπλεῖν* et simil. Et manus illa ferrea iniecta est ab litore, in quo Syracusani eorumque socii erant, cuique Athenienses et Rhegini nimis appropinquaverant, ut Bloomf. adnotavit. Recte igitur Schol. hunc ait sensum esse: *ferrea manu iniecta ipsi* (*αὐτοὶ* i. e. Athenienses) *unam navem amiserunt* non cum hominibus, qui in navi fuerant; hi enim enataverant ex hostium manibus. Et mox Athenienses *ἑτέραν ναῦν* amisisse dicuntur, propterea que Syracusani in hac quidem pugna non deterius abiisse, quia Athenienses duas, ipsi autem unam tantum navem amiserant.

ἀπὸ κάλω] Schol. *τῷ λεγομένῳ παρόλκῳ· οἱ γὰρ παρ' αὐτὴν τὴν γῆν πλέοντες οὐ δύνανται ἐρέτειν*. Pollux 1, 113. *ἔπλεομεν ἀπὸ κάλων* et *ἐν χρῷ τῆς γῆς παραπλέοντες, ἐκ κάλων ἕλκοντες τὴν ναῦν.*

Μεσσήνην, αὖθις προσβαλόντες οἱ Ἀθηναῖοι, ἀποσιμωσάντων ἐκείνων καὶ προεμβαλόντων, ἑτέραν ναῦν ἀπολλύουσι. καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακόσιοι παρεκομίσθησαν ἐς τὸν ἐν τῇ Μεσσήνῃ λιμένα. καὶ οἱ μὲν Ἀθηναῖοι, Καμαρίνης ἀγγελθείσης προδίδοσθαι Συρακοσίοις ὑπ' Ἀρχίου καὶ τῶν μετ' αὐτοῦ, ἔπλευσαν ἐκεῖσε· Μεσσήνιοι δ' ἐν τούτῳ πανδημεὶ κατὰ γῆν καὶ ταῖς ναυσὶν ἅμα ἐστράτευσαν ἐπὶ Νάξον τὴν Χαλκιδικὴν ὅμορον οὖσαν. καὶ τῇ πρώτῃ ἡμέρᾳ τειχήρεις ποιήσαντες τοὺς Νάξιους ἐδῄουν τὴν γῆν, τῇ δ' ὑστεραίᾳ ταῖς μὲν ναυσὶ περιπλεύσαντες κατὰ τὸν Ἀκεσίνην ποταμὸν τὴν γῆν ἐδῄουν, τῷ δὲ πεζῷ πρὸς τὴν πόλιν ἐρέβαλλον. ἐν τούτῳ δὲ οἱ Σικελοὶ ὑπὲρ τῶν ἄκρων πολλοὶ κατέβαινον βοηθοῦντες ἐπὶ τοὺς Μεσσηνίους. καὶ οἱ Νάξιοι ὡς εἶδον, θαρσήσαντες καὶ παρακελευόμενοι ἐν ἑαυτοῖς ὡς οἱ Λεοντῖνοι σφίσι καὶ οἱ ἄλλοι Ἕλληνες ξύμμαχοι

Latini *remulco trahere*. Mox Schol. *ἀποσιμωσάντων· ὑπαναχωρησάντων καὶ μετεωρισάντων τὰς ναῦς, ἵνα ἐκ πολλοῦ διαστήματος δυνηθῶσι μετὰ μείζονος ὁρμῆς ἐμβάλλειν τοῖς Ἀθηναίοις.* Motum ergo navibus subito in transversum actis incitabant, et incitatarum rostris naves hostium depressuri petebant. *In transversum agebant* (*ἀπεσίμωσαν*), quia rectae incursioni spatium deerat. Suid. *ἀποσιμῶσαι — τὸ μετεωρίσαι τὰς ναῦς.* Hoc quoque recte, nam illa in transversum actione ab litore profectae naves altum versus ciebantur. Etym. M. *λέγεται καὶ ἐπὶ νεῶν τὸ ἐκ διαστήματος ἐμβάλλειν.* Hoc quoque vere ex iis, quae dixi. Hesych. in v. *ἀπεσίμωσεν* ex emendatione Salmasii: *σίμαι γὰρ αἱ μετέωροι προσαναβάσεις.* Conf. ibidem in *ἀποσιμοῦν*, eadem in v. Etym. M. et Coraen ad Heliod. p. 113. Schneid. Vocab. Gr. s. v. Phavorin. in *ἀποσιμῶσαι* ac *κρόσσαι*, Anecdd. Bekk. 1. p. 434. Bachm. 1. p. 132, 4. Eustath. ad Hom. Il. ξ'. p. 965, 45. Rom. Mox *ἀπολλύουσι* est, „pro quo Matth. Gr. min. 1. p. 394. *ἀπολλύασι* legi vult. Vide tamen, quae contra Moer. Attic. ad 7, 51. 8, 10. 42. disputanda sunt. Addē Zeun. ad Xen. Cyrop. 4, 5, 20.“ Popp. Mox pro *Ἀκεσίνην* D. *Ἀσεκίνην*. Fluvius rectius Acesines an Asines vocetur, dubitat Cluver. S. A. 1, 10. Etenim apud Plinium H. N. 3, 8. est *colonia Tauromenium, quae antea Naxos, flumen Asines.* Hinc Cluver: „In Thucydidis igitur exemplaribus vereor ne corruptum illud sit *Ἀκεσίνης*, quo nomine flumen vocatur Persameniorum in Euphratem defluens ap. Procop. Pers. 1., et item aliud Tauroscytharum ap. Plin. H. N. 4, 12., item Indorum aliud apud eundem Plin. 6, 20.“ Idem addit, quem hic legimus Acesinem, apud Vibium in Catalogo amnium Asinium dici. Mox *ἐξέβαλλον* vitiosum esse videtur; nam *ἐσβάλλειν* Thucydidi nunquam significat *adoriri urbem*, sed *irruptionem facere in terram*, neque unquam cum *πρός* coniungitur. Quare Popp. scribi vult *προσέβαλλον*, quae verba iam 2, 79. confusa sunt.

ἐν ἑαυτοῖς] idem videtur atque *ἐν ἀλλήλοις*. Coraes ad Heliod. p. 7. *ταύτην τὴν χρῆσιν* (*πρὸς ἑαυτούς* quod Heliod. dixit pro *πρὸς ἀλλήλους*) *Ἡσύχιος, Σουΐδας, Ἱερακιανὸς καὶ ἄλλοι πλεῖστοι τῶν Ἀττικῶν εἶναί φασιν. Ὁ μέντοι Εὐστάθιος περὶ αὐτῆς ταῦτα λέγει* (*Ὀδυσσ. ε', 481.*) „*τὸ μὲν γὰρ ἑαυτούς, ὥς φασιν οἱ παλαιοὶ, ἐπὶ τῶν καθ' αὑτὸ λεγομένων τέθειται· οἷον Αἴας καὶ Μενοικεύς, φασιν, ὁ Κρέοντος ἑαυτοὺς ἀνεῖλον, ἤγουν ἑκάτερος ἑαυτόν. τὸ δὲ ἀλλήλους*

ἐς τιμωρίαν ἐπέρχονται, ἐκδραμόντες ἄφνω ἐκ τῆς πόλεως προσπίπτουσι τοῖς Μεσσηνίοις, καὶ τρέψαντες ἀπέκτειναν τε ὑπὲρ χιλίους καὶ οἱ λοιποὶ χαλεπῶς ἀπεχώρησαν ἐπ' οἶκου· καὶ γὰρ οἱ βάρβαροι ἐν ταῖς ὁδοῖς ἐπιπεσόντες τοὺς πλείστους διέφθειραν. καὶ αἱ νῆες σχοῦσαι ἐς τὴν Μεσσήνην ὕστερον ἐπ' οἶκου ἔκασται διεκρίθησαν. Λεοντῖνοι δὲ εὐθὺς καὶ οἱ ξύμμαχοι μετὰ Ἀθηναίων ἐς τὴν Μεσσήνην ὡς κεκακωμένην ἐστράτευον, καὶ προσβάλλοντες οἱ μὲν Ἀθηναῖοι κατὰ τὸν λιμένα ταῖς ναυσὶν ἐπείρων, ὁ δὲ πεζὸς πρὸς τὴν πόλιν. ἐπεκδρομὴν δὲ ποιησάμενοι οἱ Μεσσήνιοι καὶ Λοκρῶν τινες μετὰ τοῦ Δημοτέλους, οἳ μετὰ τὸ πάθος ἐγκατελείφθησαν φρουροί, ἐξαπιναίως προσπεσόντες τρέπουσι τοῦ στρατεύματος τῶν Λεοντίνων τὸ πολὺ καὶ ἀπέκτειναν πολλούς. ἰδόντες δὲ οἱ Ἀθηναῖοι καὶ ἀποβάντες ἀπὸ τῶν νεῶν ἐβοήθουν, καὶ κατεδίωξαν τοὺς Μεσσηνίους πάλιν ἐς τὴν πόλιν, τεταραγμένοις ἐπιγενόμενοι· καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν ἐς τὸ Ῥήγιον. μετὰ δὲ τοῦτο οἱ μὲν ἐν τῇ Σικελίᾳ Ἕλληνες ἄνευ τῶν Ἀθηναίων κατὰ γῆν ἐστράτευον ἐπ' ἀλλήλους.

Ἐν δὲ τῇ Πύλῳ ἔτι ἐπολιόρκουν τοὺς ἐν τῇ νήσῳ Λακε- 26
δαιμονίους οἱ Ἀθηναῖοι καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν Πελοποννησίων κατὰ χώραν ἔμενεν. ἐπίπονος δ' ἦν τοῖς Ἀθηναίοις ἡ φυλακὴ σίτου τε ἀπορίᾳ καὶ ὕδατος· οὐ γὰρ ἦν κρήνη ὅτι μὴ μία ἐν αὐτῇ τῇ ἀκροπόλει τῆς Πύλου καὶ αὕτη οὐ μεγάλη, ἀλλὰ διαμώμενοι τὸν κάχληκα οἱ πλεῖστοι ἐπὶ τῇ θαλάσσῃ

ἐπί τινων συμπεπλεγμένων κεῖται· οἷον οἱ τοῦ Οἰδίποδος παῖδες ἀλλήλους ἀπέκτειναν, ἤτοι ἕτερος τὸν ἕτερον. Μένανδρος οὖν, φασὶν, ἁμαρτάνει, Οὐκ ἠκέσαμεν ἑαυτοῖς· ἐχρῆν γὰρ ἀλλήλοις εἰπεῖν.“ Etym. M. in v. *ἀλλήλους* cum Eustathio consentit. Adde Suidam in *ἀλλήλων*, Phavor. in *ἀλλήλους* et iterum ibidem, ubi vox *ἑαυτῶν*, ait, *ταυτοπάθειαν σημαίνει ἢ ἑτεροπάθειαν· οἷον Αἴας ὁ Τελαμώνιος καὶ Μενοικεὺς ὁ Κρέοντος ἑαυτοὺς ἀπέκτειναν, ἑκάτερος ἑαυτόν· τὸ δὲ ἀλλήλους ἐπὶ τῶν συμπεπλεγμένων* etc. ex Commentariis Eustathii transscripta. Adde Anecdd. Bekk. 1. p. 378. Bachm. 1. p. 69, 12. Suid. in *ἐγεύσαντο*. Eundemque usum explicat Priscian. 18. p. 1172., abusus ille quidem verbis Thuc. 3, 59. De recentioribus hunc usum pronominis tetigerunt Meinek. Rell. Menandr. p. 276. Matth. §. 489. III., qui de loco Thuc. 3, 81. falso iudicat, Heind. ad Plat. Lys. p. 32. ad Parmen. p. 211. Doederl. Lat. Synon. Vol. 3. p. 270. Pergit Coraes: *ἀλλ' εἰ Μένανδρος ἁμαρτάνει, ἥμαρτε δήπου καὶ Θουκυδίδης.* Profert praeterea Soph. Ant. 53. 145. et minus recte praesenti loco delet praepositionem *ἐν*. Repugnant eius emendationi haec: 5, 69. extr. 8, 76. *καὶ παραινέσεις ἐποιοῦντο ἐν σφίσιν* et *ἐν σφίσιν αὐτοῖς τὴν παρακέλευσιν ἐποιοῦντο.*

26. *διαμώμενοι*] Schol. *διακόπτοντες, βούλεται δὲ εἰπεῖν, ὅτι διαστέλλοντες τὸν κάχληκα καὶ βόθρους ἐπὶ τὸν αἰγιαλὸν ποιοῦντες ηὕρισκον ὕδωρ, οἷον ἂν τις εἰς ἀνάγκην πίοι δι' ἄκραν δίψαν.* Zonar. *διαμησάμενος, διορύξας*, addens hoc exemplum: *διαμησάμενος πᾶσαν τὴν τοῦ Ὀλύμπου ἄμμον*, ubi v. Tittm. Suid.: *διαμώμενος, θερίζων· καὶ διαμώμενοι, διασκάπτοντες, ζητοῦντες.*

ἔπινον οἷον εἰκὸς ὕδωρ. στενοχωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο, καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾐροῦντο κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν. ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε παρὰ λόγον ἐπιγιγνόμενος, οὓς ὤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν, ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἁλμυρῷ χρωμένους. αἴτιον δὲ ἦν οἱ Λακεδαιμόνιοι προεἰποντες ἐς τὴν νῆσον ἐσάγειν σῖτόν τε τὸν βουλόμενον ἀληλεμένον καὶ οἶνον καὶ τυρὸν καὶ εἴτι ἄλλο βρῶμα οἷον ἂν ἐς πολιορκίαν ξυμφέρῃ, τάξαντες ἀργυρίου πολλοῦ, καὶ τῶν Εἱλώτων τῷ ἐσαγαγόντι ἐλευθερίαν ὑπισχνούμενοι. καὶ ἐσῆγον ἄλλοι τε παρακινδυνεύοντες καὶ μάλιστα οἱ Εἵλωτες, ἀπαίροντες ἀπὸ τῆς Πελοποννήσου ὁπόθεν τύχοιεν καὶ καταπλέοντες ἔτι νυκτὸς ἐς τὰ πρὸς τὸ πέλαγος τῆς νήσου. μάλιστα δὲ ἐτήρουν ἀνέμῳ καταφέρεσθαι· ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάνθανον, ὁπότε πνεῦμα ἐκ πόντου εἴη· ἄπορον γὰρ ἐγίγνετο περιορμεῖν, τοῖς δὲ ἀφειδὴς ὁ κατάπλους καθεστήκει· ἐπώκελλον γὰρ τὰ πλοῖα τετιμημένα χρημάτων, καὶ οἱ ὁπλῖται περὶ τὰς κατάρσεις τῆς νήσου ἐφύλασσον. ὅσοι δὲ γαλήνῃ κινδυνεύσειαν, ἡλίσκοντο. ἐξένεον δὲ καὶ κατὰ τὸν λιμένα κολυμβηταὶ ὕφυδροι, καλωδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην καὶ λίνου σπέρμα κεκομμένον· ὧν τὸ πρῶτον λανθανόντων φυλακαὶ ὕστερον ἐγένοντο. παντί τε τρόπῳ ἑκάτεροι ἐτεχνῶντο, οἱ μὲν ἐσπέμπειν τὰ σιτία, οἱ δὲ μὴ λανθάνειν σφᾶς.

27 Ἐν δὲ ταῖς Ἀθήναις πυνθανόμενοι περὶ τῆς στρατιᾶς ὅτι ταλαιπωρεῖται καὶ σῖτος τοῖς ἐν τῇ νήσῳ ὅτι ἐσπλεῖ, ἠπόρουν καὶ ἐδεδοίκεσαν μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι, ὁρῶντες τῶν τε ἐπιτηδείων τὴν περὶ τὴν Πελοπόννησον κομιδὴν ἀδύνατον ἐσομένην ἅμα ἐν χωρίῳ ἐρήμῳ καὶ οὐδ' ἐν θέρει οἷοί τε ὄντες ἱκανὰ περιπέμπειν, τόν τε ἔφορμον χωρίων ἁλιμένων ὄντων οὐκ ἐσόμενον, ἀλλ' ἢ σφῶν ἀνέντων τὴν φυλακὴν περιγενήσεσθαι τοὺς ἄνδρας ἢ τοῖς πλοίοις ἃ τὸν σῖτον αὐτοῖς ἥγε χειμῶνα τηρήσαντας ἐκπλεύσεσθαι. πάντων δὲ ἐφοβοῦντο μάλιστα τοὺς Λακεδαιμονίους, ὅτι ἔχοντάς τι ἰσχυρὸν αὐτοὺς ἐνόμιζον οὐκέτι σφίσιν ἐπικηρυκεύεσθαι· καὶ μετεμέλοντο τὰς σπονδὰς οὐ δεξάμενοι. Κλέων δὲ γνοὺς αὐτῶν τὴν ἐς αὐτὸν ὑποψίαν περὶ τῆς κωλύμης τῆς ξυμβάσεως οὐ ταληθῆ ἔφη λέγειν τοὺς ἐξαγγέλλοντας. παραινούντων δὲ τῶν ἀφιγμένων, εἰ μὴ σφίσι πιστεύουσι, κατασκόπους τινὰς πέμψαι, ᾑρέθη κατάσκοπος αὐτὸς μετὰ Θεογένους ὑπὸ Ἀθηναίων. καὶ γνοὺς ὅτι ἀναγκασθήσεται ἢ ταὐτὰ λέγειν οἷς διέβαλλεν ἢ τἀναντία εἰπὼν ψευδὴς φανήσεσθαι, παρῄνει τοῖς Ἀθηναίοις, ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τι τὸ πλέον τῇ γνώμῃ στρατεύειν, ὡς χρὴ κατασκόπους μὲν μὴ πέμπειν μηδὲ διαμέλλειν καιρὸν παριέντας, εἰ δὲ δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι τὰ ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς

Vid. Hemsterh. ad Hesych. v. *διαμώμενοι*, Gosselin. ad Strab. Vol. 1. p. 424. Mox *οὓς ὤοντο* idem est, quod *ὅτι αὐτοὺς ὤοντο*. Porro in verbis *αἴτιον ἦν οἱ Λακεδαιμόνιοι* etc. verbum *ἦν* praedicato accommodatum est, non subiecto. v. Matth. p. 611. Dorv. ad Charit. p. 565. Pro *προεἰπόντες* etc. solennius erat dixisse *αἴτιον ἦν τὸ τοὺς Λακεδαιμονίους προεἰπεῖν*. Arn. confert Liv. 1, 53. *ni degeneratum in aliis huic quoque decori obfecisset.* 4, 59. *pronunciatum repente ne quis praeter armatos violaretur, multitudinem exuit armis.* 7, 22. *tentatum domi per dictatorem ut ambo patricii consules crearentur, rem ad interregnum perduxit.* v. Guenth. in Athenaeo 2, 2. p. 285 sq.

μήκωνα] Schol. *εἶδος βοτάνης ἡ μήκων, ἧς ὁ μὲν ὀπὸς θανάσιμος, ὡς λέγεται, τὸ δὲ σῶμα γλυκύτατον· δύναται δὲ πείνης ἀπαλλάττειν μιγνυμένη μέλιτι.* „Poppy seed mixed with honey. *Papaveris sativi tria genera, candidum, cuius semen tostum in secunda mensa cum melle apud antiquos dabatur.* Plin. H. N. 19, 8. Athenaeus loquitur de pane papaverato i. e. pane consperso ex altera parte papavere, ex altera sesamo. v. Schweigh. et Casaub. ad Athenae. 3, 75. Semina Nigellae Damascenae (Schwarzkümmel) hodieque a Graecis una cum sesamo in eundem usum convertuntur. Vid. Sibthorp. in Walpol. Memoirs Vol. 1. p. 246." Arn. Conf. Billerb. Flor. Class. p. 138. 163.

λίνου σπέρμα] Schol. *τοῦτο δίψης ἀπαλλάττει. θεραπεύει γὰρ αὐτὴν πρὸς ὀλίγον τινὰ καιρόν. ὅθεν καὶ τοῖς πυρέττουσι προσάγεται παρὰ τῶν ἰατρῶν.* Conf. Billerb. l. c. p. 86.

27. *ὁρῶντες — ἐκπλεύσεσθαι*] In his participium *ὄντες* pendet ex *ὁρῶντες*, quae est nota structura verborum sentiendi, videndi, audiendi et similium. Vid. Matth. §. 548 sqq. Post *ὁρῶντες* primo participia *ἐσομένην — ὄντες — ἐσόμενον*, deinde infinitivi *περιγενήσεσθαι — ἐκπλεύσεσθαι* sequuntur. Respondent inter se *τῶν τε ἐπιτηδείων τὴν π. τ. Π. κομιδὴν ἀδύνατον ἐσομένην* et *καὶ οὐδ' ἐν θέρει οἷοί τε ὄντες ἱκανὰ περιπέμπειν*. Verba autem *ἅμα ἐν χωρίῳ ἐρήμῳ* quomodo cum reliquis cohaereant, equidem non intelligo, nisi quod hoc mihi perspicuum videtur, ea suo loco esse post *ἐπιλάβοι*, ut sit *καὶ ἐδεδοίκεσαν μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι ἅμα ἐν χωρίῳ ἐρήμῳ, quum Athenienses comperissent, exercitum suum malis laborare, et commeatus ad illos, qui in insula erant, importari, inopes consilii erant, et verebantur ne hyems praesidium suum simul opprimeret in loco deserto, quia videbant, tum nullam facultatem fore, res ad victum necessarias circa Peloponnesum advehendi, tum ne aestate quidem se satis commeatuum circummittere posse, tum* etc. Dein quod Popp. 1, 1. p. 154. dicit, infinitivum praesentis *ἐπικηρυκεύεσθαι* pro infinitivo futuri esse, non intelligo cur futurum opus sit. Etenim iam tum non mittebant caduceatores pacis agitandae causa. Zonaras: *ἐπικηρυκεύεσθαι, διὰ κήρυκος συνθήκας τινὰς ἢ πρεσβείας ποιεῖσθαι*, ubi v. Tittm. Mox magna pars librorum *Θεογένους*, alii libri *Θεαγένους*. Formam Theagenes praetulit Boeckh. ad Schol. Pind. p. 442., sed illud nomen scriptoris rerum Aegineticarum est. Verum utroque modo scribi, formam per *α* crebrius reperiri, docet Lob. ad Phryn. p. 653. Arn. formam per *ο* profert ex Xen. H. Gr. 1, 3, 13. 2, 3, 2. et ex inscriptione certe bello Peloponnesiaco aetate non posteriori ap. Boeckh. C. I. Vol. 1. p. 298. „Forsan, addit, Theogenes praesentis loci non alius fuerit, quam quem Aristoph. Vesp. 1378. memorat, quae fabula primum acta est tribus modo annis post res ad Sphacteriam gestas." Paulo post scriptor scribendo *φανήσεσθαι* non a scriptura per *ὅτι* ad infinitivum transiit, sed infinitivus cum *ἀναγκασθήσεσθαι* coniungendus est, id quod ratio particularum *ἢ — ἢ* docet, quae h. l. obtinet. Mox Bloomf. probabiliter corrigit *ὑπεσήμαινεν*.

ἄνδρας. καὶ ἐς Νικίαν τὸν Νικηράτου στρατηγὸν ὄντα ἀπεσήμαινεν, ἐχθρὸς ὢν καὶ ἐπιτιμῶν, ῥᾴδιον εἶναι παρασκευῇ, εἰ ἄνδρες εἶεν οἱ στρατηγοί, πλεύσαντας λαβεῖν τοὺς ἐν τῇ νήσῳ,
28 καὶ αὐτός γ' ἄν, εἰ ἦρχε, ποιῆσαι τοῦτο. ὁ δὲ Νικίας τῶν τε Ἀθηναίων τι ὑποθορυβησάντων ἐς τὸν Κλέωνα, ὅτι οὐ καὶ νῦν πλεῖ, εἰ ῥᾴδιόν γε αὐτῷ φαίνεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα, ἐκέλευεν ἥν τινα βούλεται δύναμιν λαβόντα τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν. ὁ δὲ τὸ μὲν πρῶτον οἰόμενος αὐτὸν λόγῳ μόνον ἀφιέναι ἑτοῖμος ἦν, γνοὺς δὲ τῷ ὄντι παραδωσείοντα ἀνεχώρει καὶ οὐκ ἔφη αὐτὸς ἀλλ' ἐκεῖνον στρατηγεῖν· δεδιὼς ἤδη καὶ οὐκ ἂν οἰόμενός οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι· αὖθις δὲ ὁ Νικίας ἐκέλευε καὶ ἐξίστατο τῆς ἐπὶ Πύλῳ ἀρχῆς καὶ μάρτυρας τοὺς Ἀθηναίους ἐποιεῖτο. οἱ δέ, οἷον ὄχλος φιλεῖ ποιεῖν, ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν καὶ ἐξανεχώρει τὰ εἰρημένα, τόσῳ ἐπεκελεύοντο τῷ Νικίᾳ παραδιδόναι τὴν ἀρχὴν καὶ ἐκείνῳ ἐπεβόων πλεῖν. ὥστε οὐκ ἔχων ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν, καὶ παρελθὼν οὔτε φοβεῖσθαι ἔφη Λακεδαιμονίους πλεύσεσθαί τε λαβὼν ἐκ μὲν τῆς πόλεως οὐδένα, Λημνίους δὲ καὶ Ἰμβρίους τοὺς παρόντας καὶ πελταστὰς οἳ ἦσαν ἔκ τε Αἴνου βεβοηθηκότες καὶ ἄλλοθεν τοξότας τετρακοσίους· ταῦτα δὲ ἔχων ἔφη πρὸς τοῖς ἐν Πύλῳ στρατιώταις ἐντὸς ἡμερῶν εἴκοσιν ἢ ἄξειν Λακεδαιμονίους ζῶντας ἢ αὐτοῦ ἀποκτενεῖν. τοῖς δὲ Ἀθηναίοις ἐνέπεσε μέν τι καὶ γέλωτος τῇ κουφολογίᾳ αὐτοῦ, ἀσμένοις δ' ὅμως ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπιζον, ἢ σφαλεῖσι γνώμης Λακεδαιμονίους
29 σφίσι χειρώσασθαι. καὶ πάντα διαπραξάμενος ἐν τῇ ἐκκλησίᾳ,

28. τὸ ἐπὶ σφᾶς εἶναι] v. Matth. p. 572. Mox ἐξανεχώρει Thom. M. p. 320. explicat per ἐκφέρομαι et παραβαίνειν adscriptis his ipsis verbis Thucydidis. Melius Schol. ἀνεδύετο ποιεῖν ἅπερ ὑπέσχετο, ἀπέφευγεν i. e. er wich aus, nahm sein Wort zurück. Bloomf. et Arn. he tried to *back out* of what he had said. Ob structuram cum accusativo Popp. comparat verba ὑποχωρεῖν 2, 88. et ὑπεξέρχεσθαι 3, 34., ubi scriptor imitatus est structuram verborum φεύγειν et ἀποδιδράσκειν. Et τὰ εἰρημένα sunt illa, de quibus est in fine cap. praecedentis, ut Duk. monuit. Porro post οὐκ ἔχων ὅπως futurum solennius est; hic sequitur coniunctivus ἐξαπαλλαγῇ. Coniunctivus tamen legitur etiam 2, 52. 5, 65. In proximis commixtio structurarum est, ut Haack. adnotavit; debebat enim scribere vel καὶ ἐκ τε Αἴνου βεβοηθηκότας πελταστὰς καὶ ἄλλοθεν τοξότας, vel ἔτι δὲ πελταστάς τε, οἳ ἦσαν ἐξ Αἴνου βεβοηθηκότες, καὶ ἄλλοθεν τοξότας.

29. καὶ — διαπραξάμενος] Quod genitivi absoluti (ψηφισαμένων Ἀθηναίων) cum participiis ad subiectum relatis (διαπραξάμενος — προσελόμενος) per copulam καί coniuncti sunt, non ita rarum est apud Graecos. Popp., qui ex Thucydide haec exempla adfert: 1, 65. 4, 100. 5, 116. 7, 67. 8, 106. Vide quos idem citavit 2. Commentt. p. 834 sq. Mox alii libri τὴν ἀγωγήν, alii τὴν ἀναγωγήν. Bekk. con-

καὶ ψηφισαμένων Ἀθηναίων αὐτῷ τὸν πλοῦν, τῶν τε ἐν Πύλῳ στρατηγῶν ἕνα προσελόμενος Δημοσθένην, τὴν ἀγωγὴν διὰ τάχους ἐποιεῖτο. τὸν δὲ Δημοσθένην προσέλαβε πυνθανόμενος τὴν ἀπόβασιν αὐτὸν ἐς τὴν νῆσον διανοεῖσθαι. οἱ γὰρ στρατιῶται κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ καὶ μᾶλλον πολιορκούμενοι ἢ πολιορκοῦντες ὥρμηντο διακινδυνεῦσαι. καὶ αὐτῷ ἔτι ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρέσχε. πρότερον μὲν γὰρ αὐτῆς οὔσης ὑλώδους ἐπὶ τὸ πολὺ καὶ ἀτριβοῦς διὰ τὴν ἀεὶ ἐρημίαν, ἐφοβεῖτο, καὶ πρὸς τῶν πολεμίων τοῦτο ἐνόμιζε μᾶλλον εἶναι· πολλῷ γὰρ ἂν στρατοπέδῳ ἀποβάντι ἐξ ἀφανοῦς χωρίου προσβάλλοντας αὐτοὺς βλάπτειν. σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ παρασκευὴν ὑπὸ τῆς ὕλης οὐκ ἂν ὁμοίως δῆλα εἶναι, τοῦ δὲ αὐτῶν στρατοπέδου καταφανῆ ἂν εἶναι πάντα τὰ ἁμαρτήματα, ὥστε προσπίπτειν ἂν αὐτοὺς ἀπροσδοκήτως ἢ βούλοιντο· ἐπ' ἐκείνοις γὰρ ἂν εἶναι τὴν ἐπιχείρησιν. εἰ δ' αὖ ἐς δασὺ χωρίον βιάζοιτο ὁμόσε ἰέναι, τοὺς ἐλάσσους ἐμπείρους δὲ τῆς χώρας κρείσσους ἐνόμιζε τῶν πλεόνων ἀπείρων· λανθάνειν τε ἂν τὸ ἑαυτῶν στρατόπεδον πολὺ ὂν διαφθειρόμενον, οὐκ οὔσης τῆς προσόψεως, ᾗ χρῆν ἀλλήλοις ἐπιβοηθεῖν. ἀπὸ 30
δὲ τοῦ Αἰτωλικοῦ πάθους, ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο, οὐχ ἥκιστα αὐτὸν ταῦτα ἐσῄει. τῶν δὲ στρατιωτῶν ἀναγκασθέν-

fert 6, 29. Arn. vocabula ita discerni ait, ut ἀγωγή sit in universum iter, ἀναγωγή profectio, illum sensum optime convenire imperfecto ἐποιεῖτο, was proceeding to sail, sive was preparing for his voyage. Hesych. ἀγωγή, ὁδός. Dein infinitivus διανοεῖσθαι post πυνθανόμενος est pro participio. v. Matth. p. 1079. adn. 2. Paulo post verba πολλῷ — ἀποβάντι Haack. brevius dicta ait pro αὐτοὺς γὰρ στρατοπέδῳ ἀποβάντι, εἰ καὶ πολὺ ἦν, ὅμως προσβάλλοντας ἐξ ἀφανοῦς χωρίου, βλάπτειν ἂν αὐτό. Denique pro προσόψεως desideres προόψεως.

30. μέρος τι] Sensus vocis μέρος hic idem Arnoldo videtur esse, atque 1, 23. μέρος τι φθείρασα et 7, 30., ut non significet *partim*, sed *partem insignem*.

αὐτὸν — ἐσῄει] v. Matth. p. 787. Verbis τῶν στρατιωτῶν ἀναγκασθέντων etc. non significantur Spartani, quia non his angustia insulae in causa esse poterat, ut ad litus prandium pararent, quod tamen ita accipiendum esset, si comma post στενοχωρίαν, ut vulgo fit, omitteretur. Neque militibus in insula praesidii causa collocatis verbum προσίσχοντας convenit. Recte igitur Schol. intelligit Atheniensium milites. Sed ne his quidem angustia insulae causa esse poterat, ut ad litus prandium pararent, quia quo angustior insula, eo propius a navibus aberant. Comma igitur cum Haackio ponendum est post στενοχωρίαν et intelligenda angustia spatii, in quo naves stationem habebant. Peloponnesii enim totum litus portus occupatum tenebant, praeter spatium, quod erat sub ipsis muris Pyli, et litus extra portum tum longius distabat, tum per rupes importunum erat. Itaque fere nihil restabat, ubi escenderent, nisi ipsius Sphacteriae ora. Quare supra c. 26. scripsit στενοχωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο· καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον αἱ μὲν σῖτον ἐν τῇ γῇ ἠροῦντο κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν. Sic iam facile intelligentur

των διὰ τὴν στενοχωρίαν, τῆς νήσου τοῖς ἐσχάτοις προσίσχοντας ἀριστοποιεῖσθαι διὰ προφυλακῆς, καὶ ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης ἄκοντος καὶ ἀπὸ τούτου πνεύματος ἐπιγενομένου τὸ πολὺ αὐτῆς ἔλαθε κατακαυθέν. οὕτω δὴ τούς τε Λακεδαιμονίους μᾶλλον κατιδὼν πλείους ὄντας, ὑπονοῶν πρότερον ἐλάσσοσι τὸν σῖτον αὐτοῦ ἐσπέμπειν, τό τε ὡς ἐπ' ἀξιόχρεων τοὺς Ἀθηναίους μᾶλλον σπουδὴν ποιεῖσθαι, τήν τε νῆσον εὐαποβατωτέραν οὖσαν, τὴν ἐπιχείρησιν παρεσκευάζετο στρατιάν τε μεταπέμπων ἐκ τῶν ἐγγὺς ξυμμάχων καὶ τὰ ἄλλα ἑτοιμάζων. Κλέων δὲ ἐκείνῳ τε προπέμψας ἄγγελον ὡς ἥξων καὶ ἔχων στρατιὰν ἣν ἠτήσατο, ἀφικνεῖται ἐς Πύλον. καὶ ἅμα γενόμενοι πέμπουσι πρῶτον ἐς τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον κήρυκα, προκαλούμενοι εἰ βούλοιντο ἄνευ κινδύνου τοὺς ἐν τῇ νήσῳ ἄνδρας σφίσι τά τε ὅπλα καὶ σφᾶς αὐτοὺς κελεύειν παραδοῦναι, ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ τηρήσονται, ἕως ἄν τι περὶ τοῦ πλέ-
31 ονος ξυμβαθῇ. οὐ προσδεξαμένων δὲ αὐτῶν μίαν μὲν ἡμέραν ἐπέσχον, τῇ δ' ὑστεραίᾳ ἀνηγάγοντο μὲν νυκτὸς ἐπ' ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπιβιβάσαντες, πρὸ δὲ τῆς ἕω ὀλίγον ἀπέβαινον τῆς νήσου ἑκατέρωθεν, ἔκ τε τοῦ πελάγους καὶ πρὸς τοῦ λιμένος, ὀκτακόσιοι μάλιστα ὄντες ὁπλῖται, καὶ ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον φυλακτήριον τῆς νήσου. ὧδε γὰρ διετετάχατο. ἐν ταύτῃ μὲν τῇ πρώτῃ φυλακῇ ὡς τριάκοντα ἦσαν

verba διὰ προφυλακῆς, unter Aufstellung einer Vorhut (ad verbum, ait Arn., to take ones meals in a state of guarding in advance), quippe custodia passim collocata a repentino Spartanorum impetu sibi cavebant. Arn. confert Xen. H. Gr. 6, 2, 29., ubi de Iphicrate est: *φυλακάς γε μὴν, εἰ τύχοι ἐν τῇ πολεμίᾳ ἀριστοποιούμενος, τὰς μὲν ἐν τῇ γῇ, ὥςπερ προσῆκει, καθίστη, ἐν δὲ ταῖς ναυσὶν αἱρόμενος αὖ τοὺς ἱστοὺς ἀπὸ τούτων ἐσκόπει.* Ceterum hic quoque locus parum convenire videtur cum portu tam amplo, quam vel sinus Navarini, vel lacus Osmini Aga (si hic unquam portus sive sinus) fuit. Mox *καὶ μικρὸν τῆς ὕλης* propemodum idem est, quod *μικρὰν μοῖραν τῆς ὕλης.* Mox Arnoldum sequutus scripsi *τό τε — μᾶλλον σπουδὴν ποιεῖσθαι.* Vulgo *τότε* legitur, post quod Popp. inserit *δέ*, infinitivum *ποιεῖσθαι* (ut paulo ante infinitivum *ἐσπέμπειν*) ex *ὑπονοῶν* sive quod in eo inest *νομίζων* pendere faciens. Sic vero *μᾶλλον ἄν* aliquem in libris extare velle idem monuit. Arn. tria membra *τούς τε Λακεδαιμονίους — τό τε τοὺς Ἀθηναίους ποιεῖσθαι — τήν τε νῆσον* ad unum verbum *κατιδών* refert, *percipiens, Lacedaemoniorum maiorem numerum esse — Athenienses maiori studio rem putantes graviorem aggredi — insulam escensioni suscipiendae aptiorem esse.* Praeterea vulgo hic legitur *τὸν σῖτον αὐτοῦ ἐσπέμπειν*, quod vix commode explices; quare probaverim Baueri coniecturam *αὐτούς*. Aliis placet *αὐτοῖς*.

31. *πρὸς τοῦ λιμένος*] i. e. an der Seite des Hafens, ut 3, 21. *πρὸς Πλαταιῶν*. 4, 130. *πρὸς Σκιώνης* et al. Sic pars librorum habet et Reisk. voluerat; vulgo legebatur *πρό*.

τῇ πρώτῃ φυλακῇ] Schol. *πρώτην φυλακὴν φησιν αὐτοὺς τοὺς φύλακας. ἐπιφέρει γὰρ ὅτι τρία τάγματα ἦν Λακεδαιμονίων τὰ φυλάττοντα τὴν νῆσον, ἓν μὲν ἐν τῷ ἄκρῳ τῆς νήσου τῷ πρὸς τὸ πέλαγος, ἕτερον δὲ ἐν τῷ ἄκρῳ τῷ πρὸς τὸν λιμένα, ἕτερον δὲ ἐν τῷ*

ὁπλῖται, μέσον δὲ καὶ ὁμαλώτατόν τε καὶ περὶ τὸ ὕδωρ οἱ πλεῖστοι αὐτῶν καὶ Ἐπιτάδας ὁ ἄρχων εἶχε, μέρος δέ τι οὐ πολὺ αὐτὸ τὸ ἔσχατον ἐφύλασσε τῆς νήσου τὸ πρὸς τὴν Πύλον, ὃ ἦν ἔκ τε θαλάσσης ἀπόκρημνον καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον· καὶ γάρ τι καὶ ἔρυμα αὐτόθι ἦν παλαιὸν λίθων λογάδην πεποιημένον, ὃ ἐνόμιζον σφίσιν ὠφέλιμον ἂν εἶναι, εἰ καταλαμβάνοι ἀναχώρησις βιαιοτέρα. οὕτω μὲν τεταγμένοι ἦσαν. 32
οἱ δὲ Ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας, οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν, ἔν τε ταῖς εὐναῖς ἔτι, ἀναλαμβάνοντας

μέσῳ τῆς νήσου, ὅπου τὸ ὕδωρ. πρώτην οὖν φυλακὴν λέγει τὴν πρὸς τὸ πέλαγος. Quia adiectivum pro substantivo positum est, desideres *τὸ μέσον*. „Sed etiam similibus in locis 2, 81. *καὶ τὸ μέσον μὲν ἔχοντες*, 4, 96. *μέχρι τοῦ μέσου*, ubi editiones articulum addunt, libri eum proscribunt. Sic etiam ante *δεξιὸν κέρας* deest 6, 67.“ Popp. Leak. Itin. Moreae Vol. 1. p. 401 — 416. inter alia refert, lustrata Sphagia insula descriptionem Thucydidis quantum satis est confirmatam esse, prorsus hodieque agnosci campum et aquae fontem in media insula, collem in extremitate septentrionali, quo Lacedaemonii se receperunt, locos appellendis navibus aptos, quo Helotae commeatum advehebant. Contra quae Arn. Vol. 2. p. 404 sq. animadvertit, facie Palaeocastrum et Sphagiam tam inter se similia esse, ut uterque locus in Thucydidis descriptione significari videri possit. Velut in Palaeocastro solum septentriones versus erigitur, et litus praeruptum est tum ab hac parte tum ab oriente (*τὸ ἔσχατον τῆς νήσου τὸ πρὸς τὴν Πύλον, ὃ ἦν ἔκ τε θαλάσσης ἀπόκρημνον, καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον*), dum paulatim deprimitur et inclinatur occasum versus. Apparet in medio Palaeocastro, quod planum terrae dicas, si comparatur cum adiacentibus; utrum vero fons aquae unquam ibi fuerit nec ne, quaestio est, de qua non prius decernas, quam solum ea ratione data opera perscrutatus sis. „Rursus veteres scriptores si audias, magis in eam sententiam inclines, ut putes in Sphagia Spartanos captos esse, nam Strabo eandem insulam Sphagiam et Sphacteriam appellatam esse scribit, id quod hanc eius opinionem fuisse indicat, de Sphagia quae ipsius aetate dicebatur Thucydidem loqui. Auctor Menexeni et ipse loquitur de Spartanis in Sphagia expugnatis.“ Arn. l. c. p. 404. His tamen argumentis nihil proficinus, siquidem teste Plinio H. N. 4, 12. tres Sphagiae ante Pylum iacebant, quarum maximam Sphacteriam fuisse credibile est, mediam quae nunc peninsula est et Palaeocastro appellatur, minimam ad austrum Sphacteriae tabulae meliores geographicae exhibent. Vid. Od. Muell. Dor. 2. p. 455. Denique Arn. p. 405. addit, solum ad septentriones ab Palaeocastro nondum satis exploratum videri, sed tamen prorsus cum descriptione Pyli congruere. „Ibi quoque, ait, praeruptum, partimque scopulosum latus est, versus continentem (*τὰ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον* c. 9.), dum mare versus paulatim declivis est.“ Vulgo legitur *αὐτοῦ τὸ ἔσχατον*. F. *αὐτω*, unde *αὐτό* ex Baueri coniectura scripsi secutus Bekkerum, qui tamen praefert *τοὔσχατον*, quod est 3, 46. Denique verbum *καταλαμβάνειν* Graeci in malam partem usurpant de periculis et casibus, qui necopinati repentino impetu superveniunt. v. Hemsterh. ad Lucian. Somn. 12. Vol. 1. p. 192. Thuc. 2, 18. 54. 4, 20. Quapropter hic pro vulgata *βεβαιοτέρα* legendum *βιαιοτέρα* ex libris bene multis.

32. *ἔν τε ταῖς εὐναῖς ἔτι, ἀναλαμβάνοντας*] Sic Krueg. ad Dionys. p. 302. hunc locum distinguit, negans *τε* cum sequenti *καί* iungendum

τὰ ὅπλα καὶ λαθόντες τὴν ἀπόβασιν, οἰομένων αὐτῶν τὰς ναῦς κατὰ τὸ ἔθος ἐς ἔφορμον τῆς νυκτὸς πλεῖν. ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἀπέβαινον, ἐκ μὲν νεῶν ἑβδομήκοντα καὶ ὀλίγῳ πλειόνων πάντες πλὴν Θαλαμίων ὡς ἕκαστοι ἐσκευασμένοι, τοξόται τε ὀκτακόσιοι καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων, Μεσσηνίων τε οἱ βεβοηθηκότες καὶ ἄλλοι ὅσοι περὶ Πύλον κατεῖχον πάντες πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων. Δημοσθένους δὲ τάξαντος διέστησαν κατὰ διακοσίους τε καὶ πλείους, ἔστι δ' ἣ ἐλάσσους, τῶν χωρίων τὰ μετεωρότατα λαβόντες, ὅπως ὅτι πλείστη ἀπορία ἦ τοῖς πολεμίοις πανταχόθεν κεκυκλωμένοις, καὶ μὴ ἔχωσι πρὸς ὅ,τι ἀντιτάξωνται, ἀλλ' ἀμφίβολοι γίγνωνται τῷ πλήθει, εἰ μὲν τοῖς πρόσθεν ἐπίοιεν, ὑπὸ τῶν κατόπιν βαλλόμενοι, εἰ δὲ τοῖς πλαγίοις, ὑπὸ τῶν ἑκατέρωθεν παρατεταγμένων. κατὰ νώτου τε ἀεὶ ἔμελλον αὐτοῖς ἡ χωρήσειαν οἱ πολέμιοι ἔσεσθαι ψιλοὶ καὶ οἱ ἀπορώτατοι τοξεύμασι καὶ ἀκοντίοις καὶ λίθοις καὶ σφενδόναις ἐκ πολλοῦ ἔχοντες ἀλκήν. οἷς μηδὲ ἐπελθεῖν οἷόν τε ἦν· φεύγοντές τε γὰρ ἐκράτουν καὶ ἀναχωροῦσιν ἐπέκειντο. τοιαύτῃ μὲν γνώμῃ ὁ Δημοσθένης τότε πρῶτον τὴν ἀπόβασιν ἐπενόει καὶ ἐν τῷ ἔργῳ ἔταξεν. οἱ δὲ περὶ τὸν Ἐπιτάδαν καὶ ὅπερ ἦν πλεῖστον τῶν ἐν τῇ νήσῳ ὡς εἶδον τό τε πρῶτον φυλακτήριον διεφθαρμένον καὶ στρατὸν σφίσιν ἐπιόντα, ξυνετάξαντο καὶ τοῖς ὁπλίταις τῶν Ἀθηναίων ἐπῆσαν, βουλόμενοι ἐς χεῖρας ἐλθεῖν· ἐξ ἐναντίας γὰρ οὗτοι καθεστήκεσαν, ἐκ πλαγίου δὲ οἱ ψιλοὶ καὶ κατὰ νώτου. τοῖς μὲν οὖν ὁπλίταις οὐκ ἠδυνήθησαν προσμῖξαι, οὐδὲ τῇ σφετέρᾳ ἐμπειρίᾳ χρήσασθαι· οἱ γὰρ ψιλοὶ ἑκατέρωθεν βάλλοντες εἶργον, καὶ ἅμα ἐκεῖνοι οὐκ ἀντεπῄεσαν ἀλλ' ἡσύχαζον· τοὺς δὲ ψιλοὺς ἦ μάλιστα αὐτοῖς προσθέοντες προσκέοιντο ἔτρεπον, καὶ οἳ ὑποστρέφοντες ἠμύνοντο, ἄνθρωποι κούφως τε ἐσκευασμένοι καὶ προλαμβάνοντες ῥᾳδίως τῆς φυγῆς, χωρίων τε χαλεπότητι καὶ ὑπὸ τῆς πρὶν ἐρημίας τραχέων ὄντων, ἐν οἷς οἱ Λακεδαιμόνιοι οὐκ ἠδύναντο διώκειν, ὅπλα ἔχοντες. χρόνον μὲν οὖν τινα ὀλίγον οὕτω πρὸς ἀλλήλους ἠκροβολίσαντο· τῶν δὲ Λακεδαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν ἢ προσπίπτοιεν δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη, συσπειράντες καὶ ἐμβοήσαντες ὥρμησαν ἐπ' αὐτοὺς ἀθρόοι, ἔκ τε τῆς ὄψεως τὸ θαρρεῖν προειληφότες, ὅτι πολλαπλάσιοι ἦσαν, καὶ ἐκ τοῦ μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι καταφρονήσαντες, ἐπειδὴ οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ἣν ἔσχον ὑπόληψιν, ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι, ὡς ἐπὶ Λακεδαιμονίους.“ Ubi Duk. suspicatur legendum esse

esse, et post ἐν ταῖς εὐναῖς ἔτι supplens ὄντας. Recte, opinor; vocabulum εὐθύς explicatur per duo verba ἀναλαμβάνοντας τὰ ὅπλα et λαθόντες τὴν ἀπόβασιν, quod idem valet, ac si dixisset τὴν ἀπόβασιν οὐ προϊδόντας, ut Arn. adnotavit. Mox „Thalamii infimus remigum ordo sunt, medius Zygitae, superior vero Thranitae. Vid. Palmer. in Gr. Auct. p. 176. et Scheff. de Milit. Nav. 2, 2.“ Huds. et Meibom. in libello de Fabr. Trirem., et qui eum confutavit Oppelium i. e. Scheffernm. Quod apud Suidam in v. θαλαμακεῖς legitur: ἡ δὲ ἄνω θρανῖται, ἢ θρανίτης ὁ πρὸς τῇ πρώρᾳ, vel corruptum vel negligenter ex Scholiasta Aristoph. ad Ran. 1106. transscriptum est, nam hic ita scribit: ἡ δὲ ἄνω θρανῖται· θρανίτης οὖν, ὁ πρὸς τὴν πρύμναν· ζυγίτης ὁ μέσος· θαλαμίτης ὁ πρὸς τὴν πρώραν. Et sic Suidas ipse deinde in θρανίτης. Dük. Vid. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 302. 303. adn. 575. Wachsm. Antt. Gr. 2, 1. p. 361, 61. Bloomf. ad Aesch. Ag. 1607. „Alii, ut Schol. Arist., aiunt Thranitas fuisse ad prymnam, Zygitas in media navi; Thalamios ad proram; atque fateor, hoc multum confirmari verbis Polyaeni 1, 5, 43. p. 530. ἐμβαλεῖν μὴ δύνηται, τῷ τὴν ἐμβολὴν εἶναι κατὰ τὰς πρώρας θρανιτίδας.“ Bloomf. Mox cum neutro κατεῖχον conf. 8, 28. ἐπὶ Ἴασον ἐν ᾗ Ἀμόργης κατεῖχε. De verbis κατὰ διακοσίους v. Matth. p. 1154. fin.

κεκυκλωμένοις] Alii iidemque multi et boni libri κεκωλυμένοις, quod improbandum esse negat Wass., eiusque correctionem vulgatam esse vult Haack. Popponi quamvis vulgata magis placeat, librorum scriptura, quam defendi posse intellexerit, non posthabenda visa est. Etiam Bened. scripturam κεκωλυμένοις tuetur, dicens hoc vocabulo alibi quoque Thucydidem uti, neque verum esse, undique ab Atheniensibus hostes cinctos fuisse, sed tantum in pugna ineunda impeditos, quia et a tergo et a latere iis Athenienses instabant. Adde et a fronte; quid hoc aliud est nisi κύκλωσις? Et auctor ipse c. 35. extr. hoc nomine appellat.

ἀμφίβολοι] Schol. ἑκατέρωθεν βαλλόμενοι. Hesych. ἀμφίβολοι, ἑκατέρωθεν παραβαλλόμενοι, ὡς Θουκυδίδης. Adde Zonar. p. 144. Appian. B. M. 77.

οἱ ἀπορώτατοι] i. e. denen man am wenigsten beikommen konnte etc. „Ut πρᾶγμα ἄπορον rem significat, quae hominem angit, ita ἄποροι στρατιῶται milites sunt, qui adversarios angunt.“ Heilm.

33. καὶ οἳ ὑποστρέφοντες] Articulus est a singulari καὶ ὅς. v. Buttm. Gr. med. §. 126. 5. (ed. 13.) Matth. §. 286. p. 576. §. 484. b. Conf. cap. 68. καὶ οἳ ξυστραφέντες ἀθρόοι ἦλθον.

κούφως τε] i. e. ἡμύνοντο, αὐτοὶ μὲν κούφως ἐσκευασμένοι καὶ δι' αὐτὸ προλαμβάνοντες ῥᾳδίως τῆς φυγῆς, τῶν δὲ χωρίων χαλεπῶν ὄντων καὶ ὑπὸ τῆς πρὶν ἐρημίας τραχέων. Propter προλαμβάνοντες τῆς φυγῆς conf. Herodot. 3, 105. προλαμβάνειν τῆς ὁδοῦ. Si scriptoris mens erat, χαλεπότητι distinguere a τραχέων, illo significari probabile est ascensum a Spartanis superandum, priusquam cum hoste confligere poterant; nam hostes occupabant τὰ μετεωρότατα τῶν χωρίων c. 32., vel obstacula orta ex combusta silva, velut acervos cinerum, radices et truncos arborum. Arn. Simplicior oratio futura esset deleto τε ante χαλεπότητι, ita ut καί ante ὑπό esset etiam, hoc sensu: *difficultate locorum vel prius ab solitudine asperorum.*

34. μηκέτι δεινοὺς αὐτούς] v. Matth. p. 1056. Dicit Dionys. p. 873. (ubi v. Krueg. p. 136.), collocationem membrorum huius periodi contortam reddere orationem et ostendit, quo ordine ex sententia sua collocari debuissent, ut oratio clarior et suavior fieret: ἀγκυλωτέρα μὲν οὖν ἡ φράσις οὕτω σχηματισθεῖσα γέγονε καὶ δεινοτέρα, σαφεστέρα δὲ καὶ ἡδίων ἐκείνως ἂν κατασκευασθεῖσα· „τῶν δὲ Λακεδαιμονίων οὐκέτι ἀπελθεῖν ἢ προσπίπτειν δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη, συσπειράντες καὶ ἐμβοήσαντες ὥρμησαν ἐπ' αὐτοὺς ἀθρόοι, ἔκ τε τῆς ὄψεως τὸ θαρρεῖν προειληφότες, ὅτι πολλαπλάσιοι ἦσαν, καὶ ἐκ τοῦ μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι καταφρονήσαντες, ἐπειδὴ οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ἣν ἔσχον ὑπόληψιν, ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι, ὡς ἐπὶ Λακεδαιμονίους.“ Ubi Duk. suspicatur legendum esse

νεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ὥσπερ ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ Λακεδαιμονίους, καταφρονήσαντες καὶ ἐμβοήσαντες ἀθρόοι ὥρμησαν ἐπ' αὐτούς, καὶ ἔβαλλον λίθοις τε καὶ τοξεύμασι καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχε. γενομένης δὲ τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ ἔκπληξίς τε ἐνέπεσεν ἀνθρώποις ἀήθεσι τοιαύτης μάχης καὶ ὁ κονιορτὸς τῆς ὕλης νεωστὶ κεκαυμένης ἐχώρει πολὺς ἄνω, ἄπορόν τε ἦν ἰδεῖν τὸ πρὸ αὐτοῦ ὑπὸ τῶν τοξευμάτων καὶ λίθων ἀπὸ πολλῶν ἀνθρώπων μετὰ τοῦ κονιορτοῦ ἅμα φερομένων. τό τε ἔργον ἐνταῦθα χαλεπὸν

ἐπελθεῖν ἢ προσπίπτειν, at Krueg. emendat ἐπελθεῖν ᾗ προσπίπτοιεν. Verba ὥσπερ ὅτε πρῶτον etc. cohaerent cum μηκέτι δεινοὺς ὁμοίως φαίνεσθαι. Verbum δεδουλωμένοι. Schol. explicat per τεταπεινωμένοι φόβῳ, ἕνεκα τῆς ὑπολήψεως τῶν Λακεδαιμονίων, ἧς εἶχον περὶ αὐτῶν, ὡς ὅτι σφόδρα εἰσὶ πεζομάχοι καὶ πολεμικοί. Bloomf. daunted, overawed, as it were with servile apprehension. Mox οἱ πῖλοι, si Scholiastam audias, sunt τὰ ἐξ ἐρίου πηκτὰ ἐνδύματα, ὥσπερ θωράκιά τινα ὑπὸ τὰ σιήθη, ἃ ἐνδυόμεθα· οἱ δὲ τὰ ἐπικείμενα ταῖς περικεφαλαίαις, ubi scribendum videtur τὰ ὑποκείμενα. Istud alterum significat Hesych. πῖλος χαλκοῦς, εἶδος περικεφαλαίας. Itidemque Bau. Haack. et Od. Muell. Dor. 2. p. 271. πίλους intelligunt galeas. Conf. Schneid. Vocab. s. v. et Mans. Spart. 1, 2. p. 198. adn. z. At recte Levesqu. monet, πίλους h. l. non esse pileos, mirum enim futurum fuisse, si Thucydides sola capitum tegumenta observavisset. Sequitur propterea prius Scholion ἃ ὑπὸ σιήθη ἐνδυόμεθα, atque Thucydidis verba reddit leurs cuirasses de feutre collat. Polluc. 1, 149. εὐδόκιμα δὲ πῖλος καὶ ἐγχειρίδιον Λακωνικά. Primam vocis πῖλος notionem fuisse docet villum (feutre); ex villis pileos factos esse; sandalia iis esse munita, tentoria tecta. Verbis τὰ σιήθη Schol. significat loricam, verbo θωράκια alteram sub illa indutam, quo et tela arcerentur et externa lorica aënea levius insisteret, minus militum artus urens. Ad βαλλομένων supple αὐτῶν et intellige Spartanos. Et τῇ ὄψει est τῇ ὄψεως κωλύσει, nam res ipsa nonnunquam pro rei defectu ponitur. Vid. Heyn. ad Hom. Il. Vol. 6. p. 25. Schaef. ad Soph. Vol. 1. p. 234. Herm. ad Soph. Ai. 659. Lobeck. ibid. v. 705. Iacobs. ad Liv. p. 389. vel in censura editionis Aeschyli Lafontaineae, Erf. ad Soph. Ai. 674. p. 573 sq. Bibl. d. a. Lit. u. K. 3. p. 108. Welck. ad Theogn. 496. Huschk. ad Tib. 1, 7, 40. Matth p. 1308. adn. Haec observatio adhibenda est Ciceroni de N. D. 2, 19., cui loco simillimus est Horat. 3. Carm. 6, 45. Adde Virg. Ge. 4, 484. Theogn. 496. 691. ἔργει γάρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος. Soph. Tr. 655., ubi Ἄρης οἰσιηθείς intelligendus est *furor belli cessans*, Oed. T. 25. Propert. 3, 9, 15. *aurea cui postquam nudavit cassida frontem* i. e. cassida demta. Hinc etiam sanus putandus est locus Livii 33, 7., ubi nebula detexisse montium iuga intelligenda est cessando. Neque aliter apud Horatium intelligenda verba *somno fatigatum meroque* et Homericum Il. κ'. 98. κεκμάτῳ ἀδδηκότες ἠδὲ καὶ ὕπνῳ. Vid. Buttm. Lexil. Vol. 2. in v. Ἀδῆσαι. Eundemque usum sibi indulgent recentiores, ut Milto Parad. Perd. 1, 71. the sulphureous hail, Shot after us in storm, o'erblown, has laid the fiery surge, that from the precipice of heaven received us falling. Quod exemplum maxime Sophocleo loco, ni fallor, Aiacis simile est, et adiecta voce o'erblown quodammodo originem huius loquendi usus declarat.

τοῖς Λακεδαιμονίοις καθίστατο. οὔτε γὰρ οἱ πῖλοι ἔστεγον τὰ τοξεύματα, δορατιά τε ἐναποκέκλαστο βαλλομένων, εἶχόν τε οὐδὲν σφίσιν αὐτοῖς χρήσασθαι ἀποκεκλημένοι μὲν τῇ ὄψει τοῦ προορᾶν, ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων τὰ ἐν αὐτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες, κινδύνου τε πανταχόθεν περιεστῶτος καὶ οὐκ ἔχοντες ἐλπίδα καθ' ὅτι χρὴ ἀμυνομένους σωθῆναι. τέλος δὲ τραυματιζομένων ἤδη πολλῶν διὰ τὸ ἀεὶ 35
ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι, ξυγκλήσαντες ἐχώρησαν ἐς τὸ ἔσχατον ἔρυμα τῆς νήσου, ὃ οὐ πολὺ ἀπεῖχε, καὶ τοὺς ἑαυτῶν φύλακας. ὡς δὲ ἐνέδοσαν, ἐνταῦθα ἤδη πολλῷ ἔτι πλέονι βοῇ τεθαρσηκότες οἱ ψιλοὶ ἐπέκειντο, καὶ τῶν Λακεδαιμονίων ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβάνοντο, ἀπέθνησκον, οἱ δὲ πολλοὶ διαφυγόντες ἐς τὸ ἔρυμα μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο παρὰ πᾶν ὡς ἀμυνούμενοι ἥπερ ἦν ἐπίμαχον. καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι περίοδον μὲν αὐτῶν καὶ κύκλωσιν χωρίου ἰσχύι οὐκ εἶχον, προσιόντες δὲ ἐξ ἐναντίας ὥσασθαι ἐπειρῶντο, καὶ χρόνον μὲν πολὺν καὶ τῆς ἡμέρας τὸ πλεῖστον ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψους καὶ ἡλίου ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι, ὁρῶν δ' οἱ Λακεδαιμόνιοι ἠμύναντο ἢ ἐν τῷ πρίν, οὐκ οὔσης σφῶν τῆς κυκλώσεως ἐς τὰ πλάγια. ἐπειδὴ 36
δὲ ἀπέραντον ἦν, προελθὼν ὁ τῶν Μεσσηνίων στρατηγὸς Κλέωνι καὶ Δημοσθένει ἄλλως ἔφη πονεῖν σφᾶς. εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν περιέναι κατὰ νώτου αὐτοῖς ὁδῷ ᾗ ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. λαβὼν δὲ ἃ ᾐτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ ἀεὶ παρεῖκον τοῦ κρημνώδους τῆς νήσου προσβαίνων καὶ ᾗ οἱ Λακεδαιμόνιοι χωρίου ἰσχύι πιστεύσαντες οὐκ ἐφύλασσον χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε, καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν τοὺς μὲν τῷ ἀδοκήτῳ ἐξέπληξε, τοὺς δὲ ἃ προσεδέχοντο

35. ξυγκλήσαντες] i. e. *conglobati*. Ad καὶ τοὺς ἑαυτῶν φύλακας supple πρός, quae praepositio repetenda est ex praegresso ἐς.

36. κατὰ τὸ ἀεὶ παρεῖκον] Sic plurimi optimique libri et Schol. Aristid. p. 5. Vulgo παρῆκον, sicut etiam alii libri Scholiastae Aristid. Vulgata hunc sensum habet: *per continentem semper tractum praeruptarum rupium*, jedesmal da, wo sich der klippenvolle Rand der Insel hin erstreckte. Nam Graeci regiones, montes et alia eiusmodi dicunt ἀνήκειν — διήκειν — καθήκειν — παρήκειν, quod Latini *porrigi* — *pertinere* — *pertingere*, ut monuit Duk. Atqui si dux Messeniorum continentem semper tractum rupium sequutus est, hoc sonat, quasi ille tractus subinde fuisset interruptus, et quasi ille rupes ac proinde arduum iter quaesivisset, non evitasset. Imo sensus esse debet: *prout praeruptum insulae litus* aliquem aditum dabat i. e. κατὰ τὸ ἀεὶ παρεῖκον, jedesmal wo es das schroffe Ufer zuliess. Dein προβαίνων alii libri, alii προσβαίνων, utrumque cum quadam sensus varietate recte. Nam προβαίνειν est *progredi*, προσβαίνειν *progredi et ascendere*. v. Schweigh. ad Polyb. 2, 67, 6.

ἰδόντας πολλῷ μᾶλλον ἐπέῤῥωσε. καὶ οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις, ἐκεῖνοί τε γὰρ τῇ ἀταπῷ περιελθόντων τῶν Περσῶν διεφθάρησαν, οὗτοί τε ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν
37 ὑπεχώρουν καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων. γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δημοσθένης ὅτι εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν αὐτοὺς Ἀθηναίοις ζῶντας, εἴ πως τοῦ κηρύγματος ἀκούσαντες ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ. ἐκήρυξάν τε εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς αὐτοὺς Ἀθηναίοις ὥστε βουλεῦ-
38 σαι ὅ,τι ἂν ἐκείνοις δοκῇ. οἱ δὲ ἀκούσαντες παρῆκαν τὰς ἀσπίδας οἱ πλεῖστοι καὶ τὰς χεῖρας ἀνέσεισαν δηλοῦντες προς-

καὶ οἱ Λακεδαιμόνιοι — ὑπεχώρουν] Scriptor initio dicere volnit οἱ Λακ. γενόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι τοῖς ἐν Θερμοπύλαις περιελθόντων τῶν Περσῶν διαφθαρεῖσιν, ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον. Ut nunc est structura, verba ἐκεῖνοί τε γὰρ — οὐκέτι ἀντεῖχον in parenthesi sunt, post quam sententia primaria continuatur per ἀλλά propter illud οὐκέτι, quod in parenthesi est. Etenim Graecis usitatum, coeptam in parenthesi structuram in posteriorem partem sententiae primariae extendere. Sublata particula ἀλλά nihil in hac structura est, quod a legitimo usu recedat. Krueg. ad Dionys. p. 269. aliam rationem excogitavit, ita locum constituens: οἱ Λακ. βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι — τῷ ἐν Θερμοπύλαις, (ἐκεῖνοί τε γὰρ τῇ ἀταπῷ περιελθόντων τῶν Περσῶν διεφθάρησαν, οὗτοί τε·) ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον. Sic vero, quum nihil repeti posset nisi (οὗτοί τε) διεφθάρησαν, Lacedaemonii per Persas, non per Messenios, circumventi interiisse cogitandi essent non aliter atque populares eorum in bellis Persicis, et postquam praemissum est: οἱ Λακεδαιμόνιοι ἐφθάρησαν, iam sequeretur hoc tantillum οὐκέτι ἀντεῖχον, nimis leve illud prae illo διεφθάρησαν. De re v. Herodot. 7, 213 sqq. De formula ὡς εἰκάσαι v. Herm. ad Vig. p. 744. Matth. p. 1069. init. Differentiam meri casus ἀσθενείᾳ et casus cum praep. διὰ τὴν σιτοδείαν docet idem p. 727. adn. 1.

37. γνοὺς ὅτι — διαφθαρησομένους αὐτούς] Schol. τὸ τῆς συντάξεως ἀπαιτεῖ ὅτι διαφθαρήσονται, ἀλλὰ ἡ σύνταξις ἐνήλλακται. Similia dabunt Heind. ad Plat. Gorg. p. 115. et Matth. p. 1078. adn. 1. p. 1299. Exitus capitis hunc sensum habet, quasi scripsisset ὥστε παθεῖν ὅ, τι ἂν ἐκείνοις βουλευομένοις δοκῇ, ut Arn. adnotavit.

38. τὰς χεῖρας ἀνέσεισαν] Hoc signum deditionis erat. v. Interpp. ad Tacit. 1. Hist. 54. Polluc. 1, 168. Mox de Hippagretis Spartanorum agunt Mans. Spart. 1, 1. p. 153. Od. Muell. Dor. 2. p. 241., qui „Ephori, ait, tres hippagretas legebant, quorum singuli centum iuvenes seligebant, ratione delectus reddita. Hi trecenti equites lectissima manus Spartae, decus et principes iuventutis erant, quemadmodum γέροντες seniorum lectissimi.“ C. Fr. Herm. Antt. Gr. p. 60, 13. At dubium est, utrum Thuc. hunc secundum ducem non proprio, ut reliquos, sed muneris nomine appellaverit. Arnoldo et Bloomfieldio videtur nomen

ίεσθαι τὰ κεκηρυγμένα. μετὰ δὲ ταῦτα γενομένης τῆς ἀνακωχῆς ξυνῆλθον ἐς λόγους ὅ τε Κλέων καὶ ὁ Δημοσθένης καὶ ἐκείνων Στύφων ὁ Φάρακος τῶν πρότερον ἀρχόντων τοῦ μὲν πρώτου τεθνηκότος Ἐπιτάδου, τοῦ δὲ μετ' αὐτὸν Ἱππαγρέτου ἐῤῥημένου ἐν τοῖς νεκροῖς ἔτι ζῶντος κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐῤῥημένος ἄρχειν κατὰ νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν. ἔλεγε δὲ ὁ Στύφων καὶ οἱ μετ' αὐτοῦ ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ὅ,τι χρὴ σφᾶς ποιεῖν. καὶ ἐκείνων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας καὶ γενομένων ἐπερωτήσεων δὶς ἢ τρὶς ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν ὅτι Οἱ Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν βουλεύεσθαι, μηδὲν αἰσχρὸν ποιοῦντας. οἱ δὲ καθ' ἑαυτοὺς βουλευσάμενοι τὰ ὅπλα παρέδοσαν καὶ σφᾶς αὐτούς. καὶ ταύτην μὲν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ τἆλλα διεσκευάζοντο ὡς ἐς πλοῦν, καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδοσαν ἐς φυλακήν, οἱ δὲ Λακεδαιμόνιοι κήρυκα πέμψαντες τοὺς νεκροὺς διεκομίσαντο. ἀπέθανον δ' ἐν τῇ νήσῳ καὶ ζῶντες ἐλήφθησαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δὲ ἄλλοι ἀπέθανον. καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ πολλοὶ διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδία ἦν. χρόνος δὲ ὁ ξύμπας ἐγένετο ὅσον 39
οἱ ἄνδρες οἱ ἐν τῇ νήσῳ ἐπολιορκήθησαν ἀπὸ τῆς ναυμαχίας μέχρι τῆς ἐν τῇ νήσῳ μάχης ἑβδομήκοντα ἡμέραι καὶ δύο. τούτων περὶ εἴκοσιν ἡμέρας ἐν αἷς οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῆσαν ἐσιτοδοτοῦντο, τὰς δὲ ἄλλας τοῖς ἐσπλέουσι λάφρα

proprium esse, ut Hipparchus. Deinde ἐῤῥημένος iunge cum κατὰ νόμον. „Nam scriptor indicat, quod etiam illa εἴ τι ἐκεῖνοι πάσχοιεν ostendunt, horum ducum alios aliis non suffragiis militum, qui in praesidio erant, sed antequam hi in insulam traiiciebantur, publice ex lege subrogatos fuisse, ut in locum priorum, si quid his accidisset, succederent: quemadmodum in militia navali navarcho legatus addi solebat, quem ἐπιστολέα vocat Xen. H. Gr. 1, 1, 15. 2, 1, 5. 4, 8, 11. 5, 1, 5. 6. et 6, 2, 25., de quo Iungerm. ad Polluc. 1, 96. et Scheff. de Mil. Nav. 4, 5. Steph. coniungit ἄρχειν κατὰ νόμον ac convertit: *qui legitimum imperium obtineret.* Nec tamen negat κατὰ νόμον etiam ad ἐῤῥημένος referri posse. Hoc melius est. Nam hic solo verbo ἄρχειν satis indicatur legitimum imperium, et supervacuum est ei addi κατὰ νόμον. Sic paulo ante τῶν μὲν πρότερον ἀρχόντων et supra c. 9. ἦρχε δ' αὐτῶν Ἐπιτάδας, ubi nemo desiderat illa κατὰ νόμον.“ Duk. Quod ad ἐπιστολέα attinet, v. praeterea Schneid. ad Xen. locos cit. et in Ind. s. v. ac Valck. ad Theocr. Adoniaz. p. 263. Lugd. (p. 87. Heind.)

39. τοῖς ἐσπλέουσι] Neutrum est: durch die zu Schiffe eingeführten Lebensmittel. De verbis ἢ πρὸς τὴν ἐξουσίαν v. Matth. p. 844.

διετρέφοντο. καὶ ἦν σῖτος ἐν τῇ νήσῳ καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων Ἐπιτάδας ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς τὴν ἐξουσίαν. οἱ μὲν δὴ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι ἀνεχώρησαν τῷ στρατῷ ἐκ τῆς Πύλου ἑκάτεροι ἐπ' οἴκου, καὶ τοῦ Κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη· ἐντὸς γὰρ εἴκοσιν ἡμερῶν ἦγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη.
40 παρὰ γνώμην τε δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς Ἕλλησιν ἐγένετο· τοὺς γὰρ Λακεδαιμονίους οὔτε λιμῷ οὔτ' ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα παραδοῦναι, ἀλλὰ ἔχοντας καὶ μαχομένους ὡς ἐδύναντο ἀποθνήσκειν· ἀπιστοῦντές τε μὴ εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους. καί τινος ἐρομένου ποτὲ ὕστερον τῶν Ἀθηναίων ξυμμάχων δι' ἀχθηδόνα ἕνα τῶν ἐκ τῆς

§. 449. extr. De ὑπέστη v. Thom. M. p. 879. coll. Plat. 2. Alcib. n. l. ab init. Dorv. ad Charit. p. 380. 569. Valck. ad Theocr. 2, 164. Vol. 1. p. 69. Heind.

40. ἀπιστοῦντές τε] Ambiguum est, utrum haec verba prioribus an sequentibus annectenda sint. Utraque ratio difficultate laborat. Illud si praeferas, participium et particulam posita esse cogitabis pro verbo finito ἠπίστουν τε, ut suppleatur ἦσαν, quae ratio nec per se commendatur, quia non intelligitur, cur scriptor particulam τε plane supervacuam addiderit, et sententia sequentis periodi flagitare videtur, ut secum illa verba iungantur, et puncto distinguatur post ἀποθνήσκειν. Nam propter id ipsum, quod induci non poterant ad credendum, similes mortuorum esse eos, qui arma tradiderant, extitit, qui unum in insula captorum illud interrogaret. Restat, ut anacoluthon in verbis inesse statuas, posito nominativo pro genitivo absoluto participii. Id quod nihil est quo excuses. Itaque nunc in ea sententia sum, ut dicam, repetendum esse ἠξίουν ad participium ἀπιστοῦντες, hoc sensu: und sie erwarteten es so, dass sie niemand für einen Lacedaemonier hielten, der die Waffen übergab. Propter particulam μή post ἀπισοῦντες v. Matth. p. 1048. 6.

δι' ἀχθηδόνα] Schol. διὰ λύπην. ἢ διάνοια· Ἀθηναίων σύμμαχός τις ἀχθόμενος ἤτοι τοῖς Ἀθηναίοις ὡς φορτικῶς ἄρχουσιν, ἢ ἀχθόμενος ἐπὶ τῇ τῶν Λακεδαιμονίων συμφορᾷ ἤρετο etc. At ex responso Spartani apparet, sensum esse, quem Port. expressit *ut ei cum insultatione dolorem inureret* i. e. zur Kränkung, quamquam nescio an sit rectius um der Kränkung willen sive um zu kränken, ut cap. 102. διὰ τὸ περιέχειν αὐτήν et 5, 53. διὰ τὴν ἔσπραξιν i. e. um sie einzufassen — um einzutreiben. Nam illud solennius dicitur ἐπ' ἀχθηδόνι — πρὸς ἀχθηδόνα. Bloomf. haec exempla vocabuli attulit: Philostr. Vit. Ap. 4, 31. ἐρομένου δὲ Κορινθίου τινὸς κατὰ ἀχθηδόνα. 8, 16. ἐπιδόντες τῇ ἀχθηδόνι, giving way to taunting. Dionys. A. R. 9, 14. p. 1778. Reisk. ἀχθηδόνα σὺν αἰσχύνῃ Ῥωμαίοις ἀήθη παρέσχεν. Porro ἄπρακτον memorant ex h. l. Pollux 1, 137. Etym. M. et Suidas in v., ubi vid. Kust., adde Galen. in glossis Hippocrateis: ἄπρακτον οὐ μόνον τὸν εἰς τὸ ἐριουργεῖν (sic Duk. emendat pro ἑρουργόν) χρήσιμον, ἀλλὰ καὶ τὸ ξύλον τοῦ βέλους. Bred. ait, Spartanum illum consulto illa voce usum esse, quae respondeat nostro Wocken et Pfeilholz, contemtim locutum de armis, quibus petiti sint; non enim viritim pugnatum esse, neque cominus (μάχη οὐ σταδία ἦν c. 38. extr.); ligna sibi ingessisse hostes, non manus conseruisse, eminus autem ingesta vulnera fortuito in hunc vel illum dirigi. Conf. Herm. ad Soph. Ai. 1099.

νήσου αἰχμαλώτων εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοί, ἀπεκρίνατο αὐτῷ πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον, λέγων τὸν ὑιστόν, εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε, δήλωσιν ποιούμενος ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι διεφθείρετο.

Κομισθέντων δὲ τῶν ἀνδρῶν οἱ Ἀθηναῖοι ἐβούλευσαν δε- 41
σμοῖς μὲν αὐτοὺς φυλάσσειν μέχρι οὗ τι ξυμβῶσιν· ἢν δ' οἱ Πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν ἐσβάλλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι. τῆς δὲ Πύλου φυλακὴν κατεστήσαντο· καὶ οἱ ἐκ τῆς Ναυπάκτου Μεσσήνιοι ὡς ἐς πατρίδα ταύτην, ἔστι γὰρ ἡ Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς, πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους ἐλῄζόν τε τὴν Λακωνικὴν καὶ πλεῖστα ἔβλαπτον ὁμόφωνοι ὄντες. οἱ δὲ Λακεδαιμόνιοι ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ ληστείας καὶ τοιούτου πολέμου, τῶν τε Εἱλώτων αὐτομολούντων καὶ φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις ἐπρεσβεύοντο παρ' αὐτοὺς καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. οἱ δὲ μειζόνων τε ὠρέγοντο καὶ πολλάκις φοιτώντων αὐτοὺς ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ Πύλον γενόμενα.

Τοῦ δ' αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι ἐς τὴν 42
Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα καὶ δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἐν ἱππαγωγοῖς ναυσὶ διακοσίοις ἱππεῦσιν· ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων Μιλήσιοι καὶ Ἄνδριοι καὶ Καρύστιοι, ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου τρίτος αὐτός. πλέοντες δὲ, ἅμα ἕῳ ἔσχον μεταξὺ Χερσονήσου τε καὶ Ῥείτου ἐς τὸν αἰγιαλὸν τοῦ χωρίου ὑπὲρ οὗ ὁ Σολύγειος λόφος ἐστίν, ἐφ' ὃν Δωριῆς τὸ πάλαι ἱδρυθέντες τοῖς ἐν τῇ πόλει Κορινθίοις

„In eandem sententiam alter illius gentis dixit: οὐ μέλει μοι τοῦτο, ὅτι ἀποθανοῦμεν, ἀλλ' ὅτι ὑπὸ γύνιδος τοξότου. Simile quid in pugna Leuctrica quidam: λεγόντων τινῶν δείξειν τὴν ἡμέραν ταύτην τὸν ἀγαθόν, Ἰολλοῦ, inquit, τὴν ἡμέραν ἀξίαν εἶναι δυναμένην τὸν ἀγαθὸν δεῖξαι σῶον.“ Wass.

42. πλέοντες δὲ, ἅμα ἕῳ] Recte Did. virgulam removit post δέ, quum post ἕῳ poneretur, scriptorem enim ipsum dicere ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς καταπλεύσαντες, idemque confirmat Polyaen. 1, 39. Νικίας ἐπιπλεύσας τῇ Κορινθίᾳ νύκτωρ. Non aliter de h. l. sentiunt Bloomf. et Arn., qui, „si Athenienses, ait, Piraeum liquissent illucescente die aestiva, non solum multo ante tenebras ingruentes ad oram Corinthi perventuri fuissent, sed eorum classis conspicua futura fuisset aliquanto antequam appulisset, ut Corinthiis satis otii fuisset ad parandam defensionem. At Piraeo nocte vel vespera relicto iter eorum hostes celabatur et litus attingebant tenebris usque obtinentibus et ad primam auroram naves appellebant, ita ut Corinthii ignorarent eorum navigationem, donec eos iam appulsos videbant.“ Mox de Solygio colle, unde Dores profecti Aeoles impugnabant, adi Od. Muell. Dor. 1. p. 85., et si qui cognoscere volent, qui populi Aeoles appellati sint, adeant eundem Orchom. p. 140 sqq., ibique adn. 6.

θίοις ἐπολέμουν οὖσιν Αἰολεῦσι· καὶ κώμη νῦν ἐπ' αὐτοῦ Σολύγεια καλουμένη ἐστίν. ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου ἔνθα αἱ νῆες κατέσχον ἡ μὲν κώμη αὕτη δώδεκα σταδίους ἀπέχει, ἡ δὲ Κορινθίων πόλις ἑξήκοντα, ὁ δὲ ἰσθμὸς εἴκοσι. Κορίνθιοι δὲ προπυθόμενοι ἐξ Ἄργους ὅτι ἡ στρατιὰ ἥξει τῶν Ἀθηναίων, ἐκ πλείονος ἐβοήθησαν ἐς ἰσθμὸν πάντες πλὴν τῶν ἔξω ἰσθμοῦ·

ὁ δὲ ἰσθμὸς εἴκοσι] Prope confinia Corinthiae et Epidauriae Piraeus portus iacebat. v. Thuc. 8, 10. Inde progressus occasum et septentriones versus pervenis ad collem Solygeum, ad cuius radices Rhetus in mare exit, rivulus pari cum ora linea ab austro versus profluens. Inde a Rheto et Solygeo colle usque ad Chersonesum humile litus porrigitur, quod *αἰγιαλὸς* hic dicitur, ubi Athenienses appulerunt. Ad Chersonesum et ipsam Chersonesum intrans Oneon mons extenditur profectus Corintho versus. Per hunc montem non licuit, ut ii, qui Cenchreis essent, pugnam in *αἰγιαλῷ* pugnatam conspicerent, Thuc. c. 44. Nam Chersoneso septentriones versus profectus Cenchreas pervenis, Cenchreis Schoenuntem, ubi tractus ille angustus erat, per quem naves, quae Peloponnesum circumnavigare nolebant, transportari solebant. v. Thuc. 3, 3. 8, 8. Quare hic locus *δίολκος* appellabatur. v. Strab. p. 380. Siebel. Hellen. p. 223. Wachsm. Antt. Gr. 1, 1. p. 16. Inde a Schoenunte litus ad dextram conversum promontorium fit, in quo situs erat Crommyon vicus *κώμη τῆς Κορινθίας, πρότερον δὲ τῆς Μεγαρίδος* Strab. p. 380., *ἔστι δὲ ἐπὶ τοῦ ἰσθμοῦ τῆς ἀρχῆς* Pausan. 2, 1, 4. Crommyone per viam Scironiam iter Megaram patebat. „Distantia Corinthi a loco, ubi Athenienses appellebant, prorsus convenit cum sexaginta stadiis a Thucydide memoratis, atque ex vicinia Cenchrearum et interveniente Oneo apparet, cum pulvis quidem, nec tamen pugna conspicua fieri potuerit. Una difficultas superesse videtur, quod distantiam *αἰγιαλοῦ*, ubi Athenienses appellebant et isthmi uno consensu omnes libri scripti Thucydidis faciunt viginti stadiorum esse. Hoc nimis parvum videtur intervallum; verum si ponimus extremitatem septentrionalem *αἰγιαλοῦ* sub Oneo, reperiemus, viginti stadia i. e. duo milliaria et 313 cubita (yards) haud paulo ultra Cenchreas septentriones versus pertinere. Isthmus enim et latiori et angustiori sensu accipi potest, nec novimus, utro sensu aetate Thucydidis id nomen usurpatum fuerit. Probabile est, inditum esse toti tractui inter utrumque iugum Onei, australe, quod porrigitur Corintho ad Chersonesum, et septentrionale, quod prope Schoenuntem ad mare descendit. Cenchreae ipsae sic in isthmo sitae fuerint et intervallum inter has et ipsum medium *αἰγιαλόν* non excederet viginti stadia." Arn. Vol. 2. p. 399. Wachsm. l. c. p. 299 sq. immerito negare videtur, Oneon seriem montium etiam ad septentriones ab isthmo fuisse. Vid. Reingan. Megar. p. 13 sqq. et Od. Muell. Dor. 2. p. 432. et de Oneo monte ad austrum ab isthmo v. Reingan. ibidem p. 14. et Wachsm. p. 16. In tabulis cum aliis, tum Reinganumii et Od. Muelleri Oneon mons non satis intrat Chersonesum, nec satis officit Cenchreis oculos ad *αἰγιαλόν* convertentibus; certissima huius regionis in ipsis locis facta delineatio apud Arnoldum est. Crommyon 120 stadiis a Corintho distabat.

ἐκ πλείονος] Verissime Did. haec verba iungit non cum *προπυθόμενοι*, sed cum *ἐβοήθησαν*, quia sensus horum verborum vel syllaba *προ* in *προπυθόμενοι* continetur. Etenim *ἐκ πλείονος* est längere Zeit voraus, sicut 8, 88. *εἰδὼς ἐκ πλείονος τὴν Τισσαφέρνου γνώμην*, et 4, 67. *ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν*, indem sie schon lange voraus sich das Thor hatten öffnen lassen. Mox omnes

καὶ ἐν Ἀμπρακίᾳ καὶ ἐν Λευκαδίᾳ ἀπῆεσαν αὐτῶν πεντακόσιοι φρουροί· οἱ δ' ἄλλοι πανδημεὶ ἐπετήρουν τοὺς Ἀθηναίους οἳ κατασχήσουσιν. ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς καταπλεύσαντες καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν ἐν Κεγχρειᾷ, ἣν ἄρα οἱ Ἀθηναῖοι ἐπὶ τὸν Κρομμυῶνα ἴωσιν, ἐβοήθουν κατὰ τάχος. καὶ Βάττος μὲν ὁ ἕτερος τῶν στρατηγῶν, δύο γὰρ ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες, λαβὼν λόχον ἦλθεν ἐπὶ τὴν Σολύγειαν κώμην φυλάξων ἀτείχιστον οὖσαν, Λυκόφρων δὲ τοῖς ἄλλοις ξυνέβαλε. καὶ πρῶτον μὲν τῷ δεξιῷ κέρα τῶν Ἀθηναίων εὐθὺς ἀποβεβηκότι πρὸ τῆς Χερσονήσου οἱ Κορίνθιοι ἐπέκειντο, ἔπειτα δὲ καὶ τῷ ἄλλῳ στρατεύματι. καὶ ἦν ἡ μάχη καρτερὰ καὶ ἐν χερσὶ πᾶσα. καὶ τὸ μὲν δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ Καρυστίων, οὗτοι γὰρ παρατεταγμένοι ἦσαν ἔσχατοι, ἐδέξαντό τε τοὺς Κορινθίους καὶ ἐώσαντο μόλις· οἱ δὲ ὑποχωρήσαντες πρὸς αἱμασιάν, ἦν γὰρ τὸ χωρίον πρύσαντες πᾶν, βάλλοντες τοῖς λίθοις καθύπερθεν ὄντες καὶ παιωνίσαντες

libri offerunt *ἐν Λευκαδίᾳ ἀπῆεσαν*, Bekk. taeite *ἀπῆσαν* scripsit. Popp. putat, in *ἀπῆεσαν* simul notionem verbi *ἀπῆσαν* inesse, ut vicissim dicatur *παραγίγνεσθαι* et *παρεῖναι εἴς τινα τόπον*. Ac sane eodem modo loquitur Ovid. 3. Fast. 664. *plebs vetus fugit* et *in sacri vertice montis abit*. Et Popp. ad Xen. Anab. 4, 7, 17. confert Xen. H. Gr. 7, 5, 10. *ἐν Ἀρκαδίᾳ ἀπῆεσαν*, i. e. *ἀπῆεσαν*, ait, et *ἐν Ἀρκαδίᾳ ἦσαν*, quasi dicas sie waren fort in Arcadien. Porro in *τὰ σημεῖα* scriptor articulum addidit, significans signa, de quibus convenerat. Schol. *αὐτοῖς τοῖς Κορινθίοις ἤρθη τὰ σημεῖα παρὰ τῶν φίλων αὐτῶν ἐν τῇ χώρᾳ, σημαινόντων αὐτοῖς ὅτι πολέμιοι ἐπῆλθον*. Negant Bau. et Bred., ignifera signa hic indicari: haec enim non posse vocabulo *σημεῖα* dici. Quare *αὐτοῖς* non referunt ad Corinthios, sed ad Athenienses: *et quum Atheniensibus signa sublata essent* i. e. signa humo fixa et tunc refixa, quo exercitus iter ingredi iuberetur. Quo nihil cogitari potest ineptius. Nam ne dicam, in eadem sententia modo *αὐτούς* ad Corinthios, modo *αὐτοῖς* ad Athenienses referri, quid signa ab Atheniensibus humo fixa, quibus ipsi castra movere iuberentur, ad Corinthios spectant? Et sequuntur verba *καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν* (Corinthii) *ἐβοήθουν κατὰ τάχος*. Itane vero hi tum demum profecti sunt, postquam Athenienses appulsi signum profectionis terrestris dederant? Nihil obstat, quominus *σημεῖα* accipiamus signa Corinthiis ex illa regione, ubi Athenienses noctu appulerant, a suis data. Sic infr. c. 111. postquam scriptor dixit, Brasidam iussisse peltastas suos *ὅπως ὁπότε τὸ σημεῖον ἀρθείη ὃ ξυνέκειτο, πρῶτοι ἐσδράμοιεν*, exeunte cap. subiicit: *ἔπειτα τὸ σημεῖον τοῦ πυρὸς, ὡς εἴρητο, ἀνέσχον*. Omitto, quod Corinthii ab Atheniensibus longius aberant, quam ut signorum ab his humo fixorum sublationem cernerent.

43. *τοῖς λίθοις*] i. e. lapidibus, unde constructa erat maceria (*αἱμασιά*), quam modo memoravit. Arn. Ad *πειράσειν* Schol. supplet *ἐλθεῖν*. Popp. comparat cum locutione nostra auf den Flecken einen Versuch machen. Sed hoc sensu ubique genitivus cum hoc verbo iungitur, velut 1, 61. 4, 70. 7, 12. etc. Quare Reisk. et Heilm. coniecerunt *περάσειν*. Bau. ait, ut *φυλάσσειν περὶ χώραν* i. e. *φυλακὴν ποιεῖσθαι* dicatur, ita hic *πειράσειν* dici pro *πεῖραν ποιήσεσθαι*. Arn. in ipso *πειράσειν* latere dicit *ἐλθεῖν*, comparans locutionem Anglicam they expected that they would try for Solygeia i. e. would try to get there.

ἐπῆεσαν αὖθις, δεξαμένων δὲ τῶν Ἀθηναίων ἐν χερσὶν ἦν πάλιν ἡ μάχη. λόχος δέ τις τῶν Κορινθίων ἐπιβοηθήσας τῷ εὐωνύμῳ κέρᾳ ἑαυτῶν ἔτρεψε τῶν Ἀθηναίων τὸ δεξιὸν κέρας καὶ ἐπεδίωξεν ἐς τὴν θάλασσαν· πάλιν δὲ ἀπὸ τῶν νεῶν ἀνέστρεψαν οἵ τε Ἀθηναῖοι καὶ οἱ Καρύστιοι. τὸ δὲ ἄλλο στρατόπεδον ἀμφοτέρωθεν ἐμάχετο ξυνεχῶς, μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων, ἐφ' ᾧ ὁ Λυκόφρων ὢν κατὰ τὸ εὐώνυμον τῶν Ἀθηναίων ἠμύνετο· ἤλπιζον γὰρ αὐτοὺς ἐπὶ τὴν
44 Σολύγειαν κώμην πειράσειν. χρόνον μὲν οὖν πολὺν ἀντεῖχον οὐκ ἐνδιδόντες ἀλλήλοις· ἔπειτα, ἦσαν γὰρ τοῖς Ἀθηναίοις οἱ ἱππῆς ὠφέλιμοι ξυμμαχόμενοι, τῶν ἑτέρων οὐκ ἐχόντων ἵππους, ἐτράποντο οἱ Κορίνθιοι καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον, καὶ ἔθεντο τὰ ὅπλα καὶ οὐκέτι κατέβαινον, ἀλλ' ἡσύχαζον. ἐν δὲ τῇ τροπῇ ταύτῃ κατὰ τὸ δεξιὸν κέρας οἵ πλεῖστοί τε αὐτῶν ἀπέθανον καὶ Λυκόφρων ὁ στρατηγός. ἡ δὲ ἄλλη στρατιὰ τούτῳ τῷ τρόπῳ οὐ κατὰ δίωξιν πολλὴν οὐδὲ ταχείας φυγῆς γενομένης, ἐπεὶ ἐβιάσθη, ἐπαναχωρήσασα πρὸς τὰ μετέωρα ἱδρύθη. οἱ δὲ Ἀθηναῖοι, ὡς οὐκέτι αὐτοῖς ἐπῆεσαν ἐς μάχην, τούς τε νεκροὺς ἐσκύλευον καὶ τοὺς ἑαυτῶν ἀνῃροῦντο, τροπαῖόν τε εὐθέως ἔστησαν. τοῖς δ' ἡμίσεσι τῶν Κορινθίων, οἳ ἐν τῇ Κεγχρειᾷ ἐκάθηντο φύλακες μὴ ἐπὶ τὸν Κρομμυῶνα πλεύσωσι, τούτοις οὐ κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ Ὀνείου· κονιορτὸν δὲ ὡς εἶδον καὶ ὡς ἔγνωσαν, ἐβοήθουν εὐθύς. ἐβοήθησαν δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι τῶν Κορινθίων, αἰσθόμενοι τὸ γεγενημένον· ἰδόντες δὲ οἱ Ἀθηναῖοι ξύμπαντας αὐτοὺς ἐπιόντας, καὶ νομίσαντες τῶν ἐγγὺς ἀστυγειτόνων Πελοποννησίων βοήθειαν ἐπιέναι, ἀνεχώρουν κατὰ τάχος ἐπὶ τὰς ναῦς, ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκροὺς πλὴν δυοῖν οὓς ἐγκατέλιπον οὐ δυνάμενοι εὑρεῖν. καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους, ἐκ δ' αὐτῶν ἐπικηρυκευσάμενοι τοὺς νεκροὺς οὓς ἐγκατέλιπον ὑποσπόνδους ἀνείλοντο. ἀπέθανον δὲ Κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα καὶ διακόσιοι, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους πεντήκοντα.

44. *κατὰ τὸ δεξιόν*] sc. *τῶν Κορινθίων*. Verba *τούτῳ τῷ τρόπῳ* statim explicantur verbis *οὐ κατὰ δίωξιν πολλὴν, οὐδὲ ταχείας φυγῆς γενομένης*. Et *τὴν ἄλλην στρατιάν* intellige sinistram alam exercitus Corinthiorum. Mox vulgo legitur *τούς τε ἀλλοτρίους νεκρούς*, sed *ἀλλοτρίους* om. libri plerique. „Abr. suppositium habet; ita in sqq. *ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκρούς* legi et 5, 74. *τοὺς νεκροὺς ἐσκύλευον καὶ τοὺς αὐτῶν ἀνείλοντο*, quamquam 4, 97. legimus *τούς τε ἑαυτῶν ἀνελόμενοι νεκροὺς, τούς τε τῶν πολεμίων σκυλεύσαντες.*“ Gottl. Mox *εὐθέως* Popp. dicit rarissimum esse apud Thuc. pro *εὐθύς*, legi tamen 8, 74. Deinde in verbis *καὶ ὡς ἔγνωσαν* pauci libri *ὡς* om. „Cur repetit *ὡς*? Nempe ne *ἔγνωσαν* referretur ad *κονιορτόν*, sed ut nova sententia inciperet.“ Bau. Steph.: *ubi pulverem conspexerunt et rem cognoverunt.*

Ἄραντες δὲ ἐκ τῶν νήσων οἱ Ἀθηναῖοι ἔπλευσαν αὐθη- 45
μερὸν ἐς Κρομμυῶνα τῆς Κορινθίας· ἀπέχει δὲ τῆς πόλεως εἴκοσι καὶ ἑκατὸν σταδίους. καὶ καθορμισάμενοι τήν τε γῆν ἐδῄωσαν καὶ τὴν νύκτα ηὐλίσαντο. τῇ δ' ὑστεραίᾳ παραπλεύσαντες ἐς τὴν Ἐπιδαυρίαν πρῶτον καὶ ἀπόβασίν τινα ποιησάμενοι ἀφίκοντο ἐς Μεθώνην τὴν μεταξὺ Ἐπιδαύρου καὶ Τροιζῆνος, καὶ ἀπολαβόντες τὸν τῆς Χερσονήσου ἰσθμὸν ἐτείχισαν, ἐν ᾧ ἡ Μεθώνη ἐστί, καὶ φρούριον καταστησάμενοι ἐλῄστευον τὸν ἔπειτα χρόνον τήν τε Τροιζηνίαν γῆν καὶ Ἁλιάδα καὶ Ἐπιδαυρίαν. ταῖς δὲ ναυσίν, ἐπειδὴ ἐξετείχισαν τὸ χωρίον, ἀπέπλευσαν ἐπ' οἶκον.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον ὃν ταῦτα ἐγίγνετο, καὶ Εὐ- 46
ρυμέδων καὶ Σοφοκλῆς, ἐπειδὴ ἐκ τῆς Πύλου ἀπῆραν ἐς τὴν Σικελίαν ναυσὶν Ἀθηναίων, ἀφικόμενοι ἐς Κέρκυραν ἐστράτευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν τῷ ὄρει τῆς Ἰστώνης Κερκυραίων καθιδρυμένους, οἳ τότε μετὰ τὴν στάσιν διαβάντες ἐκράτουν τε τῆς γῆς καὶ πολλὰ ἔβλαπτον. προσβαλόντες δὲ τὸ μὲν τείχισμα εἷλον· οἱ δὲ ἄνδρες καταπεφευγότες ἀθρόοι πρὸς μετέωρόν τι ξυνέβησαν ὥστε τοὺς μὲν ἐπικούρους παραδοῦναι, περὶ δὲ σφῶν τὰ ὅπλα παραδόντων τὸν Ἀθηναίων δῆμον διαγνῶναι. καὶ αὐτοὺς ἐς τὴν νῆσον οἱ στρατηγοὶ τὴν Πτυχίαν ἐς φυλακὴν διεκόμισαν ὑποσπόνδους, μέχρι

45. *Μεθώνην*] Strab. p. 575. B. Alm. *μεταξὺ δὲ Τροιζῆνος καὶ Ἐπιδαύρου χωρίον ἦν ἐρυμνὸν Μεθάνα — παρὰ Θουκυδίδῃ δὲ ἔν τισιν ἀπογράφοις Μεθώνη φέρεται ὁμώνυμος τῇ Μακεδονικῇ.* V. tabulam nr. 25. ap. Gu. Gell. in Argol. Locus etiamnunc appellatur Methana.

46. *κατὰ — χρόνον, ὃν*] Vulgo *κατὰ — χρόνον καθ' ὃν ταῦτα*, sed *καθ' ὃν* deest in libris compluribus iisque optimae notae. „Quos libros quamquam sequi licet (ut dicitur *ἤδη ταῦτα ἐγένετο καί* etc.), nos tamen abiecto *κατά* malimus retineri *ὃν*, quod propter ultimam syllabam vocis *χρόνον* facile potuit excidere. Nam ita Thuc. loquitur *κατὰ τὸν χρόνον ὃν* 3, 17. 18. Conf. 3, 94. et Matth. §. 595. extr.“ Popp. Verba *οἳ τότε μετὰ τὴν στάσιν* etc. significant *eo tempore, quo narravi* (3, 85.), *post seditionem* etc. Mox in verbis *ὥστε ἐάν τις ἀλῷ* unus D. praebet *ἐάν*, quod Popp. leviter confirmari ait a Polyaeno 6, 21. Vulgo *ἄν*, quod ab hoc scriptore alienum esse videtur. Vid. Krueg. ad Dionys. p. 274 sq. Ἂν pro *ἐάν* praeter h. l. tantum ter repetitur 6, 13. 18. 8, 75., ubi a librariis inlatum esse probabile est. Deinde *τοὺς ἐλθόντας* Krueg. l. c. p. 150. dictum putat pro *αὐτοὺς ἐλθόντας* i. e. *eos*, optimates in Ptychiam traiectos, *ubi advenissent*, allatis his locis 5, 27. *τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος.* 65. *ἐβούλετο τοὺς ἀπὸ τοῦ λόφου βοηθοῦντας καταβῆσαι.* 4, 131. *ἐκκρούσαντες τοὺς ἐπιόντας ἐσιατοπεδεύσαντο.* Qui loci nihil commune cum praesenti habent, quia in iis interpretandum est *eos, qui populo non persuaserunt — eos qui occurrebant — eos qui impetum exceperant.* v. Matth. §. 270. 557. 4. Et his locis omnibus intelligenda pars est numeri alicuius, praesenti loco totus numerus: sie bei ihrer Ankunft. Quare non infitiandum est, exspectari potius *αὐτοὺς ἐλθόντας*, verum magis etiam velim *τούς* deleri.

οὗ Ἀθήναζε πεμφθῶσιν, ὥστε ἐάν τις ἁλῷ ἀποδιδράσκων, ἅπασι λελύσθαι τὰς σπονδάς. οἱ δὲ τοῦ δήμου προστάται τῶν Κερκυραίων δεδιότες μὴ οἱ Ἀθηναῖοι τοὺς ἐλθόντας οὐκ ἀποκτείνωσι μηχανῶνται τοιόνδε τι. τῶν ἐν τῇ νήσῳ πείθουσί τινας ὀλίγους, ὑποπέμψαντες φίλους καὶ διδάξαντες ὡς κατ' εὔνοιαν δὴ λέγειν ὅτι κράτιστον αὐτοῖς εἴη ὡς τάχιστα ἀποδρᾶναι, πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν· μέλλειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ τῶν
47 Κερκυραίων. ὡς δὲ ἔπεισαν καὶ μηχανησαμένων τὸ πλοῖον ἐκπλέοντες ἐλήφθησαν, ἐλέλυντό τε αἱ σπονδαὶ καὶ τοῖς Κερκυραίοις παρεδέδοντο οἱ πάντες. ξυνελάβοντο δὲ τοῦ τοιούτου οὐχ ἥκιστα, ὥστε ἀκριβῆ τὴν πρόφασιν γενέσθαι καὶ τοὺς τεχνησαμένους ἀδεέστερον ἐγχειρῆσαι, οἱ στρατηγοὶ τῶν Ἀθηναίων, κατάδηλοι ὄντες τοὺς ἄνδρας μὴ ἂν βούλεσθαι ὑπ' ἄλλων κομισθέντας, διότι αὐτοὶ ἐς Σικελίαν ἔπλεον, τὴν τιμὴν τοῖς ἄγουσι προσποιῆσαι. παραλαβόντες δὲ αὐτοὺς οἱ Κερκυραῖοι ἐς οἴκημα μέγα καθεῖρξαν, καὶ ὕστερον ἐξάγοντες κατὰ εἴκοσιν ἄνδρας διῆγον διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων, δεδεμένους τε πρὸς ἀλλήλους καὶ παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγμένων, εἴ πού τίς τινα ἴδοι ἐχθρὸν ἑαυτοῦ· μαστιγοφόροι τε παριόντες ἐπε-
48 τάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προϊόντας. καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ οἰκήματι τούτῳ τῷ τρόπῳ ἐξαγαγόντες καὶ διαφθείραντες· ὤοντο γὰρ αὐτοὺς μεταστήσοντάς ποι ἄλλοσε ἄγειν· ὡς δὲ ἤσθοντο καί τις αὐτοῖς ἐδήλωσε, τούς τε Ἀθηναίους ἐπεκαλοῦντο καὶ ἐκέλευον σφᾶς, εἰ βούλονται, αὐτοὺς διαφθείρειν, ἔκ τε τοῦ οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι, οὐδ' ἐσιέναι ἔφασαν κατὰ δύναμιν περιόψεσθαι οὐδένα.

47. *παρεδέδοντο*] Cass. (in quo tamen ead. man. super ε scriptum ι), Aug. Pal. It. Vat. C. Reg. cod. Bas. Gr. Cl. Ven. Vulgo *παρεδίδοντο*, quod Popponi magis placet, quamquam praecedat *ἐλέλυντο*, der Vergleich war damit aufgehoben, und sie wurden übergeben. Plusquamperfectum Arn. ait positum esse, quia scriptor vult eventum tempore priorem non solum praecedere alterum significare, sed etiam praeparare alterum, quasi dicas (si recte intelligo), der Vertrag war gebrochen und die Folge davon war, dass sie Gefangene der Corcyraeer waren. Cum locutione *ἐπετάχυνον τῆς ὁδοῦ* idem confert Hesiod. opp. et D. 577. apud Matth. §. 338. et infr. c. 60. *τῆς ἀρχῆς προκοπτόντων ἐκείνοις*. Pro *τοὺς — προϊόντας* „fortassis aliquis malit *προϊόντας*, nam haec interdum permutantur.“ Duk. Vulgatam servat Suid., qui h. l. habet in v. *σχολαίτερον*. „Hic, opinor, opus est *προϊόντας*, quia nulla res indicata est, quo itur, et proinde *προϊόντας* significans *euntes aliquo* et, ubi res quo itur significata est, idem valens, quod *προϊόντας*, in praesenti loco nequit apte adhiberi, cum captivi tantum *procederent*, non aliquo irent.“ Arn.

48. *μεταστήσοντας*] Vulgo *μεταστήσαντας*. Correctum est in minori ed. Lipsiensi apud Tauchnitzium venali. Mox *σφαγάς* intellige iugulum. v. Iacobs. ad Achill. Tat. p. 661.

οἱ δὲ Κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐδ' αὐτοὶ διενοοῦντο βιάζεσθαι, ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοῦ οἰκήματος καὶ διελόντες τὴν ὀροφὴν ἔβαλλον τῷ κεράμῳ καὶ ἐτόξευον κάτω· οἱ δὲ ἐφυλάσσοντό τε ὡς ἠδύναντο καὶ ἅμα οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον, οἱστούς τε οὓς ἀφίεσαν ἐκεῖνοι ἐς τὰς σφαγὰς καθιέντες καὶ ἐκ κλινῶν τινων αἳ ἔτυχον αὐτοῖς ἐνοῦσαι τοῖς σπάρτοις καὶ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, ἀπαγχόμενοι, παντὶ τρόπῳ τὸ πολὺ τῆς νυκτός, ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι, ἀναλοῦντες σφᾶς αὐτοὺς καὶ βαλλόμενοι ὑπὸ τῶν ἄνω διεφθάρησαν. καὶ αὐτοὺς οἱ Κερκυραῖοι, ἐπειδὴ

καὶ ἐκ κλινῶν — διεφθάρησαν] Constructio verborum haec est: *οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον οἱστούς τε καθιέντες καὶ τοῖς σπάρτοις ἐκ κλινῶν — καὶ τοῖς παραιρήμασιν ἐκ τῶν ἱματίων, ἃ ἐποίησαν (ἀπέσχισαν) ἀπαγχόμενοι, παντὶ τρόπῳ — ἀναλοῦντες σφᾶς αὐτούς, καὶ* (et insuper) *βαλλόμενοι — διεφθάρησαν*. Respondent inter se *οἱ δὲ ἐφυλάσσοντο καὶ ἅμα σφᾶς αὐτοὺς διέφθειρον*, et *καὶ βαλλόμενοι — διεφθάρησαν*. Sententia *σφᾶς αὐτοὺς διέφθειρον* tribus membris explicatur: *καθιέντες — ἀπαγχόμενοι — παντὶ τρόπῳ ἀναλοῦντες σφᾶς αὐτούς*. Pro *τοῖς παραιρήμασιν ἐκ τῶν ἱματίων, ἃ ἐποίησαν* variata oratione dixit *καὶ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες*, quum concinnitas postularet, ut post *τοῖς σπάρτοις ἐκ κλινῶν* diceret *τοῖς παραιρήμασιν ἐκ τῶν ἱματίων*. Suidas corrupte *παραιρήσεται, ἀφαιρήσεται*. *Θουκυδίδης*· „*διέφθειρον σφᾶς αὐτούς, οἱ μὲν ἀπὸ κλινῶν σπάρτα, οἱ δ' ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες*“ (*τουτέστιν ἀφαιρήματα*) „*ἀπήγχοντο*.“ Haec repetuntur a Phavorino in v. et a Schol. Demosth. Phil. 2. p. 46. Par., nisi quod apud hos ambos est *σπάρτας*, corruptum illud ex *σπάρτοις*. At *σπάρτοις* tuetur Pollux 10, 37., usus hac particula huius loci: *ἐκ κλινῶν τοῖς σπάρτοις ἀπαγχόμενοι*, quo simul tuetur participium *ἀπαγχόμενοι*, quod Poppo interpretamenti speciem prae se ferre voluerat. Pro *παραιρήματα* alii libri habent *παραιωρήματα* vel *παρωρήματα*. Reisk. reponi volebat aut *παραωρήματα* aut *παραιτήματα*. Conf. Lenz. in Matth. Miscc. Philol. Vol. 1. p. 49 sq. adn. Photius *παραιρημάτων, τῶν ἱματίων*. Scribe *παραιρήματα τῶν ἱματίων* ex emend. Albertii ad Hesych. Vol. 2. p. 868. nr. 19. Sic enim legitur apud Moer. p. 299. citato Thucydide et in Anecdd. Bekk. 1. p. 112., denique apud Suidam, Scholiastam Demosth. atque Phavorin. Quamquam Schleusn. Animadv. p. 70. et Curis Novis ad Phot. p. 310. legi vult *παραιρημάτων ἐκ τῶν ἱματίων*. „Fortasse tamen, addit, ante *ἱματίων* excidit vox *παραρραμμάτων*, supplenda ex Hesychio, aut notius *παραρμάτων*, quae Galeno 2. Commentt. in libr. de Art. p. 608, 52. sunt *παραιρούμενα ἀπὸ τῶν ἀμφιεσμάτων ὑπὸ τῶν ῥαπτόντων αὐτά*.“ Nos Sahlband. Hesych. *παραιρήματα· παραρράμματα ἱματίων* i. e. *adsumenta*. Conf. Hesychii interpretes. Pollux 7, 64. *Θουκυδίδης δὲ* „*ἐκ τῶν ἐσθήτων παραιρήματα*,“ *τὰ πρὸς ταῖς ὤαις, ἃς παραιρεῖσθαί φησιν, ὡς ἰσχυρὰ εἰς ἀγχόνην*. Pierson. ad Moer.: „Illud certum, ait, videtur, si *παραιρήματα* pro *vestium fimbriis* ponantur, aliud verbum quam *ποιεῖν* requiri, quod tamen Suidas confirmat. Sin *παραιρήματα* pro *restibus* posuerit Thuc., manuscriptorum lectio *παραωρήματα* praeferenda est.“ Contra haec valet Scholiastae interpretatio, qui breviloquentiam in verbis *παραιρήματα ποιοῦντες* inesse ostendit: *ὡς ἂν εἰ ἔλεγεν*, inquit, *τελαμῶνάς τινας ἀποσχίζοντες τῶν ἱματίων, ὥσπερ ζώνας ἐποίουν, καὶ πλέκοντες αὐτὰ, καὶ ποιοῦντες ὥσπερ σχοινία, οὕτως αὐτοῖς ἐχρῶντο*

ἡμέρα ἐγένετο, φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες ἀπήγαγον ἔξω τῆς πόλεως. τὰς δὲ γυναῖκας ὅσαι ἐν τῷ τειχίσματι ἐάλωσαν ἠνδραποδίσαντο. τοιούτῳ μὲν τρόπῳ οἱ ἐκ τοῦ ὄρους Κερκυραῖοι ὑπὸ τοῦ δήμου διεφθάρησαν, καὶ ἡ στάσις πολλὴ γενομένη ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε κατὰ τὸν πόλεμον τόνδε· οὐ γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέρων ὅ, τι καὶ ἀξιόλογον. οἱ δὲ Ἀθηναῖοι ἐς τὴν Σικελίαν, ἵναπερ τὸ πρῶτον ὥρμηντο, ἀποπλεύσαντες μετὰ τῶν ἐκεῖ ξυμμάχων ἐπολέμουν.

πρὸς τὸ ἀπάγχεσθαι. Conf. Interpp. ad Polluc., Steph. Thes. L. Gr. Vol. 1. p. 199. Athenae. 5. p. 208. C., ibique Casaub. p. 364. Denique pro *παντὶ τρόπῳ* Popp. restitutum vult *παντί τε τρόπῳ* ad fulciendam, ut ait, orationem, cuius duo quasi membra sint, alterum *σφᾶς αὐτοὺς διέφθειρον, οἵστούς τε — ἀπαγχόμενοι*, alterum *παντί τε τρόπῳ — διεφθάρησαν*. Haec tamen vera sententiae partitio non est, siquidem in altero horum membrorum idem rediret, quod in priori est. Quid enim verbis *ἀναλοῦντες σφᾶς αὐτούς* aliud indicatur, quam verbis *σφᾶς αὐτοὺς διέφθειρον*? Nec Popponis correctionem interpretatio Vallae iuvat: *omni denique ratione*. Nam *denique* addi potuit copulandis verbis *παντὶ τρόπῳ ἀναλοῦντες σφᾶς αὐτούς*, in quibus tertium membrum eorum consistit, quae posui ut partes sententiae *σφᾶς αὐτοὺς διέφθειρον*. Quod si recte a me factum est, nihil refert, utrum *παντί* sine an cum *τε* legere malis. Unde patet, necessariam quidem hanc particulam non esse. Nec mihi probatur ratio Reisigii Coniectt. ad Aristoph. p. 316., qui videtur in h. l. anacoluthon invenisse, quod aut verba *σφᾶς αὐτοὺς διέφθειρον*, aut verbum *διεφθάρησαν* abesse posse putaret. Atqui illa quidem salvo sensu deleri possunt, verbum *διεφθάρησαν* non item, propterea quod qui *ὑπὸ τῶν ἄνω βαλλόμενοι* perierunt, *διεφθάρησαν* quidem, sed non *σφᾶς αὐτοὺς διέφθειρον*. Porro *ἀναλοῦντες* dedi ex coniectura Heilmanni pro vulgata *ἀναδοῦντες*. Nam et Phavorin. ex Thucydide citat *ἀναλοῦντες ἀντὶ τοῦ ἀναιροῦντες*, quae scriptura in vulgatis exemplaribus nusquam reperitur, et *παντὶ τρόπῳ ἀναδοῦντες σφᾶς αὐτούς* inepte diceretur. Quamquam vel ita pro *ἀναδεῖν* verbum latioris ambitus requiri monuit Popp., quum Corcyraei et sagittis iugulo defixis et restibus sese interemerint, *ἀναδεῖν* autem si significare possit ***strangulare*** (quod non verisimile videtur, quum ubique sit vel ***redimire***, vel ***religare***), non spectet nisi ad alterum mortis genus. „Ita igitur, addit, pro altero e duobus membris coordinatis (***ipsi se interficiebant — ab hostibus interficiebantur***) poneretur subordinatum. Imo e tribus membris subordinatis unum membrum tolleretur, si vere de h. l. paulo ante disputavi, si quidem idem membrum (*ἀπαγχόμενοι*) repeteretur alio verbo *ἀναδοῦντες*. Et praeter Phavorinum etiam Suidas s. v. *ἀναλοῦντες* et Zonar. scribunt *ἀναλοῦντες, ἀντὶ τοῦ ἀναιροῦντες, Θουκυδίδης· καὶ ἀναλῶν καὶ ἀναλοῦν* (v. Thuc. 2, 24. 6, 12.). „Atque hanc fuisse, addit Popp., scripturam, quam Vall. in cod. suo invenerit, interpretatio eius declarat: ***omni denique ratione sibi manus inferentes, tum a superne ferientibus interemti sunt.***“ Adde Thuc. 8, 65. *καὶ ἄλλους τινὰς ἀνεπιτηδείους τῷ αὐτῷ τρόπῳ κρύφα ἀνάλωσαν.*

φορμηδόν] Suid. in v. locum ita adscripsit: *καὶ τοὺς νεκροὺς οἱ Κερκυραῖοι φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες ἀπήγαγον ἔξω τῆς πόλεως.* Schol. *ὡς ἐάν τις πλέξῃ φορμοὺς, τοὺς καλουμένους ψιάθους, τοὺς μὲν κατὰ μῆκος αὐτῶν τιθέντες ἄλλους δὲ πλαγίως ἐπιβάλλοντες καὶ αὐτῶν ἐμφαίνει δὲ τοῦτο τῶν Κερκυραίων τὴν ὠμότητα ἐς τοὺς ἀποθανόντας, ὅτι οὐδὲ μετὰ τὸν ἐκείνων θάνατον τοῦ πρὸς ἐκείνους μίσους ἐπαύσαντο.*

ἡ στάσις — ἐτελεύτησεν] v. Wachsm. Antt. Gr. 1, 2. p. 219, 30.

Καὶ οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι καὶ Ἀκαρνᾶνες ἅμα 49
τελευτῶντος τοῦ θέρους στρατευσάμενοι Ἀνακτόριον Κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, ἔλαβον προδοσίᾳ· καὶ ἐκπέμψαντες Κορινθίους αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορες ἀπὸ πάντων ἔσχον τὸ χωρίον. καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀριστείδης ὁ Ἀρχίππου, 50
εἷς τῶν ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγός, αἳ ἐξεπέμφθησαν πρὸς τοὺς ξυμμάχους, Ἀρταφέρνην ἄνδρα Πέρσην παρὰ βασιλέως πορευόμενον ἐς Λακεδαίμονα ξυλλαμβάνει ἐν Ἠιόνι τῇ ἐπὶ Στρυμόνι. καὶ αὐτοῦ κομισθέντος οἱ Ἀθηναῖοι τὰς μὲν ἐπιστολὰς μεταγραψάμενοι ἐκ τῶν Ἀσσυρίων γραμμάτων ἀνέγνωσαν, ἐν αἷς πολλῶν ἄλλων γεγραμμένων κεφάλαιον ἦν πρὸς Λακεδαιμονίους, οὐ γιγνώσκειν ὅ, τι βούλονται· πολλῶν γὰρ ἐλθόντων πρέσβεων οὐδένα ταὐτὰ λέγειν· εἰ οὖν βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ τοῦ Πέρσου ἄνδρας ὡς αὐτόν. τὸν δὲ Ἀρταφέρνην ὕστερον οἱ Ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς Ἔφεσον, καὶ πρέσβεις ἅμα· οἳ πυθόμενοι αὐτόθι βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου νεωστὶ τεθνηκότα, κατὰ γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν, ἐπ' οἴκου ἀνεχώρησαν.

Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Χῖοι τὸ τεῖχος περιεῖλον τὸ 51
καινὸν κελευσάντων Ἀθηναίων καὶ ὑποπτευσάντων ἐς αὐτούς

49. *οἰκήτορες*] Sic codices pauci quidam, sed boni. Vulgo *οἰκήτορας* cum commate post *πάντων*. Alii libri, iique et pauci et malae notae *καὶ οἰκήτορας*. „Aem. Port. supplementum suum *ἀποστείλαντες* debet Scholiastae. Sed admodum dura et, ni fallor, insolens est illa ellipsis. Fr. Porti coniecturae *οἰκήτορες* favet liber Cass. Nec puto haec ita ordinari posse *καὶ ἐκπέμψαντες Κορινθίους οἰκήτορας*.“ Duk. Verba *ἀπὸ πάντων* Schol. explicat *ἀφ' ἑκάστης πόλεως Ἀκαρνανίας ἀπέστειλαν τοὺς οἰκήτορας.*

50. *μεταγραψάμενοι*] Schol. *μεθερμηνεύσαντες.*

Ἀσσυρίων γραμμάτων] Duk. de literis Assyriorum, quibus hae epistolae conscriptae sint, intelligit, itemque Dahlm. Forsch. 1. p. 114. adn., non enim habuisse Persas suas ac proprias literarum formas, sed ad scribendum adhibuisse literas Assyrias, quas pro antiquissimis habet Plin. H. N. 7, 56. Assyrias literas exponi quidem posse Persicas, latissime accepta significatione nominis Assyriae, quo multae gentes comprehenderentur: nam et quosdam, auctore Suida in *Ἀσσύριοι*, dixisse Assyrios esse Persas. Sed nec Thucydidem, nec alios probatos historicos Duk. putat Assyrios pro Persis dixisse. Herodotus quoque 4, 87. *γράμματα Ἀσσύρια* habet, ubi Schweigh. literas Assyrias easdem dicit fuisse quas Babylonicas et Chaldaicas. Assyriae enim et Babyloniae nominibus pro synonymis uti Herodotum, et super h. l. consuli iubet Anquetilium in Actis Academ. Inscriptt. Vol. 31. p. 436. et Heeren. Commentt. Societ. Gotting. Vol. 13. p. 35. *Γράμματα* monet apud Herodotum non tam literas sive characteras intelligenda esse, quam valere *ἐπιγραφήν, inscriptionem*, quod praesenti loco Thucydidis secus est. Quod Haack. Persas dialecto Assyria locutos esse putat, constat falsum esse ex Heerenii Ideen 1, 1. p. 146. Equidem puto, characteres Assyrios intelligendos esse.

51. *ἐς αὐτούς*] Recte Popp. monet, haec verba iungenda esse

τι νεωτεριεῖν, ποιησάμενοι μέντοι πρὸς Ἀθηναίους πίστεις καὶ βεβαιότητα ἐκ τῶν δυνατῶν μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἕβδομον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῶδε ὃν Θουκυδίδης ξυνέγραψεν.

52 Τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς τοῦ τε ἡλίου ἐκλιπές τι ἐγένετο περὶ νουμηνίαν καὶ τοῦ αὐτοῦ μηνὸς ἑσταμένου ἔσεισε. καὶ οἱ Μυτιληναίων φυγάδες καὶ τῶν ἄλλων Λεσβίων, ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆς ἠπείρου, καὶ μισθωσάμενοι ἔκ τε Πελοποννήσου ἐπικουρικὸν καὶ αὐτόθεν ξυναγείραντες, αἱροῦσι Ῥοίτειον· καὶ λαβόντες δισχιλίους στατῆρας Φωκαῖτας ἀπέδοσαν πάλιν, οὐδὲν ἀδικήσαντες· καὶ μετὰ τοῦτο ἐπὶ Ἄνταν δρον στρατεύσαντες προδοσίας γενομένης λαμβάνουσι τὴν πόλιν. καὶ ἦν αὐτῶν ἡ διάνοια τάς τε ἄλλας πόλεις τὰς Ἀκταίας καλουμένας, ἃς πρότερον Μυτιληναίων νεμομένων Ἀθηναῖοι εἶχον, ἐλευθεροῦν, καὶ πάντων μάλιστα τὴν Ἄνταν δρον, καὶ κρατυνάμενοι αὐτήν (ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι αὐτόθεν, ξύλων ὑπαρχόντων καὶ τῆς Ἴδης ἐπικειμένης, καὶ τῇ ἄλλῃ παρασκευῇ),

cum νεωτεριεῖν τι, non cum ὑποπτευσάντων, quia ὑποπτεύειν ἔς τινα Graece vix dicatur. Pronomen igitur redit ad Athenienses. At verba περὶ σφᾶς redeunt ad Chios, qui quum timerent, ne deiectis moenibus suis male tuti ab Atheniensibus acturi essent, pacti sunt cum illis, ne quid in rebus suis amplius novaretur. Port.: *hoc tamen fecerunt adhibita firma cautione quantum fieri poterat, ne Athenienses quidquam de pristino civitatis suae statu innovarent.* Ubi hoc praeterea adnotandum est, verba ἐκ τῶν δυνατῶν rectius iungi cum ποιησάμενοι πίστεις καὶ βεβαιότητα, hoc sensu: *pacti tamen, quoad eius fieri poterat, firmissime* (quae est etiam sententia Schoemanni Obss. p. 11.), quam si iungas cum μηδὲν νεώτερον βουλεύσειν, ut fecit Krueg. ad Dionys. p. 331. Pro πρὸς Ἀθηναίους quivis, puto, exspectet παρὰ τῶν Ἀθηναίων, sed Arn. putat breviter dictum esse pro πράξαντες πρὸς Ἀθηναίους πίστεις σφίσιν αὐτοῖς ἐποιήσαντο, ut 5, 105. verba τῆς πρὸς τὸ θεῖον εὐμενείας idem valent, ac si scripsisset ἐν τοῖς πρὸς τὸ θεῖον τῆς ἀπ' αὐτοῦ εὐμενείας (οὐδ' ἡμεῖς οἰόμεθα κελεύψεσθαι). His addi possunt verba 6, 80. extr. καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν διαφυγεῖν, ubi item desideres τὴν παρὰ ἡμῶν ἔχθραν, quae verba, si Arnoldum sequaris, ita resolvenda erunt: καὶ ἐν τοῖς πρὸς ἡμᾶς τὴν παρὰ ἡμῶν ἔχθραν διαφυγεῖν.

52. τοῦ — ἡλίου ἐκλιπές τι] v. Heis. Eclipses belli Pelop. p. 10 sq. De verbo ἔσεισε, es war ein Erdbeben, v. Elmsl. ad Eurip. Heracl. 830. Matth. p. 590. De statere Phocaeensi v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 24. 2. p. 300. C. I. Vol. 1. p. 236. Numnus erat aureus, cuius partes erant ἕκται Φωκαΐδες, iique nummi argentei.

ἃς πρότερον] v. 3, 50. Strab. 13. p. 605. 607. De Aeolicis oppidis continentis, quae mox memorat, v. Mel. 1, 18. *Gargara et Asson, Aeoliorum colonias* et Strab. 13. p. 610.

πάντων μάλιστα] Schol. σημειῶσαι ὅτι πάντων λέγει, καὶ οὐ πασῶν. v. Vig. p. 416.

καὶ τῇ ἄλλῃ παρασκευῇ] Apertum est, inter se respondere ναῦς τε ποιεῖσθαι καὶ τῇ ἄλλῃ παρασκευῇ, ita ut duae causae afferantur, cur exules Antandrum sibi commodissimam iudicaverint, quippe quae et navium et reliqui apparatus facultatem sibi praeberet. Nam cum ὁρ-

ῥᾳδίως ἀπ' αὐτῆς ὁρμώμενοι τήν τε Λέσβον ἐγγὺς οὖσαν κακώσειν καὶ τὰ ἐν τῇ ἠπείρῳ Αἰολικὰ πολίσματα χειρώσασθαι. καὶ οἱ μὲν ταῦτα παρασκευάζεσθαι ἔμελλον.

Ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξήκοντα ναυσὶ καὶ δισ- 53
χιλίοις ὁπλίταις ἱππεῦσί τε ὀλίγοις καὶ τῶν ξυμμάχων Μιλησίους καὶ ἄλλους τινὰς ἀγαγόντες ἐστράτευσαν ἐπὶ Κύθηρα· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου καὶ Νικόστρατος ὁ Διοτρέφους καὶ Αὐτοκλῆς ὁ Τολμαίου. τὰ δὲ Κύθηρα νῆσός ἐστιν, ἐπίκειται δὲ τῇ Λακωνικῇ κατὰ Μαλέαν· Λακεδαιμόνιοι δ' εἰσὶ τῶν περιοίκων, καὶ κυθηροδίκης ἀρχὴ ἐκ τῆς Σπάρτης διέβαινεν αὐτόσε κατὰ ἔτος, ὁπλιτῶν τε φρουρὰν διέπεμπον ἀεὶ καὶ πολλὴν ἐπιμέλειαν ἐποιοῦντο. ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ' Αἰγύπτου καὶ Λιβύης ὁλκάδων προσβολή, καὶ λῃσταὶ ἅμα τὴν Λακωνικὴν ἧσσον ἐλύπουν ἐκ θαλάσσης, ἢπερ μόνον οἷόν τ' ἦν κακουργεῖσθαι· πᾶσα γὰρ ἀνέχει πρὸς τὸ Σικελικὸν καὶ Κρητικὸν πέλαγος. κατασχόντες οὖν οἱ Ἀθηναῖοι τῷ στρατῷ δέκα 54
μὲν ναυσὶ καὶ δισχιλίοις Μιλησίων ὁπλίταις τὴν ἐπὶ θαλάσσῃ

μώμενοι κακώσειν coniuncta verba τῇ ἄλλῃ παρασκευῇ recte intelligi nequeunt. Scribo igitur καὶ κρατυνάμενοι αὐτὴν (ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι αὐτόθεν, ξύλων ὑπαρχόντων καὶ τῆς Ἴδης ἐπικειμένης, καὶ τὴν ἄλλην παρασκευήν) ῥᾳδίως ἀπ' αὐτῆς ὁρμώμενοι τήν τε Λέσβον ἐγγὺς οὖσαν κακώσειν, καί etc. Sententia, quae causas continet, cur exules Lesbum a se vastatum iri speraverint, ei membro, cuius rationes reddit, praemissa est. Popp. Quam emendationem recipere non haesitassem, nisi et vulgata quodammodo defendi posset ita, ut repetatur καὶ εὐπορία ἦν τῇ ἄλλῃ παρασκευῇ, quanquam solennius poneretur genitivus τῆς ἄλλης παρασκευῆς, ut 3, 82. εὐπορίαν τοῦ καθ' ἡμέραν. Tametsi in tanto consensu librorum in dativum conspirantium satis habui uncos post παρασκευῇ removere, qui vulgo post ἐπικειμένης ponebantur. Quia autem in verbis καὶ ἦν αὐτῶν διάνοια idem sensus inest, ac si posuisset vel ᾤοντο, vel ἐνόμιζον, vel διενοοῦντο, orationem per κρατυνάμενοι et ὁρμώμενοι ita continuavit, quasi unum eorum verborum reapse praecessisset.

53. κυθηροδίκης] v. Heyn. Opusc. Acad. Vol. 1. p. 323. Od. Muell. Dor. 2. p. 30. De commerciis cum Aegypto vid. ibidem p. 26. De verbo ἀνέχει conf. 1, 46. ἡ ἄκρα ἀνέχει. v. Anecdd. Bekk. 1. p. 400. „*Tota terra Laconica procurrit in Siculum et Creticum mare versus*, sive Laconiae fines terrestres angusti sunt, fines maritimi amplissimi sunt circuitus; alluitur enim mari tum Siculo tum Cretico. Aperta eius latera a mari erant, ubi Cythera insula fortissimum propugnaculum erat, quia angulum litoris tegebat, qua periculo maxime expositum iacebat. Haec opportunitas Cytherae maxime illustratur rebus gestis a Pharnabazo et Conone, quas Xen. H. Gr. 4, 8, 7. memoriae mandavit. Quum Laconia maximam partem sine portubus esset, hostis eius litus non potuit secure populari, nisi ante Cythera potitus quasi refugio, quo se per tempestatem reciperet, et unde novas aggressiones faceret, quam primum naves solvi licebat.“ Arn. Lege omnino verba Demarati apud Herodotum 7, 235.

54. δισχιλίοις Μιλησίων ὁπλίταις] Advexerant universos graviter armatos bis mille, non tot unorum Atheniensium, totidemque Milesiorum, ut sentit Wachsm. Antt. Gr. 2, 1. p. 398, 28. Vid. cap. 53. Hos

πόλιν Σκάνδειαν καλουμένην αἱροῦσι, τῷ δὲ ἄλλῳ στρατεύματι ἀποβάντες τῆς νήσου ἐς τὰ πρὸς Μαλέαν τετραμμένα ἐχώρουν ἐπὶ τὴν ἐπὶ θαλάσσῃ πόλιν τῶν Κυθηρίων, καὶ εὗρον [εὐθὺς] αὐτοὺς ἐστρατοπεδευμένους ἅπαντας. καὶ μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ Κυθήριοι, ἔπειτα τραπόμενοι κατέφυγον ἐς τὴν ἄνω πόλιν, καὶ ὕστερον ξυνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυνάρχοντας Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν, πλὴν θανάτου. ἦσαν δέ τινες καὶ γενόμενοι τῷ Νικίᾳ λόγοι πρότερον πρός τινας τῶν Κυθηρίων, διὸ καὶ θᾶσσον καὶ ἐπιτηδειότερον τό τε παραυτίκα καὶ τὸ ἔπειτα τὰ τῆς ὁμολογίας ἐπράχθη αὐτοῖς· ἀνέστησαν γὰρ ἄν οἱ Ἀθηναῖοι Κυθηρίους, Λακεδαιμονίους τε ὄντας καὶ ἐπὶ τῇ Λακωνικῇ τῆς νή-

universos hoplitas unorum Milesiorum, nullosque Atheniensium fuisse vel propterea incredibile est, quod tantum numerum graviter armatorum epibatarum decem naves capere non poterant. vid. adn. ad 3, 95., unde disces, in singulis triremibus plerumque decem epibatas fuisse. Accedit, quod scriptor mox narrat, Athenienses τῷ ἄλλῳ στρατῷ escensionem ad Cythera oppidum maritimum fecisse: eo igitur nullos graviter armatos advexisse cogitandi essent, idque ad expeditionem, qua proelio conflicturi et maius quiddam, quippe ipsum insulae caput expugnaturi erant. Vitium latere videtur in illo numero bis mille graviter armatorum Milesiorum. Mox in verbis εὗρον εὐθὺς αὐτούς C. habet αὐτοὺς εὐθύς, D. I. om. αὐτούς, Ven. om. εὐθύς, in G. εὐθύς extra versum est. Nec Vall. εὐθύς expressit, id quod suspectum esse monet Krueg. ad Dionys. p. 132. Quare εὐθύς a nonnullis editoribus seclusum est, quos secutus sum. Mox τὴν ἄνω πόλιν quod dicit, non significat τὴν ἀκρόπολιν, quae alibi horum verborum vis est, sed eam urbem, quae aliquantum spatii ab illa, quae ad mare erat, distabat. Paulo post articulum τά in verbis τὰ τῆς ὁμολογίας om. Cass. Aug. Cl. F. Pal. It. Vat. G. Gr. D. E. Mosqu. Ar. Chr. Dan. Laur. Ven. Parm. et T. Arnoldi, qui „Fortasse, ait, τὸ παραυτίκα καὶ τὸ ἔπειτα τῆς ὁμολογίας vera scriptoris manus est, *in praesens et serius facta rerum compositio.*“ Puto sensum esse: die gegenwärtig und die später zu erfüllenden Artikel des Vertrages. Arnoldi versio vulgatum τὰ τῆς ὁμολ. requirit. Mox ἄν post ἀνέστησαν γάρ, quod Heilm. subaudiri voluit, recentissimi editores receperunt, ut necessarium. Omnes praeterea editi et universi scripti ignorant illam particulam. Verba sine ἄν posita repugnatura essent verbis c. 57. ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι· καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους καὶ τοὺς ἄλλους Κυθηρίους οἰκοῦντας τὴν ἑαυτῶν φόρον τέσσαρα τάλαντα φέρειν. Multum fallitur Mans. Spart. 2. p. 123 sq. adn. m. in expositione horum verborum. De urbibus Cytherae non convenit inter Thucydidem, Xenophontem H. Gr. 4, 8, 7. et Pausaniam 3, 23, 1., nec magis inter recentiores; vid. Mans. Spart. 1, 2. p. 45. Schneid. Addendis ad Xen. H. Gr. p. 106. et Wachsm. Antt. Gr. 1, 1. p. 8, 4. Apud Thucydidem res ita habet: dum Milesii Scandeam capiunt, sitam in australi incertum an in occidentali litore, Athenienses cum reliquo exercitu litus Maleae obversum i. e. orientale adeunt, escensione facta primo urbem Cytheriorum maritimam, deinde superiorem capiunt, et pactione cum Cytheriis inita Scandeam illam a Milesiis, qui expugnaverant, recipiunt (τήν τε Σκ. τὸ ἐπὶ τῷ λιμένι πόλισμα παραλαβόντες).

σου οὕτως ἐπικειμένης. μετὰ δὲ τὴν ξύμβασιν οἱ Ἀθηναῖοι τήν τε Σκάνδειαν τὸ ἐπὶ τῷ λιμένι πόλισμα παραλαβόντες καὶ τῶν Κυθήρων φυλακὴν ποιησάμενοι ἔπλευσαν ἔς τε Ἀσίνην καὶ Ἄλος καὶ τὰ πλεῖστα τῶν περὶ θάλασσαν, καὶ ἀποβάσεις ποιούμενοι καὶ ἐναυλιζόμενοι τῶν χωρίων οὗ καιρὸς εἴη ἐδήουν τὴν γῆν ἡμέρας μάλιστα ἑπτά.

Οἱ δὲ Λακεδαιμόνιοι, ἰδόντες μὲν τοὺς Ἀθηναίους τὰ 55
Κύθηρα ἔχοντας, προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν ἀποβάσεις τοιαύτας ποιήσεσθαι, ἀθρόᾳ μὲν οὐδαμοῦ τῇ δυνάμει ἀντετάξαντο, κατὰ δὲ τὴν χώραν φρουρὰς διέπεμψαν, ὁπλιτῶν πλῆθος, ὡς ἑκασταχόσε ἔδει, καὶ τὰ ἄλλα ἐν φυλακῇ πολλῇ ἦσαν, φοβούμενοι μὴ σφίσι νεώτερόν τι γένηται τῶν περὶ τὴν κατάστασιν, γεγενημένου μὲν τοῦ ἐπὶ τῇ νήσῳ πάθους ἀνελπίστου καὶ μεγάλου, Πύλου δὲ ἐχομένης καὶ Κυθήρων, καὶ πανταχόθεν σφᾶς περιεστῶτος πολέμου ταχέος καὶ ἀπροφυλάκτου, ὥστε παρὰ τὸ εἰωθὸς ἱππέας τετρακοσίους κατεστήσαντο καὶ τοξότας, ἔς τε τὰ πολεμικὰ εἴπερ ποτὲ μάλιστα δὴ ὀκνηρότεροι ἐγένοντο, ξυνεστῶτες παρὰ τὴν ὑπάρχουσαν σφῶν ἰδέαν τῆς παρασκευῆς ναυτικῷ ἀγῶνι, καὶ τούτῳ πρὸς Ἀθηναίους, οἷς τὸ μὴ ἐπιχειρούμενον ἀεὶ ἐλλιπὲς ἦν τῆς δοκήσεώς τι πράξειν.

55. ἱππέας τετρακοσίους] v. Od. Muell. Dor. 2. p. 232 sq. 242. De verbis εἴπερ ποτὲ μάλιστα δή v. Matth. p. 1250. e.

τῆς δοκήσεώς τι πράξειν] Reg. (G.) πρᾶξαι, sed ειν inter vers. Haack. ex male intellecta vulgata huius loci scriptura colligit, πρᾶξαι praeferendum esse, cuius haec interpretatio est: denen iede Unterlassung einer Unternehmung ein Abgang war an der Meinung, dass sie etwas ausgerichtet haben, sive qui nisi omnia suscepissent, nihil se assecutos esse putabant. Ac sane haec interpretatio iuvatur iis, quae alibi de Atheniensibus legatus Corinthiorum dicit 1, 70. ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται· ἃ δ' ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες. Aoristus tamen, quantumvis speciosus, necessarius non est. Quod vero Popp. ex Haackii mente πεπραχέναι requiri dicit, equidem non video, cur sic fieri debeat, et ipse locus modo adscriptus obloqui videtur. At etiam vulgata πράξειν commodam explicationem habet. In ea δόκησίς τι πράξειν nihil alind est, nisi προσδοκία sive τὰ προσδοκηθέντα, interpretatio autem ad verbum facta haec: denen jede Unterlassung einer Unternehmung ein Zurückbleiben schien hinter ihrer Erwartung dessen, was sie ausführen könnten, sive qui nihil non se putabant et suscipere et susceptum assequi posse. Vere igitur Schol.: οἷς τισιν Ἀθηναίοις τὸ μὴ ἐπιχειρεῖν ἀεί τι πράττειν καινὸν ὑσιέρησις ἐδόκει τῶν προσδοκηθέντων. Possisque eundem sensum aliis verbis ita reddere: οἷς τὸ μὴ ἐπιχειρούμενον ἀεὶ ἐλλιπὲς ἐδόκει ὧν ἔμελλον πράξειν. Vere etiam Heilm.: welche alles, was sie nicht wirklich versuchten, als einen Abgang an dem, was sie nach ihrer Meinung ausrichten zu können glaubten, ansahen. Mox de circumlocutione in verbis τὰ τῆς τύχης v. Elmsl. ad Soph. Oed. T. 977. De forma verbi ἐδέδισαν adi Lobeck. ad Phryn. p. 181. Deinde ἀνεχέγγυον ad verbum est *quia animus eorum non-sponsor factus erat* sive minus confidens, propterea quod prius non consueverant in fortuna adversa versari, weil ihr Muth aufhörte, ihnen Bürgschaft zu leisten, Vertrauen einzuflösen, da sie früher nicht

καὶ ἅμα τὰ τῆς τύχης πολλὰ καὶ ἐν ὀλίγῳ ξυμβάντα παρὰ λόγον αὐτοῖς ἔκπληξιν μεγίστην παρεῖχε, καὶ ἐδέδισαν μήποτε αὖθις ξυμφορά τις αὐτοῖς περιτύχῃ οἵα καὶ ἐν τῇ νήσῳ. ἀτολμότεροι δὲ δι' αὐτὸ ἐς τὰς μάχας ἦσαν, καὶ πᾶν ὅ,τι κινήσειαν ᾠοντο ἁμαρτήσεσθαι διὰ τὸ τὴν γνώμην ἀνεχέγγυον γε-
56 γενῆσθαι ἐκ τῆς πρὶν ἀηθείας τοῦ κακοπραγεῖν. τοῖς δ' Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δηοῦσι τὰ μὲν πολλὰ ἡσύχασαν ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι καὶ ἐν τῷ τοιούτῳ· μία δὲ φρουρά, ἥπερ καὶ ἠμύνατο περὶ Κοτύραν καὶ Ἀφροδισίαν, τὸν μὲν ὅχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν τε ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν, καὶ ἄνδρες τέ τινες ἀπέθανον αὐτῶν ὀλίγοι καὶ ὅπλα ἐλήφθη, τροπαῖόν τε στήσαντες οἱ Ἀθηναῖοι ἀπέπλευσαν ἐς Κύθηρα. ἐκ δὲ αὐτῶν περιέπλευσαν ἐς Ἐπίδαυρον τὴν Λιμηράν, καὶ δηώσαντες μέρος τι τῆς γῆς ἀφικνοῦνται ἐπὶ Θυρέαν, ἥ ἐστι μὲν τῆς Κυνουρίας γῆς καλουμένης, μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς. νεμόμενοι δὲ αὐτὴν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν εὐεργεσίας, καὶ ὅτι Ἀθηναίων ὑπακούοντες ὅμως πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἔστασαν.
57 προσπλεόντων οὖν ἔτι τῶν Ἀθηναίων οἱ Αἰγινῆται τὸ μὲν ἐπὶ τῇ θαλάσσῃ ὃ ἔτυχον οἰκοδομοῦντες τεῖχος ἐκλείπουσιν, ἐς δὲ τὴν ἄνω πόλιν, ἐν ᾗ ᾤκουν, ἀπεχώρησαν ἀπέχουσαν σταδίους

gewohnt waren, unglücklich zu seyn. Si enim prius rebus dubiis adsuefacti fuissent, ne tunc quidem animum despondissent.

56. τοῖς δ' Ἀθηναίοις] Ordo verborum hic est: τοῖς δ' Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δηοῦσιν ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις τὰ μὲν πολλὰ ἡσύχασαν, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι καὶ ἐν τῷ τοιούτῳ. Structura similis illi, quae est 3, 15. καὶ (Λακεδαιμόνιοι) τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν τοῖς τε ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν Ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησόμενοι, καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο. Quem locum comparanti non videbitur necesse esse, cum Arnoldo locum praesentem ita exponere, quasi scriptor dativo τοῖς Ἀθηναίοις utens post in mente habuerit ponere οὐκ ἀντέσησαν, quia autem ἡσύχασαν idem significet, eandem structuram dativi retinuerit. Heilm.: indem sie theils nicht stark genug zu seyn glaubten, theils diese Art zu fechten nicht für ihre Sache hielten. Minus, ut mihi quidem videtur, recte; nam postrema verba hunc sensum habent: quum ἐς τὰ πολεμικὰ ὀκνηρότεροι essent, animisque minus fortes et audaces. Mox pro vulgata Κυνοσουρίας dedi Κυνουρίας cum Poppone, qui docet, hinc illinc sic in libris Thucydidis esse, eam scripturam nominis confirmari ab Herodoto et Stephano Byz., idemque vitium ex Strabone Xylandrum et Hartungum, ex Luciano Palmerium, ex Scholiasta Luciani Dukerum sustulisse. De situ Cynuriae v. Od. Muell. Dor. 1. p. 154. Hodie regionem St. Petri appellari, auctor est Pouquev. Graec. 4. p. 170. Locutioni πρὸς τὴν ἐκείνων γνώμην ἔστασαν multa similia collegit Musgr. ad Soph. Antig. 299.

μάλιστα δέκα τῆς θαλάσσης. καὶ αὐτοῖς τῶν Λακεδαιμονίων φρουρὰ μία τῶν περὶ τὴν χώραν, ἥπερ καὶ ξυνετείχιζε, ξυνεσελθεῖν μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν δεομένων τῶν Αἰγινητῶν, ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος κατακλῃεσθαι. ἀναχωρήσαντες δὲ ἐπὶ τὰ μετέωρα ὡς οὐκ ἐνόμιζον ἀξιόμαχοι εἶναι, ἡσύχαζον. ἐν τούτῳ δὲ οἱ Ἀθηναῖοι κατασχόντες καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ αἱροῦσι τὴν Θυρέαν. καὶ τήν τε πόλιν κατέκαυσαν καὶ τὰ ἐνόντα ἐξεπόρθησαν, τούς τε Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες ἀφίκοντο ἐς τὰς Ἀθήνας καὶ τὸν ἄρχοντα ὃς παρ' αὐτοῖς ἦν τῶν Λακεδαιμονίων Τάνταλον τὸν Πατροκλέους· ἐζωγρήθη γὰρ τετρωμένος. ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων ἀνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι. καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους, καὶ τοὺς ἄλλους Κυθηρίους οἰκοῦντας τὴν ἑαυτῶν φόρον τέσσαρα τάλαντα φέρειν, Αἰγινήτας δὲ ἀποκτεῖναι πάντας ὅσοι ἑάλωσαν διὰ τὴν προτέραν ἀεί ποτε ἔχθραν, Τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους καταδῆσαι.

Τοῦ δ' αὐτοῦ θέρους ἐν Σικελίᾳ Καμαριναίοις καὶ Γελῴοις 58
ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα καὶ οἱ ἄλλοι Σικελιῶται ξυνελθόντες ἐς Γέλαν ἀπὸ πασῶν τῶν πόλεων πρέσβεις ἐς λόγους κατέστησαν ἀλλήλοις, εἴ πως ξυναλλαγεῖεν. καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοντο ἐπ' ἀμφότερα, διαφερομένων καὶ ἀξιούντων, ὡς ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον· καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος Συρακόσιος, ὅσπερ καὶ ἔπεισε μάλιστα αὐτούς, ἐς τὸ κοινὸν τοιούτους δή λόγους εἶπεν.

Οὔτε πόλεως ὧν ἐλαχίστης, ὦ Σικελιῶται, τοὺς λόγους 59
ποιήσομαι, οὔτε πονουμένης μάλιστα τῷ πολέμῳ, ἐς κοινὸν δὲ

57. ξυνεσελθεῖν — ἐς τὸ τεῖχος] Τὸ τεῖχος vix aliud esse potest, quam arx sive munitio aliqua Thyreae sive τῆς ἄνω πόλεως, quamquam Bloomf. dubitat. Si enim scriptor τὸ τεῖχος significare voluisset, quod Aeginetae ἔτυχον οἰκοδομοῦντες, et quod φρουρά Lacedaemoniorum ξυνετείχιζε, fatendum esset, eius narrationem valde perversam et praeposteram esse. Mox vulgo αὐτοὺς — ἐφαίνετο legebatur: „αὐτούς, ait Duk., defendi quidem potest, sed praefero coniecturam Porti αὐτοῖς, ab omnibus fere mss. confirmatam.“ Contra quae Popp. monuit, vulgatam non defendi posse, quum non dicendum sit *periculum videbatur, ne ii includerentur*, sed *periculosum iis videbatur includi*. Paulo post Lindav. Spicil. p. 7. non male emendat τοὺς ἐκ τῆς νήσου pro τοὺς ἐν τῇ νήσῳ, quamquam vulgata quoque ferri potest. „Verba παρὰ τοὺς ἄλλους — καταδῆσαι duo exempla praebent notae brevitatis Thucydideae, nam παρὰ τοὺς ἄλλους καταδῆσαι plene sic dixeris: παρὰ τοὺς ἄλλους ἀπαγαγόντας καταδῆσαι, et pariter τοὺς ἐν τῇ νήσῳ significare debet τοὺς ἐν τῇ νήσῳ ἁλόντας, quod participium supplendum est ex praegresso ἑάλωσαν, vel significare τοὺς ἐν τῇ νήσῳ δεθέντας, quod participium supplendum est ex proximo καταδῆσαι.“ Arn.

59. οὔτε πονουμένης] Schol. οἱ περὶ καταλύσεως πολέμου παραινοῦντες ἀεὶ ὑποπτεύονται, διὰ φόβον καὶ μαλακίαν τὸν πόλεμον

τὴν δοκοῦσάν μοι βελτίστην γνώμην εἶναι ἀποφαινόμενος τῇ Σικελίᾳ πάσῃ. καὶ περὶ μὲν τοῦ πολεμεῖν ὡς χαλεπὸν τί ἄν τις πᾶν τὸ ἐνὸν ἐκλέγων ἐν εἰδόσι μακρηγοροίη; οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾶν, οὔτε φόβῳ, ἢν οἴηταί τι πλέον σχήσειν, ἀποτρέπεται. ξυμβαίνει δὲ τοῖς μὲν τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν, οἱ δὲ τοὺς κινδύνους ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ αὐτίκα τι ἐλασσοῦσθαι· αὐτὰ δὲ ταῦτα εἰ μὴ καιρῷ τύχοιεν ἑκάτεροι πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλιμοι. ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις πλείστου ἂν ἄξιον γένοιτο. τὰ γὰρ ἴδια ἕκαστοι εὖ βουλευόμενοι δὴ θέσθαι τό τε πρῶτον ἐπολεμήσαμεν καὶ νῦν πρὸς ἀλλήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι, καὶ ἢν ἄρα μὴ προχωρήσῃ ἴσον ἑκά-
60 στῳ ἔχοντι ἀπελθεῖν, πάλιν πολεμήσομεν. καίτοι γνῶναι χρὴ ὅτι οὐ περὶ τῶν ἰδίων μόνον, εἰ σωφρονοῦμεν, ἡ ξύνοδος ἔσται, ἀλλ' εἰ ἐπιβουλευομένην τὴν πᾶσαν Σικελίαν, ὡς ἐγὼ κρίνω, ὑπ' Ἀθηναίων δυνησόμεθα ἔτι διασῶσαι· καὶ διαλλακτὰς πολὺ τῶν ἐμῶν λόγων ἀναγκαιοτέρους περὶ τῶνδε Ἀθηναίους νομίσαι, οἳ δύναμιν ἔχοντες μεγίστην τῶν Ἑλλήνων τάς τε ἁμαρτίας ἡμῶν τηροῦσιν, ὀλίγαις ναυσὶ παρόντες, καὶ ὀνόματι

φεύγοντες ταῦτα παραινεῖν. διὸ καὶ ὁ Ἑρμοκράτης τοῦτο ποιεῖ. ἅμα δὲ καὶ αὔξει τὸ ὄνομα τῆς ἑαυτοῦ πατρίδος, ἵνα συγγνώμην ἔχωσιν αὐτῷ οἱ λόγοι μετὰ παῤῥησίας καὶ φρονήματος προεροχόμενοι. τὸ δὲ „οὐ πονουμένης“ προσέθηκεν, ἵνα μή τις εἴπῃ ὡς ὅτι διὰ τοῦτο ἐρᾷ τῆς εἰρήνης, ὅτι ἡ πόλις αὐτῶν καταπονεῖται. Pergit scriptor: οὐδεὶς γὰρ ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾶν sc. πολεμεῖν, etenim tantum ἀπείρῳ γλυκὺς πόλεμος, ut ait Schol., qui sequentia: τοῖς μὲν τὰ κέρδη etc. ita exponit: συμβαίνει δὲ τοῖς μὲν ἐρῶσι τῶν χρημάτων, τὰ κέρδη ποιεῖν αὐτοὺς καταφρονεῖν τῶν δεινῶν τῶν ἐν τοῖς πολέμοις, τοῖς δὲ ὑπὲρ τοῦ μὴ πλεονεκτηθῆναι παρὰ τῶν ἄλλων καὶ δουλεῦσαί τινι. Dein Anecdd. Bekk. 1. p. 102. adnotaverunt, καταλλαγῆναι dictum esse pro διαλλαγῆναι. Schol. νῦν ἐὰν μὴ προχωρήσῃ ἐκ τῆς ἐκκλησίας ταύτης τὸ νομίζειν ἕκαστον ἔχοντα τὸ ἴδιον ἀπελθεῖν ἀλλὰ τοὐναντίον ἀδικεῖσθαι, ὕστερον πάλιν πολεμήσομεν, ἂν δόξῃ, μετὰ τὸ ἀπελθεῖν τοὺς Ἀθηναίους. τέως δὲ νῦν βέλτιόν ἐστι τὸ διαλλαγῆναι, ἐν ὅσῳ ἐπίκεινται ἡμῖν οἱ Ἀθηναῖοι.

60. ὀλίγαις ναυσί] Schol. τινὰ τῶν βιβλίων τὸ „ὀλίγαις ναυσὶν“ οὐκ ἔχουσι. At nostri libri omnes servant et recte servari ait Wass., nam paulo inferius verba πλεονί ποτε στόλῳ ἐλθόντας αὐτούς huc spectare. Proxima καὶ ὀνόματι — καθίστανται Schol. ita exponit: πρόσχημα μὲν ποιοῦνται τὴν πρὸς τοὺς Χαλκιδεῖς συμμαχίαν, ὡς διὰ συγγένειαν νομίμως αὐτοῖς ξυμμαχοῦντες· φύσει δὲ πολέμιοι πᾶσιν ὄντες Σικελιώταις τὸ ἴδιον συμφέρον διὰ τῆς πρὸς τὸ συμμαχεῖν εὐπρεπείας κατασκευάζονται, τουτέστι θηρῶνται. Mox dedi τοὺς μὴ ἐπικαλουμένους ex optimis libris pro vulgata τοῖς μὴ ἐπικαλουμένοις, nam ἐπιστρατεύειν cum accusativo non insolitum. v. Matth. §. 402. a. adn. Valck. ad Eur. Phoen. 292. Hippol. 526. p. 224. Porson. ad Eur. Phoen. p. 267. ed. pr. Deinde genitivum τῆς ἀρχῆς non putaverim cum Haackio pendere ex omisso μέρος (nam non dicit se partim iuvisse Athenienses, ut in potentia proficerent, neque commode ab illo

ἐνόμῳ ξυμμαχίας τὸ φύσει πολέμιον εὐπρεπῶς ἐς τὸ ξυμφέρον καθίστανται. πόλεμον γὰρ αἱρομένων ἡμῶν καὶ ἐπαγομένων αὐτούς, ἄνδρας οἳ καὶ τοὺς μὴ ἐπικαλουμένους αὐτοὶ ἐπιστρατεύουσι, κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις, εἰκός, ὅταν γνῶσιν ἡμᾶς τετρυχωμένους, καὶ πλεονί ποτε στόλῳ ἐλθόντας αὐτοὺς τάδε πάντα πειράσασθαι ὑπὸ σφᾶς ποιεῖσθαι. καίτοι 61
τῇ ἑαυτῶν ἑκάστους, εἰ σωφρονοῦμεν, χρὴ τὰ μὴ προσήκοντα ἐπικτωμένους μᾶλλον ἢ τὰ ἑτοῖμα βλάπτοντας ξυμμάχους τε ἐπάγεσθαι καὶ τοὺς κινδύνους προσλαμβάνειν, νομίσαι τε στάσιν μάλιστα φθείρειν τὰς πόλεις καὶ τὴν Σικελίαν, ἧς γε οἱ ἔνοικοι ξύμπαντες μὲν ἐπιβουλευόμεθα, κατὰ πόλεις δὲ διέσταμεν. ἃ χρὴ γνόντας καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι κοινῇ σώζειν τὴν πᾶσαν Σικελίαν, παρεστάναι δὲ μηδενὶ ὡς οἱ μὲν Δωριῆς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις, τὸ δὲ Χαλκιδικὸν τῇ Ἰάδι ξυγγενείᾳ ἀσφαλές. οὐ γὰρ τοῖς ἔθνεσιν ὅτι δίχα πέφυκε, τοῦ ἑτέρου ἔχθει ἐπίασιν, ἀλλὰ τῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν ἐφιέμενοι, ἃ κοινῇ κεκτήμεθα. ἐδήλωσαν δὲ νῦν ἐν τῇ τοῦ Χαλκιδικοῦ γένους παρακλήσει· τοῖς γὰρ οὐδεπώποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν προσβοηθήσασιν αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης προθύμως παρέσχοντο. καὶ τοὺς

afferuntur verba 7, 56. τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες, ubi genitivus non magis pendet a μέρος), sed ideo positum hunc casum, quod προκόπτειν idem est ac προκοπὴν ποιεῖν (non ποιεῖσθαι, est enim h. l. dicendum non *sibi* sed *alteri* profectus parare), atque Schol. idem sensisse videtur: τὸ δὲ προκοπτόντων, προσδοποιούντων (sic etiam Anecdd. Bekk. 1. p. 169.) καὶ εὐπρεπιζόντων, ἤγουν προκοπὴν καὶ ἐπίδοσιν ποιούντων ἡμῶν τῆς ἀρχῆς ἐκείνων. Conf. Coraen ad Isocrat. 2. p. 121. De verbis ὅταν γνῶσιν v. Matth. p. 1006.

61. καίτοι χρή] Schol. χρὴ, εἰ σωφρονοῦμεν, ἑκάστους ἡμῶν τῶν Σικελιωτῶν τὰ ἀλλότρια (i. e. τὰ μὴ προσήκοντα) ἐπικτωμένους καὶ ἀπάζοντας μᾶλλον τοὺς συμμάχους ἐπάγεσθαι, ἤπερ τὰ ἑτοῖμα βλάπτοντας. τουτέστιν ὅταν τῶν ἰδίων ἡμῶν καλῶς ἐχόντων καὶ ἀδεῶς διακειμένων βουλώμεθα κατὰ πλεονεξίαν ἀλλότρια ἐπικτήσασθαι, τότε δεῖ τοὺς συμμάχους ἐπάγεσθαι καὶ τοὺς κινδύνους ὑφίστασθαι, καὶ μὴ ὅταν ὁ κίνδυνος περὶ τῶν οἰκείων ἡμῶν γίγνηται. „τὰ ἑτοῖμα, sua, opponit τοῖς μὴ προσήκουσιν, alienis. 1, 70. ὑμεῖς δὲ τῷ ἐπελθεῖν (οἴεσθε) καὶ τὰ ἑτοῖμα βλάψαι. Vide ibi Schol.“ Duk. De verbis ὅτι δίχα πέφυκε v. Matth. p. 612. c.

αὐτοὶ τὸ δίκαιον] Schol. τὸ δὲ αὐτοὶ (sponte) τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης παρέσχοντο ἀντὶ τοῦ, προθυμότερον ἤπερ ἐχρῆν κατὰ συμμαχίαν ἐβοήθησαν. Ἡ ξυνθήκη est illa παλαιὰ ξυμμαχία 3, 86., ex qua civitates Chalcidicae auxilia ab Atheniensibus poscebant. Propter verba μᾶλλον τῆς ξυνθήκης (pro μᾶλλον ἢ κατὰ τὴν ξυνθήκην) Arn. comparat 1, 85. ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων i. e. μᾶλλον ἢ ἑτέροις, et Matth. §. 454. Sed idem dubitat an Porti interpretatio praeferenda sit: *ipsi foederis ius libentius praestiterunt*, non quo μᾶλλον sit iungendum cum προθύμως, sed ad totam sententiam pertinet: instead, ait, of receiving or requiring aid from the Chalcidians, they themselves rather were forward to offer to them *the full benefit of the*

μὲν Ἀθηναίους ταῦτα πλεονεκτεῖν τε καὶ προνοεῖσθαι πολλὴ ξυγγνώμη, καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσι. πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν. ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι, ἁμαρτάνομεν. τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοιτο, εἰ πρὸς ἀλλήλους ξυμβαίημεν· οὐ γὰρ ἀπὸ τῆς αὐτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. καὶ οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνη δὲ διαφοραὶ ἀπραγμόνως παύονται, οἵ τ' ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασι.

treaty. „Itaque τὸ δίκαιον, addit, τῆς ξυνθήκης est *res, cuius ius et potestatem pactum iis dabat* i. e. auxilium in tempore, quod Athenienses orator dicit promptiores fuisse in offerendo, quam sollicitiores circa accipiendum pro rata parte.“ Heilm.: ohnerachtet diese den Athenern nie einigen Beistand, wozu sie als Bundesgenossen verpflichtet gewesen, geleistet, so haben diese denselben gleichwohl ihre Schuldigkeit mit mehrerem Eifer, als es die Tractaten erforderten, geleistet.

ἑτοιμοτέροις οὖσι] i. e. *non succenseo iis, qui velint imperare, sed iis, qui paratiores sint obedire.* Quibusnam paratiores? Possis intelligere, paratiores ad obediendum, quam illi sint ad imperandum, quo nomine Romanos saepe ridebat Tiberius. Sed nihil habet contextus quod hoc suadeat. Itaque hypallagen statuam, ac si foret: οὐ *μέμφομαι τοῖς ἄρχειν βουλομένοις, ἀλλὰ μᾶλλον μέμφομαι τοῖς ἑτοίμοις οὖσιν ὑπακούειν.* Bau. Hoc erat, cur Schol. exponeret *ἑτοιμοτέροις οὖσιν, ἀντὶ τοῦ ἑτοίμοις.* Quamquam locus 2, 40. *μὴ διαφεύγειν αἴσχιον* (i. e. *μᾶλλον αἰσχρόν*), quem Bau. comparat, multum dissimilis est, nam ibi *μᾶλλον* non retrahitur ab comparativo *αἴσχιον*, quum praesenti loco ab comparativo *ἑτοιμοτέροις* ad verbum *μέμφομαι* traducatur, id quod vix ferri potest. Quapropter vide, ne vera sit Arnoldi ratio, qui *ἑτοιμοτέροις ὑπακούειν* dictum putat pro *ἑτοίμοις ὑπακούειν μᾶλλον ἢ ἀντιστῆναι*, vel simplicius intelligit *ἑτοιμοτέροις τοῦ δέοντος*, coll. Matth. §. 457. Mox in verbis ὅσοι δὲ — μηδὲ τοῦτό τις duplex loquendi ratio commixta, altera *εἰ δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας — ἁμαρτάνομεν*, altera *ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῖμεν, μηδὲ τοῦτο πρεσβύτατον ἥκομεν κρίναντες — ἁμαρτάνομεν.* Neque *ἥκει κρίνας* est dictum pro *ἐστὶ κρίνας*, ut voluit Abr. ad Aesch. p. 302., sed est: *si quis huc in hoc concilium venit cum isto iudicio, non antiquissimum esse, commune omnibus periculum omnes avertere, fallitur.* Paulo post vulgo legitur *διαφορά*, pars magna librorum *διαφοραί*, ex *διαφορά* Schaef. et Haack. fecerunt *διάφορα.* Schol. *σκόπει πῶς τὸν πόλεμον εὐφήμως διαφοράν καλεῖ.* Etenim Hermocrates ideo distinguit *πόλεμον* et *διαφοράς*, quod bellum geritur cum exteris et vi plerumque dirimitur, bello bellum excipiente; discordia autem popularium pace finitur οὕτως i. e. *εἰ πρὸς ἀλλήλους ξυμβαίημεν.* Extrema huius cap. ita exponit Schol. *οἱ Ἀθηναῖοι μετὰ προφάσεως εὐπρεποῦς ἐλθόντες ὡς δῆθεν συμμαχοῦντες τοῖς ἐνθάδε Χαλκιδεῦσιν, εὐλόγως ἄπρακτοι ἀπελεύσονται, διαλλαγέντων ἡμῶν* et *εὐλόγως φησὶ διὰ τὸ ξυμβῆναι* (*τοὺς Σικελιώτας*). Iunge *εὐπρεπῶς ἄδικοι*, aus einer ungerechten Ursache und mit einem beschönigenden Vorwand, et *εὐλόγως ἀπίασι*, sie werden abziehen aus einem guten Grunde, ohne etwas ausgerichtet zu haben.

καὶ τὸ μὲν πρὸς τοὺς Ἀθηναίους τοσοῦτον ἀγαθὸν εὖ βουλευ- 62
μένοις εὑρίσκεται· τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς ποιήσασθαι; ἢ δοκεῖτε, εἴ τῳ τι ἔστιν ἀγαθὸν ἢ εἴ τῳ τὰ ἐναντία, οὐχ ἡσυχία μᾶλλον ἢ πόλεμος τὸ μὲν παύσαι ἂν ἑκατέρῳ, τὸ δὲ ξυνδιασώσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα τε ὅσα ἐν μήκει λόγων ἄν τις διέλθοι, ὥσπερ περὶ τοῦ πολεμεῖν; ἃ χρὴ σκεψαμένους μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν, τὴν δὲ αὐτοῦ τινα σωτηρίαν μᾶλλον ἀπ' αὐτῶν προιδεῖν. καὶ εἴ τις βεβαίως τι ἢ τῷ δικαίῳ ἢ βίᾳ πράξειν οἴεται, τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς ὅτι πλείονος ἤδη καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ μὲν οὐχ ὅσον οὐκ ἠμύναντο ἀλλ' οὐδ' ἐσώθησαν, τοῖς δ' ἀντὶ τοῦ πλέον ἔχειν προσκαταλιπεῖν τὰ αὑτῶν ξυνέβη. τιμωρία γὰρ οὐκ εὐτυχεῖ

62. *εἰρήνην — ποιήσασθαι*] i. e. *pacem facere*, contra *εἰρ. ποιῆσαι* est *pacem conciliare.* Popp.

ἢ δοκεῖτε — παύσαι — ξυνδιασώσαι] Vulgo *παῦσαι — ξυνδιασῶσαι*, qui sunt infinitivi, quos explicari non licet. Optativorum autem usus h. l. plane similis est nostro sermoni: oder würde, glaubt ihr, nicht die Ruhe mehr als der Unfriede das Eine beseitigen, das Andere erhalten, verbis *δοκεῖτε* et glaubt ihr perinde ac per parenthesin interpositis, ubi ad optativum *ὅτι* cogitando supplere solent. Similia profert Matth. p. 1029. 3. Conf. adn. ad 2, 72. Ast. ad Plat. Phaedr. p. 394. ad Polit. p. 494. Tum post *δοκεῖτε* sequi debebat non *ἔχειν τὴν εἰρήνην τὰς τιμὰς ἀκινδυνοτέρας*, sed potius *μὴ ἔχειν τὴν εἰρήνην* etc., *num putatis, pacem non magis quam bellum a malis liberare, bona servare, non pacem habere honores a periculo remotiores?* At enim scriptor in altero membro ita loquitur, quasi negationem *οὐ* non cum *μᾶλλον* sed cum primario verbo *δοκεῖτε* coniunxisset, ut structura plane similis sit loco 1, 71. *διαμέλλετε καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι, τῇ δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπιτρέψοντες· ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε ἄλλους καὶ αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι τὸ ἴσον νέμετε*, ubi sequuntur verba *ἀλλὰ νέμετε* pro *ἀλλ' οἳ ἂν νέμωσι*, quasi negatione cum primario verbo iuncta antea posuisset: *καὶ οὐκ οἴεσθε τὴν ἡσυχίαν τούτοις ἀρκεῖν.* Porro ut hic, ita 1, 3. post verbum *δοκεῖ* oratio ex verbo finito in verbum infinitum transit: *δοκεῖ δέ μοι, οὐδὲ — εἶχεν, ἀλλὰ — οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη* etc., ubi v. adn. Mox de verbis *η τῷ δικαίῳ — πράξειν* agit Matth. p. 731. 5. Porro *τῷ παρ' ἐλπίδα* idem est, quod *τῇ τύχῃ* vel *ξυμφορᾷ παρ' ἐλπίδα αὐτοῦ γεγενημένῃ* sive *τῷ παραλόγῳ.* Verba *μὴ χαλεπῶς σφαλλέσθω* cum Scholiasta intellige ut dicta pro: *μὴ χαλεπαινέτω, εἰ παρὰ τὴν οἰκείαν οἴησίν τε καὶ ἐλπίδα σφαλλόμενος ἐλέγχεται ὑπ' ἐμοῦ*, quamquam melius dixisset *εἰ — σφάλλεται*, omissis *ἐλέγχεται ὑπ' ἐμοῦ*, der werde nicht verdrüsslich, wenn es ihm misslingt. Arn. confert 1, 2. *οὐ χαλεπῶς ἀπανίσιαντο*, es fiel ihnen nicht schwer, sich von ihrer Heimath zu trennen. Mox *δικαίως* est weil es der Gerechtigkeit gemäss wäre, wenn es ihm gelänge. Schol. *οὐχ, ὅτι ἀδικεῖται, εὐτυχεῖ δικαίως· οὐ γάρ, ἐπειδὴ ὁ τιμωρούμενος προηδίκηται, διὰ τοῦτο ἐπεξιὼν εὐτυχήσει· δίκαιον μὲν γὰρ τὸν ἀδικηθέντα εὐτυχῆσαι κατὰ τὴν εἴσπραξιν τῆς τιμωρίας, οὐ μὴν καὶ ἀποβαῖνον οὕτως.*

δικαίως, ὅτι καὶ ἀδικεῖται· οὐδὲ ἰσχὺς βέβαιον, διότι καὶ εὔελπι. τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ, πάντων τε σφαλερώτατον ὂν ὅμως καὶ χρησιμώτατον φαίνεται· ἐξ ἴσου γὰρ δεδιότες προμηθείᾳ μᾶλλον ἐπ' ἀλλήλους ἐρχόμεθα.
63 καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον δέος καὶ διὰ τὸ ἤδη φοβεροὺς παρόντας Ἀθηναίους, κατ' ἀμφότερα ἐκπλαγέντες, καὶ τὸ ἐλλιπὲς τῆς γνώμης, ὧν ἕκαστός τι ᾠήθημεν

63. *διὰ τὸ ἤδη φοβεροὺς παρόντας*] Schol. *καὶ νῦν τῆς μὲν πρὸς ἀλλήλους διαφορᾶς ἐπιλαθώμεθα δι' ἀμφότερα, διά τε δηλαδὴ τὸ ἄδηλον τυγχάνειν, εἰ πεισόμεθά τι ὑπ' ἀλλήλων, καὶ διὰ τὸ τοὺς Ἀθηναίους ἤδη φοβεροὺς ἡμῖν εἶναι παρόντας, ἱκανὰ νομίσαντες αἴτια τῆς ἀποτροπῆς ταῦτα.* In verbis *διὰ τὸ παρόντας Ἀθηναίους* inest confusio duarum locutionum, alterius *διὰ τὸ παρεῖναι Ἀθηναίους*, alterius *διὰ τοὺς Ἀθηναίους φοβεροὺς παρόντας*.

τὸ ἐλλιπὲς τῆς γνώμης] Schol. *ὅτι ἃ προσεδοκήσαμεν πρᾶξαι (τουτέστι κρατῆσαι κατὰ τὸν πόλεμον) ἐλλιπῶς ἐγένετο καὶ οὐ κατὰ τὰς ἡμετέρας γνώμας ἀπέβη.* Accusativus *τὸ ἐλλιπές* cogitari potest pendere ex *εἰρχθῆναι*, quae tamen ratio mihi minus probabilis videtur reputanti, sic potius opus fuisse *καὶ τὸ τῆς γνώμης ἐλλιπὲς ὄν, ὧν* etc., quia ipsa consilia remorata sunt, non illud mancum et inexpletum consiliorum. Hoc sentiens Arn. *τὸ ἐλλιπές* per prolepsin positum esse existimavit, hoc sensu *τὴν γνώμην εἰρχθῆναι ὥστε ἐλλιπῆ γενέσθαι*. At neque talis prolepsis, apud Tragicos frequentissimae, ullum apud hunc scriptorem exemplum novi, neque illa locum habet, nisi in adiectivis, hic autem *τὸ ἐλλιπές* substantivi loco est. Quare etiamnunc pronior sum in eam sententiam, ut putem verba *τὸ ἐλλιπὲς τῆς γνώμης* accusativum esse, quem explices per *quod attinet ad inexpletum et mancum illorum consiliorum*, quae exsecuturos nos unusquisque sperabamus. Vid. Matth. p. 789. adn. 3. Deinde vulgo legitur *ὧν ἕκασός τις*, pro quo *τι* habent libri quam plurimi, iidemque partim optimi. Vulgata hunc sensum habet: *τὸ ἐλλιπὲς ἐκείνων, ἃ ἕκαστός τις ᾠήθημεν πράξειν, consiliorum defectus in iis, quae nos exsecuturos esse unusquisque sperabamus.* Scriptura *τι* hunc explicandi modum admittit: *τὸ ἐλλιπὲς ἐκείνων, ὧν ἕκαστός τι ᾠήθημεν πράξειν* i. e. *in iis, quorum aliquid nos exsecuturos esse sperabamus.* Impedimenta autem quae dicit, intellige res principio capitis memoratas, tum belli Siciliensium inter se incertum exitum, tum Atheniensium iisdem timendam praesentiam. Ad *εἰρχθῆναι* supple *ἡμᾶς*. Haec igitur ex iis, quae adhuc dixi, totius loci interpretatio erit: *Quare utraque de causa cum ob inexploratum huius incerti rerum eventus metum, tum ob Atheniensium praesentiam, qui formidolosi nobis adsunt, territi, quod vero attinet ad mancum illud consiliorum, quae nostrum unusquisque aliquatenus nos exsecuturos sperabamus, satis nos his obstaculis impeditos arbitrantes, hostes nobis imminentes ex hac insula amandemus.* Paulo post de verbis *οὐ περὶ τοῦ τιμωρήσασθαι* v. Buttm. §. 150. p. 442. (ed. 13.) Schol. *λείπει τὸ ὁ ἀγὼν ἡμῖν ἔσται, ἀλλὰ περὶ τοῦ δουλωθῆναι. τοῦτο γὰρ ἐθικῶς ἀποκέκοπται.* Alii supplent *λόγος ἔσται*. Heilm. legi posse putat *οὐ περὶ τὸ τιμωρήσασθαι*, ubi *τό* pendere vult ex *γιγνοίμεθα* i. e. *non occuparemur vindicta*. Popponis sententia est, Thucydidem formulam *ὁ ἀγὼν ἔστι* et *μάχεσθαι* atque similia toties cum praep. *περί* coniunxisse, ut hic, ubi mox sequitur *διάφοροι γιγνοίμεθα*, subaudiri illud *ὁ ἀγὼν ἔστι* velle videatur. Vulgo male *γιγνώμεθα*, quod cum *ἄν* coniunctum poetarum est; multi libri *γιγνόμεθα*, quod ob praecedens *ἄν* Popponi aeque vitiosum videtur. „Nam exceptionem,

πράξειν, ταῖς κωλύμαις ταύταις ἱκανῶς νομίσαντες εἰρχθῆναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας ἀποπέμπωμεν, καὶ αὐτοὶ μάλιστα μὲν ἐς ἀίδιον ξυμβῶμεν, εἰ δὲ μή, χρόνον ὡς πλεῖστον σπεισάμενοι τὰς ἰδίας διαφορὰς ἐς αὖθις ἀναβαλώμεθα. τὸ ξύμπαν τε δὴ γνῶμεν πειθόμενοι μὲν ἐμοὶ πόλιν ἔξοντες ἕκαστος ἐλευθέραν, ἀφ' ἧς αὐτοκράτορες ὄντες τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα· ἢν δὲ ἀπιστήσαντες ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοῦ τιμωρήσασθαί τινα, ἀλλὰ καὶ ἄγαν εἰ τύχοιμεν, φίλοι μὲν ἂν τοῖς ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρὴ κατ' ἀνάγκην γιγνοίμεθα. καὶ ἐγὼ μέν, ἅπερ καὶ 64
ἀρχόμενος εἶπον, πόλιν τε μεγίστην παρεχόμενος καὶ ἐπιών τῳ μᾶλλον ἢ ἀμυνούμενος, ἀξιῶ προειδόμενος αὐτῶν ξυγχωρεῖν,

ait, quam verba *οὐκ οἶδ' ἂν εἰ πείσαιμι* apud Thiersch. Gr. §. 334. 11. faciunt, huc pertinere haud facile existimaveris." Herm. de partic. *ἄν* 1, 9. Opusc. Vol. 4. p. 41. tuetur indicativum *γιγνόμεθα*, ponens sententiam in breve contractam esse, et plenius elatam sic reddi posse: *οὐ περὶ τοῦ τιμωρήσασθαι ἀλλήλοις φίλοι γενησόμεθα, ἀλλὰ καὶ ἄγαν, εἰ τύχοιμεν, φίλοι μὲν ἂν τοῖς ἐχθίστοις γιγνοίμεθα, διάφοροι δὲ οἷς οὐ χρὴ γιγνόμεθα.* „At verba *καὶ ἄγαν εἰ τύχοιμεν* (sic enim iungo) puto significare *etiamsi vel maxime nobis succederet* ultio, quam speramus (*ἀπὸ κοινοῦ τὸ τιμωρήσασθαί τινα* Schol.). Ex altera parte locutio *ἄγαν φίλοι γιγνοίμεθ' ἄν* i. e. *nimium amici futuri essemus acerbissimis nostris amicis* plane Thucydideam orationem redolere videtur et confirmari loco in altera oratione Hermocratis 6, 78., ubi dicit causam Atheniensium in Syracusas impetus esse (*τὸ*) *τὴν ἐκείνου φιλίαν οὐχ ἧσσον βεβαιώσασθαι* [i. e. si Arnoldum recte intelligo, ut aliorum Siceliotarum, qui Syracusanos oderunt, amicitiam maxime firment, qui enim communiter quem oderunt, eos consentaneum est eo firmiorem et interdum *nimiam* sive suae utilitati adversam amicitiam colere]. Tametsi verba *εἰ τύχοιμεν*, si distinctionem Hermanni amplectimur, difficiliora erunt ad explicandum. In universum aestimans praefero vulgarem interpunctionem et optativum *γιγνοίμεθα*, quia ratio fert, ut *φίλοι μέν* et *διάφοροι δέ* inter se ex adverso ponantur, nec cogitari potest, cur posterius membrum huius enuntiati magis affirmari debeat, quam prius, sive cur *γιγνοίμεθα* iungendum sit cum *φίλοι μὲν ἄν*, et *γιγνόμεθα* indicativus cum *διάφοροι*." Arn.

64. *ἀρχόμενος*] v. Matth. §. 557. p. 1100.

προειδόμενος αὐτῶν] Sic Reisk. coniecit et mox *ὥστε αὐτούς*, pro vulgatis *προειδομένους* et *ὥστε αὐτοὺς*, quae et libri omnes Thucydidis et Schol. habent. Ex vulgata duo diversa subiecta inter se excipiunt post *ἀξιῶ*, accusativus *προειδομένους* (sc. *ὑμᾶς*) et nominativus *φιλονεικῶν* (sc. *ἐγώ*) et subiectum Participii *φιλονεικῶν* ac verbi primarii *ἀξιῶ* idem est, hic autem ordo verborum: *ἀξιῶ, ὑμᾶς ξυγχωρεῖν καὶ μὴ κακῶς δρᾶν, μηδὲ ἐγὼ φιλονεικῶν ἡγεῖσθαι, ἀλλὰ ἠσσᾶσθαι.* Sic vero apparet aliquid si non abnorme, certe durum inesse in illo *καὶ μή*, pro quo *καὶ οὐ* et illo *μηδέ*, pro quo *οὐδέ* legi malis, quamquam non desunt exempla, in quibus *ἀξιῶ μή* dictum est pro *οὐκ ἀξιῶ*, velut statim c. 65. *ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι*. Sed accedit e vulgata alia difficultas, quod, si inter se contrarie posita essent *ὑμᾶς* et *ἐγώ*, contra usum probatorum scriptorum peccatum esset, qui in tali contrariorum positione pronomina non omittunt. Sic igitur debebat scribere: *ὑμᾶς τε ἀξιῶ ξυγχωρεῖν καὶ οὐ κακῶς δρᾶν, οὐδ' ἐγὼ* (vel *αὐτὸς*) *ἀξιῶ μορίᾳ φιλονεικῶν ἡγεῖσθαι* etc. His argumentis in-

καὶ μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾶν ὥστε αὐτὸς τὰ πλείω βλάπτεσθαι, μηδὲ μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως αὐτοκράτωρ εἶναι καὶ ἧς οὐκ ἄρχω τύχης, ἀλλ' ὅσον εἰκὸς ἠσσᾶσθαι. καὶ τοὺς ἄλλους δικαιῶ ταὐτό μοι ποιῆσαι, ὑφ' ὑμῶν αὐτῶν καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν. οὐδὲν γὰρ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ Δωριέα τινὰ Δωριέως ἢ Χαλκιδέα τῶν ξυγγενῶν, τὸ δὲ ξύμπαν γείτονας ὄντας καὶ ξυνοίκους μιᾶς χώρας καὶ περιῤῥύτου, καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας. οἳ πολεμήσομέν τε, οἶμαι, ὅταν ξυμβῇ, καὶ ξυγχωρησόμεθά γε πάλιν καθ' ἡμᾶς αὐτοὺς λόγοις κοινοῖς χρώμενοι. τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας ἀθρόοι ἀεί, ἢν σωφρονῶμεν, ἀμυνούμεθα, εἴπερ καὶ καθ' ἑκάστους βλαπτόμενοι ξύμπαντες κινδυνεύομεν· ξυμμάχους δὲ οὐδέποτε τὸ λοιπὸν ἐπαξόμεθα οὐδὲ διαλλακτάς. τάδε γὰρ ποιοῦντες ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν οὐ στερήσομεν τὴν Σικελίαν, Ἀθηναίων τε ἀπαλλαγῆναι καὶ οἰκείου πολέμου, καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐτοὺς ἐλευθέραν νεμούμεθα καὶ ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην.

63 Τοιαῦτα τοῦ Ἑρμοκράτους εἰπόντος πειθόμενοι οἱ Σικελιῶται αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνηνέχθησαν γνώμῃ ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέμου ἔχοντες ἃ ἕκαστοι ἔχουσι, τοῖς δὲ

ductus emendavi *προειδόμενος* et *ὥστε αὐτός*. Quod autem attinet ad illum usum particularum *μή* et *μηδέ* pro *οὐ* et *οὐδέ* parum h. l. commodum, is hoc modo excusari posse videtur, quod scriptor, structura ad sensum facta, sic orationem continuasse putandus est, quasi non *ἀξιῶ* praecessisset, sed *προσήκει μοι προειδομένῳ αὐτῶν ξυγχωρεῖν* vel simile quid, post quod *μή* et *μηδέ* prorsus ex norma inferretur. Quae ratio tanto probabilior fiet cogitanti, etiam *ἡγεῖσθαι* sequi, quod item magis convenit cum *προσήκει μοι*, quam cum *ἀξιῶ*, quippe quo praemisso, si verum spectes, *ἡγεῖσθαι* supervacaneum sit, quia notio verbi *ἡγεῖσθαι* in ipso verbo *ἀξιῶ* per se inclusa est. „*Προϊδομένους* si desideres (nam tacent de nostro grammaticae), adi Lucian. Toxar. 39. Aristid. 1. p. 149. sive apud Phot. 2. p. 403. Sed etiam Schaef. Appar. Demosth. Vol. 2. p. 645.“ Popp. De sententia conferri possunt verba 1, 84. *παιδευόμενοι νομίζειν τὰς διανοίας τῶν πέλας παραπλησίους εἶναι καὶ τὰς προσπιπτούσας τύχας, οὐ λόγῳ διαιρετάς* et Periclis verba 1, 140. *ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τῶν ἀνθρώπων*. Ceterum Vall. interpretatus *contentionis insania* Stephano legisse videtur *μωρίᾳ φιλονεικιῶν*. Dein *τοῦτο παθεῖν* intellige *τὸ ἡσσᾶσθαι*. „Veteres editiones iungunt *ποιῆσαι ὑφ' ὑμῶν αὐτῶν*, recentiores *ποιῆσαι, ὑφ' ὑμῶν αὐτῶν — παθεῖν*. Popp. ait, si sententia esset *idem mecum sponte facere*, scribi debere *ἀφ' ὑμῶν αὐτῶν*. At sensus potius hic est *idem mecum facere obsequentes sensui proprio recti verique*, facere nullo alio adigente nisi ipsorum iudicio. Idque ipsum verba *ποιῆσαι ὑφ' ὑμῶν αὐτῶν* dicunt.“ Arn. Mox *χώρας περιῤῥύτου* poeticum sermonem attingit. Vid. Demetr. De Elocut. Sect. 113. p. 49. Schn. coll. Hom. Od. τ, 172. Herodot. 1, 174. Alcman. Fragm. 33. p. 50. Welck. Denique „Dio Cass. 2. p. 1005. imitans verba *ὄνομα ἓν κεκλημένους* dicit *ἓν ὄνομα κοινὸν κεκτημένους*. Neque tamen *κεκλημένους* sollicitandum. Vid. Matth. §. 420. p. 769. b.“ Popp.

Καμαριναίοις Μοργαντίνην εἶναι ἀργύριον τακτὸν τοῖς Συρακοσίοις ἀποδοῦσιν· οἱ δὲ τῶν Ἀθηναίων ξύμμαχοι παρακαλέσαντες αὐτῶν τοὺς ἐν τέλει ὄντας εἶπον ὅτι ξυμβήσονται καὶ αἱ σπονδαὶ ἔσονται κἀκείνοις κοιναί. ἐπαινεσάντων δὲ αὐτῶν ἐποιοῦντο τὴν ὁμολογίαν, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀπέπλευσαν μετὰ ταῦτα ἐκ Σικελίας. ἐλθόντας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τοὺς μὲν φυγῇ ἐζημίωσαν Πυθόδωρον καὶ Σοφοκλέα, τὸν δὲ τρίτον Εὐρυμέδοντα χρήματα ἐπράξαντο, ὡς ἐξὸν αὐτοῖς τὰ ἐν Σικελίᾳ καταστρέψασθαι δώροις πεισθέντες ἀποχωρήσειαν. οὕτω τῇ παρούσῃ εὐτυχίᾳ χρώμενοι ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι. αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλειόνων εὐπραγία αὐτοῖς ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος.

Τοῦ δ' αὐτοῦ θέρους Μεγαρῆς οἱ ἐν τῇ πόλει πιεζόμενοι 66
ὑπό τε Ἀθηναίων τῷ πολέμῳ ἀεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐσβαλ-

65. *Μοργαντίνην εἶναι*] Morgantine oppidum erat inter Syracusas et Catanen situm. Oppidum autem inter Syracusas et Catanen situm Camarinaei tenere non poterant, quare aut in nomine vel Morgantinae vel Camarinaeorum, pro quibus Catanaeos exspectaveris, necesse est erratum sit, aut praeter notissimam illam Morgantinam alius obscurior eiusdem nominis locus inter Syracusas et Camarinam fuerit oportet. Popp. Idem Motucae seu Motychae agri, de quo Mannert. Geogr. Sic. p. 342., nomen hic latere suspicatur. Aliam Morgantinen inter Syracusas et Camarinam sitam fuisse, Arnoldi opinio est, quia Morgetes quondam latum tractum terrae in interioribus Siciliae possederint. Idem sentit Bloomf., quia Catanaei neutrarum partium belligerantium fuisse videantur, quum Camarinaeos constet ex 3, 86. adversarios Syracusanorum extitisse. Schol. Morgantinen scribit *Σικελικὸν πόλισμα* fuisse, probante Bloomf., nam, ait, procul dubio condita fuit, sicut altera Morgantine ad Simaethum inter Syracusas et Catanam, a Morgetibus, populo Italiae, unde non multo post Siculos in Siciliam traiecerat, et partes quasdam interioris Siciliae occupaverat. Et Morgantinam illam, quae coniectura ponitur, suspicatur sitam fuisse alicubi in interioribus insulae, in confiniis agri Syracusarum et Camarinae. Addit alteram Morgantinam non recte a quibusdam ad ostia Simaethi poni.

κἀκείνοις κοιναί] Schol. *οἷον τοῖς Ἀθηναίοις, ἵνα, ἐάν τις βουληθῇ ἀπὸ Σικελίας πλεῦσαι κατ' αὐτῶν, συμβαλλόμενος Πελοποννησίοις, κωλύωσιν αὐτόν*. Bloomf. opinatur, inducias Leontinis, Rheginis et aliis sociis Atheniensium communes fuisse dici, id quod per pronomen *ἐκείνοις* non licet. Mox in verbis *τῇ τε παρούσῃ εὐτυχίᾳ* particulam *τε* cum Poppone abesse malis. Verba *τῶν πλειόνων εὐπραγίᾳ* Schol. recte explicat per *ἐν τοῖς πλείστοις πράγμασιν εὐπραγίᾳ*.

66. *Μεγαρῆς*] De turbis civilibus Megarensium, inde ab hoc cap. narratis v. Od. Muell. Dor. 2. p. 166 sqq. Reing. Megar. p. 149 sqq. 164 sqq. Alii libri deinde *ἐσβαλλόντων*, alii vel *ἐμβαλόντων* vel *ἐμβαλλόντων*. *Ἐμβάλλειν* apud Thuc. de irruptione in agrum hostilem dici, negat Popp. Conf. 3, 80. 89. 105. „Erat decreto publico cautum, ut *στρατηγοί* Atheniensium patrium iusiurandum iurantes insuper iurarent *ὅτι καὶ δὶς ἀνὰ πᾶν ἔτος εἰς τὴν Μεγαρικὴν ἐμβαλοῦσι*. Plut. V. Pericl. c. 30.“ Duk. Unde Did. suspicatur, verbum *ἐμβάλλειν* ex

λόντων πανστρατιᾷ ἐς τὴν χώραν, καὶ ὑπὸ τῶν σφετέρων φυγάδων τῶν ἐκ Πηγῶν, οἳ στασιασάντων ἐκπεσόντες ὑπὸ τοῦ πλήθους χαλεποὶ ἦσαν ληστεύοντες, ἐποιοῦντο λόγους ἐν ἀλλήλοις ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας μὴ ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν. οἱ δὲ φίλοι τῶν ἔξω τὸν θροῦν αἰσθόμενοι φανερῶς μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι. γνόντες δὲ οἱ τοῦ δήμου προστάται οὐ δυνατὸν τὸν δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν καρτερεῖν, ποιοῦνται λόγους δείσαντες πρὸς τοὺς τῶν Ἀθηναίων στρατηγοὺς Ἱπποκράτην τε τὸν Ἀρίφρονος καὶ Δημοσθένην τὸν Ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν, καὶ νομίζοντες ἐλάσσω σφίσι τὸν κίνδυνον ἢ τοὺς ἐκπεσόντας ὑπὸ σφῶν κατελθεῖν. ξυνέβησάν τε πρῶτα μὲν τὰ μακρὰ τείχη ἑλεῖν Ἀθηναίους, ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Νίσαιαν τὸν λιμένα αὐτῶν, ὅπως μὴ ἐπιβοηθήσωσιν ἐκ τῆς Νισαίας οἱ Πελοποννήσιοι, ἐν ᾗ αὐτοὶ μόνοι ἐφρούρουν βεβαιότητος ἕνεκα τῶν Μεγάρων, ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι· ῥᾷον δ' ἤδη ἔμελ-

formula illa iurisiurandi in praesentem locum transisse. Arn. comparat Arist. Ach. 761., ubi civis Megarensis conqueritur, sibi per has annuas irruptiones ne caput unum quidem allii relinqui. Addit, Acharnenses fabulam primum actam esse circ. octodecim mensibus ante res, quae hic narrantur i. e. Febr. 425. Adde Thuc. 2, 31. Paulo post *τὸν θροῦν* dicit *sermones, rumores*, ut docet Duk. ex adnotatione Graevii ad Lucian. Revivisc. p. 391. Rursus ita auctor 5, 7. 30. et saepius. Verba *μετὰ σφῶν* non possunt alio referri, quam ad *τοὺς δήμου προστάτας*, et *τὰ κακά*, quae dicit, sunt mala ab Atheniensium annuis incursionibus timenda, quibus demagogi verebantur ne plebs subigeretur. „Ea vexatio futurum esse putabant, ut ita plebem accenderet et simul deprimeret mentes eorum, ut cupidi futuri sint, otium quocunque modo redimendi, et vel revocandi exules optimates, et sic suos ipsorum ductores destituturi sint." Arn. Porro Strab. 9. p. 391. Nisaeam dicit a Megaris remotam fuisse *δέκα καὶ ὀκτὼ σταδίους*. Thucydidem ex Strabone corrigendum putat Mannert. Geogr. Gr. p. 344., quum Sponius Nisaeam a Megaris duo mill. Italica distare dicat. Contra ex Thucydide Strabonem correctum vult Reingan. Megar. p. 120 sq. 180., quia Foucherot. in delineatione Salaminis insulae et Gell. Itin. Gr. p. 16. cum Thucydide faciant. Bloomf., si quid mutandum sit, emendat *δέκα ἢ ὀκτώ*. Arn. Vol. 2. p. 396. octo stadia ait 227 cubitis (yards) minus intervallum esse, quam milliare Angl. At in ora maritima Megarae, qualis nunc est, non reperitur locus, quin Megara absit plus milliare Angl., neque locus, qui cogitari potest Nisaea fuisse, qui Megara absit minus milliare Angl. unum et dimidium. „Unde sequitur, addit, distantiam a Thucydide proditam magnas difficultates parere; et stadia illa octodecim Strabonis melius conveniunt cum statu, qualis repertus est, litoris et cum ipsa narratione Thucydidis, quam quod nunc apud eum legitur; certe Brasidam ad Megara accedentem latuisse facilius ad intelligendum est, si inter illum et Athenienses intervallum duorum mill. Angl. fuit, quam si modo 1533 cubitorum in planis terrarum." Mox de verbis *ὅπως μὴ ἐπιβοηθήσωσιν* v. Matth. p. 999. Deinde verba *αὐτοὶ μόνοι* Schol. ita accipit: *ἤτοι ἐκτὸς τῶν ἄλλων ξυμμάχων, ὧν εἶχον ἔξωθεν τῆς Πελοποννήσου*. Imo Peloponnesii soli, exclusis Megarensibus. Denique *τὴν ἄνω πόλιν* Megara dicit.

λον προσχωρήσειν τούτου γεγενημένου. οἱ οὖν Ἀθηναῖοι, ἐπειδὴ 67
ἀπό τε τῶν ἔργων καὶ τῶν λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες ἐς Μινώαν τὴν Μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις ὧν Ἱπποκράτης ἦρχεν ἐν ὑρύγματι ἐκαθέζοντο, ὅθεν ἐπλίνθευον τὰ τείχη καὶ ἀπεῖχεν οὐ πολύ· οἱ δὲ μετὰ τοῦ Δημοσθένους τοῦ ἑτέρου στρατηγοῦ Πλαταιῆς τε ψιλοὶ καὶ ἕτεροι περίπολοι ἐνήδρευσαν ἐς τὸν Ἐνυάλιον, ὃ ἐστιν ἔλασσον ἄποθεν. καὶ ἤσθετο οὐδεὶς εἰ μὴ οἱ ἄνδρες οἷς ἐπιμελὲς ἦν εἰδέναι τὴν νύκτα ταύτην. καὶ ἐπειδὴ ἕως ἤμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν Μεγαρέων οὗτοι τοιόνδε ἐποίησαν. ἀκάτιον ἀμφηρικὸν ὡς λῃσταὶ ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν

67. *ἐπλίνθευον τὰ τείχη*] ut fecerant Athenienses antea lateres parando ex hac fossa, quum Minoam munirent 3, 51. Ea fossa erat in insula Minoa, sed *ἀπεῖχεν οὐ πολύ* sc. a longis muris, quos expugnaturi erant. De *περιπόλοις* sive circitoribus dixi ad 2, 46. Boeckh. C. I. Vol. 1. p. 305. b. negat hos *περιπόλους* esse ephebos. „Nam si ephebi, ait, *περίπολοι* fuerunt, non ideo omnes *περίπολοι* sunt ephebi. *Περίπολοι* sunt *circitores, speculatores*, quibus opus cuive exercitui, etiamsi nulli ephebi adsint: quos *περιπόλους* quum Thucydides cum *ψιλοῖς Πλαταιεῦσι* componat et hoplitis opponat, patet illos *περιπόλους* fuisse leviter armatos, quum tamen ephebi panoplia usi sint." Idem sentire videtur Wachsm. Antt. Gr. 2, 1. p. 401. 48. b. Mox *τὸν Ἐνάλιον* habet Lugd. cum glossa *τοῦ Ἄρεος ναόν*, F. *τὴν Ἐν.* Mosqu. *τὸ Ἐνάλιον*. Popponi legendum videtur *τὸ Ἐννάλιον* sive (coll. Lobeck. ad Phryn. p. 370.) *Ἐνναλιεῖον*. Haack. *τὸν Ἐννάλιον* aliquando coniiciebat. Dixeram, morem fuisse veterum, deum pro dei templo ponere, quare hic *τὸν Ἐννάλιον* idem significare putaram quod *τὸ ἱερὸν τοῦ Ἐννάλιου*. Respondit Popp., „nisi dubia verba *παρὰ τοῦ Νίσου* 4, 118. huc referas, nusquam alibi ita loqui Thucydidem." Tametsi quum memorati usus in antiquitate tam multa exempla sint (v. adn. ad 4, 118.), quid vetat, ne Thucydidem quoque eius participem faciamus? Et Popp. oblitus est *τὸν Μαλόεντα*. Gravius est, quod idem addit, *ὅς* non *ὅ* sequi debuisse, nisi forte quis dicat, structuram ad sensum factam esse. „At difficultas praesentis loci inest in praepositione *ἐς*, quia non verum est, nomen dei sic usurpari, ut prorsus synonymum sit cum templo eius. Quum loquuntur de cultu dei et de templo eius oraculi obtinendi causa adito, consentaneum est, scriptores loqui de deo tanquam persona; at tum oratio conformatur convenienter cum notione personae dei, et praepositio *παρά* usurpatur loco praepositionis *ἐς*, ut aditus ad praesentem deum significetur." Non probo, nam sicut *ἐς βασιλέα* dictum reperimus pro *in regiam*, ita *ἐς τὸν Ἐννάλιον* dicere licebit pro *παρὰ τὸν Ἐννάλιον*, nec *παρά* hic aptum esset, quum non adirent Enyalium, sed in eius fano se absconderent. Ceterum Enyalium hoc non in Minoa, sed in continente situm fuisse, apparet ex proxime narratis, et erat *ἔλασσον ἄποθεν*, sc. a longis muris, quos tunc aggressuri erant, non a Megaris, cuius urbis aggressionem demum c. 68. post captos longos muros (*ἑαλωκότων ἤδη τῶν τειχῶν*) narrare instituit. Fallitur ergo Reingan. Megar. p. 34. Deinde *ἀκάτιον ἀμφηρικόν* Schol. interpretatur *πλοιάριον ἑκατέρωθεν ἐρεσσόμενον, ἐν ᾧ ἕκαστος τῶν ἐλαυνόντων δικωπίᾳ ἐρέττει*. Memorat vocem Pollux 1, 82.

ἐκ πολλοῦ τεθεραπευκότες] i. e. *quum ex longo inde tempore portam aperiendam sive per largitionem sive alio persuadendi modo curassent, ut piraticam factitantes.* Hoc ideo iis commodum praesenti occa-

τῶν πυλῶν εἰώθεσαν ἐπὶ ἁμάξῃ πείθοντες τὸν ἄρχοντα διὰ τῆς τάφρου κατακομίζειν τῆς νυκτὸς ἐπὶ τὴν θάλασσαν καὶ ἐκπλεῖν· καὶ πρὶν ἡμέραν εἶναι πάλιν αὐτὸ τῇ ἁμάξῃ κομίσαντες ἐς τὸ τεῖχος κατὰ τὰς πύλας ἐσῆγον, ὅπως τοῖς ἐκ τῆς Μινώας Ἀθηναίοις ἀφανὴς δὴ εἴη ἡ φυλακή, μὴ ὄντος ἐν τῷ λιμένι πλοίου φανεροῦ μηδενός. καὶ τότε πρὸς ταῖς πύλαις ἤδη ἦν ἡ ἅμαξα, καὶ ἀνοιχθεισῶν κατὰ τὸ εἰωθὸς ὡς τῷ ἀκατίῳ οἱ Ἀθηναῖοι, ἐγίγνετο γὰρ ἀπὸ ξυνθήματος τὸ τοιοῦτον, ἰδόντες ἔθεον δρόμῳ ἐκ τῆς ἐνέδρας, βουλόμενοι φθάσαι πρὶν ξυγκλῃσθῆναι πάλιν τὰς πύλας καὶ ἔως ἔτι ἡ ἅμαξα ἐν αὐταῖς ἦν κώλυμα οὖσα προσθεῖναι· καὶ αὐτοῖς ἅμα καὶ οἱ ξυμπράσσοντες Μεγαρῆς τοὺς κατὰ τὰς πύλας φύλακας κτείνουσι. καὶ πρῶτον μὲν οἱ περὶ τὸν Δημοσθένην Πλαταιῆς τε καὶ περίπολοι ἐξέδραμον οὗ νῦν τὸ τροπαῖόν ἐστι, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν, ᾖσθοντο γὰρ οἱ ἐγγύτατα Πελοποννήσιοι, μαχόμενοι τοὺς προσβοηθοῦντας οἱ Πλαταιῆς ἐκράτησαν, καὶ τοῖς τῶν Ἀθηναίων ὁπλίταις ἐπι-
68 φερομένοις βεβαίους τὰς πύλας παρέσχον. ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων ἤδη ὁ ἀεὶ ἐντὸς γιγνόμενος χωρεῖ ἐπὶ τὸ τεῖχος.

sione accidebat, quod, si tunc ipsum primum aperiendam curassent, praefectum militarem, qui aperiri sinebat, magis intentum observatorem habituri fuissent. Sic vero cum in consuetudinem abiisset, res a praefecto negligebatur. Porta autem, quam simulati illi piratae recludendam curaverunt, non fuit Megarae aut Nisaeae, sed longorum murorum, in quibus per insidias occupandis Athenienses tum maxime versabantur. Id hinc quoque patet, quod praefectum militarem Peloponnesiorum Nisaeae, qui unus ibi imperabat, precibus adeunt. Naviculam noctu *διὰ τῆς τάφρου* ad mare transportant: quippe per fossam, quae praeter longum murum ducta erat, in qua fossa minus periculi erat ne conspiceretur. Hinc ad mare perveniebat, ubi in litore extra portum Nisaeae in aquam immittebatur, ne ab Atheniensibus interciperetur, qui in Minoa stationem habentes aditus in portum potentes essent. Pergit scriptor *ὅπως ἀφανὴς εἴη ἡ φυλακή* i. e. damit die in Minoa stehenden Athener nicht wissen möchten, wovor sie sich in Acht zu nehmen hätten. Optime explanat Schol. *καὶ αὖθις πρὸς ἡμέρας ἀνέφερον αὐτὸ ἐς τὸ τεῖχος, ὅπως ἀφανὲς δῆθεν ᾖ τοῖς Ἀθηναίοις τί χρὴ φυλάττεσθαι. οὐ γὰρ ὄντος οὐδενὸς ἐν τῷ Μεγαρικῷ λιμένι πλοίου φανεροῦ, διὰ τὸ ἐντὸς τειχῶν μεθ' ἡμέραν κρύπτεσθαι τὸ ἀκάτιον, ἄπορον ἦν γνῶναι τοῖς Ἀθηναίοις ὑφ' ὧντινων λῃσεύονται.* Et *ἐν τῷ λιμένι* ait, sc. inter Minoam et Nisaeam. v. Thuc. 3, 51. Mox in verbis *ἤδη ἦν — καί* Reisk. pro *ἤδη* coniecit *ἥδε*. „Sed *ἤδη* cohaeret cum proximo *καί*. Conf. Bornem. ad Xen. Anab. 4, 2, 12.“ Popp. Ad *προσθεῖναι* supple *τὰς θύρας*. Deinde in verbis *τοὺς κατὰ τὰς πύλας φύλακας* articulum *τάς* Haack. ex aliquot libris inseruit; recte: nam „*κατὰ πύλας* aut *in singulis portis* significaret, aut *in aliqua porta*, ut 2, 4. 5, 7.“ Popp. Verbis *ᾖσθοντο γάρ* „explicatur verbum *μαχόμενοι*, *quamquam necopinato superveniebant, Athenienses non sine certamine porta potiebantur, nam Peloponnesiorum praesidium tempore conamen animadvertebat, ut aliquantisper resisteret.*“ Arn.

68. *ἐπὶ τὸ τεῖχος*] i. e. *ἐπὶ τὰς ἐπάλξεις* longi muri. v. Thuc. 3, 22. *τὸ δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος ὥρμησεν*, ubi v. adn. Verborum *φοβηθέντες — νομίσαντες* structura aut deleto *τε* post *νυκτί* haec

καὶ οἱ Πελοποννήσιοι φρουροὶ τὸ μὲν πρῶτον ἀντισχόντες ἠμύνοντο ὀλίγοι, καὶ ἀπέθανόν τινες αὐτῶν, οἱ δὲ πλείους ἐς φυγὴν κατέστησαν φοβηθέντες, ἐν νυκτί τε πολεμίων προσπεπτωκότων καὶ τῶν προδιδόντων Μεγαρέων ἀντιμαχομένων, νομίσαντες τοὺς ἅπαντας σφᾶς Μεγαρέας προδεδωκέναι. ξυνέπεσε γὰρ καὶ τὸν τῶν Ἀθηναίων κήρυκα ἀφ' ἑαυτοῦ γνώμης κηρῦξαι τὸν βουλόμενον ἰέναι Μεγαρέων μετὰ Ἀθηναίων θησόμενον τὰ ὅπλα. οἱ δ' ὡς ἤκουσαν, οὐκέτι ἀνέμενον, ἀλλὰ τῷ ὄντι νομίσαντες κοινῇ πολεμεῖσθαι κατέφυγον ἐς τὴν Νίσαιαν. ἅμα δὲ ἕῳ ἑαλωκότων ἤδη τῶν τειχῶν καὶ τῶν ἐν τῇ πόλει Μεγαρέων θορυβουμένων οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες καὶ ἄλλοι μετ' αὐτῶν, πλῆθος ὃ ξυνῄδει, ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας καὶ ἐπεξιέναι ἐς μάχην. ξυνέκειτο δὲ αὐτοῖς τῶν πυλῶν ἀνοιχθεισῶν ἐσπίπτειν τοὺς Ἀθηναίους, αὐτοὶ δὲ διάδηλοι ἔμελλον ἔσεσθαι, λίπα γὰρ ἀλείψεσθαι, ὅπως μὴ ἀδικῶνται. ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο τῆς ἀνοίξεως· καὶ γὰρ οἱ ἀπὸ τῆς Ἐλευσῖνος κατὰ τὸ ξυγκείμενον τετρακισχίλιοι ὁπλῖται

est: *φοβηθέντες ἐν νυκτὶ πολεμίων προσπεπτωκότων, καὶ τῶν προδιδόντων Μεγαρέων ἀντιμαχουμένων νομίσαντες* etc., aut servato *τε* haec: *φοβηθέντες, ἐν νυκτί τε πολεμίων προσπεπτωκότων καὶ, τῶν προδιδόντων Μεγαρέων ἀντιμαχουμένων, νομίσαντες* etc. Hoc alterum si sequaris, cum Haackio duo fontes timoris Peloponnesiorum statuendi sunt, alter quod impetus ab hostibus nocturnus fiebat, alter quod putabant, cunctos Megarenses se prodidisse. Haec duo coordinata sunt, alterum elatum per genitivum consequentiae, alterum per participii nominativum: *νυκτί τε προσπεπτωκότων — καὶ νομίσαντες*. v. adn. ad 4, 29. init. Eius autem opinionis de proditione cunctorum Megarensium causa interponitur verbis *τῶν προδιδόντων Μεγαρέων ἀντιμαχουμένων*. Itaque *καί* iungendum est cum *νομίσαντες*. Paulo post ordo verborum hic est: *τὸν βουλόμενον Μεγαρέων ἰέναι θησόμενον* (i. e. *καὶ τίθεσθαι*) *ὅπλα μετὰ Ἀθηναίων*. De formula *τίθεσθαι τὰ ὅπλα* v. adn. ad 2, 2. Schoem. Obss. p. 13. ita interpretatur: *proclamavit, ut, cui videretur, iret Atheniensibus se iuncturus.* De formula *ὁ βουλόμενος* v. Locell. ad Xen. Ephes. p. 168. Reisk. Indic. Graec. Demosth. p. 166. Infinitivus *ἰέναι* pendet a *κηρῦξαι*, quia in *κηρύσσειν* sensus inest verborum *κηρύξαντα κελεῦσαι*. v. Schoem. l. c. p. 14 sq. „Talis proclamatio, opinor, fiebat, ubi urbs occupata erat non invita parte civium, ut Thebae 2, 2.“ Bloomf.

ἑαλωκότων ἤδη τῶν τειχῶν] Longos muros intelligit. Hinc demum narratur de conamine in ipsam urbem Megaram facto. Verba *ἄλλοι μετ' αὐτῶν, πλῆθος* „intelligi et defendi possunt, si *πλῆθος* etc. per appositionem accipias. Tamen Abreschii et Reiskii coniectura *ἄλλο μετ' αὐτῶν πλῆθος, ὃ ξυνῄδει* tam facilis et cuivis obvia est, ut si vel uno et altero probato codice niteretur, non dubitarem eam recipere.“ Haack. Mox legebatur *οἱ τὴν νύκτα πορευόμενοι*, at *οἱ* om. nonnulli libri, nec ferri potest articulus, quum sensus esse debeat *equites nocturno itinere advenerant*, cum articulo hic sit: *ii equites, qui noctu iter faciebant, advenerant.* Dein est *ἀνοίγειν τὰς πύλας* sc. Megarae, et *λίπα γὰρ ἀλείψεσθαι*, „quod nullam suspicionem excitaturum erat, nam ad omne opus contentione laboriosum ungebantur.“ Arn. Paulo post Bekk. *οὐδὲ ἐς κίνδυνον* malebat.

τῶν Ἀθηναίων καὶ ἱππῆς ἑξακόσιοι τὴν νύκτα πορευόμενοι παρῆσαν. ἀληλιμμένων δὲ αὐτῶν καὶ ὄντων ἤδη περὶ τὰς πύλας καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα. καὶ οἱ ξυστραφέντες ἀθρόοι ἦλθον καὶ οὐκ ἔφασαν χρῆναι οὔτε ἐπεξιέναι, οὐδὲ γὰρ πρότερόν πω τοῦτο ἰσχύοντες μᾶλλον τολμῆσαι, οὔτε ἐς κίνδυνον φανερὸν τὴν πόλιν καταγαγεῖν· εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι. ἐδήλουν δὲ οὐδὲν ὅτι ἴσασι τὰ πρασσόμενα, ἀλλ' ὡς τὰ βέλτιστα βουλεύοντες ἰσχυρίζοντο, καὶ ἅμα περὶ τὰς πύλας παρέμενον φυλάσσοντες, ὥστε
69 οὐκ ἐγένετο τοῖς ἐπιβουλεύουσι πρᾶξαι ὃ ἔμελλον. γνόντες δὲ οἱ τῶν Ἀθηναίων στρατηγοὶ ὅτι ἐναντίωμά τι ἐγένετο καὶ τὴν πόλιν βίᾳ οὐχ οἷοί τε ἔσονται λαβεῖν, τὴν Νίσαιαν εὐθὺς περιετείχιζον, νομίζοντες, εἰ πρὶν ἐπιβοηθῆσαι τινὰς ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ Μέγαρα προσχωρῆσαι· παρεγένετο δὲ σίδηρός τε ἐκ τῶν Ἀθηνῶν ταχὺ καὶ λιθουργοὶ καὶ τἆλλα ἐπιτήδεια· ἀρξάμενοι δ' ἀπὸ τοῦ τείχους ὃ εἶχον, καὶ διοικοδομήσαντες τὸ πρὸς Μεγαρέας ἀπ' ἐκείνου ἑκατέρωθεν ἐς θάλασσαν τῆς Νισαίας τάφρον τε καὶ τείχη διελομένη ἡ στρατιά, ἔκ τε τοῦ προαστείου λίθοις καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα καὶ ὕλην ἀπεσταύρουν εἴ πη δέοιτό τι· καὶ αἱ οἰκίαι τοῦ προαστείου ἐπάλξεις λαμβάνουσαι αὐταὶ ὑπῆρχον ἔρυμα. καὶ ταύτην μὲν τὴν ἡμέραν ὅλην εἰργάζοντο. τῇ δ' ὑστεραίᾳ περὶ δείλην τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο, καὶ οἱ ἐν τῇ Νισαίᾳ δείσαντες, σίτου τε ἀπορίᾳ, ἐφ' ἡμέραν γὰρ ἐκ τῆς ἄνω πόλεως ἐχρῶντο, καὶ τοὺς Πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν, τούς τε Μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς Ἀθηναίοις ῥητοῦ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι ὅπλα παραδόντας, τοῖς δὲ Λακεδαιμονίοις, τῷ τε ἄρχοντι καὶ εἴτις ἄλλος ἐνῆν, χρῆσθαι Ἀθηναίους ὅ,τι ἂν βούλωνται. ἐπὶ τούτοις ὁμολογήσαντες ἐξῆλθον. καὶ οἱ Ἀθηναῖοι τὰ μακρὰ τείχη ἀπορρήξαντες ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως καὶ τὴν Νίσαιαν παραλαβόντες τἆλλα παρεσκευάζοντο.

Βρασίδας δὲ ὁ Τέλλιδος Λακεδαιμόνιος κατὰ τοῦτον τὸν 70
ἀξιῶ οὔτ' αὐτός] Αὐτός nobis suspectum, nec ab ullo interprete translatum: etenim non opponuntur οὔτ' αὐτὸς ὑποπτεύεσθαι — προσχωρεῖν τε ὑμᾶς, quae posteriora cum οὔκουν cohaerere nequeunt, sed οὔθ' ὑποπτεύεσθαι οὔτε τιμωρὸς ἀδύνατος νομισθῆναι. At quum αὐτός expungi nequeat, neque hyperbaton, quod 1, 1. p. 301. statuimus, nunc placeat, fortasse coniicias οὔκουν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι — οὐδὲ τιμωρὸς ἀδύνατος νομισθῆναι, προσχωρεῖν τε ὑμᾶς. Magis tamen placet, ut ἄλλως (*temere*) vel ἀδίκως pro αὐτός reponatur. Popp. Mox idem πίστεις γε scripsit Popp. In Ar. Chr. Dan. particula τε om. Deinde pro οὐδὲ ἀσαφῆ alii libri οὐδὲ ἀσφαλῆ. „Vulgatam, ait Popp., retinet Hemsterh. ad Lucian. Necyom. 7. nec sollicitarunt recentiores.“ Iure; etenim adverbium et adiectivum saepe fungitur vice totius sententiae, velut hic, ubi sensus idem est, ac si scripsisset: οὐδὲ ἐλευθερίαν νομίζω ἐπιφέρειν, ἣ ἀσαφὴς ἂν εἴη, εἰ etc., vel sic: οὐδὲ ἀσαφῆ τὴν ἐλευθερίαν νομίζω ἐπιφέρειν, ἐπιφέροιμι δ' ἄν, εἰ etc. Conf. Soph. Antig. 70. Simillimus autem locus est ipsius auctoris 3, 11. ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο μὴ ἂν τούς γε ἰσοψήφους ἄκοντας, εἰ μή τι ἠδίκουν οἷς ἐπῆεσαν, ξυστρατεύειν. Idemque usus adiectivorum et adverbiorum ne Latinis quidem inusitatus, de quo v. Heind. ad Hor. 2. Serm. 2, 90. Schol. γράφεται ἀσφαλῆ, καὶ ὁ νοῦς ἔχει ὧδε· οὐδὲ γὰρ φανερὰν ἐπιφέρειν νομίζω τὴν ἐλευθερίαν, εἰ, καταλείψας τὸ πάτριον (ἦγουν τὴν ἀρχαίαν ἐλευθερίαν) δουλώσω τὸ πλέον τοῖς ὀλίγοις etc. Ad χαλεπωτέρα supple ἡ ἀσαφὴς ἐλευθερία.

ἀντὶ πόνων χάρις] Solent hae voces inter se contrarie poni. Sic apud Dionysium de C. V. p. 78. e libris restitui καὶ τὸ μεταβάλλειν ὥσπερ χάριν ἔχει τινὰ, οὕτω καὶ πόνον, ubi attuli verba Sophoclis Oed. C. 229. Et similiter Dionys. l. c. p. 207. componit εὐπαθείας et πόνους. Hinc explicandus Eurip. Helen. 1441., ubi hic sensus est: ***mortui nihil sentiunt; quibus quod gratum te fecisse putes, nihil est nisi sine gratia labor.*** Mox verba ὁ μὴ ὑποδείξας Schol. explicat per ὁ μὴ προεπαγγειλάμενος. τὸν Ἀθηναῖον αἰνίττεται. Totam sententiam ita puto explicandam esse: οἷς τε τοὺς Ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, ἐκείνων αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα κατακτώμενοι. Deinde περιωπήν veteres Grammatici explicant τὴν φρονίδα καὶ τὴν περίσκεψιν ἢ περιάθρησιν, ἢ πρόνοιαν, ἢ ἐξέτασιν (Umsicht).

κτώμενοι. ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῆ. οὕτω πολλὴν περιωπὴν τῶν ἡμῖν ἐς τὰ μέγιστα διαφόρων ποιούμεθα. καὶ οὐκ ἂν μείζω πρὸς τοῖς ὅρκοις βε- 87
βαίωσιν λάβοιτε ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθρούμενα δόκησιν ἀναγκαίαν παρέχεται ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον. εἰ δ' ἐμοῦ ταῦτα προισχομένου ἀδύνατοι μὲν φήσετε εἶναι, εὖνοι δ' ὄντες ἀξιώσετε μὴ κακούμενοι διωθεῖσθαι καὶ τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ὑμῖν φαίνεσθαι, δίκαιόν τε εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτήν, τούτοις καὶ ἐπιφέρειν, ἄκοντα δὲ μηδένα προσαναγκάζειν, μάρτυρας μὲν θεοὺς καὶ ἥρωας τοὺς ἐγχωρίους

87. καὶ οὐκ ἂν μείζω] i. e. *neque praeter iusiurandum maiorem fidem accipere possitis quam ea, quibus res ipsa cum verbis meis comparata persuasionem evincit, ita conducere, ut dixi.* Suppleo igitur: ἢ ἐκείνοις οἷς τὰ ἔργα etc., quod est idem ac si dixisset οὐκ ἂν μείζω βεβαίωσιν λάβοιτε ἢ τὰ ἔργα, ἃ ἐκ τῶν λόγων ἀναθρούμενα δόκησιν ἀναγκαίαν παρέχεται, sive masculinum malis supplere, hic sensus erit: und keine grössere Gewährleistung nebst dem Eide könntet ihr erlangen, als *von denen, für welche* ihre Thaten, verglichen mit ihren Werken, die Ueberzeugung bewirken, dass es in gleichem Maasse auch nützlich ist, so zu handeln, wie zu sprechen. Pro ἀναθρούμενα Gr. ἀφομοιούμενα. E. ἀναθεωρούμενα. Suidas: ἀναθρούμενα, ἀνασκοπούμενα. „Scriptura Gr. videtur orta ex interpretatione Scholiastae.“ Duk. Verba ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον pendent ex δόκησιν. Mox dedi ὑμῖν φαίνεσθαι, Valla *vobis*, pars librorum ἡμῖν, quod mihi sic tantum hic ferri posse videtur, si simul φαίνεται, verbum finitum, cum nominativo ponatur, particula μή in οὐ mutata, ut de more Graecorum ab oratione indirecta in directam transitus fiat, quod h. l. fieri nequit. Paulo inferius in verbis τῶν μὲν Λακεδαιμονίων — οἱ δὲ Ἕλληνες casus variantur. Genitivus Λακεδαιμονίων pendet ab ἀνάγκας. Et τῷ ὑμετέρῳ εὖνῳ est durch euer Wohlwollen. Hoc cum ironia dictum est, et refertur ad verba superius posita: εὖνοι δ' ὄντες. Praeclara vero erga nos benevolentia, ait, si inimicos nostros vestra pecunia sublevatis! Minus recte Heilm. verba οὐ γὰρ δὴ εἰκότως — ἐλευθεροῦν interpretatur: das heisst nicht billig gehandelt, und wir Lacedämonier sind auf keine Weise gehalten, Leuten, die es bloss aus persönlichem Eigennutz nicht haben wollen, die Freiheit zu verschaffen. Quippe verba μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ iungit cum μὴ βουλομένους, quod per collocationem articuli τούς fieri non potest. Iungenda sunt cum ἐλευθεροῦν. Schol. recte explicat: οὐ γὰρ ἂν εὐλόγως ἐγχειροῖμεν ἐλευθεροῦν τοὺς Ἕλληνας, οὐδ' ἂν δικαίως τοὺς μὴ βουλομένους ἐλευθεροῦσθαι ἐλευθεροῦν ἐπεχειροῦμεν, εἰ μὴ κοινῇ πᾶσι τοῖς Ἕλλησι τοῦτο συνέφερε. Neque Brasidas dicit se nolle Acanthios liberare, sed coacturum illos, ut vel inviti libertatem accipiant. Et μὴ αἰτίᾳ est ***nisi alicuius boni publici causa.*** v. Herm. ad Vig. p. 802., sineremus vos, ait, in servitio Atheniensium manere, nisi communis Graecorum salutis causa, cui vos impedimento estis, vel invitos vos liberare deberemus: ***nec decenter hoc faceremus, neque debemus Lacedaemonii, nisi alicuius boni publici causa, eos qui nolunt liberare.*** Ubi tamen potius exspectaveris: οὐδ' ἂν Λακεδαιμόνιοι τοὺς μὴ βουλομένους ἐλευθεροῦν ἐπεχειροῦμεν, εἰ μὴ ὠφείλομεν κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ. Atque sic accepit Schol. οὐ γὰρ ἂν εὐλόγως etc.

ποιήσομαι ὡς ἐπ' ἀγαθῷ ἥκων οὐ πείθω, γῆν δὲ τὴν ὑμετέραν δῃῶν πειράσομαι βιάζεσθαι, καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ, προεῖναι δέ τί μοι καὶ κατὰ δύο ἀνάγκας τὸ εὔλογον, τῶν μὲν Λακεδαιμονίων, ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ, εἰ μὴ προσαχθήσεσθε τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις παρ' Ἀθηναίους βλάπτωνται, οἱ δὲ Ἕλληνες ἵνα μὴ κωλύωνται ὑφ' ὑμῶν δουλείας ἀπαλλαγῆναι. οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε πράσσοιμεν, οὐδὲ ὀφείλομεν οἱ Λακεδαιμόνιοι μὴ κοινοῦ τινὸς ἀγαθοῦ αἰτίᾳ τοὺς μὴ βουλομένους ἐλευθεροῦν. οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδοντες τοὺς πλείους ἂν ἀδικοῖμεν εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες ὑμᾶς τους ἐναντιουμένους περιίδοιμεν. πρὸς ταῦτα βουλεύεσθε εὖ, καὶ ἀγωνίσασθε τοῖς τε Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας, καὶ ἀίδιον δόξαν καταθέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι καὶ ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι.

88 Ὁ μὲν Βρασίδας τοσαῦτα εἶπεν. οἱ δὲ Ἀκάνθιοι, πολλῶν λεχθέντων πρότερον ἐπ' ἀμφότερα, κρύφα διαψηφισάμενοι, διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν καὶ περὶ τοῦ καρποῦ φόβῳ ἔγνωσαν οἱ πλείους ἀφίστασθαι Ἀθηναίων, καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις οὓς τὰ τέλη τῶν Λακεδαιμονίων ὀμόσαντα αὐτὸν ἐξέπεμψαν, ἦ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους οὓς ἂν προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν. καὶ οὐ πολλῷ ὕστερον καὶ Στάγειρος Ἀνδρίων ἀποικία ξυναπέστη. ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ ἐγένετο.

88. *διαψηφισάμενοι*] plerique libri; vulgo *ψηφισάμενοι*. Abreschii interpretationem *calculis et suffragiis certantes* Bau. et Popp. reiecerunt, quorum hic ait *διαψηφίζεσθαι* esse *omnes deinceps suffragia ferre*. „Verum haec explicatio admitti nequit, ubi verbum singulari numero ponitur, velut ap. Demosth. Timocr. p. 747. Reisk. *διαψηφιοῦμαι περὶ αὐτοῦ οὗ ἂν ἡ ἡ δίωξις*, neque altera explicatio (*ferre suffragium alterutram in partem, suffragiis certare*) adhiberi potest, ubi in unam omnes partem suffragia ferunt, ut ap Demosth. Aphob. p. 842. *ἦ δίκαιόν ἐστι, ταύτῃ διαψηφίσασθε*. Videlicet *διαψηφίζεσθαι* utramque notionem habet, ac, si proprie loquaris, tantum pluribus suffragia ferentibus adhiberi potest; ubi singuli suffragia ferunt, non proprie usurpatum nihil significat nisi *suffragium ferre* propter frequentem usum verbi de suffragiis plurium. Vox *κρύφα* signilicat, suffragia globulis, quod dicimus, non manibus lata esse, ut fieri solebat. Athenis constanter verbo *ψηφίζεσθαι* utebantur vel quum *χειροτονίᾳ* et non *ψήφοις* suffragia ferebant: quo factum est, ut Thuc. adderet *κρύφα* indicaturus, in praesenti causa, ut secretius fieret, suffragia lata esse *ψήφοις*. Vid. Schoem. de Comit. Athen. p. 122 — 125." Arn. Paulo post verba *πιστώσαντες — ὅρκοις* non nominato auctore cum interpretatione Scholiastae leguntur apud Suidam in v. *πιστώσαντες*. Denique neutri *τὰ τέλη* licebat pluralem verbi iungere ex regula in vulgus nota, de qua v. Lobeck. ad Phryn. p. 425. et *αὐτόν* iunge cum *ἐξέπεμψαν* (Brasidam), *οὕς* pendet ab *ὀμόσαντα*, qui est nominativus subiectum habens *τὰ τέλη*, welche die Ephoren beschworen hatten, als sie den Brasidas aussandten. Nam ex cap. 86. cognovimus, Brasidam ab eo magistratu illud iusiurandum postulasse.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς ἀρχομένου, ὡς τῷ 89
Ἱπποκράτει καὶ Δημοσθένει στρατηγοῖς οὖσιν Ἀθηναίων τὰ ἐν τοῖς Βοιωτοῖς ἐνεδίδοτο, καὶ ἔδει τὸν μὲν Δημοσθένην ταῖς ναυσὶν ἐς τὰς Σίφας ἀπαντῆσαι, τὸν δ' ἐπὶ τὸ Δήλιον, γενομένης διαμαρτίας τῶν ἡμερῶν ἐς ἃς ἔδει ἀμφοτέρους στρατεύειν, ὁ μὲν Δημοσθένης πρότερον πλεύσας πρὸς τὰς Σίφας καὶ ἔχων ἐν ταῖς ναυσὶν Ἀκαρνᾶνας καὶ τῶν ἐκεῖ πολλοὺς ξυμμάχων, ἄπρακτος γίγνεται μηνυθέντος τοῦ ἐπιβουλεύματος ὑπὸ Νικομάχου ἀνδρὸς Φωκέως ἐκ Φανοτέως, ὃς Λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ Βοιωτοῖς· καὶ βοηθείας γενομένης πάντων Βοιωτῶν, οὐ γάρ πω Ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὤν, προκαταλαμβάνονται αἵ τε Σίφαι καὶ ἡ Χαιρώνεια. ὡς δὲ ἤσθοντο οἱ πράσσοντες τὸ ἁμάρτημα, οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν. ὁ δὲ Ἱπποκράτης ἀναστήσας Ἀθηναίους πανδη- 90
μεὶ αὐτοὺς καὶ τοὺς μετοίκους καὶ ξένων ὅσοι παρῆσαν ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον, ἤδη τῶν Βοιωτῶν ἀνακεχωρηκότων ἀπὸ τῶν Σιφῶν· καὶ καθίσας τὸν στρατὸν Δήλιον ἐτείχιζε τοιῷδε τρόπῳ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν ἔσκαπτον, ἐκ δὲ τοῦ ὀρύγματος ἀνέβαλ-

89. *Νικομάχου*] Hunc virum Phocensem Arn. suspicatur inter incolas Chaeroneae fuisse, quam partim Phocenses habitasse, dictum est c. 76. Mox ad *προκαταλαμβάνονται* intellige *ὑπὸ τῶν Βοιωτῶν*. De verbis *οἱ πράσσοντες* „adnotat Casaub. ad Polyb. p. 185. (Vol. 1. p. 839. Ern.), *πράσσειν* idem esse ac *prodere*, eamque significationem huius verbi cum ex hoc Thucydidis, tum ex aliorum scriptorum locis ostendit, et Spanh. ad Arist. Plut. 410. ex cap. 110. huius libri. Sic etiam h. l. accipit Schol., (quamquam non recte *ἁμαρτίαν* exponit *προδοσίαν*, pro *διαμαρτίαν τῶν ἡμερῶν*, quam c. praecedenti Thuc. memorat, vel *τὸ ἁμάρτημα* imperatorum Atheniensium), et c. 74. *τῶν πρὸς τοὺς Ἀθηναίους πραξάντων*, c. 76. *τῷ Ἱπποκράτει τὰ Βοιώτια πράγματα ἀπό τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράτετο*. Item c. 110. *οἱ δὲ πράσσοντες αὐτῷ* et c. 113. *οἱ δὲ πράσσοντες* itidem de proditione interpretatur. Habet haec vox in universum significationem clandestinae molitionis et studii partium. Unde etiam illi, qui id agunt, ut alios sibi concilient et in suas partes pertrahant, quique aliorum rebus student ac favent, dicuntur *πράσσειν*. Thuc. 1, 57. 4, 1. 73." Duk.

90. *τὸ ἱερὸν τοῦ Ἀπόλλωνος*] Valde mihi suspecta sunt haec verba, primum quod superflua sunt, quum statim sequatur *περὶ τὸ ἱερὸν καὶ τὸν νεών*, atque supr. c. 76. iam dixerit *Δήλιον καταλαβεῖν τὸ ἐν τῇ Ταναγραίᾳ Ἀπόλλωνος ἱερόν*, deinde quod minus apto loco pronuntur post verba *τοιῷδε τρόπῳ*, quibus alibi semper ipsa rei descriptio subiungitur. Haack. Negat Popp., utrumvis argumentum idoneum esse, quum Thuc. et tales repetitiones atque interpretationes amet, et appositionem nonnunquam a nomine suo avellat, ut 1, 47. 3, 35. 5, 30. 7, 37. Mox de verbis *τὸ ἱερὸν καὶ τὸν νεών* v. adn. ad 1, 134. Schol. *ἱερὸν ναοῦ διαφέρει· ἱερὸν μὲν αὐτὸς ὁ προσιερωμένος τόπος τῷ θεῷ· νεὼς δὲ ἔνθα ἵδρυται αὐτὸ τὸ ἄγαλμα τοῦ θεοῦ*. Ammonius *ἱερὰ τοὺς περιβόλους τῶν ναῶν* esse dicit. v. Interpp. ad Polluc. 1, 6. 9, 40. Paulo post *ἀντὶ τείχους* etc. est *ut pro muro esset*, ut 2, 75. *ἀντὶ τοίχων* est *ut loco parietum* etc. Verba *ἄμπελον — ἐξέβαλλον* Heilm. ait duplicem explicationem admittere, ut vel sic intelligantur: *ἄμπελον*,

λον ἀντὶ τείχους τὸν χοῦν, καὶ σταυροὺς παρακαταπηγνύντες, ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν ἐξέβαλλον, καὶ λίθους ἅμα καὶ πλίνθον ἐκ τῶν οἰκοπέδων τῶν ἐγγὺς καθαιροῦντες, καὶ παντὶ τρόπῳ ἐμετεώριζον τὸ ἔρυμα. πύργους τε ξυλίνους κατέστησαν ἢ καιρὸς ἦν καὶ τοῦ ἱεροῦ οἰκοδόμημα οὐδὲν ὑπῆρχεν· ἦπερ γὰρ ἦν στοά, καταπεπτώκει. ἡμέρᾳ δὲ ἀρξάμενοι τρίτῃ ὡς οἴκοθεν ὥρμησαν ταύτην τε εἰργάζοντο καὶ τὴν τετάρτην καὶ τῆς πέμπτης μέχρι ἀρίστου. ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετετέλεστο, τὸ μὲν στρατόπεδον προαπεχώρησεν ἀπὸ τοῦ Δηλίου οἷον δέκα σταδίους ὡς ἐπ' οἴκου πορευόμενον, καὶ οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν, οἱ δ' ὁπλῖται θέμενοι τὰ ὅπλα ἡσύχαζον· Ἱπποκράτης δὲ ὑπομένων ἔτι καθίστατο φύλακάς τε καὶ τὰ περὶ τὸ προτείχισμα, ὅσα ἦν ὑπόλοιπα, ὡς χρῆν ἐπιτελέσαι.

91 Οἱ δὲ Βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς τὴν Τάναγραν· καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν καὶ

ἦν ἔκοπτον περὶ τὸ ἱερὸν φυτευθεῖσαν, ἐξέβαλλον τοῖς σταυροῖς i. e. er liess längst derselben Pfählen einraminen und solche mit den Ranken aus dem bei dem Tempel befindlichen Weinberge, den er aushauen liess, durchflechten; vel sic: *palos defixerunt, vineae, quae circum templum erat, materia excisa, et humum effossam interiecerunt*, ut ἐξέβαλλον trahatur ad praecedens χοῦν. Sed priorem explicationem magis firmari ait verbis c. 100., ubi Boeoti narrantur eo potissimum machinam igniferam admovisse, ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο. Sed ibi τὰ ξύλα esse possunt πύργοι ξύλινοι, qui memorantur c. 90. et ἄμπελος cogitari potest in vallum iniecta esse. Protulit tertiam interpretationem Popp., qui plenam sententiam hanc putat esse: καὶ σταυροὺς παρακαταπηγνύντες ἐξέβαλλον ἄμπελον, κόπτοντες αὐτὴν περὶ τὸ ἱερὸν, καὶ λίθους ἅμα καὶ πλίνθον ἐξέβαλλον, καθαιροῦντες αὐτὰ ἐκ τῶν οἰκοπέδων τῶν ἐγγύς. Prima dictarum rationum si obtineret, negat deesse posse τε post ἄμπελον. Quod mihi non magis necesse esse videtur, quam si ipsius explicationem amplectaris. Mihi Heilmanni ratio hoc potius nomine reprehendenda videtur, quod ἐξέβαλλον duplici sensu accipit, altero, quo refertur ad ἄμπελον et significat *innectere*; altero, quo refertur ad λίθους etc., quo significat *iniicere*. Quae ambiguitas etiam magis sententiam impediret. Χοῦν autem propterea nolim repetere, tum quia χοῦς non potest una dici ἀναβάλλεσθαι idemque ἐξβάλλεσθαι, tum quia sic verba ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν non aliter sonant, quam si dicas, ἄμπελον inservisse palis figendis, quod fieri nequit, sive ἄμπελον vites intelligas, sive vitium statumina. Quare in Popponis sententiam discedendum videtur. Ἄμπελος (dixeris Faschinen aus Weinranken) inserviebat densandae humo, quae intra palos ingerebatur. Harum vitium stramina et humus alternatim inserta fuisse putanda sunt. Hinc cap. 100. legimus verba iam allata ᾗ μάλιστα etc. i. e. wo eben eine Schichte Faschinen war.

τὸ μὲν στρατόπεδον] Ad haec respicit fortasse Antiatticista in Bekk. Anecdd. 1. p. 113. στρατόπεδον ἀντὶ τοῦ στρατεύματος. Θουκυδίδης τετάρτῳ· „τὸ στρατόπεδον ἀνεχώρησεν.“ Sed quamquam saepe Thuc. στρατόπεδον de exercitu et ἀναχωρεῖν de receptu exercitus dicit, ipsa tamen illa verba nec in quarto libro, nec, si recte memini mus, alibi apud eum leguntur. Popp.

ἠσθάνοντο τοὺς Ἀθηναίους προχωροῦντας ἐπ' οἴκου, τῶν ἄλλων βοιωταρχῶν, οἳ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ Βοιωτίᾳ ἔτι εἰσί, μάλιστα γὰρ ἐν μεθορίοις τῆς Ὠρωπίας οἱ Ἀθηναῖοι ἦσαν, ὅτε ἔθεντο τὰ ὅπλα, Παγώνδας ὁ Ἰολάδου βοιωταρχῶν ἐκ Θηβῶν μετ' Ἀριανθίδου τοῦ Ἀυσιμαχίδου, καὶ ἡγεμονίας οὔσης αὐτοῦ, βουλόμενος τὴν μάχην ποιῆσαι καὶ νομίζων ἄμεινον εἶναι κινδυνεῦσαι, προσκαλῶν ἑκάστους κατὰ λόχους, ὅπως μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς Βοιωτοὺς ἰέναι ἐπὶ τοὺς Ἀθηναίους καὶ τὸν ἀγῶνα ποιεῖσθαι, λέγων τοιάδε.

Χρῆν μέν, ὦ ἄνδρες Βοιωτοί, μηδ' ἐς ἐπίνοιάν τινα ἡμῶν 92
ἐλθεῖν τῶν ἀρχόντων ὡς οὐκ εἰκὸς Ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτούς, διὰ μάχης ἐλθεῖν. τὴν γὰρ Βοιωτίαν ἐκ τῆς ὁμόρου ἐλθόντες τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν, καὶ εἰσὶ δήπου πολέμιοι, ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. νυνὶ δ' εἴ τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω. οὐ γὰρ τὸ προμηθές, οἷς ἂν ἄλλος ἐπίῃ, περὶ τῆς σφετέρας ὁμοίως ἐν-

91. *Βοιωταρχῶν, οἳ εἰσιν ἕνδεκα*] Od. Muell. Orchom. p. 404., cuius in sententia sunt etiam Schneid. ad Xen. H. Gr. 5, 4, 2. et Kluetz. de Foed. Boeot. p. 79., haec verba ita interpretatur, cum Pagonda *duodecim* Boeotarchas fuisse. Verum quod non scriptum est *οἳ ἦσαν*, sed *οἳ εἰσι*, Popp. 1, 2. p. 292. cum Boeckhio C. I. Vol. 1. p. 729. a. et reliquis interpretibus Thucydidis *οἵ* ad solum nomen *Βοιωταρχῶν*, non ad verba *τῶν ἄλλων* refert, ideoque omnino *undecim* fuisse statuit, quod tradit etiam Schol. ad 2, 2. Add. C. Fr. Herm. Antt. Gr. §. 179 sqq. p. 358. et inprimis p. 359, 12. „Si *οἵ* refertur ad *τῶν ἄλλων*, et non simpliciter ad *Βοιωταρχῶν*, necessario sequitur, numerum universorum fuisse *tredecim*, nam praesens *εἰσι* indicat, verbis *τῶν ἄλλων* non distingui unum Pagondam, sed Boeotarchas Thebanos.“ Arn., addens, quum numerus Boeotarcharum aliis temporibus alius fuerit, non decerni posse, utrum tempore belli Pelop. undecim an tredecim fuerint; se magis putare, tredecim fuisse. Undecim arbitratur fuisse Bloomf.

92. *τὸ προμηθές*] Schol. *ἡ προμήθεια τοῦ μέλλοντος καὶ ἡ πρόνοια οὐχ ὁμοίου χρήζει διαλογισμοῦ τῶν τε ὑπερμαχούντων τῆς ἰδίας γῆς καὶ τῶν ἐχόντων μὲν τὴν ἰδίαν, ὀρεγομένων δὲ γῆς ἀλλοτρίας καὶ ἐπιόντων. ἐμφαίνει δὲ, ὅτι χρὴ ἡμᾶς ὑπερμαχοῦντας τῇ ἡμῶν αὐτῶν τόλμῃ χρήσασθαι καὶ ἀπονοίᾳ μᾶλλον ἤπερ λογισμῷ.* Heilm.: wer von einem Andern angefallen wird, der kann in Ansehung seines Eigenthums nicht so bedachtsam und nachdenkend verfahren, als einer, der das Seinige ungestört besitzt und nur aus einer Begierde nach Mehrerem Andere mit gutem Vorbedacht angreift. Eadem sententia est 1, 86. *καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους, μηδεὶς διδασκέτω· ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν μᾶλλον πρέπει πολὺν χρόνον βουλεύεσθαι.* Mox *πολλῷ μᾶλλον* Chr. pro *πολλῷ μάλιστα*. v. Matth. §. 461. init. De verbis *πρός τε γὰρ τοὺς ἀσυγγείτονας* etc. v. Wachsm. Antt. Gr. 1, 1. p. 100 sq. Falluntur, qui in verbis *οἵ καὶ μὴ — ἀλλὰ καί* suppleri posse putant *μόνον* ad illud *μή*, velut Duk. provocans ad Liv. 28, 11. *ut non praeda, sed armati quoque in periculo fuerint*. Sic enim non *μή*, sed *οὐ* scribi debebat. *Μή* h. l. est *ne dicas*, pro quo alibi usitatius dicitur *μὴ ὅτι*, de qua formula v. Viger. p. 458. ibique

δέχεται λογισμόν, καὶ ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ πλείονος δὲ ὀρεγόμενος ἑκών τινι ἐπέρχεται. πάτριον δὲ ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελθόντα καὶ ἐν τῇ οἰκείᾳ καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι. Ἀθηναίους δὲ καὶ προσέτι ὁμόρους ὄντας πολλῷ μάλιστα δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται, καὶ πρὸς τούτους γε δὴ οἳ καὶ μὴ τοὺς ἐγγὺς ἀλλὰ καὶ τοὺς ἄποθεν πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας καὶ τῆς ἄλλης Ἑλλάδος τὸ πολὺ ὡς αὐτοῖς διάκειται· καὶ γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται, ἡμῖν δὲ ἐς πᾶσαν, ἢν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται· ἐσελθόντες γὰρ βίᾳ τὰ ἡμέτερα ἕξουσι. τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν. εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας ὥσπερ Ἀθηναῖοι νῦν ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον ἀδεέστερον ἐπιστρατεύειν, τὸν δὲ ἔξω ὅρων προαπαντῶντα καὶ ἢν καιρὸς ᾖ πολέμου ἄρχοντα ἧσσον ἑτοίμως κατέχειν. πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε· νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτούς, ὅτε τὴν γῆν ἡμῶν στασιαζόντων κατέσχον, πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατεστήσαμεν. ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας πειρᾶσθαι μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετάς, πιστεύσαντες δὲ τῷ θεῷ πρὸς ἡμῶν ἕσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες νέμονται, καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε, καὶ δεῖξαι ὅτι ὧν μὲν ἐφίενται πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν, οἷς δὲ γενναῖον τήν τε αὐτῶν ἀεὶ ἐλευθεροῦν μάχῃ καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀναναγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασιν.

93 Τοιαῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας ἔπεισεν ἰέναι ἐπὶ τοὺς Ἀθηναίους. καὶ κατὰ τάχος ἀναστήσας ἦγε τὸν στρατόν· ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν. ἐπεὶ δὲ προσέμιξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς χωρίον καθίσας ὅθεν λόφου

Herm. p. 804, 267. Similis est formula οὐ μόνον, quam modo c. 85. legimus.

ὡς αὐτοῖς διάκειται] Schol. ὡς αὐτοῖς ὑποτέτακται, ὡς ἔχει πρὸς αὐτούς. Verba εἷς ὅρος οὐκ ἀντίλεκτος interpretor uns wird Eines übrig bleiben, wogegen nichts zu thun seyn wird. In verbis ἐπικινδυνοτέραν ἑτέρων breviloquentia inest pro ἐπικινδυνοτέραν ἑτέρων παροικήσεως τὴν παροίκησιν. Ad verba εἰώθασί τε οἱ etc. vid. Matth. p. 735. Mox κατέχειν est *sustinere*. v. Schweigh. Lex. Polyb. s. v. Et τὰς προσηκούσας ἀρετάς dicit τὰς συγγενικάς, ut ait Schol., comparans Homeri verba μηδὲ γένος πατέρος αἰσχυνέμεν, de quibus v. Heyn. Vol. 5. p. 232. Paulo post de verbis ὅτι — κτάσθωσαν adi Matth. p. 1270. Verbum ἀναναγώνιστοι (vulgo ἀναγώνιστοι) Hesych. interpretatur per ἀήττητοι.

ὄντος μεταξὺ οὐκ ἐθεώρουν ἀλλήλους, ἔτασέ τε καὶ παρεσκευάζετο ὡς ἐς μάχην. τῷ δὲ Ἱπποκράτει ὄντι περὶ τὸ Δήλιον ὡς αὐτῷ ἠγγέλθη ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα κελεύων ἐς τάξιν καθίστασθαι, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε, καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ Δήλιον, ὅπως φύλακές τε ἅμα εἶεν, εἴ τις ἐπίοι αὐτῷ, καὶ τοῖς Βοιωτοῖς καιρὸν φυλάξαντες ἐπιγένοιντο ἐν τῇ μάχῃ. Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀμυνομένους· καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου καὶ ἔθεντο τὰ ὅπλα, τεταγμένοι ὥσπερ ἔμελλον, ὁπλῖται ἑπτακισχίλιοι μάλιστα καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππῆς δὲ χίλιοι καὶ πελτασταὶ πεντακόσιοι. εἶχον δὲ δεξιὸν μὲν κέρας Θηβαῖοι καὶ οἱ ξύμμοροι αὐτοῖς· μέσοι δὲ Ἁλιάρτιοι καὶ Κορωναῖοι καὶ Κωπαιῆς καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην· τὸ δὲ εὐώνυμον εἶχον Θεσπιῆς καὶ Ταναγραῖοι καὶ Ὀρχομένιοι. ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ οἱ ἱππῆς καὶ ψιλοὶ ἦσαν. ἐπ' ἀσπίδας δὲ πέντε μὲν καὶ εἴκοσι Θηβαῖοι ἐτάξαντο, οἱ δὲ ἄλλοι ὡς ἕκαστοι ἔτυχον. αὕτη μὲν

93. τῷ δὲ Ἱπποκράτει — ὡς αὐτῷ ἠγγέλθη] Duplex structura confusa τῷ Ἱπποκράτει ὡς ἠγγέλθη et ὁ Ἱπποκράτης, ὡς αὐτῷ ἠγγέλθη — πέμπει. Ad verba ὥσπερ ἔμελλον Schol. supplet μαχέσασθαι, itidemque Heilm. At Krueg. ad Dionys. p. 118. supplendum putat τάσσεσθαι, quod sane ratio linguae postulat: „sententia est, Boeotis hostes non subito supervenisse, neque eos improviso coactos esse aciem mutare, sed eandem in pugna tenuisse, quam ante conceperant.“ Arn. Porro quo sensu Chaeronea ad Orchomenum pertinere (ξυντελεῖν) supra c. 76. dicta est, eodem hic quidam Thebanorum ξύμμοροι dicuntur. Vid. Od. Muell. Orchom. p. 403, 4. Boeckh. C. I. Vol. 1. p. 728. b. In universum eo tempore Thebani aequum censebant, reliquos Boeotos sibi parere. Vid. Thuc. 3, 61. Herm. ad Soph. Oed. C. 400. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 370.

ἐπ' ἀσπίδας — πέντε — καὶ εἴκοσι] i. e. *viceni quini deinceps unus post alterum* sive 25 Mann in die Tiefe. v. Od. Muell. Dor. 2. p. 235. „In celebri pugna apud Leuctra Thebani aciem composuerant in altitudinem quinquaginta hominum, Xen. H. Gr. 6, 4, 12. Syracusani in pugna, quam primam cum Atheniensibus commiserunt, sedecim collocati erant deinceps unus post alterum, Thuc. 6, 67. eaque erat usitata altitudo phalangis Macedonicae, Polyb. 18, 13. Quamdiu Athenienses eadem arte militari utebantur, phalanx eorum, composita ex quatuor generibus militum, quae ex quatuor superioribus classibus conscribebantur, mihi videtur composita fuisse in aciem certe viginti milites altam, et fortasse plus viginti. Contra Atheniensium et Lacedaemoniorum ordines de more tantum octo milites unum post alterum continebant per bellum Peloponnesiacum, Thuc. 4, 94. 5, 68. 6, 67., quamquam postea Lacedaemonii, pugnantes Leuctris et alibi adversus Thebanos, ordines altiores formabant, Xen. H. Gr. 6, 4, 12. Causas huius differentiae probabile est hinc ortas esse, quod phalanx Atheniensium et Spartanorum tota ex civibus eiusdem classis et armaturae composita erat, quum in Boeotia et Macedonia, sicut Romae, admixtos haberet multos cives tenuiores, qui impares parandae plenae armaturae, et minus apti proinde ad pugnandum in fronte aciei, pone commilitones melius armatos collocabantur, ut impetui horum meris numeris maio-

94 Βοιωτῶν παρασκευὴ καὶ διάκοσμος ἦν. Ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο, ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις, ἱππῆς δὲ ἑφ' ἑκατέρῳ τῷ κέρᾳ. ψιλοὶ δὲ ἐκ παρασκευῆς μὲν ὡπλισμένοι οὔτε τότε παρῆσαν οὔτε ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεσέβαλον ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε πανστρατιᾶς ξένων τῶν παρόντων καὶ ἀστῶν γενομένης, καὶ ὡς τὸ πρῶτον ὥρμησαν ἐπ' οἶκον, οὐ παρεγένοντο ὅτι μὴ ὀλίγοι. καθεστώτων δὲ ἐς τὴν τάξιν καὶ ἤδη μελλόντων ξυνιέναι, Ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν Ἀθηναίων παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε.

95 Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται καὶ ὑπόμνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν. παραστῇ δὲ μηδενὶ ὑμῶν ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσόνδε κίνδυνον ἀναῤῥιπτοῦμεν. ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐσβάλωσιν, ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προσκτᾶσθε καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ τούσδε μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον.

rem vim adderent. Eadem tactica utebantur, ubi homines, sicut Syracusis, nullum in militia phalangis usum habebant, et nulli disciplinae adsueverant." Arn., cuius conf. adnotationem ad 2, 9.

94. *Ἀθηναῖοι δὲ οἱ μέν*] Schol. *Ἀθηναίων, σχῆμα Ὁμηρικόν.* Dicere debebat: schema Graecum, nam omnibus sine discrimine in usu est. Ita modo c. 90. legimus *οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι*, et c. 70. *αἱ δὲ τῶν Μεγαρέων στάσεις — οἱ μὲν — οἱ δέ.* Vid. Eustath. ad Hom. Od. 12. p. 1713, 53. Rom. Mox *ἐκ παρασκευῆς ψιλοί* sunt ein *regulirtes* Corps von Leichtbewaffneten. Sic 5, 56. *μάχη ἐκ παρασκευῆς* dicitur eine regelmässige Feldschlacht. „Tenendum est, in recensu virium militarium Atheniensium, quem Pericles initio belli instituit (2, 13.), nullos *ψιλούς* memorari; in prima expeditione Siciliensi centum viginti *ψιλοί* i. e. *ψιλοὶ ἐκ παρασκευῆς ὡπλισμένοι* enumerantur, verum additur, eos exules Megarenses fuisse (6, 43.). Porro *ἀκοντισταί* sive *ψιλοί*, qui in navibus Atheniensium per ultimam pugnam, qua debellabatur, militabant, dicuntur vel Acarnanes vel milites alicuius peregrinae terrae fuisse (7, 60.). Num hoc tribui debet multitudini militum in classe Atheniensium necessariae, qua fieret, ut omnes cives classium tenuiorum occuparentur? nonne eodem contribuisse videtur cura, quam Athenienses in alendos sagittarios impendebant, ut unum genus levis armaturae, ita ut militiam iaculatorum et funditorum, qui per excellentiam *ψιλοί* appellabantur, negligerent?" Arn. Mox pro *πανστρατιᾶς* Pal. *πανστρατιᾷ*, „qui unus casus huius vocabuli sane alibi legitur, sed hic reliquorum verborum natura dativum non fert." Popp.

95. *τὸ ἴσον δὲ πρός τε*] De ratione particularum *δέ — τε* vid. adn. ad 1, 69. De *παραστῇ δὲ μηδενί* (*ne cuiquam in mentem veniat*) v. Dorv. ad Charit. p. 438., de verbis *οὐ προσῆκον* Matth. p. 1111.

Τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομένου καὶ μέχρι μὲν 96
μέσου τοῦ στρατοπέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκέτι φθάσαντος, οἱ Βοιωτοί, παρακελευσαμένου καὶ σφίσιν ὡς διὰ ταχέων καὶ ἐνταῦθα Παγώνδου, παιωνίσαντες ἐπῆσαν ἀπὸ τοῦ λόφου. ἀντεπῆσαν δὲ καὶ οἱ Ἀθηναῖοι καὶ προσέμιξαν δρόμῳ. καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα οὐκ ἦλθεν ἐς χεῖρας, ἀλλὰ τὸ αὐτὸ ἔπαθε· ῥύακες γὰρ ἐκώλυσαν. τὸ δὲ ἄλλο καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνεστήκει. καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι μέσου ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ, καὶ οὐχ ἥκιστα τοὺς Θεσπιέας. ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατεταγμένων, καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ διεφθάρησαν Θεσπιέων, ἐν χερσὶν ἀμυνόμενοι κατεκόπησαν· καί τινες καὶ τῶν Ἀθηναίων διὰ τὴν κύκλωσιν ταραχθέντες ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους. τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν Βοιωτῶν, καὶ πρὸς τὸ μαχόμενον κατέφυγε· τὸ δὲ δεξιόν, ᾗ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει

96. *ὡς διὰ ταχέων*] v. ibidem p. 1283. Porro verba *καὶ ἐνταῦθα* „respiciunt ad c. 91. ubi *προσκαλέσαι ἑκάστους κατὰ λόχους* Pagondas dicebatur." Haack. Mox qui *ῥύακες* dicuntur, „eos probabile est elices fuisse, per quos Asopus receptis Thermodonte et Scamandro, Tanagra veniens in mare immittebatur. Conf. Plut. de Daem. Socr. c. 11." Od. Muell. in v. Boeotia ap. Ersch. et Grub. Encycl. Vol. 11. p. 255. Verba *ὠθισμῷ ἀσπίδων* „Vall. interpretatur *umbonibus se propellentes.* Val. Max. 3, 2, 23. *umbonum impulsu.* Vid. Lips. 3. de Mil. Rom. 2." Duk. Mox in verbis *ὑποχωρησάντων — αὐτοῖς* pronomen *αὐτοῖς* referendum est ad Thespienses, hoc sensu: da den Thespiern die Nebenmänner sive da ihre Nebenmänner gewichen waren. Quo Thespienses latus denudati ab Atheniensibus circumventi sunt. Varia igitur subiecta sunt participiorum *ὑποχωρησάντων* et *κυκλωθέντων.* Et *πρὸς τὸ μαχόμενον* intellige *τὸ μέρος τῶν Βοιωτῶν τὸ ἔτι μάχην ὑπομένον*, sive *πρὸς τὸ οἰκεῖον καὶ μὴ ἡττημένον.* Verba *κατὰ βραχύ* Dorv. ad Charit. p. 265. de tempore accipit; de spatio intelligenda sunt c. 14. init. 96. vers. fin. Hic utramque notionem iunctam esse cogitare licet: tunc quidem paululum et temporis et spatii insecuti sunt, reversuri procul dubio ad partem sui per Athenienses pressam; quum vero missi a Pagonda circum collem equites advenirent, *ὑπὸ τῶν Θηβαίων ἐφεπομένων καὶ παραῤῥηγνύντων* communis omnium fuga insecuta est. Herodicus Cratetius apud Athenae. 5, 55. p. 215. F. rem ita narrat: *Παγώνδου δύο τέλη περιπέμψαντος τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον. τότε γὰρ οἱ μὲν πρὸς τὸ Δήλιον τῶν Ἀθηναίων ἔφυγον, οἱ δ' ἐπὶ θάλατταν, ἄλλοι δὲ ἐπὶ Ὠρωπὸν, οἱ δὲ εἰς Πάρνηθα τὸ ὄρος. Βοιωτοὶ δ' ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππεῖς οἵ τε ἑαυτῶν καὶ Λοκρῶν.* (Unde firmatur scriptura *οἱ ἱππῆς οἵ τε αὐτῶν* librorum Cass. Aug. Pal. It. Vat. C. Reg. (G.) cod. Bas. Gr. E. Ar. Chr. Dan. Vall. *equites tum ipsorum, tum Locrensium.* Vulgo *οἵ τε ἱππῆς αὐτῶν.* D. *οἱ ἱππεῖς* sine *τε* et *αὐτῶν.*) *τοιούτου οὖν κυδοιμοῦ καὶ φόβου καταλαβόντος τοὺς Ἀθηναίους, μόνος Σωκράτης βρενθυόμενος καὶ τῷ ὀφθαλμῷ παραβάλλων εἱστήκει ἀναστέλλων τὸ Βοιωτῶν καὶ Λοκρῶν ἱππικόν.* Haec postrema desumta sunt ex Platonis Conv. c. 36. Athenaeus negat vera esse, quae de Socratis militia a multis prodita sunt. v. Casaub. ad Athenae. p. 215. C. Allat. ad Epist. Socr. 1. p. 144. Interpp. ad Diog. Laert. 2, 2, 22. Luzac. de Socr. Civ. p. 49.

τῶν Ἀθηναίων, καὶ ὡσάμενοι κατὰ βραχὺ τὸ πρῶτον ἐπηκολούθουν. καὶ ξυνέβη Παγώνδου περιπέμψαντος δύο τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς ἐπόνει τὸ εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν τῶν Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπιέναι, ἐς φόβον κατασταθῆναι· καὶ ἀμφοτέρωθεν ἤδη, ὑπό τε τοῦ τοιούτου καὶ ὑπὸ τῶν Θηβαίων ἐφεπομένων καὶ παραῤῥηγνύντων, φυγὴ καθεστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων. καὶ οἱ μὲν πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν, οἱ δὲ ἐπὶ τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος, οἱ δὲ ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας. Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππῆς οἵ τε αὐτῶν, καὶ οἱ Λοκροί, βεβοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης· νυκτὸς δὲ ἐπιλαβούσης τὸ ἔργον ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. καὶ τῇ ὑστεραίᾳ οἵ τε ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου, φυλακὴν ἐγκαταλιπόντες, εἶχον γὰρ αὐτὸ ὅμως ἔτι, ἀπεκομίσθησαν κατὰ θά-
97 λασσαν ἐπ' οἴκου. καὶ οἱ Βοιωτοὶ τροπαῖον στήσαντες καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκρούς, τούς τε τῶν πολεμίων σκυλεύσαντες καὶ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν ἐς τὴν Τάναγραν, καὶ τῷ Δηλίῳ ἐπεβούλευον ὡς προσβαλοῦντες. ἐκ δὲ τῶν Ἀθηναίων κήρυξ πορευόμενος ἐπὶ τοὺς νεκροὺς ἀπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας καὶ εἰπὼν ὅτι οὐδὲν πράξει

παραῤῥηγνύντων] Umbonum impulsu (ἀσπίδων ὠθισμῷ) se invicem propellebant (ὠσαντο) et paulatim disiiciebant. Id παραῤῥηγνύναι dicitur hic et 5, 73. 6, 70. et eodem modo pugnatum est apud Mantineam et Syracusas. Popp. Athenienses aliquanto ultra locum, quem initio obtinuerant, progressi erant cum cornu dextero, quo factum est ut, quum sinistrum loco suo per Thebanos pelleretur, Atheniensium ordines rumperentur, et milites in dextero cornu et latus et vel terga aperta habentes cederent fugamque capesserent. Arn. Mox ad εἶχον γὰρ αὐτὸ ὅμως supple: quamvis ab hoste victi essent.

97. ἐπεβούλευον] i. e. *consilium ceperunt.* vid. Abresch. ap. Albert. ad Hesych. Vol. 1. p. 1344. Mox ἀποστρέψας est er sagte, er solle umkehren. Porro ad verba ἱερῶν — ἀπέχεσθαι memineris, laesa sacra templaque vel in bello Graecos omnes summum nefas duxisse, cuius poena certo insecutura esset, de qua re v. Wachsm. Antt. Gr. 2, 1. p. 196 sq. De voce χέρνιψ „ita agit Athenae. 9, 18. ἔστι δὲ ὕδωρ, εἰς ὃ ἀπέβαπτον ὀαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες, ἐφ' οὗ τὴν θυσίαν ἐπετέλουν, καὶ τούτῳ περιῤῥαίνοντες τοὺς παρόντας ἥγνιζον. Vide Casauboni notas." Huds. Nos Weihwasser. Adde Casaub. ad Theophr. Char. c. 16. Eustath. in Hom. Il. 24. p. 1351, 54., qui docet extra usum sacrorum χέρνιβα dici τὸ κατὰ χεῖρας ὕδωρ, quae aqua ante coenam manibus adfundebatur. Adde eundem ad Od. 1. p. 1400, 59. Polluc. 2, 149. Et ἀνασπάσαντας Schol. explicat ἀνιμησαμένους, ἤγουν ἐξ αὐτοῦ τοῦ ὕδατος ἀνιμωμένους πρὸς τὰς κοινὰς χρείας χρῆσθαι. Suidas refert, Pherecratem ἀνασπᾶν dixisse pro ἀντλεῖν ὕδωρ. V. Vit. Thuc. §. 2. adn. 18. Porro ὁμωχείας, ait Suid., Θουκυδίδης τοὺς συννάους θεοὺς καὶ ὁμωροφίους. Βοιωτικὴ δὲ ἡ λέξις. Eadem Phot. et Hesych. Vid. adn. ad 3, 59. Od. Muell. Orchom. p. 149, 5. Wachsm. Antt. Gr. 2, 2. p. 220, 39.

πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, καταστὰς ἐπὶ Ἀθηναίους ἔλεγε τὰ παρὰ τῶν Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν Ἑλλήνων· πᾶσι γὰρ εἶναι καθεστηκὸς ὄντας ἐπὶ τὴν ἀλλήλων ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι, Ἀθηναίους δὲ Δήλιον τειχίσαντας ἐνοικεῖν, καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσι πάντα γίγνεσθαι αὐτόθι, ὕδωρ τε ὃ ἦν ἄψαυστον σφίσι πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνασπάσαντας ὑδρεύεσθαι· ὥστε ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτοὺς ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω, προαγορεύειν αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τὰ σφέτερα αὐτῶν. τοσαῦτα τοῦ κήρυκος εἰπόντος οἱ Ἀθηναῖοι πέμψαντες
98 παρὰ τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα τοῦ μὲν ἱεροῦ οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν οὔτε τοῦ λοιποῦ ἑκόντες βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐξελθεῖν ἐπὶ τούτῳ, ἀλλ' ἵνα ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται. τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι, ὧν ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης ἥν τε πλέονος ἥν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγνεσθαι, τρόποις θεραπευόμενα οἷς ἂν πρὸς τοῖς εἰωθόσι καὶ δύνωνται. καὶ

98. πρὸς τοῖς εἰωθόσι] i. e. esse Graecorum institutum, ut penes quos fuerit imperium cuiusque regionis, sive magnae sive parvae, semper etiam penes eosdem sit dominium ipsorum templorum, iis caeremoniis colendorum, quibus coli possunt, *praeter eas, quae moribus iam receptae sunt,* i. e. „templa fiunt expugnantium, non solum si omnes, qui in usu erant, ritus observantur, sed etiam si ii, quos observari licet. Nihil requiritur, ut diis satis fiat, nisi ut templa eorum colantur quoad fieri potest maxime. Hoc unum, etsi non observatio omnium rituum et caeremoniarum usitatarum fieri possit, sufficit ad culpam profanationis effugiendam. Verba idem dicunt, ac si scripsisset θεραπευόμενα τοῖς τε εἰωθόσι τρόποις καὶ οἷς ἂν καὶ δύνωνται." Arn. Mox optimi libri εἰ μὲν — δυνηθῆναι pro vulgata δυνηθεῖεν. Infinitivus pro verbo finito in oratione obliqua sequitur etiam post εἰ et alias coniunctiones. Vid. Matth. p. 1057 sq. Herm. ad Vig. p. 832. et de Latinis Scheller. Gr. p. 678. f. Dein structura haec est: ἀλλὰ βιάζεσθαι ἔφασαν χρῆσθαι τῷ ὕδατι ἀμυνόμενοι ἐκείνους (Thebanos) ἐπελθόντας προτέρους ἐπὶ τὴν σφετέραν. Paulo inferius τὸ πολέμῳ pro τῷ πολέμῳ habet par praestantissimorum librorum Aug. Cl. Quodsi convertamus verba inde a πᾶν δ' εἰκός cum Porto: *consentaneum autem esse, veniam aliquam vel ab ipso deo dari omnibus, qui bello aut aliqua periculi necessitate coacti aliquid admittunt,* patet dicendum fuisse non τῷ πολέμῳ sed τὸ πολέμῳ, quod probatur Schneidero in v. συγγνώμων. Neque placet articulus iunctus cum πολέμῳ, ubi hac voce utitur sensu generali. Verum restat praeterea, quod offendat in τι, quod apparet abundare, et quod in ξύγγνωμον, quod quum passivo sensu (verzeihlich) usurpatur, non de persona usurpatur, sed de re, ut in ξύγγνωμον τὸ ἀκούσιον 3, 40. Propter id ipsum Bau. πᾶν vult intelligi jede Sache. Idem κατειργόμενον explicat per *expressum, coactum.* Sed hoc quidem praeter usum, nisi quis malit ex D. κατειργασμένον, quod et ipsum reiiciendum est. „Nam, ait Popp., et verba δεινῷ τινι et quodammodo ipsum compositum κατεργάζεσθαι, et natura libri D. prohibent, ne eius scripturam probemus." Reisk. coniecit κατειργομένῳ, sed etiam huic coniecturae lex criticae et vox

γὰρ Βοιωτοὺς καὶ τοὺς πολλοὺς τῶν ἄλλων, ὅσοι ἐξαναστήσαντές τινα βίᾳ νέμονται γῆν, ἀλλοτρίοις ἱεροῖς τὸ πρῶτον ἐπελθόντας οἰκεῖα νῦν κεκτῆσθαι. καὶ αὐτοὶ εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων κρατῆσαι, τοῦτ' ἂν ἔχειν· νῦν δέ, ἐν ᾧ μέρει εἰσίν, ἑκόντες εἶναι ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι. ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι; ἢν οὐκ αὐτοὶ ὕβρει προσθέσθαι, ἀλλ' ἐκείνους, προτέρους ἐπὶ τὴν σφετέραν ἐλθόντας, ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι. πᾶν δ' εἰκὸς εἶναι τῷ πολέμῳ καὶ δεινῷ τινι κατειργόμενον ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ τῶν ἀκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς, παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι, καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασι. τούς τε νεκροὺς πολὺ μειζόνως ἐκείνους ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ μὴ πρέποντα κομίζεσθαι. σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν μὴ ἀπιοῦσιν ἐκ τῆς Βοιωτῶν γῆς, οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ δὲ

πᾶν adversatur, „ubi, ait idem, exspectaveris vel πάνυ vel παντί. Vall. denique distinguit post πολέμῳ et convertit: *omnia vero licere bello, et adversitate aliqua circumventis veniam esse quandam etiam apud deos.* Mihi τὸ πολέμῳ praeferendum esse videtur, quamvis etiam τῷ πολέμῳ tuearis. Et ξύγγνωμος hic est is, cui ignoscitur. Non enim repugnat primitivae notioni vocis ξύγγνωμος (v. adn. ad 2, 74.), etiam de hominibus voce uti. Denique τι post ξύγγνωμον recte a Valla expressum est. Ceterum ξύγγνωμόν τι in Pal. rec. man. superscr. et ξύγγνωμόν τινα praebent Cam. (non tamen ex cod. Bas.), caput Schol. et inde marg. Steph. De ὀνομασθῆναι ἐπὶ v. Matth. p. 770. b.

τὰ μὴ πρέποντα] Cass. Schol. τὰ προσήκοντα Mosq. τὰ μὴ προσήκοντα Taur. ap. Arn. Vol. 2. p. XII. Vulgo sine negatione τὰ πρέποντα, et sic etiam Cl., sed τά in rasura, ubi olim plures literae extabant. Ἱεροῖς ablativus est, hoc sensu: für Tempel, quod sensit, qui in Reg. (G.) addidit ὥςπερ τιμήματι. Verbum κομίζεσθαι contrarium significat verbi ἀποδιδόναι, *sibi auferre, recuperare.* Port. *Boeotos multo magis impie facere, qui pro templis militum cadavera restituere vellent, quam eos, qui nollent templis* (restituendis) *recuperare ea, quae deceret.* Sed is legit τὰ πρέποντα sine negatione μή, quae particula recte a nuperrimis editoribus mihi videtur recepta esse. Etenim Atheniensibus non licebat dicere, se *quae deceret* templo reddendo recipere, ea hoc modo redimere noluisse. Haack. dicit, se τὰ πρέποντα intelligere τὴν τῶν νεκρῶν ἀπόδοσιν, quia moris fuerit, victo hosti nulla lege interposita τοὺς νεκροὺς ὑποσπόνδους permittere, ipsa religione impellente. Probarem, si adiectum esset τὰ πρέποντα καὶ ἄνευ ἱερῶν ἀποδόσεως γίγνεσθαι. Schol. recte interpretatur: τοὺς Θηβαίους ἀξιοῦντας κομίζεσθαι μὲν τὸ ἱερὸν τὸ ἐπὶ Δηλίου, ἀνταποδιδόναι δὲ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις, ἀσεβεῖν μᾶλλον ἢπερ τοὺς Ἀθηναίους μὴ θέλοντας κομίσασθαι τὰ μὴ πρέποντα τοῖς ἱεροῖς μηδὲ νεκροὺς θεῶν ἀντικαταλλάττεσθαι.

σαφῶς τε] i. e. *iubebant Boeotos sibi aperte permittere, ut tollerent mortuos non abeuntibus* sive *non cum conditione abeundi, sed inducias ad tollendos mortuos incuntibus.* Pro σπένδουσιν Popp. coniecit σπεύδουσιν, alibi enim, sensum *pactum faciendi* a Thucydide reddi per medium σπένδεσθαι.

δορὶ ἐκτήσαντο, ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς σπένδουσιν ἀναιρεῖσθαι. οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ἐν τῇ Βοιωτίᾳ 99
εἰσίν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν ἀποφέρεσθαι τὰ σφέτερα, εἰ δὲ ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον, νομίζοντες τὴν μὲν Ὠρωπίαν, ἐν ᾗ τοὺς νεκροὺς ἐν μεθορίοις τῆς μάχης γενομένης κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι, καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν· οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων· τὸ δὲ Ἐκ τῆς ἑαυτῶν εὐπρεπὲς εἶναι ἀποκρίνασθαι ἀπιόντας καὶ ἀπολαβεῖν ἃ ἀπαιτοῦσιν. ὁ δὲ κήρυξ τῶν Ἀθηναίων ἀκούσας ἀπῆλθεν ἄπρακτος.

Καὶ οἱ Βοιωτοὶ εὐθὺς μεταπεμψάμενοι ἔκ τε τοῦ Μηλιέως 100
κόλπου ἀκοντιστὰς καὶ σφενδονήτας, καὶ βεβοηθηκότων αὐτοῖς μετὰ τὴν μάχην Κορινθίων τε διςχιλίων ὁπλιτῶν καὶ τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πελοποννησίων φρουρῶν καὶ Μεγαρέων ἅμα, ἐστράτευσαν ἐπὶ τὸ Δήλιον, καὶ προσέβαλον τῷ τειχίσματι, ἄλλῳ τε τρόπῳ πειράσαντες καὶ μηχανὴν προσήγαγον, ἥπερ εἶλεν αὐτό, τοιάνδε. κεραίαν μεγάλην δίχα πρίσαντες

99. ἀπεκρίναντο] Quodsi in Boeotia versari vobis videamini, pactum inter nos componamus, ut vobiscum quod vultis auferatis, dummodo terra nostra excedatis; sin locus, ubi iacent mortui, vestrae est ditionis, agite, eos auferte, si valetis. Quo significare voluerunt, Oropiam quidem, in qua caesi iacebant, ditionis Atticae esse, non tamen fore, ut Athenienses (αὐτούς) se invitis (βίᾳ σφῶν) suorum cadaveribus (αὐτῶν) potiantur. Boeoti enim mortuis custodiam apposuerant. BRED.

οὐδ' αὖ ἐσπένδοντο] Schol. οὐδ' αὖ ἐσπένδοντο προφάσει ὡς δῆθεν Ἀθηναίων οὔσης τῆς γῆς. τί γὰρ καὶ ἔδει περὶ τῶν ἐν τῇ Ἀττικῇ τοῖς Βοιωτοῖς σπένδεσθαι; Quod dicit, non oportuisse inducias fieri pro caesis, quia in terra Attica iacuissent, non in Boeotia, non audiendus est. Nam Boeoti fas et religionem esse cognitum habere debebant, caesos devictis hostibus ex induciis, ubicunque iacerent, sepeliendos tradere, sive in suo sive in hostium agro iacerent. At quum Boeoti Atheniensibus vitio darent templi violatam sanctitatem, ne ipsos quidem sese obstrictos putabant servandae erga sacrilegos religioni et reddendis per inducias mortuis. Hoc scriptor dicere videtur: sie stünden ja auch nicht (οὐδ' αὖ δῆθεν) in Unterhandlung wegen des Landes der Athener (sondern wegen des Tempels und der Todten). Quasi dicerent: vos recusatis transigere nobiscum de Delio reddendo, quod est ditionis nostrae; ne nos quidem vobiscum de parte aliqua vestrae ditionis. Vos respondetis: Delium lege armorum nostrum est, agite, eripite id nobis; nos respondemus: auferte vos item quod vultis vi armorum, auferte mortuos vestros, si valetis.

100. μηχανὴν — τοιάνδε] Talem fere machinam depingit Apollod. p. 21. Conf. Aeneae Comm. Tact. 33. 34. et Jul. Africanum c. 44. WASS. Nobilis est locus apud veteres Grammaticos. Vid. Harpocr. Hesych. Phavorin. in Ἐπὶ Δηλίῳ Theon. Progymn. c. 11. Polluc. 2, 77. Mox ad καθεῖτο pertinere videtur glossa Zonarae καθεῖντο, ἐκρέμαντο. Heilm.: sie nahmen eine lange Stange, sägeten solche mitten von einander, höhleten sie von einem Ende zum andern aus, und fügeten sie sodann genau wieder aneinander, wie eine Röhre. An das eine Ende befestigten sie hiernächst mit einer Kette einen Kessel, in wel-

ἐκοίλαναν ἅπασαν, καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς ὥςπερ αὐλόν, καὶ ἐπ' ἄκραν λέβητά τε ἤρτησαν ἀλύσεσι καὶ ἀκροφύσιον ἀπὸ τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον καθεῖτο, καί ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου. προςῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις τῷ τείχει, ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο· καὶ ὁπότε εἴη ἐγγύς, φύσας μεγάλας ἐςθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον τῆς κεραίας ἐφύσων. ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα, ἔχοντα ἄνθρακάς τε ἡμμένους καὶ θεῖον καὶ πίσσαν, φλόγα ἐποίει μεγάλην. καὶ ἧψε τοῦ τείχους, ὥςτε μηδένα ἐπ' αὐτοῦ ἔτι μεῖναι, ἀλλὰ ἀπολιπόντας ἐς φυγὴν καταστῆναι καὶ τὸ τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι. τῶν δὲ φρουρῶν οἱ μὲν ἀπέθανον, διακόσιοι δὲ ἐλήφθησαν. τῶν δὲ ἄλλων τὸ πλῆθος ἐς τὰς ναῦς ἐςβὰν ἀπεκομίσθη ἐπ' οἶκον.

101 Τοῦ δὲ Δηλίου ἑπτακαιδεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ τὴν μάχην, καὶ τοῦ ἀπὸ τῶν Ἀθηναίων κήρυκος οὐδὲν ἐπισταμένου τῶν γεγενημένων ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις περὶ τῶν νεκρῶν, ἀπέδοσαν οἱ Βοιωτοὶ καὶ οὐκέτι ταὐτὰ ἀπεκρίναντο. ἀπέθανον δὲ Βοιωτῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ ἐλάσσους πεντακοσίων, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων καὶ Ἱπποκράτης ὁ στρατηγός, ψιλῶν δὲ καὶ σκευοφόρων πολὺς ἀριθμός.

Μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθένης ὀλίγῳ ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ περὶ τὰς Σίφας τῆς προδοσίας πέρι οὐ προὐχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν νεῶν, τῶν τε Ἀκαρνάνων καὶ Ἀγραίων, καὶ Ἀθηναίων τετρακοσίους ὁπλίτας, ἀπόβασιν ἐποιήσατο ἐς τὴν Σικυωνίαν. καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι βοηθήσαντες οἱ Σικυώνιοι τοὺς ἀποβεβηκότας ἔτρεψαν, καὶ κατεδίωξαν ἐς τὰς ναῦς, καὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον. τροπαῖον δὲ στήσαντες τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν. ἀπέθανε δὲ καὶ Σι-

chen von der Stange her ein eisernes Blasrohr herunterging, wie denn auch das Holz von der Stange selbst auf eine ziemliche Strecke mit Eisen beschlagen war. Dein ἐπὶ μέγα est idem quod μέγα μέρος. Et ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον est in das nach ihnen hingerichtete Ende der Stange. Paulo post ἐςβὰν ἀπεκομίσθη habent libri et plurimi et optimi. Vulgo ἐμβὰν ἀπεκομίσθησαν. „Posterius, quod quamquam alibi πλῆθος cum plurali iungitur (conf. Matth. §. 302. et adn. ad 1, 106.), hic propter ἐςβάν durius esset, ex c. 96. fin. ortum est. Ἐςβῆναι et ἐμβῆναι, quorum illud praefert Thuc., sine discrimine dici vidimus 3, 80. 4, 25. etc.“ Popp.

101. ψιλῶν δέ] Haec discrepare videntur cum iis, quae leguntur c. 94. extr. ψιλοὶ δὲ οὐ παρεγένοντο, ὅτι μὴ ὀλίγοι. Sed quum h. l. dicat, καὶ σκευοφόρων, quibus adiectis maxime numerum auctum esse credibile est, non est de lectionis veritate dubitandum. Haack., nec scriptor dixerat, Atheniensibus defuisse leviter armatos, sed tantum ψιλοὺς ἐκ παρασκευῆς ὡπλισμένους (ein regulirtes Corps leicht bewaffneter). Mox exspectes Σπαρδόκου seu Σπαρδάκου, sicut 2, 101., sed ibi Steph. Σπαραδόκου restitutum vult. Denique Popp. adnotat, ἐβασίλευσεν significare *rex factus est.*

τάλκης Ὀδρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύσας ἐπὶ Τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ. Σεύθης δὲ ὁ Σπαραδόκου ἀδελφιδοῦς ὢν αὐτοῦ ἐβασίλευσεν Ὀδρυσῶν τε καὶ τῆς ἄλλης Θρᾴκης ἥςπερ καὶ ἐκεῖνος.

Τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας ἔχων τοὺς ἐπὶ Θρᾴκης 102
ξυμμάχους ἐστράτευσεν ἐς Ἀμφίπολιν τὴν ἐπὶ Στρυμόνι ποταμῷ Ἀθηναίων ἀποικίαν. τὸ δὲ χωρίον τοῦτο ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν ἐπείρασε μὲν πρότερον καὶ Ἀρισταγόρας ὁ Μιλήσιος φεύγων βασιλέα Δαρεῖον κατοικίσαι, ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη, ἔπειτα δὲ καὶ οἱ Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον ἐποίκους μυρίους, σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον, πέμψαντες, οἳ διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν. καὶ αὖθις ἑνὸς δέοντι τριακοστῷ ἔτει ἐλθόντες οἱ Ἀθηναῖοι, Ἄγνωνος τοῦ Νικίου οἰκιστοῦ ἐκπεμφθέντος, Ἠδωνας ἐξελάσαντες ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. ὡρμῶντο δὲ ἐκ τῆς Ἠιόνος, ἣν αὐτοὶ εἶχον ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον, πέντε καὶ εἴκοσι σταδίους ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν Ἄγνων ὠνόμασεν, ὅτι ἐπ' ἀμφότερα περιῤῥέοντος τοῦ Στρυμόνος, διὰ τὸ περιέχειν αὐτήν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν. ἐπὶ ταύτην οὖν ὁ Βρασίδας ἄρας ἐξ Ἄρνων τῆς Χαλ- 103
κιδικῆς ἐπορεύετο τῷ στρατῷ. καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ Βρομίσκον, ᾗ ἡ Βόλβη λίμνη ἐξίησιν ἐς

102. Ἀμφίπολιν] De rebus huius urbis v. A. G. Becker in Interpr. Germ. Demosth. Philippicarum Vol. 1. p. 9. et inprimis Voemel. Prolegg. in Demosth. Phil. 1. p. 32 sqq. Mox ἑνὸς δέοντι meliores libri, vulgo δέοντος. „In his casus participii plerumque convenit cum casu nominis, ut hic in Cl. et Cass. ἑνὸς δέοντι τριακοστῷ ἔτει. Interdum sine respectu ad casum nominis in genitivo ponitur, ut in ceteris Mss. ἑνὸς δέοντος τριακοστῷ ἔτει, *anno trigesimo, deficiente uno.*“ Duk. Conf. Matth. §. 141. adn. 1. Viger. p. 70. Deinde plurima apud librorum ἐκαλοῦντο, vulgo ἐκαλεῖτο. Verbum structuram non subiecti, sed praedicati sequitur. v. Dorv. ad Charit. p. 565. Matth. §. 305. Paulo inferius vocabulo περιφανῆ offensus est Bred., exspectans potius περίφρακτον vel simile quid. Sed ita nomen Amphipolis urbs non recte tulisset. Interpretari debebat: welche Hagnon Amphipolis nannte, weil er sie, während der Strymon auf zwei Seiten herumfloss, um sie rings einzuschliessen, durch eine lange Mauer von einem Arm des Flusses zum andern vom übrigen Land abgesondert, *so rings sichtbar nach dem Meer und dem festen Lande zu* angelegt hatte. Quae perspicua erunt intuenti tabulam Amphipolis, quam ab Hawkinsio, qui in locis delineavit, acceptam Arn. editioni suae adiecit, ego repetendam curavi. Περιφανῆ „intelligendum de latere septentrionali et australi collis, et non de summo eius vertice. Pars urbis supina iacebat a latere vici Turcici Yenikjui, pars spectabat mare et ostia Strymonis; murus longus collem secabat ductus fere a septentrione in austrum versus.“ Arn.

103. Αὐλῶνα] Eustath. ad Hom. Od. 4. p. 1483, 56. Rom. ἀρσενικῶς δέ φασιν ὁ αὐλὼν παρὰ Θουκυδίδῃ καὶ τοῖς καταλογάδην συγ-

ἐπὶ λόφου καρτεροῦ] Cogito, collem, in quo Amphipolis exstructa erat, solo inaequalem fuisse, ita ut super clivo depressiore alter paulo editior emineret. Ita murus longus ductus fuisse putandus est ad oram sive marginem clivi illius humilioris, Cleon autem adstitisse cum copiis in editiore illo. „Sic urbem prospectabat et vel imam partem eius (5, 10.), et ita prope a moenibus aberat, fortasse intra quadrantem milliarii, ut sibi videretur sine pugna recedere posse non aliam ob cau-

αὐτὸς ἐθεᾶτο τὸ λιμνῶδες τοῦ Στρυμόνος καὶ τὴν θέσιν τῆς πόλεως ἐπὶ τὴν Θράκην ὡς ἔχοι. ἀπιέναι τε ἐνόμιζεν, ὁπόταν βούληται, ἀμαχεί· καὶ γὰρ οὐδὲ ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους οὐδεὶς οὔτε κατὰ πύλας ἐξήει, κεκλημέναι τε ἦσαν πᾶσαι. ὥστε καὶ μηχανὰς ὅτι οὐ κατῆλθεν ἔχων, ἁμαρτεῖν ἐδόκει· ἐλεῖν γὰρ
8 ἂν τὴν πόλιν διὰ τὸ ἐρῆμον. ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινουμένους τοὺς Ἀθηναίους, καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου ἐξέρχεται ἐς τὴν Ἀμφίπολιν. καὶ ἐπέξοδον μὲν καὶ ἀντίταξιν οὐκ ἐποιήσατο πρὸς τοὺς Ἀθηναίους, δεδιὼς τὴν αὐτοῦ παρασκευὴν καὶ νομίζων ὑποδεέστερος εἶναι, οὐ τῷ πλήθει,

sam, quam quia nulli hostes conspiciebantur in loricis vel circum portas, cogitans, ut videtur, omnes copias hostium cum Brasida in Cerdylio esse.“ Arn. Vol. 2. p. 410. Mox vulgatam *ἐπὶ τὴν Θράκην* revocavi; alii ex compluribus libris dederunt *ἐπὶ τῇ Θράκῃ*. „Non solum Thraciam, ait Haack., versus, sed etiam in vicinia et confiniis Thraciae Amphipolis sita erat ad Strymonem fluvium, qui tum Thraces a Macedonia et Chalcidice disiungebat.“ Contra quae Arn. merito dicere videtur, Cleonem, quum Eione profectus Amphipolin peteret, clarum prospectum urbis, qua mare spectabat, habuisse, iam vero escenso summo collis, in quo exstructa erat, obtutu fruebatur urbis situs, qua ad lacum et mediterranea conversa erat, sive, ut Thuc. loquutus est: *ἐπὶ τὴν Θράκην, Thraciam versus.* „Dixeris, addit Arn., *Thraciae imminentem*, idque significari verbis *ἐπὶ τῇ Θράκῃ*, idque vere de Amphipoli praedicaretur, sed non est id, opinor, quod auctor h. l. legentium animis imprimere volebat. Magis ergo inclino ad veterem scripturam *ἐπὶ τὴν Θρ.* revocandam: *situm urbis, qua Thraciam spectat*, sive ut Thuc. loquitur 4, 102. *ἐς τὴν ἤπειρον.*“ Paulo inferius verba: *μηχανὰς ὅτι οὐ κατῆλθεν ἔχων* et sana esse et quem sensum habeant, post ea, quae modo de situ urbis et statione Cleonis supra urbem dixi, facile, opinor, intelligetur. Vitium, ait scriptor, Cleonis esse existimatum fuisse, quod non cum machinis a colle, quem cum exercitu occupasset, ad ipsum murum urbis descendisset, quum tam prope abesset, et quum praesertim nulli in moenibus et circa portas defensores apparerent.

8. *ὑποδεέστερος*] Sic dedi de Popponis coniectura pro vulgata *ὑποδεεστέρους*. Ad *ἀντίπαλα* supple *ἑκάτερα τὰ πλήθη*. Dein *καθαρόν* est, ait Schol., *οὐχὶ συγκλύδων οὐδὲ ἐπικούρων ἀλλὰ αὐτῶν τῶν πολιτῶν*. Arn. idem esse putat ac quod est 6, 31. *τὸ πεζὸν χρηστοῖς καταλόγοις ἐκκριθέν* i. e. neque Thetes aut Inquilini in eo numero erant, aut cives, qui legitimam militiae aetatem nondum attigerant. Contrarium *τοῦ καθαροῦ* apud Herodotum et alios est *τὸ ἀχρήιον* sive *ἄχρηστον*. v. Wessel. ad Herodot. 4, 135. Mox *ὅπλισιν ἀναγκαίαν* intelligo *vilem armaturam*, vix necessitati suffecturam, nothdürftige Bewaffnung, ut 6, 37. *παρασκευὴ ἀναγκαία* est nothdürftige, non nothwendige Zurüstung. Ubi Schol. *οὐ τῆς ἐκ περιουσίας* (*παρασκευῆς*), *ἀλλὰ τῆς οὐδὲ αὐτάρκους*. Praesenti autem loco explicat *ὅπλισιν εὐτελῆ καὶ οὐκ ἐκ παρασκευῆς*, nicht reguläre Rüstung. Suid. *ἀναγκαία τράπεζα, ἡ εὐτελὴς καὶ πενιχρά*. Hom. Od. 24, 498. Thuc. 1, 2. *τῆς καθ' ἡμέραν ἀναγκαίου τροφῆς*, ubi haec adduntur: *νεμόμενοι τὰ ἑαυτῶν ὅσον ἀποζῆν καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες*. Itaque contrarie inter se ponuntur *τὸ ἀναγκαῖον* et *περιουσία* sive *ἐξουσία*, quemadmodum etiam 6, 31. vers. fin. *ξυνέβη δὲ ἐς τοὺς ἄλλους Ἕλληνας ἐπίδειξιν μᾶλλον ἐκασθῆναι τῆς δυνάμεως καὶ ἐξουσίας ἢ ἐπὶ πολεμίους παρασκευήν*. Vox *ἐξουσία* habet adiectam notionem fastus

ἀντίπαλα γάρ πως ἦν, ἀλλὰ τῷ ἀξιώματι· τῶν γὰρ Ἀθηναίων ὅπερ ἐστράτευε, καθαρὸν ἐξῆλθε, καὶ Λημνίων καὶ Ἰμβρίων τὸ κράτιστον· τέχνῃ δὲ παρεσκευάζετο ἐπιθησόμενος. εἰ γὰρ δείξειε τοῖς ἐναντίοις τό τε πλῆθος καὶ τὴν ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν ἡγεῖτο μᾶλλον περιγενέσθαι ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως.

et elati potentia animi. Adde 6, 37. *ἐκ σκηνιδίων καὶ ἀναγκαίας παρασκευῆς*. Plut. V. Brut. 47. init. Exquisitior usus vocis *ἀναγκαῖος* est apud Theogn. 291. *κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτερον ἄχθος — ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει*, ubi significat *molestus* et respondet nostro vocabulo gezwungen. Vid. Brunck. ad h. l. et Welck. ad vers. 275. Suus et ipse poeta interpres v. 464. *πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.*

ἢ ἄνευ προόψεως] Putes hanc structuram esse: *ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ ἄνευ καταφρονήσεως μὴ ἀπὸ τοῦ ὄντος* (*οὔσης*). Quo admisso hic sensus exiret: er glaubte sie nicht leichter besiegen zu können, wenn er den Feinden seine Truppenzahl und ihre nothdürftige Bewaffnung gezeigt hätte, als wenn sie sein Heer vorher nicht gesehen hätten, und ihn nicht mit einer Verachtung ansähen, die nicht auf wirkliche Erfahrung begründet war. At hoc fieri nequit: nam Brasidas c. 9. dicit, se contemni ab hostibus: *τοὺς γὰρ ἐναντίους εἰκάζω καταφρονήσει τε ἡμῶν καὶ οὐκ ἂν ἐλπίσαντας, ὡς ἂν ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε πρὸς τὸ χωρίον καὶ νῦν ἀτάκτως κατὰ θέαν τετραμένους ὀλιγωρεῖν*. Ac profecto Cleon adhuc adversarium eo usque despiciebat, ut ne ad proelium quidem exiturum putaret, nondum praesidiis adversarii exploratis, sed solo *ἀξιώματι* copiarum suarum, et *τύχῃ* sua confisus, quam pro sapientia haberet; etenim *ἀξιώματι* militum videmus Cleonem praestitisse et apparatu, non item multitudine. Quum itaque Brasidas tam aperte illo loco dicat, se ab hostibus contemni, qui fieri potest, ut idem praesenti loco dicat, se ita demum ab hostibus contemtum iri, si suarum copiarum in acie collocatarum palam hostibus adspectum praebuisset? Inde colligas, *μή* vel delendum, vel pro *μή* cum Reiskio *τῆς* scribendum esse, ut sensus sit: als wenn sie sein Heer vorher nicht gesehen hätten, und ihn mit einer Verachtung ansähen, die auf wirkliche Erfahrung begründet wäre. At ne sic quidem fieri opus est: ut paucis absolvam, structura ad sensum facta videtur. Nam quum *ἄνευ προόψεως* idem sit, quod *μὴ γενομένης* sive *οὔσης προόψεως*, sic scriptor pergit, quasi haec ipsa praecessissent, dicens *μὴ καταφρονήσεως ἀπὸ τοῦ ὄντος* pro *μὴ οὔσης καταφρονήσεως ἀπὸ τοῦ ὄντος*. Hinc intelligitur, plene sententiam ita efferendam fuisse: *μᾶλλον γὰρ ἡγεῖτο ἂν περιγενέσθαι ἄνευ προόψεως καὶ μὴ οὔσης ἀπὸ τοῦ ὄντος καταφρονήσεως ἢ εἰ δείξειε τό τε πλῆθος καὶ τὴν ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ* etc. Nunc dicit Brasidas magis se sperare, fore ut superior discedat, si adversarius non antea quam impetum in illum faceret, suas copias conspexisset, neque se in contemtu haberet facto suas vires compertas habens sive expertus. Nam contemnebatur quidem adhuc a Cleone, sed vano contemtu, qui experientia virium Brasidae non niteretur: *οὐκ ἀπὸ τοῦ ὄντος*. De omissione participii verbi substantivi vid. adn. ad 4, 85. Infra 6, 57. in verbis *ὡς ἂν μάλιστα δι' ὀργῆς* item supplendum est *ὄντες*. Contemtui contrarie positum est *ἀξίωμα*, die Achtung, in verbis huius ipsius capitis: *δεδιὼς τὴν αὐτοῦ παρασκευὴν καὶ νομίζων ὑποδεέστερος εἶναι, οὐ τῷ πλήθει* (*ἀντίπαλα γάρ πως ἦν*), *ἀλλὰ τῷ ἀξιώματι· τῶν γὰρ Ἀθηναίων ὅπερ ἐστράτευε, καθαρὸν ἐξῆλθε* i. e. Cleon lectis-

ἀπολεξάμενος οὖν αὐτὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας, καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προστάξας, ἐβουλεύετο ἐπιχειρεῖν αἰφνιδίως πρὶν ἀπελθεῖν τοὺς Ἀθηναίους, οὐκ ἂν νομίζων αὐτοὺς ὁμοίως ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς ἡ βοήθεια. ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας, καὶ βουλόμενος παραθαρσῦναί τε καὶ τὴν ἐπίνοιαν φράσαι, ἔλεγε τοιάδε.

9 Ἄνδρες Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας ἥκομεν, ὅτι ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ ὅτι Δωριῆς μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώθατε κρείσσους εἶναι, ἀρκείτω βραχέως δεδηλωμένον· τὴν δὲ ἐπιχείρησιν ᾗ τρόπῳ διανοοῦμαι ποιεῖσθαι, διδάξω, ἵνα μὴ τό [τε] κατ' ὀλίγον καὶ μὴ ἅπαντας κινδυνεύειν ἐνδεὲς φαινόμενον ἀτολμίαν παράσχῃ. τοὺς γὰρ ἐναντίους εἰκάζω καταφρονήσει τε ἡμῶν καὶ οὐκ ἂν ἐλπίσαντας ὡς ἂν ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε πρὸς τὸ χωρίον καὶ νῦν ἀτάκτως κατὰ θέαν τετραμμένους ὀλιγωρεῖν. ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων κάλλιστα ἰδὼν καὶ ἅμα

simum exercitum habebat, *λειφθέντος τοῦ ἀχρείου*, ut verbis utar Herodoti 1, 211. *Τὸ ὄν* est *veritas*, die wirkliche Erfahrung. Itaque *καταφρόνησις ἀπὸ τοῦ ὄντος* est contemtus rei e vera rei notitia ortus, quum quis contemnit, quod contemni posse expertus est. Sic 6, 34. prope fin. dicitur *τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει*, mit der reellen Macht, sive *cum copiis, quas vere possidebat.* In contemtu autem haud ex vera rei notitia orto permanere Cleonem Brasidas volebat, ideoque nolebat in conspectum adducere apparatum suum, ne qua parte se vere inferiorem esse appareret, astu hostem aggressurus et *μὴ ἀπὸ τοῦ φανεροῦ*, ut Schol. dicit. Terrore igitur subiti et necopinati impetus Cleonem vincere decreverat, ita sentiens: *εἰ ἴδοιεν παρὰ γνώμην τολμήσαντα, τῷ ἀδοκήτῳ μᾶλλον ἂν καταπλαγεῖεν ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει*, ut ipsius scriptoris 6, 34. verbis dicam.

9. *ἀπὸ μὲν οἵας*] i. e. *ἀπὸ μὲν οἵας χώρας ἥκομεν, ὅτι ἀπὸ ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, ἀρκείτω βραχέως δεδηλωμένον.* Haec suam explicationem habent in verbis 1, 84., ubi Archidamus rex: *καὶ ἅμα ἐλευθέραν καὶ ἐνδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα, καὶ δύναται μάλιστα σωφροσύνη ἔμφρων τοῦτο*, sc. *ἐλευθέρα εἶναι* et *πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μέν, ὅτι αἰδὼς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία.* Mox pro *τό τε καὶ ὀλίγον* alii libri *τῷ τε*, alii ex correctione *τότε*. *Τό* om. D. I. Vind., sed I. in marg. habet. *Τε* s. v. dat K., om. Ar. Chr. „Non displiceat fortasse alicui *τῳ τό*. *Τε*, quod per transpositionem excusandum, sed vel sic parum aptum est, uncis notavit Bekk., in *γε* mutari volebat Reisk.“ Popp. Miram distinctionem verbis *καὶ ὀλίγον τε καὶ μὴ ἅπαντας* fieri adnotavit Arn., quia hae res non differant, sed eaedem sint; non plane eaedem, opinor. De verbis *ἐλπίσαντας ὡς* v. Matth. p. 1046. adn. 2. Dein *καί* in verbis *καὶ ἅμα* Popp. aut abesse aut post *ἅμα* legi vult. Dicas, *καί*, ut Latinum *atque*, post participium respondere nostro *sofort*, velut in exemplo Homerico Il. *χ*, 247. apud Herm. ad Vig. p. 888. Sed huic sensui minus convenit *ἅμα*, quare *καὶ ἅμα* dictum puto pro auch zugleich. Simillima sunt haec c. 76. *ἐβούλοντο δὲ πρῶτον σπονδὰς ποιήσαντες πρὸς τοὺς Λακεδαιμονίους, αὖθις ὕστερον καὶ ξυμμαχίαν, καὶ οὕτως ἤδη τῷ δήμῳ ἐπιτίθεσθαι.*

πρὸς τὴν ἑαυτοῦ δύναμιν τὴν ἐπιχείρησιν ποιεῖται μὴ ἀπὸ τοῦ προφανοῦς μᾶλλον καὶ ἀντιπαραταχθέντος ἢ ἐκ τοῦ πρὸς τὸ παρὸν ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο· καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει ἃ τὸν πολέμιον μάλιστ' ἄν τις ἀπατήσας τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. ἔως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι, καὶ τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαίνονται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς γνώμης καὶ πρὶν ξυνταχθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ μὲν ἔχων τοὺς μετ' ἐμαυτοῦ καὶ φθάσας ἢν δύνωμαι προεπεσοῦμαι δρόμῳ κατὰ μέσον τὸ στράτευμα· σὺ δέ, Κλεαρίδα, ὕστερον, ὅταν ἐμὲ ὁρᾷς ἤδη προσκείμενον καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτούς, τοὺς μετὰ σεαυτοῦ, τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμμάχους, ἄγων αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκθεῖν, καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμῖξαι. ἐλπὶς γὰρ μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι. τὸ γὰρ ἐπιὸν ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου. καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ σε εἰκὸς ὄντα Σπαρτιάτην, καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμμαχοι, ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι· καὶ τῇδε ὑμῖν τῇ ἡμέρᾳ ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν τε ὑπάρχειν καὶ Λακεδαιμονίων ξυμμάχοις κεκλῆσθαι, ἢ Ἀθηναίων τε δούλοις, ἥν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ ἢ θανατώσεως πράξητε, καὶ δουλείαν χαλεπωτέραν ἢ

ἃ — *ἀπατήσας*] Sequitur verbum *ἀπατᾶν* analogiam locutionis *ἡ ἀδικία ἣν ἠδίκησαν αὐτόν* et similium, de quibus v. Matth. p. 775. adn. 3. Popp. 1, 1. p. 134. addit, posse etiam structuram mutatam iudicari pro *ἃ τὸν μὲν πολέμιον μάλιστ' ἂν ἀπατήσειε, τοὺς δὲ φίλους μέγιστ' ἂν ὠφελήσειεν.* Itane *ἃ* simul nominativum et accusativum esse putabimus? Nihil difficultatis in altera explicatione. Paulo post participium *τοῦ μένοντος* substantivi instar est. Vid. Matth. §. 570., de *ὑπεκθεῖν* vid. ibidem p. 1071. fin., de verbis *ἐλπὶς γάρ* etc. ibidem p. 951. init. Pro *φοβηθῆναι* Ar. Chr. Dan. *θορυβηθῆναι*. K. *φορυβηθῆναι*. „Mox quidem c. 10. de eruptione Clearidae agens dicit *θορυβηθῆναι*, sed non necessarium est id hic quoque recipi, et *φοβηθῆναι* legit etiam Thom. M. p. 167.“ Duk. Mox Stobae. p. 364. citat: *καὶ νομίσατε τρία εἶναι*, quam scripturam etiam Schol. agnoscit: *ἐκ τριῶν γίνεται τὸ καλῶς πολεμεῖν.* Conf. Thuc. 1, 122. fin. 3, 40. Hunc locum explicat Matth. p. 621. Mox articulum *τό* ante *αἰσχύνεσθαι* delevit Bekk. in edit. stereot. De sensu verbi *αἰσχύνεσθαι* vid. adn. ad 1, 84.

ἢν τὰ ἄριστα — πράξητε] Schol. *ἂν γὰρ νικηθῆτε καὶ μὴ θανάτῳ ζημιωθῆτε ὑπ' αὐτῶν, ἀλλ' εὐτυχήσητε καὶ ἄριστα πράξητε, δοῦλοι ἔσεσθε Ἀθηναίων καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε*, ubi scribendum videtur *ἔξετε*. Nos: auf den glücklichsten Fall und wenn es ohne etwas Schlimmeres abläuft. „Duplex erat servorum genus, alterum *δούλων*, alterum *ἀνδραπόδων* sive domesticorum servorum. Prioris generis erant servi Germanorum, *qui servis, non in Romanorum morem descriptis per familiam ministeriis, utebantur. Suam quisque sedem, suos Penates regebat. Frumenti modum dominus, aut pecoris, aut vestis, ut colono, iniungebat: et servus hactenus parebat. Cetera domus*

πρὶν εἴχετε, τοῖς δὲ λοιποῖς Ἕλλησι κωλυταῖς γενέσθαι ἐλευθερώσεως. ἀλλὰ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ ὅσων ὁ ἀγών ἐστιν, ἐγώ τε δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελθεῖν.

10 Ὁ μὲν Βρασίδας τοσαῦτα εἰπὼν τήν τε ἔξοδον παρεσκευάζετο αὐτὸς καὶ τοὺς ἄλλους μετὰ τοῦ Κλεαρίδα καθίστη ἐπὶ τὰς Θρᾳκίας καλουμένας τῶν πυλῶν, ὅπως ὥσπερ εἴρητο ἐπε-

officia uxor ac liberi exsequebantur. Tacit. Germ. c. 25. Ἀνδράποδα servitium domesticum tolerant, eorumque officia magis ad dominorum ipsorum corpora pertinent. Servitium illud durissimum est, ubi cum δουλείᾳ ἀνδραποδισμός iunctus est: tale erat servitium Helotarum Lacedaemone, qui omnem servitutem tum extra, tum intra domum snbibant. Simplicioris cultus populi non habent nisi δούλους, dum domestica officia dominorum uxor et liberi exsequuntur; degenerati ad luxuriam populi domesticos servos alunt, quorum necessitatem luxus parit. Helotarum servitute populorum et modicorum et corruptorum servitia iungebantur.“ Montesqu. Espr. d. Loix 15, 10.

10. τὰς Θρᾳκίας] Intellige portam, Strymonis flexum septentrionalem lacumque versus sitam, ubi nunc vicus Yenikjui. Clearidas per hanc portam procursans in dexterum cornu exercitus Cleonis inruebat. Mox φθήσεσθαι ediderunt pro vulgata ὀφθήσεσθαι. Emendaverat Valck. ad Thom. M. pone Ruhnkenii et aliorum epistt. ad I. A. Ernest. p. 181. Deinde τοῖς ἀπιοῦσιν etc. est: er befahl den Abziehenden, sich auf den linken Flügel hinzuschwenken, nach der Richtung von Eion, so wie es denn auch nur allein thunlich war. Etenim in fronte et tergis militum Cleonis montana erant, in dextero cornu via lacu et moenibus urbis claudebatur: nullus exitus erat, nisi in reductas valles montium pone exercitum (quo si tendebant, classem ad Eionem collocatam destituebant), vel Eionem versus i. e. sinistrorsum. Dum sinistrum cornu abibat, dexterum debebat in statione manere, et hostibus frontem opponere, ut eos retardaret, dum agmine altera pars procederet Eionem. At Cleon impatiens incursionis hostium dexterum cornu iusto maturius cedere et sinistrorsum progredi iussit (ἐπιστρέψας τὸ δεξιόν), quo fieri debebat, ut latus dexterum scutis illud non munitum hostium ictibus apertum daret (τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δούς). Dum Brasidas comites suos his verbis alloquitur: οἱ ἄνδρες ἡμᾶς οὐ μένουσι etc., cogitandus est illo ipso colle editiori adstitisse, quo antea Cleon, et copias suas etiamtum in urbe pone se habuisse: nam si ipse quoque in urbe fuisset, prospectum hostium non habuisset. Dein τὰς ἐπὶ τὸ σταύρωμα πύλας καὶ τὰς πρώτας τοῦ μακροῦ τείχους τότε ὄντος intelligo primam portam inde a latere australi collis et urbis, eamque puto non satis firmam esse putatam et ab incolis vallis palisque insuper munitam fuisse, sicut fieri solebat. Ipsa urbs magis in septentrionalem collis partem versus patuisse videtur. Verba τοῦ μακροῦ τείχους τότε ὄντος comprobant, postea murum longum aliter ductum fuisse, et quidem probabile est, ductum fuisse per altiora, quum urbs aedificiis continuata longius per acclive iugum extenderetur, ut alibi monitum est. Verba τὸ καρτερώτατον τοῦ χωρίου cum Arnoldo intelligo ascensum cacuminis ipsius collis, in quo antea Cleon cum Atheniensium exercitu regionem urbis et Strymonis lustraturus consederat. „Id praeruptum fuerit passim scopulis, quo adorientibus magnae difficultates parerentur, et tropaeum consentaneum erat erigi in uno eorum scopulorum, quo latius conspicuum foret.“ Arn. De dativo ὀόντι v. Matth. §. 388. b. Iam necessarium erat, Brasidam in mediam aciem Atheniensium irrumpere,

ξίοιεν. τῷ δὲ Κλέωνι, φανεροῦ γενομένου αὐτοῦ ἀπὸ τοῦ Κερδυλίου καταβάντος καὶ ἐν τῇ πόλει ἐπιφανεῖ οὔσῃ ἔξωθεν περὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς θυομένου καὶ ταῦτα πράσσοντος ἀγγέλλεται, προὐκεχωρήκει γὰρ τότε κατὰ τὴν θέαν, ὅτι ἥ τε στρατιὰ ἅπασα φανερὰ τῶν πολεμίων ἐν τῇ πόλει, καὶ ὑπὸ τὰς πύλας ἵππων τε πόδες πολλοὶ καὶ ἀνθρώπων ὡς ἐξιόντων ὑποφαίνονται. ὁ δὲ ἀκούσας ἐπῆλθε· καὶ ὡς εἶδεν, οὐ βουλόμενος μάχῃ διαγωνίσασθαι πρίν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν, καὶ οἰόμενος φθήσεσθαι ἀπελθών, σημαίνειν τε ἅμα ἐκέλευεν ἀναχώρησιν καὶ παρήγγειλε τοῖς ἀπιοῦσιν, ἐπὶ τὸ εὐώνυμον κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν, ὑπάγειν ἐπὶ τῆς Ἠιόνος. ὡς δ' αὐτῷ ἐδόκει σχολὴ γίγνεσθαι, αὐτὸς ἐπιστρέψας τὸ δεξιὸν καὶ τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς ἀπῆγε τὴν στρατιάν. κἀν τούτῳ Βρασίδας ὡς ὁρᾷ τὸν καιρὸν καὶ τὸ στράτευμα τῶν Ἀθηναίων κινούμενον, λέγει τοῖς μεθ' ἑαυτοῦ καὶ τοῖς ἄλλοις ὅτι Οἱ ἄνδρες ἡμᾶς οὐ μένουσι· δῆλοι δὲ τῶν τε δοράτων τῇ κινήσει καὶ τῶν κεφαλῶν· οἷς γὰρ ἂν τοῦτο γίγνηται, οὐκ εἰώθασι μένειν τοὺς ἐπιόντας. ἀλλὰ τάς τε πύλας τις ἀνοιγέτω ἐμοὶ ἃς εἴρηται, καὶ ἐπεξίωμεν ὡς τάχιστα θαρσοῦντες. καὶ ὁ μὲν κατὰ τὰς ἐπὶ τὸ σταύρωμα πύλας καὶ τὰς πρώτας τοῦ μακροῦ τείχους τότε ὄντος ἐξελθὼν ἔθει δρόμῳ τὴν ὁδὸν ταύτην εὐθεῖαν, ἥπερ νῦν κατὰ τὸ καρτερώτατον τοῦ χωρίου ἰόντι τροπαῖον ἕστηκε· καὶ προσβαλὼν τοῖς Ἀθηναίοις πεφοβημένοις τε ἅμα τῇ σφετέρᾳ ἀταξίᾳ καὶ τὴν τόλμαν αὐτοῦ ἐκπεπληγμένοις κατὰ μέσον τὸ στράτευμα, τρέπει. καὶ ὁ Κλεαρίδας, ὥσπερ εἴρητο, ἅμα κατὰ τὰς Θρᾳκίας πύλας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρετο. ξυνέβη τε τῷ ἀδοκήτῳ καὶ ἐξαπίνης ἀμφοτέρωθεν τοὺς Ἀθηναίους θορυβηθῆναι· καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν, τὸ πρὸς τὴν Ἠιόνα, ὅπερ δὴ καὶ προκεχωρήκει, εὐθὺς ἀποβράγεν ἔφυγε. καὶ ὁ Βρασίδας, ὑποχωροῦντος ἤδη αὐτοῦ, ἐπιπαριὼν τῷ δεξιῷ τιτρώσκεται· καὶ πεσόντα αὐτὸν οἱ μὲν Ἀθηναῖοι οὐκ αἰσθάνονται, οἱ δὲ πλησίον ἅπαντες ἀπήνεγκαν. τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενε μᾶλλον. καὶ ὁ μὲν Κλέων, ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων καὶ καταληφθεὶς ὑπὸ Μυρκινίου πελταστοῦ ἀποθνήσκει, οἱ δὲ αὐτοῦ ξυστραφέντες ὁπλῖται ἐπὶ τὸν λόφον τόν τε Κλεαρίδαν ἠμύνοντο καὶ δὶς ἢ τρὶς προσβαλόντα, καὶ οὐ πρότερον ἐνέδοσαν πρὶν ἥ τε Μυρκινία καὶ ἡ Χαλκιδικὴ ἵππος καὶ οἱ πελτασταὶ περι-

si viam et collocationem hostilis exercitus cogites. Sinistrum quippe cornu Atheniensium proxime Eione aberat ea parte clivi australis collis collocatum, qua nullus ex adverso hostis esset; quo factum est, ut integrum se recipere posset: nam Brasidas profectus a longo muro ad austrum ab urbe et progressus per viam, quae recta ad verticem collis erigeretur, non veniebat in contactum sinistri Atheniensium cornu, sed tantum cum media eorum acie manus consertum ibat. In proximis verba ita cohaerent: ἠμύνοντο προσβαλόντα καὶ δὶς ἢ τρίς i. e. *adeo bis vel ter* sive non semel modo sed vel saepius.

στάντες καὶ ἐξακοντίζοντες αὐτοὺς ἔτρεψαν. οὕτω δὲ τὸ στράτευμα πᾶν ἤδη τῶν Ἀθηναίων φυγὸν χαλεπῶς καὶ πολλὰς ὁδοὺς τραπόμενοι κατὰ ὄρη, ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν ἢ ὑπὸ τῆς Χαλκιδικῆς ἵππου καὶ τῶν πελταστῶν, οἱ λοιποὶ ἀπεκομίσθησαν ἐς τὴν Ἱσώνα. οἱ δὲ τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης καὶ διασώσαντες ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐξεκόμισαν· καὶ ἥσθετο μὲν ὅτι νικῶσιν οἱ μεθ' ἑαυτοῦ, οὐ πολὺ δὲ διαλιπὼν ἐτελεύτησε. καὶ ἡ ἄλλη στρατιὰ ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου ἐκ τῆς διώξεως νεκρούς τε ἐσκύλευσε καὶ
11 τροπαῖον ἔστησε. μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες ξὺν ὅπλοις ἐπισπόμενοι δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ τῆς νῦν ἀγορᾶς οὔσης· καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται, περιέρξαντες αὐτοῦ τὸ μνημεῖον, ὡς ἥρωί τε ἐντέμνουσι καὶ τιμὰς δεδώκασιν ἀγῶνας καὶ ἐτησίους θυσίας, καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν, καταβαλόντες τὰ Ἀγνώνεια οἰκοδομήματα, καὶ ἀφανίσαντες εἴ τι μνημόσυνόν που ἔμελλεν αὐτοῦ τῆς οἰκίσεως περιέσεσθαι, νομίσαντες τὸν μὲν Βρασίδαν σωτῆρά τε σφῶν γεγενῆσθαι καὶ ἐν τῷ παρόντι ἅμα τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν φόβῳ τῶν Ἀθηναίων θεραπεύοντες, τὸν δὲ Ἄγνωνα κατὰ τὸ πολέμιον τῶν Ἀθηναίων οὐκ ἂν ὁμοίως σφίσι

11. *ἔθαψαν ἐν τῇ πόλει*] Hic erat eximius honor; sepulcra enim extra moenia urbium erant. Vid. Cic. 4. Epistt. ad Famil. 12. Sic Romae XII tabulae vetuerunt, ne quis intra urbem sepeliretur, quamquam pauci quidam erant, ait Cicero de Legg. 2, 23., *qui hoc, ut C. Fabricius, virtutis causa soluti legibus consecuti sunt.* ARN. De more veterum, sepulcra sepiendi v. Casaub. ad Sueton. Ner. 37. Valck. Epist. ad Roever. Vol. 2. p. 320. Heind.

ὡς ἥρωι] v. Spanh. de Us. et Praest. Numism. p. 565. DUK. *Ἐντέμνειν* et *ἐναγίζειν* proprie usurpantur de inferiis, et *ἐντέμνειν* quidem, si audias Scholiastam Apollonii Rhod. 1, 587., contrarie ponitur verbo *σφάζειν*, quia victimae, quae per inferias obferebantur, ita ictu cervicum trucidabantur, ut caput humi procumberet; at *σφάζειν* i. e. *iugulare* significat rationem diis superis sacrificandi, qua caput victimae retro trahebatur, ut moriens sublime spectaret. Porro distinguuntur *θύειν*, *diis sacrificare* et *ἐναγίζειν*, *heroibus sacra facere.* Vid. Herodot. 2, 44. Etym. M. in *ἐναγίζω* et *ἔντομα.* Hesych. in *ἐναγίζειν* et *ἐντέμνουσι.* Polluc. 3, 102. 8, 91. Pausan. 2, 11, 7. Tametsi Aristot. Eth. Nicom. 5, 7. verbo *θύειν* significat inferias Brasidae factas, quanquam verba *ἐτησίους θυσίας*, de quibus hic Thuc. loquitur, non necessario intelligenda sunt de sacris Brasidae factis; imo annui dies festi in eius honorem per ludos et sacra variis diis facta celebrati esse videntur. At ludi in honorem heroum ita celebrati Varroni videntur documento esse divinae heroum naturae, *quod non soleant ludi nisi numinibus celebrari.* Conf. Herodot. 1, 167. 6, 38. ARN. Ex proximis Anecdd. Bekk. 1. p. 107. citant verba *εἴ τι μνημόσυνόν ποτε ἔμελλεν ἔσεσθαι*, paulo aliter Montefalc. Bibl. Coislin. p. 483. *ἤτοι μνημόσυνόν ποτε ἔμελλεν ἔσεσθαι.* v. Valck. ad Herodot. 6, 38. Verba *οὐδ' — ἡδέως* etc. intelligo inferias ab Amphipolitis, tum hostibus Atheniensium, factas Agnoni, qui Atheniensis fuisset, ingratas esse debuisse. Propter verba *τῶν δ' ἐναντίων ἐπιά* adi Od. Muell. Dor. 2. p. 248.

ξυμφόρως οὐδ' ἂν ἡδέως τὰς τιμὰς ἔχειν. καὶ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις ἀπέδοσαν. ἀπέθανον δὲ Ἀθηναίων μὲν περὶ ἑξακοσίους, τῶν δ' ἐναντίων ἑπτά, διὰ τὸ μὴ ἐκ παρατάξεως, ἀπὸ δὲ τοιαύτης ξυντυχίας καὶ προεκφοβήσεως τὴν μάχην μᾶλλον γενέσθαι. μετὰ δὲ τὴν ἀναίρεσιν οἱ μὲν ἐπ' οἴκου ἀπέπλευσαν, οἱ δὲ μετὰ τοῦ Κλεαρίδου τὰ περὶ τὴν Ἀμφίπολιν καθίσταντο.

Καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τελευτῶντος 12
Ῥαμφίας καὶ Αὐτοχαρίδας καὶ Ἐπικυδίδας Λακεδαιμόνιοι ἐς τὰ ἐπὶ Θρᾴκης χωρία βοήθειαν ἦγον ἐνακοσίων ὁπλιτῶν, καὶ ἀφικόμενοι ἐς Ἡράκλειαν τὴν ἐν Τραχῖνι καθίσταντο ὅ,τι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν. ἐνδιατριβόντων δὲ αὐτῶν ἔτυχεν ἡ μάχη αὕτη γενομένη, καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς μέχρι μὲν Πιερίου 13
τῆς Θεσσαλίας διῆλθον οἱ περὶ τὸν Ῥαμφίαν, κωλυόντων δὲ τῶν Θεσσαλῶν, καὶ ἅμα Βρασίδου τεθνεῶτος, ᾧπερ ἦγον τὴν στρατιάν, ἀπετράποντο ἐπ' οἴκου, νομίσαντες οὐδένα καιρὸν ἔτι εἶναι τῶν τε Ἀθηναίων ἧσσῃ ἀπεληλυθότων καὶ οὐκ ἀξιόχρεων αὐτῶν ὄντων δρᾶν τι ὧν κἀκεῖνος ἐπενόει. μάλιστα δὲ ἀπῆλθον εἰδότες τοὺς Λακεδαιμονίους, ὅτε ἐξῆσαν, πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην ἔχοντας. ξυνέβη τε εὐθὺς μετὰ 14
τὴν ἐν Ἀμφιπόλει μάχην καὶ τὴν Ῥαμφίου ἀναχώρησιν ἐκ Θεσσαλίας ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον, οἱ μὲν Ἀθηναῖοι πληγέντες ἐπὶ τῷ Δηλίῳ καὶ δι' ὀλίγου αὖθις ἐν Ἀμφιπόλει, καὶ οὐκ ἔχοντες τὴν ἐλπίδα τῆς ῥώμης πιστὴν ἔτι, ᾗπερ οὐ προσεδέχοντο πρότερον τὰς σπονδάς, δοκοῦντες τῇ παρούσῃ εὐτυχίᾳ καθυπέρτεροι γενήσεσθαι· καὶ τοὺς ξυμμάχους ἅμα ἐδέδισαν σφῶν μὴ διὰ τὰ σφάλματα ἐπαιρόμενοι ἐπὶ πλέον ἀποστῶσι, μετεμέλοντό τε ὅτι μετὰ τὰ ἐν Πύλῳ καλῶς παρασχὸν οὐ ξυνέβησαν· οἱ δ' αὖ Λακεδαιμόνιοι παρὰ γνώμην μὲν ἀποβαίνοντος σφίσι τοῦ πολέμου, ἐν ᾧ ὤοντο ὀλίγων ἐτῶν καθαιρήσειν τὴν τῶν Ἀθηναίων δύναμιν, εἰ τὴν γῆν τέμνοιεν, περιπεσόντες δὲ τῇ ἐν τῇ νήσῳ ξυμφορᾷ, οἵα οὔπω γεγένητο τῇ Σπάρτῃ, καὶ ληστευομένης τῆς χώρας ἐκ τῆς Πύλου καὶ Κυθήρων, αὐτομο-

13. *Πιερίου*] Pierium sive Pieria (apud Livium 32, 15. 36, 14.) sive Cierium (apud Steph. Byz.) non alia urbs erat quam Arne antiquior, unde Boeoti per Thessalos expulsi sunt. Iacebat, ubi nunc vicus Mataranga, in medio campo inter Peneum, Enipeum (Apidanum) et Curalium (Cuarium) fluvios, circiter 10 ad 12 milliariis Angl. ad orientem a Metropoli. Vid. Od. Muell. ad Tabul. Gr. Septentr. p. 18 sqq.

14. *ὥστε — ἅψασθαι*] v. Matth. p. 1038. De transitu ex infinitivo ad indicativum v. Herm. ad Vig. p. 852, 352. b. De forma plusquamperfecti *γεγένητο* v. Matth. §. 165. Et *τριακοντούτεις* scripsi ex E, sicut 1, 23. 115. 2, 2. Conf. quos Popp. citavit, Buttm. Gr. max. §. 71. adn. 7. Matth. §. 113. adn. 3. Lobeck. ad Phryn. p. 408. adn. Vulgo vel *τριακονταετεῖς* vel *τριακονταέτεις.*

λούντων τε τῶν Εἰλώτων, καὶ ἀεὶ προσδοκίας οὔσης μή τι καὶ οἱ ὑπομένοντες τοῖς ἔξω πίσυνοι πρὸς τὰ παρόντα σφίσιν ὥσπερ καὶ πρότερον νεωτερίσωσι· ξυνέβαινε δὲ καὶ πρὸς τοὺς Ἀργείους αὐτοῖς τὰς τριακοντούτεις σπονδὰς ἐπ' ἐξόδῳ εἶναι, καὶ ἄλλας οὐκ ἤθελον σπένδεσθαι οἱ Ἀργεῖοι, εἰ μή τις αὐτοῖς τὴν Κυνουρίαν γῆν ἀποδώσει· ὥστ' ἀδύνατα εἶναι ἐφαίνετο Ἀργείοις καὶ Ἀθηναίοις ἅμα πολεμεῖν. τῶν τε ἐν Πελοποννήσῳ πόλεων ὑπώπτευόν τινας ἀποστήσεσθαι πρὸς τοὺς Ἀργείους· ὅπερ καὶ
15 ἐγένετο. ταῦτ' οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧσσον τοῖς Λακεδαιμονίοις, ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι· ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ ὁμοίως σφίσι ξυγγενεῖς. ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν, ἀλλ' οἱ Ἀθηναῖοι οὕπως ἤθελον, εὖ φερόμενοι, ἐπὶ τῇ ἴσῃ καταλύεσθαι. σφαλέντων δὲ αὐτῶν ἐπὶ τῷ Δηλίῳ παραχρῆμα οἱ Λακεδαιμόνιοι γνόντες νῦν μᾶλλον ἂν ἐνδεξομένους ποιοῦνται

ὥστ' ἀδύνατα εἶναι ἐφαίνετο] i. e. ita ut, cum non fieri posse putarent, ut simul bellum contra Athenas et Argos gererent, quod tamen timendum erat, promti essent ad pacem cum Atheniensibus faciendam. ARN.

15. ταῦτ' οὖν — καταλύεσθαι] Schol. Arist. Pac. 478., qui post καταλύεσθαι haec invitis omnibus libris Thucydidis inserit: μάλιστα δὲ οἱ τῶν δεδεμένων συγγενεῖς ἐνῆγον καὶ ἐσπούδαζον, ὡς ἂν εἰρήνη γένηται. In verbis ἐπιθυμίᾳ — κομίσασθαι inest commixtio duarum constructionum, de qua v. Matth. p. 1303 sq.

ὁμοίως σφίσι ξυγγενεῖς] i. e. *et qui inter eos erant Spartani, primores erant civitatis* (conf. 4, 108. Wachsm. Antt. Gr. 1, 2. p. 210. Od. Muell. Dor. 2. p. 83.) *et pariter sibi cognati*, ita ut omnes Spartanorum lochi aliquot inter eos haberent sibi cognatos. Nam 4, 8. scriptor retulit, illos Spartanos in Sphacteria captos ex omnibus lochis sorte ductos esse. Antiquitus autem hoc spectabant, ut in iisdem moris lochisque cognati componerentur, quamquam paulatim hic mos exolevit. Conf. Od. Muell. l. c. p. 237. Wachsm. l. c. 2, 1. p. 383, 76. Muell. tamen non debebat interpretari unter einander, nam non inter se cognati erant, quippe sorte ducti ex variis lochis, sed sui quisque lochi militibus, nec *inter se* Graece proprie est *σφίσι*, sed *ἐν σφίσι* sive *ἐν ἑαυτοῖς*. v. adn. ad 4, 25. Itidem erravit C. Fr. Herm. de Homoeis p. 7 sq., qui „Nihil aliud, ait, sibi vult Thucydides, nisi eodem ardore, quo alioquin consanguinei redimendis ex captivitate necessariis suis studeant, omnes Spartanos, *quippe pari inter se cognationis vinculo coniunctos*, eorum, qui in Sphacteria capti essent, libertatem expetisse." Et hoc praeterea tenendum est, *σφίσι* cum eadem licentia pro *αὐτοῖς* dictum esse, qua 4, 113. fin. in verbis *κατέφυγον δὲ καὶ τῶν Τορωναίων ἐς αὐτούς, ὅσοι ἦσαν σφίσιν ἐπιτήδειοι* et 7, 70. *μετὰ δὲ τοῦτο πανταχόθεν σφίσι τῶν Συρακοσίων καὶ ξυμμάχων ἐπιφερομένων* etc., ubi v. adnot. Non tacendum est, Bekkerum probabiliter coniecisse ὁμοίοις σφισι sc. οὖσιν, et sic Port.: *et propter parem dignitatem* etc.

μᾶλλον ἂν ἐνδεξομένους] Ἄν om. Gr. D. Ar. Chr. Pro ἐνδεξομένους m. Thom M. v. ἐνδέχεται habent ἐνδεξαμένους, quo ducunt etiam Chr. Dan., qui δεξαμένους praebent. Negant futuro ἄν addi posse Anecdd. Bekk. 1. p. 126. et Schneid. ad Xen. Cyrop. 1, 5, 2., contra quos Popp. adfert haec exempla: 2, 80. λέγοντες ὅτι ῥᾳδίως ἂν

τὴν ἐνιαύσιον ἐκεχειρίαν, ἐν ᾗ ἔδει ξυνιόντας καὶ περὶ τοῦ πλείονος χρόνου βουλεύεσθαι. ἐπειδὴ δὲ καὶ ἡ ἐν Ἀμφιπόλει 16
ἧσσα τοῖς Ἀθηναίοις ἐγεγένητο, καὶ ἐτεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ ἀμφοτέρωθεν μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ δὲ γενομένης ἡσυχίας καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν καὶ ἀπιστότερος διαβάλλων, τότε δὲ οἱ ἐν ἑκατέρᾳ τῇ πόλει σπεύδοντες τὰ μάλιστα τὴν ἡγεμονίαν Πλειστοάνακτός τε ὁ Παυσανίου βασιλεὺς Λακεδαιμονίων καὶ Νικίας ὁ Νικηράτου, πλεῖστα τῶν τότε εὖ φερόμενος ἐν στρατηγίαις, πολλῷ δὴ μᾶλλον προεθυμοῦντο, Νικίας μὲν βουλόμενος, ἐν ᾧ ἀπαθὴς ἦν καὶ

κραιήσουσι, et *νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἄλλα προσχωρήσειν.* 6, 20. *οὐδ' ἂν τὴν ἀρχὴν τὴν ἡμετέραν εἰκότως ἀντ' ἐλευθερίας προσδεξομένας.* Vid. adn. ad 1, 140. De indicativo certe futuri cum ἄν dubitat Matth. p. 1199. d.

16. ἐπειδὴ δέ] *Λέ* cum K. Ar. Chr. Dan. omittit qui his usus est Schol. ad Arist. Equ. 790. De apodosi huius enuntiationis si quaeritur, ea vel propter particulam *τότε* initium habere non potest post *τὴν ἡγεμονίαν*, quia non intelligitur, quum verba *τότε δὲ — ἡγεμονίαν* ad Cleonem et Brasidam referantur, cur *τότε* adiectum sit, utpote plane otiosum, quia principatum civitatis suae, neque minus principatum suum non alio tempore affectare poterant, quam dum in vivis erant, ne dicam, hoc tralaticium esse, apodosin verbis *τότε δέ* incipere, non solum post *ἐπειδή*, sed etiam post participia. Vid. Thuc. 1, 49. 58. 2, 12. 18. 70. alibi. Rursus si apodosin annectas inde a verbis *τότε δέ*, in verbo *ἡγεμονίαν* est, quod offensioni sit. Etenim qui principatum civitati suae parare student, eos belli magis, quam pacis cupidos esse consentaneum est. Quae reputantibus apparebit, haec de Plistoanacte Niciaque, quos auctores pacis extitisse Thuc. dicit, praedicari non posse. Conf. Heilm. p. 653. Hac difficultate permotus Reisk. *ἡσυχίαν* aut *ὁμόνοιαν* pro *ἡγεμονίαν* corrigendum esse suspicatus est. Reiskii coniecturis Dindorfio potius visum est, legere *ὁμολογίαν*. Utut est, certe vulgata scriptura stare non potest. Nec tamen opus esse videtur, invitis omnibus quidem libris quidquam mutari. Nam quum Reg. (G.) F. Lugd. Gr. habeant *τότε δὲ οἱ ἐν ἑκατέρᾳ τῇ πόλει*, pro vulgata *τότε δὲ ἑκατέρᾳ τῇ πόλει* hac scriptura recepta omnia plana et expedita fiunt. Principes suae uterque civitatis esse voluerunt Plistoanax Niciasque, idque se tantum pacem republica agente consecuturos esse sperabant, diversa uterque ratione sed illa in idem consilium conciliandae pacis conspirante. Quo valet etiam illud additamentum: *πλεῖστα τῶν τότε εὖ φερόμενος ἐν στρατηγίαις*, quo se summae inter omnes auctoritatis Nicias futurum esse putabat, valetque etiam verbum *προεθυμοῦντο* i. e. cupiebant perstare in proposito pacis obtinendi principatus causa restituendae. Addit Popp.: „Nec dicimus *σπεύδειν τινί τι*, *parare alicui aliquid*, sed absolute *σπεύδειν τι*, ut *προθυμεῖσθαί τι*, *studiose ambire*, *affectare aliquid*. Conf. 6, 39. 79." De *προεθυμοῦντο* v. Matth. p. 1037. Mox *ἠξιοῦτο* significat *honoratus est*, v. Porson. ad Eur. Hecub. 323. Et *καὶ ὅστις — παραδίδωσι* dixit pro *καὶ ἐκ τοῦ ἐλάχιστα τύχῃ αὐτὸν παραδιδόναι*. Mox verba *ἐς ἐνθυμίαν* etc. Thom. M. in *ἐνθύμιον* ita exponit: *προέτεινον Ἀθηναῖοι* (imo *οἱ τοῦ Πλειστοάνακτος ἐχθροί*) *τοῖς Λακεδαιμονίοις τοῦτον καὶ ὑπεμίμνησκον, ὅτι δι' αὐτὸν ἔπεισαν*. De verbo *προβαλλόμενος* dixi ad 1, 73., de formula *τι πταίσειαν* v. Valck. ad Herodot. 8, 21.

ἠξιοῦτο, διασώσασθαι τὴν εὐτυχίαν, καὶ ἔς τε τὸ αὐτίκα πόνων πεπαῦσθαι καὶ αὐτὸς καὶ τοὺς πολίτας παῦσαι, καὶ τῷ μέλλοντι χρόνῳ καταλιπεῖν ὄνομα ὡς οὐδὲν σφήλας τὴν πόλιν διεγένετο, νομίζων ἐκ τοῦ ἀκινδύνου τοῦτο ξυμβαίνειν καὶ ὅστις ἐλάχιστα τύχῃ αὐτὸν παραδίδωσι, τὸ δὲ ἀκίνδυνον τὴν εἰρήνην παρέχειν, Πλειστοάναξ δὲ ὑπὸ τῶν ἐχθρῶν διαβαλλόμενος περὶ τῆς καθόδου, καὶ ἐς ἐνθυμίαν τοῖς Λακεδαιμονίοις ἀεὶ προβαλλόμενος ὑπ' αὐτῶν, ὁπότε τι πταίσειαν, ὡς διὰ τὴν ἐκείνου κάθοδον παρανομηθεῖσαν ταῦτα ξυμβαίνοι. τὴν γὰρ πρόμαντιν τὴν ἐν Δελφοῖς ἐπητιῶντο αὐτὸν πεῖσαι μετ' Ἀριστοκλέους τοῦ ἀδελφοῦ ὥστε χρῆσαι Λακεδαιμονίοις ἐπὶ πολὺ τάδε θεωροῖς ἀφικνουμένοις, Διὸς υἱοῦ ἡμιθέου τὸ σπέρμα ἐκ τῆς ἀλλοτρίας ἐς τὴν ἑαυτῶν ἀναφέρειν· εἰ δὲ μή, ἀργυρέᾳ ἐυλάκᾳ εὐλάξειν· χρόνῳ δὲ προτρέψαι τοὺς Λακεδαιμονίους φεύγοντα αὐτὸν ἐς Λύκαιον διὰ τὴν ἐκ τῆς Ἀττικῆς ποτε μετὰ

θεωροῖς ἀφικνουμένοις] Priori tempore, quum Pythia per Alcmaeonidas largitione edocta esset inculcare Spartanis officium liberandarum a Pisistratidis Athenarum, ab Herodoto narratur hoc mandatum repetiisse non solum *θεωροῖς* publice missis, sed etiam quicunque Spartanorum in sua causa oraculum consultabant. Munere *θεωρῶν* Spartae Pythii fungebantur, qui bini a regibus nominabantur, publice cum regibus alebantur et una cum iis edicta oraculi legebant. Vid. Herodot. 6, 57. Xen. R. L. 15. Arn. v. Od. Muell. Dor. 2. p. 18. 100. 230. C. Fr. Herm. Antt. Gr. p. 49, 9. Wachsm. Antt. Gr. 1, 1. p. 224. Mox *ἐπὶ πολύ* idem est ac *πολλάκις*, et *ἡμιθέου* (Herculis) *σπέρμα* intellige Plistoanactem.

ἀργυρέᾳ ἐυλάκᾳ] Schol. *εὐλάκαν τὴν ὕννιν Λακεδαιμόνιοι λέγουσιν, ἔνιοι δὲ, τὴν δίκελλαν ἀπὸ τοῦ λακαίνειν ὃ ἔστι σκάπτειν· εὐλάξειν δὲ ἀρόσειν· τοιοῦτο δέ τι λέγει ἀργυρέᾳ εὐλάκᾳ εὐλάξειν, τουτέστι λιμὸν ἔσεσθαι καὶ πολλοῦ σιτόδρα τὸν σῖτον ὠνήσεσθαι, ὥσπερ ἀργυροῖς ἐργαλείοις χρωμένους. ἔνιοι δὲ οὐ λυσιτελήσειν φασὶν αὐτοῖς τὴν γῆν γεωργεῖν, ὥσπερ εἰ ἀργυροῖς ἐργαλείοις ἐχρῶντο.* Bau. comparat Caesaris Augusti dictum apud Suetonium: *aureo hamo piscari*, quo significare voluit sumtuosam iacturam. Adde Od. Muell. Dor. 2. p. 533. Hesych. (quem exscripsit Phavorin. in *ἀργυρέᾳ*): *ἀργυρέᾳ ὕννις, ἡ ἀργυρέα αὖλαξ, παρὰ Θουκυδίδῃ*, ubi transmissis verbis Hemsterh. emendat *ἀργυρέα αὐλάκα· ἡ ἀργυρέα ὕννις, π. Θ.* „Αὐλάκα, ait, hanc enim olim variam extitisse lectionem in Thucydidis libris, Hesych. satis ostendit in *αὐλάκα, ἡ ὕννις*. Vomerem ita vocari non abhorret, qui sulcos ducat.“ Eadem monuit Kust. ad Suidam. Zonaras cum Phavorino et Suida habent *εὐλάκα, τὸ ἄροτρον παρὰ Θουκυδίδῃ ἐν χρησμῷ τινι· Δώρειος δὲ ἡ λέξις.* Et sic est in m. marg. Cl. et in corr. K. Photius habet *εὐλάκα*. Huc etiam, si Is. Vossium ad Catullum p. 84. sequimur, referendum est hoc Hesychii *Εὐλακία, Ἄρτεμις*, nam Diana, ait, eadem est quae Ceres. „*Εὐλάκᾳ* tuetur Phot. et hoc, quod *αὖλαξ, ἄλοξ* ac similia nomina *κ*, non *χ* adsciscunt.“ Popp. Mox Krueg. ad Dionys. p. 297. scribi vult *ἐκ τῆς Αἰτικῆς τότε*. v. adn. ad 8, 62.

μετὰ δώρων δοκοῦσαν] *δόκησιν* Cass. (in cuius marg. man. rec. *γρ. δοκοῦσαν*), Aug. (sed hic a corr. post *δοκ.* voc. eras.) Cl. (cuius marg. *δοκήσεως*), F. (in cuius marg. ead. man. *γρ. δοκοῦσαν ἕως*), Mosqu. m. Chr. Dan. marg. Steph. Schol. Suidas in *δώρων*, at in It.

δώρων δοκοῦσαν ἀναχώρησιν, καὶ ἥμισυ τῆς οἰκίας τοῦ ἱεροῦ τότε τοῦ Διὸς οἰκοῦντα φόβῳ τῶν Λακεδαιμονίων, ἔτει ἑνὸς δέοντι εἰκοστῷ τοῖς ὁμοίοις χοροῖς καὶ θυσίαις καταγαγεῖν ὥσπερ ὅτε τὸ πρῶτον Λακεδαίμονα κτίζοντες τοὺς βασιλέας καθίσταντο. ἀχθόμενος οὖν τῇ διαβολῇ ταύτῃ καὶ νομίζων ἐν εἰ-17 ρήνῃ μὲν οὐδενὸς σφάλματος γιγνομένου καὶ ἅμα τῶν Λακεδαιμονίων τοὺς ἄνδρας κομιζομένων κἂν αὐτὸς τοῖς ἐχθροῖς ἀνεπίληπτος εἶναι, πολέμου δὲ καθεστῶτος ἀεὶ ἀνάγκην εἶναι τοὺς προὔχοντας ἀπὸ τῶν ξυμφορῶν διαβάλλεσθαι, προὐθυμήθη τὴν ξύμβασιν. καὶ τόν τε χειμῶνα τοῦτον ἥεσαν ἐς λόγους καὶ

Vat. H. E. est *δόκησιν ἕως*, C. D. I. K. m. *δόκησιν ἐς*, Vind. *δόκησιν εἰς*, in quibus omnibus latet scriptura marg. Cl. *δοκήσεως*. Popp. edidit *δόκησιν*. Suspiceris, auctorem reliquisse *μετὰ δώρων δοκήσεως*, quae verba Schol. exponit *δώρων λήψιν*. In iure Attico *δωροδοκία, δωροδόκημα* frequens est, at Arn. dubitat, num *δωροδόκησις*, vel *δώρων δόκησις* in usu fuerit. Haack. non memor *δωροδοκίας* ex iure Attico *δόκησιν* intellexit *opinionem*. Vid. Meier. De bon. damn. p. 111. Meier. et Schoem. d. Att. Proz. p. 351. Hefster. D. Athen. Gerichtsverf. p. 154. Vulgatam Acacius ita interpretatur *propter suspicionem acceptae ob discessum pecuniae* et Duk. confert Thuc. 2, 21. *διὸ δὲ καὶ ἡ φυγὴ αὐτῷ ἐγένετο ἐκ Σπάρτης δόξαντι χρήμασι πεισθῆναι τὴν ἀναχώρησιν* ac 3, 10. *ἀρετὴν δοκοῦσαν, opinionem virtutis*, quamquam praesenti loco durior est omissio verbi *γεγενῆσθαι*. Arn. cum eodem *δοκοῦσαν* ideo praefert, quod (ut alia omittantur) hoc magis conveniat cum scriptoris prudentia, dicere virum *putatum esse* corruptum pecunia fuisse, quam audere dicere *corruptum fuisse*, neque aliter auctorem loqui 2, 21.

ἥμισυ τῆς οἰκίας] Schol. *ὁ Πλειστοάναξ διαφυγὼν ᾤκησεν ἐν Λυκαίῳ* (monte Arcadiae, in quo Iovis Lycaei sacrum erat. v. Strab. 8. p. 388. Plin. H. N. 4, 6. Duk.) *τοῦ δὲ τόπου, καθ' ὃν οἰκοδόμησε τὴν οἰκίαν, τὸ μὲν ἥμισυ ἦν ἱερὸν, τὸ δὲ ἥμισυ βέβηλον*. Sensus esse videtur: *καὶ οἰκίαν τότε οἰκοῦντα, ἧς ἥμισυ τοῦ ἱεροῦ τοῦ Διὸς ἦν*. „Ad verbum est living in half of his house in the sacred ground. Causa erat, ut ei in asylo esse liceret momento temporis et tamen sine violatione sacri facere, quod in vita communi usu venit, id quod fieri non potuisset, si tota domus intra sacrum circuitum fuisset. Vid. 4, 97. *Ἀθηναίους δὲ Δήλιον ἐνοικεῖν, καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσι, πάντα γίγνεσθαι αὐτόθι.*“ Arn. De regibus Spartanis inter sacrificia et choreas primum institutis v. Od. Muell. Dor. 1. p. 90.

17. *ἀνεπίληπτος*] Zonaras: *ἄμωμος*. Et *προεπανεσείσθη* Schol. explicat per *προηπειλήθη*. Vid. adn. ad 6, 86. Mox in Gr. Ven. est *ὡς ἐπὶ τειχισμόν*, vulgo *ὡς ἐπιτειχισμόν*. „Exspectes quidem cum Abr. *ἐπιτειχισμόν* ob 1, 122. 144., ideoque coniicias *ὡς ἐς ἐπιτειχισμόν*. Schol. *ὡς μελλόντων φρούρια ἐπιτειχίζειν ἐν τῇ Ἀττικῇ τῶν Λακεδαιμονίων*. Sed simplex *τειχισμός* de obsidione paranda legitur etiam 8, 34.“ Popp. Arn. praefert *ὡς ἐς ἐπιτειχισμόν*, quia Spartani non cogitaverint de obsidendis Athenis, sed de Decelea munienda, hoc autem esse non *τειχισμόν* sed *ἐπιτειχισμόν*. Et ab ipso Poppone legi *ὡς ἐς ἐπίπλουν* 1, 50., ubi in omnibus libris sit *ὡς ἐπίπλουν*, item omisso *ἐς*. Mihi quidem scriptor videtur satis habuisse dicere *murorum exstructio* (*τειχισμός*), quum murorum *adversus* Athenienses exstructio (*ἐπιτειχισμός*) sponte sua intelligatur. Paulo post ad verba *ὥστε — ποιεῖσθαι* v. Matth. p. 1038. Propter *ἔφασαν οὐ βίᾳ* confer 3, 52.

πρὸς τὸ ἔαρ ἤδη, παρασκευή τε προεπανεσείσθη ἀπὸ τῶν Λακεδαιμονίων, περιαγγελλομένη κατὰ πόλεις ὡς ἐπὶ τειχισμόν, ὅπως οἱ Ἀθηναῖοι μᾶλλον ἐσακούοιεν· καὶ ἐπειδὴ ἐκ τῶν ξυνόδων ἅμα πολλὰς δικαιώσεις προενεγκόντων ἀλλήλοις ξυνεχωρεῖτο ὥστε ἃ ἑκάτεροι πολέμῳ ἔσχον ἀποδόντας τὴν εἰρήνην ποιεῖσθαι, Νίσαιαν δ' ἔχειν Ἀθηναίους· ἀνταπαιτούντων γὰρ Πλάταιαν οἱ Θηβαῖοι ἔφασαν οὐ βίᾳ ἀλλ' ὁμολογίᾳ αὐτῶν προσχωρησάντων καὶ οὐ προδόντων ἔχειν τὸ χωρίον, καὶ οἱ Ἀθηναῖοι τῷ αὐτῷ τρόπῳ τὴν Νίσαιαν· τότε δὴ παρακαλέσαντες τοὺς ἑαυτῶν ξυμμάχους οἱ Λακεδαιμόνιοι καὶ ψηφισαμένων πλὴν Βοιωτῶν καὶ Κορινθίων καὶ Ἠλείων καὶ Μεγαρέων τῶν ἄλλων ὥστε καταλύεσθαι, τούτοις δὲ οὐκ ἤρεσκε τὰ πρασσόμενα, ποιοῦνται τὴν ξύμβασιν καὶ ἐσπείσαντο πρὸς τοὺς Ἀθηναίους καὶ ὤμοσαν, ἐκεῖνοί τε πρὸς τοὺς Λακεδαιμονίους, τάδε.

18 Σπονδὰς ἐποιήσαντο Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι κατὰ τάδε, καὶ ὤμοσαν κατὰ πόλεις. περὶ μὲν τῶν ἱερῶν τῶν κοινῶν, θύειν καὶ ἰέναι καὶ μαντεύεσθαι καὶ θεωρεῖν

πλὴν Βοιωτῶν] Schol. ad Arist. Pac. 463. eadem ex Philochoro adnotat, quae hic Thuc. narrat, ut suspicio fiat, Philochorum sua ex hoc scriptore sumsisse, collata inprimis adnotatione ad 1, 114. Wasse adnotavit, hinc lucem affulgere verbis Comici l. l., ubi pacem funibus in antrum deductam fingit. De verbis *ὥστε καταλύεσθαι* iterum v. Matth. l. c. Paulo inferius parenthesis non suo loco legitur, nam verba *τούτοις δὲ — πρασσόμενα* statim post *Μεγαρέων* poni debebant. Popp. 1, 1. p. 305. confert 6, 104., ubi tamen verba, quae in parenthesi sunt (*κατὰ τὸν Τεριναῖον κόλπον*) mihi non ab scriptoris manu esse videntur. Sed addit 8, 48., ubi verba *οἵπερ καὶ ταλαιπωροῦνται μάλιστα* statim post *οἱ δυνατοὶ τῶν πολιτῶν* sequi debebant. Adde Popp. ad Xen. Cyrop. 1, 2, 9.

18. *θεωρεῖν*] i. e. *θεωροὺς γίγνεσθαι, spectatum ire.* Conf. 8, 10. Schol. interpretatur *θεωροὺς πέμπειν*, praeter necessitatem, ut iudicat Herm. ad Soph. Oed. C. 1085. Mox *ἱερόν* totum templum est, eius pars *ναός*, cella. Interdum plures *ναοί* uni templo tribuuntur, ubi *ναοί* aediculae sunt, quas unum templum complectitur. Dixeris Capellen. Atque *ἱερόν* etiam latiorem sensum habet, ut sit tota area deo consecrata una cum aedibus sacris in illa exstructis. Sic idem fere quod *τέμενος* est, et *ναός* non cella tantum, verum aedes deo sacrata, ut pars *τοῦ ἱεροῦ* latiori sensu accepti. Atque ubi *ναός* et *σηκός* (cella) distinguuntur, videlicet *ναός* templum est sive *τὸ ἱερόν*. Vid. interpp. ad Herodot. 6, 19. adnot. ad 1, 134. Porro Delphi iubebantur suas ipsi leges scribere sive suis ipsorum legibus vivere i. e. *αὐτονόμους*. Vid. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 146. adn. Od. Muell. Dor. 1. p. 192. 211. 250. 2. p. 182., iubebantur sibi solis vectigales esse i. e. *αὐτοτελεῖς*. Schol. explicat *μὴ ἄλλοις συντελοῦντας*, at hic sensus inest in *αὐτονόμους*. Denique *αὐτοδίκους*, si ius privatum spectes, significat eos iussos esse secundum suas leges in propriis iudiciis causas disceptare. Schol. *αὐτόδικοι ἄνθρωποι οἱ παρ' αὐτοῖς δίκας διδόντες καὶ λαμβάνοντες, καὶ μὴ ὑπ' ἄλλων κρινόμενοι, ἐν αὐτοῖς τὴν διαφορὰν δίκῃ λύοντες, καὶ μὴ μετάγοντες αὐτὴν εἰς ὑπερορίους ἀνθρώπους*, ut socii Atheniensium, qui Athenis lege experiri cogebantur. Si ius civitatum spectes, *αὐτόδικοι* civitates liberae sunt, quae valent ipsae

κατὰ τὰ πάτρια τὸν βουλόμενον καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀδεῶς. τὸ δ' ἱερὸν καὶ τὸν νεὼν τὸν ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος καὶ Δελφοὺς αὐτονόμους εἶναι καὶ αὐτοτελεῖς καὶ αὐτοδίκους καὶ αὐτῶν καὶ τῆς γῆς τῆς ἑαυτῶν κατὰ τὰ πάτρια. ἔτη δὲ εἶναι τὰς σπονδὰς πεντήκοντα. Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις τοῖς Ἀθηναίων καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις τοῖς Λακεδαιμονίων ἀδόλους καὶ ἀβλαβεῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐπ' Ἀθηναίους καὶ τοὺς ξυμμάχους μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους

per se satisfactionem et facere et recipere. „Sic Platacenses 3, 55. eo causam suam tuentur, quod non sint *αὐτόδικοι*, neque teneantur actiones suas praestare: *ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, οὐχ οἱ ἑπόμενοι αἴτιοι, εἴ τι μὴ καλῶς ἐδράτε, ἀλλ' οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα.*“ Arn. Vid. Harpocr. Suid. et Zonar. in his vv.

δικαίῳ χρήσθων] Thom. M. p. 922. *δικαίῳ* agnoscit, at Dukero et Haackio ad hunc locum magis *δίκαις*, quod est in libris nonnullis et apud Scholiastam, aptum esse videtur, quam *δικαίῳ*, et Thucydidem etiam alibi dicunt *δίκην, δίκας* et *διάφορα* coniungere, velut 1, 78. 140. Ac sane *δικαίῳ* si legas, articulus *τῷ* addatur opus esse videtur, ut Arn. animadvertit. Tum erit: *iure* (*τῷ δικαίῳ*) *utuntor*, pro *iudicio* (*δίκαις*) *disceptanto*. Statim de Amphipoli vid. 4, 106. Dein tributum (*φόρος*) ab Aristide sociis descriptum erat quadringenorum sexagenorum talentorum (Thuc. 1, 96.). Id postea auctum ad sexcentena talenta (2, 13.), post pacem Niciae ad millena ducena, deinde in maius etiam. Vid. Diod. 12, 40. et maxime Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 427 sqq. De Argilo v. 4, 103. de Stagiro 4, 88. de Acantho ibidem. Scolus urbs sita erat haud procul Olyntho. De ea in superioribus nihil a Thucydide memoratum est. v. Strab. 9. p. 408. Eustath. ad Hom. Il. 2. p. 265, 29. Rom. De Olyntho v. 1, 63. 2, 79. Iacobs. ad Demosth. Oratt. de Rep. habit. p. 209. ed. pr. A. G. Becker. Interp. Oratt. Demosth. Philipp. Vol. 1. p. 92. Voemel. Prolegg. ad Dem. Phil. 1. p. 13 sqq. De Spartolo, urbe Bottica, proxime ab Olyntho sita, v. Thuc. 2, 79.

ἐξέστω — Ἀθηναίοις] Exspectes pro *Ἀθηναίοις* pronomen. Iam *αὐτοὺς Ἀθηναίοις* dixit pro *αὐτοὺς ἑαυτοῖς*. Quod iure tam singulare visum est interpretibus, ut *Ἀθηναίοις* deletum vellent. Quod iudicium leviter confirmari videtur scriptura Pal. *Ἀθηναίους*. Nec tamen omittendum est, in formulis foederum complura ab usitatis abhorrentia reperiri. Similia sunt verba 6, 105. *οἱ Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις ἤδη εὐπροφάσιστον μᾶλλον τὴν αἰτίαν ἐς τοὺς Ἀθηναίους τοῦ ἀμύνεσθαι ἐποίησαν*. Mox Mecyberna urbs Atheniensibus ab Olynthiis anno belli undecimo rursus erepta est. v. Thuc. 5, 39. Remota erat ab Olyntho viginti stadiis. v. Wessel. ad Diod. 12, 77. De Sanaeis v. 4, 109. Sane urbs in Acte sita fuit. Alia est Sane Herodoti 7, 123., sita illa in Pallene. Singos urbs sita fuit ad oram Sithoniae orientalem. v. Herodot. 7, 122. De Panacto v. 5, 3. 42. de Coryphasio adn. ad 4, 3. de Cytheris 4, 53. 54. 7, 26. de Methone 4, 45. et adn. ad 4, 118. Paulo post „*Ἰτελεόν* nomen vix sanum est; nam nec Thessaliae nec Asiae Pteleum (de quibus v. 1, 2. p. 452.), hic locum habet. Neque aptius videtur *Ἰτελεὸν τῶν παραθαλαττίων Ἀχαιῶν*, quod Steph. Byz. addit; nam ne id quidem ad societatem Laconicam pertinebat.“ Popp. Asiatica Pteleus memoratur a Thucydide 8, 24. 31., ea sita erat ad Mimantem et Erythras. Thessalica apud auctorem epigrammatis veteris apud

ἐπὶ Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους, μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ. ἢν δέ τι διάφορον ᾖ πρὸς ἀλλήλους, δικαίῳ χρήσθων καὶ ὅρκοις, καθ' ὅ,τι ἂν ξύνθωνται. ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Ἀμφίπολιν. ὅσας δὲ πόλεις παρέδοσαν Λακεδαιμόνιοι Ἀθηναίοις, ἐξέστω ἀπιέναι ὅποι ἂν βούλωνται, αὐτοὺς καὶ τὰ ἑαυτῶν ἔχοντας· τὰς δὲ πόλεις φερούσας τὸν φόρον τὸν ἐπ' Ἀριστείδου αὐτονόμους εἶναι. ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν Ἀθηναίους μηδὲ τοὺς ξυμμάχους ἐπὶ κακῷ, ἀποδιδόντων τὸν φόρον, ἐπειδὴ αἱ σπονδαὶ ἐγένοντο. εἰσὶ δὲ Ἄργιλος, Στάγειρος, Ἄκανθος, Σκῶλος, Ὄλυνθος, Σπάρτωλος. ξυμμάχους δ' εἶναι μηδετέρων, μήτε Λακεδαιμονίων μήτε Ἀθηναίων· ἢν δὲ Ἀθηναῖοι πείθωσι τὰς πόλεις, βουλομένας ταύτας ἐξέστω ξυμμάχους ποιεῖσθαι αὐτοὺς Ἀθηναίοις. Μηκυβερναίους δὲ καὶ Σαναίους καὶ Σιγγαίους οἰκεῖν τὰς πόλεις τὰς ἑαυτῶν, καθάπερ Ὀλύνθιοι καὶ Ἀκάνθιοι. ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Πάνακτον. ἀποδόντων δὲ καὶ Ἀθηναῖοι Λακεδαιμονίοις Κορυφάσιον καὶ Κύθηρα καὶ Μεθώνην καὶ Πτελεὸν καὶ Ἀταλάντην, καὶ τοὺς ἄνδρας ὅσοι εἰσὶ Λακεδαιμονίων ἐν τῷ δημοσίῳ τῶν Ἀθηναίων, ἢ ἄλλοθί που ὅσης Ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ· καὶ τοὺς ἐν Σκιώνῃ πολιορκουμένους Πελοποννησίων ἀφεῖναι, καὶ τοὺς ἄλλους ὅσοι Λακεδαιμονίων ξύμμαχοι ἐν Σκιώνῃ εἰσὶ

Demosth. p. 34. et apud Cantacuzenum p. 564. (ex citatione Wassii) est. „Bloomf. suspicatur significari Pteleum, quod est apud Strab. 8. p. 538. A. Alm. et Hom. Il. 2, 594., situm in confiniis Messeniae et Elidis, quodque Athenienses occupaverint, ut paucis annis post peninsulam orae Laconicae, obversam Cytheris 7, 26., ceperunt. Ea occupatio facta esse videatur, cum Athenienses frequenter escensiones faciebant in litore Peloponnesi 4, 53 sqq. At ordo locorum huic conjecturae non favet, et Thuc. omnes conatus, ab Atheniensibus tum in ora Peloponnesi factos, sigillatim pertractat, ut vix credibile sit, eum constantem possessionem portus alicuius in ditione hostili omisisse." Arn. Mox de Atalante. v. Thuc. 2, 32. 3, 89. Alia est Atalante, urbs Macedoniae 2, 100.

ἐν τῷ δημοσίῳ] Herald. Emendd. et Observ. c. 37. putat hoc laxius accipiendum, quam faciunt interpretes Thucydidis et convertit *qui populo Atheniensi publice serviunt* Athenis. Reprehendit eum Salmasius Obss. ad I. A. et R. p. 612., ac negat *ἐν δημοσίῳ εἶναι* dici eos, qui publice serviunt: *δημόσιον* autem Scholiasta ad h. l. et Hesychio auctoribus esse carcerem. Recte Salmasius. Agit Thuc. de his praecipue, qui in Sphacteria capti fuerant, de quibus recipiendis valde laborasse Lacedaemonios, supra plus semel dixit. Hi autem non servi publici facti, sed in vincula publica coniecti erant 4, 41. 57. *Δημόσιον* hic cum aliis etiam Pricaeus ad Actt. Apost. 5, 18. *carcerem* interpretatur. Duk. Mox de Scione v. 4, 120. 130. 133. 5, 32. Paulo post proprie ita scribere debebat: *Σκιωναίων δὲ καὶ Τορωναίων καὶ Σερμυλίων — Ἀθηναίους βουλεύεσθαι πέρι καὶ περὶ τῶν ἄλλων πόλεων* etc. Post sententiam interpositam subiecta repetuntur per pronomen *αὐτῶν*, ut fieri solet. De Toronaeis v. 4, 111. 5, 3. Sermyla urbs Graeca in Sithonia erat. v. Herodot. 7, 122. Thuc. 1, 65.

καὶ ὅσους Βρασίδας ἐξέπεμψε, καὶ εἴ τις τῶν ξυμμάχων τῶν Λακεδαιμονίων ἐν Ἀθήναις ἐστὶν ἐν τῷ δημοσίῳ, ἢ ἄλλοθί που ἧς Ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ. ἀποδόντων δὲ καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι οὕστινας ἔχουσιν Ἀθηναίων καὶ τῶν ξυμμάχων κατὰ ταὐτά. Σκιωναίων δὲ καὶ Τορωναίων καὶ Σερμυλίων καὶ εἴ τινα ἄλλην πόλιν ἔχουσιν Ἀθηναῖοι, Ἀθηναίους βουλεύεσθαι περὶ αὐτῶν καὶ τῶν ἄλλων πόλεων ὅ,τι ἂν δοκῇ αὐτοῖς. ὅρκους δὲ ποιήσασθαι Ἀθηναίους πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κατὰ πόλεις. ὀμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἑκάτεροι τὸν μέγιστον ἐξ ἑκάστης πόλεως. ὁ δ' ὅρκος ἔστω

καὶ τοὺς ξυμμάχους κατὰ πόλεις] Athenienses et suo et sociorum nomine iurabant. vid. 5, 47. post med. Itaque Atheniensibus solis Lacedaemonii et horum socii iusiurandum praestabant, at Athenienses non solum Lacedaemoniis, sed etiam sociis eorum, et his quidem oppidatim (*κατὰ πόλεις*). Vid. Wachsm. Antt. Gr. 2, 2. p. 127, 4.

ὅρκον τὸν μέγιστον] In formulis iurisiurandi varii et confirmandi et fidem dandi gradus erant. Praeter usitatum testium iusiurandum aliud erat sanctius, quod magis quam alia fidem obstringere videbatur, quale praestabant Areopagitae, dum et se et omnem progeniem diris devovent, quodque ut praecipua gravitate et vi praeditum memoratur. Inprimis illam formulam obligare putaverunt, qua per liberos iurabant. Vid. Platn. d. Proz. und d. Klag. b. d. Att. Vol. 1. p. 223. et Valck. de Ritibus Iurisi. in Opuscc. Vol. 1. ed. Lips. Mox dedi *ἐμμενῶ* ex Osanni in Sylloga Inscr. 1. p. 10. emendatione, quae in editione Elmsleii iam expressa est, et sic coniecerat iam Fr. Port. Eadem correctio adhibenda verbo est c. 47. Vulgatam *ἐμμένω* Haack. tuetur, quia praesens cum futuro, ut hic quidem *ἐμμένω* cum *παραβήσομαι*, etiam alibi iungatur. Addit Popp., in infinitivo praesens post iurandi verba frequens esse. Hoc tamen ipsum qui firmat Schaef. ad Eurip. Med. 751. Pors. quum in indicativo *ἐμμένω* ferre nolit, Popp. se eum sequi maluisse profitetur. Propter *στήλας στῆσαι* v. Dahlm. Herodot. p. 18. Pro *Ἰσθμῷ* Aem. Port. legi volebat vel *ἐν Ἰσθμῷ* vel *Ἰσθμοῖ*. v. Iacobs. ad Anthol. Palat. p. 837. et Buttm. Gr. max. 2. p. 275. Dein in verbis *ἐν Ἀθήναις* praepositionem libri quamplurimi om., in Reg. (G.) est *καὶ Ἀθήνῃσιν*, ut c. 25. 47. Vid. adn. ad. 1, 73. et Matth. §. 406. b., ubi tamen, si a nomine *Μαραθῶνι* abeas, poetica tantum exempla omissae praepositionis *ἐν* proferuntur. Et *ἐν πόλει* est *in arce*, sic enim usitatum est in actis publicis. Vid. adn. ad 2, 15. Porro „Amyclaeum teste Polybio 5, 19. Sparta viginti stadiis aberat. Dodw. narrat, reliquias Amyclarum quas putat esse certe quatuor mill. ruinis Spartae distare. v. Travels Vol. 2. p. 413. Guil. Gell. cum eo consentire videtur. Itin. of the Morea p. 222. 225. At Leak. Amyclas ponit in colle, qui dicitur Aia Kyriakí, ubi item ruinarum aliquid invenitur, qui collis Sparta austrum versus non plus duo mill. et dimidium abest. v. Travels in the Morea Vol. 1. p. 135—145. Templum Apollinis Amyclaei non minus recte dici poterat *Spartae* esse, quam templum Iunonis Argis esse dicebant, v. Thuc. 4, 133., quamquam quadraginta stadiis ab urbe distabat. Vid. Strab. 8, 6, 2. Herodot. 1, 31." Arn. Od. Muell. Dor. 2. p. 452. putat vicum, qui nunc dicitur Sclavochori, antiquas Amyclas fuisse, vel certe non procul iacuisse. Mox „*καὶ ὅτου πέρι* Mosqu. et Lindav. Spicil. p. 9. Vulgo *εἴτου πέρι* cum distinctione non post *πέρι*, sed post *ὁποτερουοῦν* et post *χρωμένους*, quasi *εἰ* ad participium referri possit. Conf. Seidl. ad Eur. El. 533. In Cass. aliud pro *εἰ* scriptum ac deinde emendatum

ὅδε· Ἐμμενῶ ταῖς ξυνθήκαις καὶ ταῖς σπονδαῖς ταῖσδε δικαίως καὶ ἀδόλως. ἔστω δὲ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις κατὰ ταὐτὰ ὅρκος πρὸς Ἀθηναίους, τὸν δὲ ὅρκον ἀνανεοῦσθαι κατ' ἐνιαυτὸν ἀμφοτέρους. στήλας δὲ στῆσαι Ὀλυμπίασι καὶ Πυθοῖ καὶ Ἰσθμῷ καὶ ἐν Ἀθήναις ἐν πόλει καὶ ἐν Λακεδαίμονι ἐν Ἀμυκλαίῳ. εἰ δέ τι ἀμνημονοῦσιν ὁποτεροιοῦν καὶ ὅτου πέρι, λόγοις δικαίοις χρωμένοις εὔορκον εἶναι ἀμφοτέροις ταύτῃ μεταθεῖναι ὅτῃ ἂν δοκῇ ἀμφοτέροις, Ἀθηναίοις καὶ Λακεδαιμονίοις.

19 Ἄρχει δὲ τῶν σπονδῶν ἔφορος Πλειστόλας, Ἀρτεμισίου μηνὸς τετάρτῃ φθίνοντος, ἐν δὲ Ἀθήναις ἄρχων Ἀλκαῖος, Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. ὤμνυον δὲ οἵδε καὶ ἐσπένδοντο, Λακεδαιμονίων μὲν [Πλειστοάναξ, Ἄγις,] Πλειστόλας, Δαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος, Δάϊθος, Ἰσχαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἄντιππος, Τέλλις, Ἀλκινίδας, Ἐμπεδίας, Μηνᾶς, Λάφιλος· Ἀθηναίων δὲ οἵδε, Λάμπων, Ἰσθμιόνικος, Νικίας, Λάχης, Εὐθύδημος, Προκλῆς,

fuerat, sed neque vera scriptura neque emendatio legi potest. In marg. est *γρ. κατὰ τοῦ*. Aug. Pal. It. Vat. *οἱ τοῦ*. In Aug. tamen corr. *εἵτου*. H. solum *του*. Lugd. *εἰ τοῦ*. In recepta scriptura *ὅτου* pro *ὁτουοῦν* accipere videntur, sed dubitat de hoc usu Herm. ad Soph. Ai. 179. et exspectetur potius *καὶ ὁτιοῦν*, ut 4, 16. *ὅ τι δ' ἂν παραβαίνωσι καὶ ὁτιοῦν*. Repetas etiam, si tibi commodum videatur, cogitatione *ἀμνημονοῦσι*, et interpretere *si quid obliti fuerint et quod (cunque) obliti fuerint*, quamquam sic *καὶ ὅτου ἄν* (*ἀνημιονῶσι*) exspectes." Popp. De forma *ὅτου* pro *οὑτινος* v. Matth. §. 153. adn. 1. et de explicatione huius loci conf. adn. ad 4, 16. Mihi *ὁτουοῦν πέρι* in formula foederis fuisse videtur, et sic scriptorem scriptum reliquisse probabile est.

19. *Ἄρχει*] i. e. *foedera habent initium ab ephoro Plistola.* Sic supra 4, 118. *καὶ ὡμολόγησαν — ἄρχειν τήνδε τὴν ἡμέραν, et convenit, ut inducine ab hac die inciperent.* De ephoro eponymo v. Od. Muell. Dor. 2. p. 122. adn. 4. De mense Artemisio adi adn. ad 4, 118. Porro *ἕκτῃ φθίνοντος* etc. est Elaphebolionis d. 24 Ol. 89, 3. sive mensis Apr. 11. anni Iuliani 421. ante Chr. De forma nominis *Ἄντιππος* cum *τ* v. Buttm. Gr. max. §. 17. adn. 3. Pro *Ἀλκινίδας* cum Cam. et Vall. ex c. 24. fortasse legendum *Ἀλκινάδας*. De nomine *Μηνᾶς* vid. Lobeck. ad Phryn. p. 434. Tum vulgo legitur *Λάμφιλος*, pro quo dedi *Λάφιλος* ex cap. 24., et Heilm. recte videtur dixisse, idem nomen esse quod Philolaus. Porro vulgo *Ἀριστοκοΐτης* est, at infra c. 24. *Ἀριστοκράτης*, quod in hunc quoque locum vel invitis libris revocavi, quia nomen *Ἀριστοκοΐτης* inauditum est. Vid. Krueg. ad Dionys. p. 331. et de Aristocrate Thuc. 8, 9. Ceterum post verba *Λακεδαιμονίων μέν* his nominibus Arn. praemisit *Πλειστοάναξ, Ἄγις* et deinde *Πλειστόλας* etc. propter cap. 24., ubi in vulgatis Plistoanactis et Agidis nomina praemittuntur. „Cum ratio, ait, reddi non possit, cur nomina regum non compareant inter eos, qui iureiurando prius pactum cum Athenien-sibus firmabant, et inprimis Plistoanactem incredibile sit omisisse tale documentum sui pacis studii, ac cum posterius pactum data opera iubeat firmari iureiurando eorundem virorum, qui prius pactum firmaverant, ausus sum inserere nomina *Πλειστοάναξ, Ἄγις*" c. 19. in fronte Spartanorum, qui iusiurandum praestabant."

Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς, Θεογένης, Ἀριστοκράτης, Ἰώλκιος, Τιμοκράτης, Λέων, Λάμαχος, Δημοσθένης.

Αὗται αἱ σπονδαὶ ἐγένοντο τελευτῶντος τοῦ χειμῶνος ἅμα20 ἦρι, ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν αὐτόδεκα ἐτῶν διελθόν-

20. *ἐκ Διονυσίων*] Initium Dionysiorum urbanorum inde a die 12. Elaphebolionis fuit. v. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 176. et de Dionysiis Atticis in universum Ruhnk. Addendis ad Hesych. Vol. 1. p. 999, 10. Boeckh. in Commentt. Acad. Berolin. 1817. Buttm. Exc. 1. ad Demosth. Or. in Mid. p. 119. et adn. ad 2, 15. Dies 12. Elaphebolionis Ol. 89, 3. competit cum d. 30. Mart. anni Iuliani 421. Dionysia urbana per aliquot dies festos extendebantur, quare scriptor hic dicit *αὗται αἱ σπονδαὶ ἐγένοντο — ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν*. Addit *αὐτόδεκα ἐτῶν διελθόντων*, etenim ab aestate Ol. 87¼. (431.) usque ad hiemem Ol. 89, 3. (42¾.) decem aestates totidemque hiemes effluxerunt, quamquam decima hiems non tota praeterierat, quum induciae factae sunt, quia hiems finem habebat Attico mense Elaphebolione, induciae autem initium habebant sex diebus ante finem Elaphebolionis. Numerantur igitur decem plenae aestates et totidem hiemes, quarum de ultima hieme sex dies nondum effluxerant. Id quod scriptor significat verbis *ἡμερῶν ὀλίγων παρενεγκουσῶν*, i. e. mit dem Unterschied von einigen Tagen weniger. Si secundum menses computationem instituas, invenies, apparatum incursionis primae in Atticam et initium belli locum habuisse paulo posteriori anni tempore, quam quo bellum finitum est: incepit a. 431. statim post diem 7. Mai. (sive statim post finem Munychionis, primi aestatis mensis Ol. 87, 1.). Vid. Thuc. 2, 10. coll. 2, 2. At finitum est pace Niciae a. 421. die 11. Apr. (sive Ol. 89, 3. Elaphebolionis die 24.). Interest spatium non sex dierum, sed totius mensis Munychionis et sex posteriorum dierum, Elaphebolionis, postremi hiemis mensis. Ipsa prima invasio in Atticam (de qua tamen hic non cogitandum est, quia auctor iunctim dicit *ἡ ἐσβολὴ ἡ ἐς τὴν Ἀττικὴν καὶ ἡ ἀρχὴ τοῦ πολέμου τοῦδε*), aliquanto serius facta est, de cuius tempore vid. adn. ad 2, 19. „Ex voce *παρενεγκουσῶν*, ait Dodw., colligimus, *addendos intelligi dies, non demendos.* Sic enim certe alibi vocem *παρενεγκεῖν* auctor usurpat: *εὑρήσει τις τοσαῦτα ἔτη λογιζόμενος κατὰ τοὺς χρόνους καὶ ἡμέρας οὐ πολλὰς παρενεγκούσας* 5, 26. Hesych. *παρενεγκεῖν, παραθεῖναι, παραβαλεῖν.*" Dodwellum sequitur Mans. Spart. 2. p. 153. Hesychii locus nihil probat, neque est, qui dubitet, *παρενεγκεῖν* transitivum habere posse sensum *addendi.* Atqui hic *παρενεγκεῖν* intransitivum est. Buttm. Exc. 3. ad Demosth. Orat. Mid. p. 127. *ἡμέρας παρενεγκούσας* explicat *dies, qui praeterierunt, effluxerunt.* Equidem puto esse *dies vel addendos vel demendos*, sive Tage drunter oder drüber, ut explicat Schneid. s. v. *παραφέρω.* Quum autem in hoc verbo comparatio insit, intelligitur, cur scriptor particulam *ἤ* addere potuerit, sic scribens: *παρενεγκουσῶν ἢ ὡς.* Totum igitur locum ita interpretor: *haec foedera pacta sunt exeunte hieme, statim incunte vere, statim a Dionysiis urbanis, ipsis decem annis praeteritis, si paucos dies addas, qui spatium expleant ad tempus illud usque, quo prima incursio in Atticam a Peloponnesiis facta est et initium hoc bellum habuit* sive mit dem Unterschied einiger Tage weniger von der Zeit, da der erste Einfall der Peloponnesier in Attica geschah und der Krieg begann. Contra altero loco 5, 26., quo scriptor docet, bellum Peloponnesiacum per viginti septem annos gestum esse, verba *ἡμέρας οὐ πολλὰς παρενεγκούσας* significant *dies non multos exsuperantes*, sive mit dem Unterschied einiger Tage mehr. Mox in verbis *ἡ ἐσβολὴ ἡ* alterum *ἡ* ex Cass. Aug.

των καὶ ἡμερῶν ὀλίγων παρενεγκουσῶν ἢ ὡς τὸ πρῶτον ἡ ἐσβολὴ ἡ ἐς τὴν Ἀττικὴν καὶ ἡ ἀρχὴ τοῦ πολέμου τοῦδε ἐγένετο. σκοπείτω δέ τις κατὰ τοὺς χρόνους, καὶ μὴ τῶν ἑκασταχοῦ ἢ ἀρχόντων ἢ ἀπὸ τιμῆς τινος σημαινόντων τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων ἐς τὰ προγεγενημένα πιστεύσας μᾶλλον. οὐ γὰρ ἀκριβές ἐστιν, οἷς καὶ ἀρχομένοις καὶ μεσοῦσι, καὶ ὅπως ἔτυχέ τῳ, ἐπεγένετό τι. κατὰ θέρη δὲ καὶ χειμῶνας ἀριθμῶν ὥσπερ γέγραπται εὑρήσει, ἐξ ἡμισείας ἑκατέρου τοῦ ἐνιαυτοῦ τὴν δύναμιν ἔχοντος, δέκα μὲν θέρη, ἴσους δὲ χειμῶνας τῷ πρώτῳ πολέμῳ τῷδε γεγενημένους.

21 Λακεδαιμόνιοι δέ, ἔλαχον γὰρ πρότεροι ἀποδιδόναι ἃ εἶχον, τούς τε ἄνδρας εὐθὺς τοὺς παρὰ σφίσιν αἰχμαλώτους ἀφίε-

It. Vat. H. [Ven.] cum Wassio in Praef. et Schaefero Melett. Cr. p. 8. Bekk. addidit. Non additum vult Krueg. ad Dionys. p. 153. Articulus et abest recte, et additur post ἐσβολή, sed diversa interpretatione. Prius si fit, haec erit interpretatio: *quo primum invasio in Atticam facta est*; alterum si praefertur, haec: *quo primum invasio in Atticam facta contigit.*

ἢ ἀρχόντων — σημαινόντων] Vulgo h. l. ita exhibetur, ut σημαινόντων post ἐς τὰ προγεγενημένα legatur, quo errore undeunde nato his verbis incredibilis obscuritas circumdata est. Non potest autem aliter fieri, quam ut σημαινόντων post verba ἀπὸ τιμῆς τινος ponatur, et facile sic istud participium explicatur suppletis sive τὰ ἔτη sive τοὺς χρόνους. Ὀνομάτων autem genitivus est, unde reliqui genitivi pendent, neque aliter hunc locum Scholiastae cognitum fuisse, apparet ex eius adnotatione: κατὰ θέρη καὶ χειμῶνας τὰ δέκα ἔτη σκοπείτω τις, καὶ μὴ ἐξαριθμείσθω μήτε τοὺς ἄρχοντας μήτε τοὺς ἀπὸ ἄλλης τινὸς τιμῆς ἐπωνύμους τοῖς ἔτεσι γεγενημένους· οὐ γὰρ ἀκριβῶς ἐντεῦθεν οἱ χρόνοι τῶν πράξεων λαμβάνονται, ἐπειδὴ καὶ κατὰ τοὺς πρώτους χρόνους τῶν ἀρχόντων καὶ κατὰ τοὺς μέσους καὶ κατὰ τοὺς τελευταίους πολλὰ ἐπράχθη. Fortasse hoc ipsum ansam dedit verbo σημαινόντων non suo loco ponendo, quod casus eius (τοὺς χρόνους sive τὰ ἔτη) omissus est. Arn. verba sic transposita vult: κατὰ τοὺς χρόνους καὶ μὴ (κατὰ) τῶν ἑκασταχοῦ ἢ ἀρχόντων ἢ ἀπὸ τιμῆς τινὸς ἐς τὰ προγεγενημένα σημαινόντων τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων πιστεύσας μᾶλλον, ut ἐς τὰ προγεγενημένα σημαινόντων sit *inserviens tamquam nota eventuum praeteritorum*, sive, ut Schol. explicat, ἐπωνύμους τοῖς ἔτεσι γεγενημένους. „Verbis τῶν ἀπὸ τιμῆς τινὸς σημαινόντων, addit, Thuc. significat munera, qualia erant sacerdotis Iunonis Argivae et eiusmodi 2, 2.“ Equidem praepositionem ἐς iungo cum ἀπαρίθμησιν, ut sit *nominum in rerum eventus descriptionem* sive die Anweisung des jedesmal Geschehenen in die Zeit eines Amtes velut archontis, ephori etc. Accusativus ἀπαρίθμησιν mea quidem sententia non pendet ab πιστεύσας, sed a σκοπείτω. Ad πιστεύσας suppleo αὐτῇ sc. τῇ ἀπαριθμήσει, Statim verba καὶ ὅπως ἔτυχέ τῳ Arn. convertit who were in the beginning of their office, and in the middle of it, *and at any period of it that may be named*, when each particular transaction occurred. Descriptionem rerum per aestates et hiemes valde improbant Dionys. p. 826. Reisk. et Theo Progymn. c. 4. p. 43. Denique verba ἐξ ἡμισείας etc. converte: da jede von beiden Jahrszeiten (ἑκατέρου) zur Hälfte (ἐξ ἡμισείας) das Jahr ausmacht (τοῦ ἐνιαυτοῦ τὴν δύναμιν ἔχοντος).

σαν καὶ πέμψαντες ἐς τὰ ἐπὶ Θράκης πρέσβεις Ἰσχαγόραν καὶ Μηνᾶν καὶ Φιλοχαρίδαν ἐκέλευον τὸν Κλεαρίδαν τὴν Ἀμφίπολιν παραδιδόναι τοῖς Ἀθηναίοις, καὶ τοὺς ἄλλους τὰς σπονδὰς ὡς εἴρητο ἑκάστοις δέχεσθαι. οἱ δ' οὐκ ἤθελον, νομίζοντες οὐκ ἐπιτηδείας εἶναι· οὐδὲ ὁ Κλεαρίδας παρέδωκε τὴν πόλιν, χαριζόμενος τοῖς Χαλκιδεῦσι, λέγων ὡς οὐ δυνατὸς εἴη βίᾳ ἐκείνων παραδιδόναι. ἐλθὼν δὲ αὐτὸς κατὰ τάχος μετὰ πρέσβεων αὐτόθεν, ἀπολογησόμενός τε ἐς τὴν Λακεδαίμονα, ἢν κατηγορῶσιν οἱ περὶ τὸν Ἰσχαγόραν ὅτι οὐκ ἐπείθετο, καὶ ἅμα βουλόμενος εἰδέναι εἰ ἔτι μετακινητὴ εἴη ἡ ὁμολογία, ἐπειδὴ εὗρε κατειλημμένας, αὐτὸς μὲν πάλιν πεμπόντων τῶν Λακεδαιμονίων καὶ κελευόντων μάλιστα μὲν καὶ τὸ χωρίον παραδοῦναι, εἰ δὲ μή, ὁπόσοι Πελοποννησίων ἔνεισιν ἐξαγαγεῖν, κατὰ τάχος ἐπορεύετο. οἱ δὲ 22
ξύμμαχοι ἐν τῇ Λακεδαίμονι αὐτοὶ ἔτυχον ὄντες, καὶ αὐτῶν τοὺς μὴ

21. κατειλημμένας] Schol. ἰσχυράς i. e. beschworen. „Coniicias κατειλημμένους, *obstrictos* (τῇ ὁμολογίᾳ). Fortasse tamen non opus. Conf. Duk. ad 8, 63.“ Popp.

22. ἐν τῇ Λακεδαίμονι αὐτοί] Krueg. ad Dionys. p. 280. coniecit αὐτοῦ, noto vocis pleonasmo, ut in ἐς τὴν Μίλητον αὐτοῦ — ἐν τῷ ἱερῷ αὐτοῦ — ἐκ τοῦ Ἄργους αὐτόθεν etc. Sed placet magis explicatio Arnoldi: forte *sponte sua* Lacedaemone aderant, ut non opus esset eos vocari, quemadmodum Amphipolin missum est. Et confert 4, 128. καὶ αὐτοὶ ὁργιζόμενοι οἱ στρατιῶται, ubi v. adn. Mox „noli scribere δέξεσθαι cum Markl. ad Lys. p. 454. Vid. 1, 1. p. 138. et Lob. ad Phryn. p. 749.“ Popp. Idem ex compluribus libris recipit ξυμμαχίαν ἐποιοῦντο pro vulgata ἐποιήσαντο, negat enim sententiam esse *societatem fecerunt*, quod demum post adventum legatorum Atheniensium γενομένων λόγων factum esse finis capitis docet, verum *societatem facturi erant, moliebantur.* Deinde ἐπισπένδεσθαι non suo loco legitur, sed ponendum est post τούς τε Ἀργείους. Quod vulgo post ἐλθόντων legitur, tam absurdum est, ut cogitari nequeat, Thucydidem ita scribere potuisse, et facile concipitur, qui factum sit, ut suo loco amoveretur. Etenim ubi omitti poterat, et a scriptore omissum erat, Scholiastae suppleverunt, ibique locum obtinuit; ubi autem non omitti licebat, neque a scriptore omissum erat, ibi excidere passi sunt. Duplex causa profertur, cur Lacedaemonii cum Atheniensibus praeter pacem foedus societatis inirent; nam timuisse dicuntur, ne Argivi inducias non renovarent, quia noluerant nuper renovare, arbitrati (νομίσαντες) Lacedaemoniis cum Atheniensibus non iunctis sese pares futuros esse. Altera causa fuit, quod timebant, ne Peloponnesii, si liceret i. e. si Lacedaemonii cum Atheniensibus non iuncti essent, Atheniensium societati se adiungerent. Proinde αὐτούς non ad Argivos redit, sed ad Lacedaemonios, et verbo νομίσαντες non Lacedaemoniorum, sed Argivorum opinio significatur. Noluerant Argivi inducias instaurare, quia putabant, sine Atheniensium auxilio Lacedaemonios non esse timendos, utpote bello decenni attritos et per varias calamitates existimatione ac pristina fama deiectos. Schol. non aliter cepit, cuius haec verba sunt: οὐ βουλομένων, φησί, τῶν ἄλλων συμμάχων σπένδεσθαι πρὸς τοὺς Ἀθηναίους, οἱ Λακεδαιμόνιοι καθ' ἑαυτοὺς ἐσπείσαντο, νομίζοντες ἥκιστα ἂν οὕτω πρὸς Ἀθηναίους χωρήσειν τοὺς Ἀργείους προσθησομένους αὐτοῖς. πεποιημένοι γὰρ ἔμπροσθεν πρὸς Λακεδαιμονίους σπονδάς, τότε τῶν Ἀθηναίων εὖ φερομένων, οὐκ ἐβούλοντο πρὸς Λα-

δεξαμένους τὰς σπονδὰς ἐκέλευον οἱ Λακεδαιμόνιοι ποιεῖσθαι. οἱ δὲ τῇ αὐτῇ προφάσει ἥπερ καὶ τὸ πρῶτον ἀπεώσαντο οὐκ ἔφασαν δέξασθαι, ἢν μή τινας δικαιοτέρας τούτων ποιῶνται. ὡς δ' αὐτῶν οὐκ ἐχήκουον, ἐκείνους μὲν ἀπέπεμψαν, αὐτοὶ δὲ πρὸς τοὺς Ἀθηναίους ξυμμαχίαν ἐποιοῦντο, νομίζοντες ἥκιστα ἂν σφίσι τούς τε Ἀργείους ἐπισπένδεσθαι, ἐπειδὴ οὐκ ἤθελον Ἀμπελίδου καὶ Λίχου ἐλθόντων, νομίσαντες αὐτοὺς ἄνευ Ἀθηναίων οὐ δεινοὺς εἶναι, καὶ τὴν ἄλλην Πελοπόννησον μάλιστ' ἂν ἡσυχάζειν· πρὸς γὰρ ἂν τοὺς Ἀθηναίους, εἰ ἐξῆν, χωρεῖν. παρόντων οὖν πρέσβεων ἀπὸ τῶν Ἀθηναίων καὶ γενομένων λόγων, ξυνέβησαν, καὶ ἐγένοντο ὅρκοι καὶ ξυμμαχία ἥδε κατὰ τάδε.

23 Ξύμμαχοι ἔσονται Λακεδαιμόνιοι πεντήκοντα ἔτη. ἢν δέ τινες ἴωσιν ἐς τὴν γῆν πολέμιοι τὴν Λακεδαιμονίων καὶ κακῶς

κεδαιμονίους ἐπισπένδεσθαι, ἐλθόντων Ἀμπελίδου καὶ Λίχου. οὐκ ἐβούλοντο δὲ ἐπισπένδεσθαι οἱ Ἀργεῖοι, νομίζοντες χωρὶς Ἀθηναίων οὐ δεινοὺς εἶναι Λακεδαιμονίους. πρὸς τούτῳ δὲ καὶ τὴν ἄλλην Πελοπόννησον οἱ Λακεδαιμόνιοι ᾤοντο ἡσυχάζειν γενομένων τῶν σπονδῶν. εἰ γὰρ μὴ ἐγεγόνεσαν, ἀλλὰ ἐξῆν προσχωρεῖν τοῖς Ἀθηναίοις, τούς τε Ἀργείους καὶ τοὺς Ἀχαιοὺς πρὸς Ἀθηναίους ἂν ἀποστῆναι. Arn. locum ita accipit, ut verba *νομίσαντες — οὐ δεινοὺς εἶναι* repetitio sint verborum *νομίζοντες — Ἀργείους*, et repetitio illa facta sit propter interiectam parenthesin *ἐπειδὴ — ἐπισπένδεσθαι*, utque ea parenthesis referatur tantum ad nomen Argivorum, et causam contineat, cur ipsi nominatim seorsumque memorentur. Sensum hunc esse ait: *putantes, Argivos, quorum hostiles animi detrectata induciarum instauratione nuper se manifestaverant, non iam timendos fore, utpote privatos ope Atheniensium; et reliquas civitates Peloponnesi eadem de causa quietas fore, societate Atheniensium exclusas, quibus alias se adiuncturi fuissent.* Verum, quaeso, quae est necessitas repetitionis illius post tam brevem parenthesin? Et vel aoristus *νομίσαντες* demonstrat, nullam hic repetitionem esse. Cur enim tempore variato modo *νομίζοντες* modo *νομίσαντες* scriberet? At ex mea explicatione aoristum necessarium esse, nemo non videt. Denique ipso Arnoldo fatente particula *οὐ* ante *δεινούς* omittenda erat. Quod vero *νομίσαντες* ad Argivos, *αὐτούς* ad Spartanos refero, Arn. quaerit: quando Athenienses unquam cum Spartanis adversus Argos iuncti erant, quandove futurum erat, ut cum Spartanis adversus Argos iungerentur? Ad quod facile est respondere, non necesse esse, ut iuncti unquam fuerint adversus Argos, sed obligatos fuisse una contra Argivos ire, quamprimum societatis foedus inter utrosque initum erat. Addit Arn.: „Si Spartani non timendi erant Argivis, nisi adiuti ab Atheniensibus, nunquam timendi fuerant, neque unquam futurum erat, ut timendi essent.“ Arn. oblitus est, quod scriptor c. 28. dixit de imminuta Spartanorum gloria: alii erant Spartani integri, alii per decennium attriti. Antea toti Graeciae non vinci posse videbantur; iam, post calamitatem inprimis Sphacteriae, Argivi vel solos se rem cum Spartanis conficere posse confidebant. Ait Arn. memoratum esse c. 14., cur Argivi inducias cum Spartanis renovare detrectaverint: *ἄλλας οὐκ ἤθελον σπένδεσθαι οἱ Ἀργεῖοι, εἰ μή τις αὐτοῖς τὴν Κυνουρίαν γῆν ἀποδώσει.* Verum haec causa non efficax erat, nisi accedente conditione, ut Spartani Argivis non timendi essent; nam Cynuriam non postulassent, et inducias repetiissent, si timore Spartanorum certamen declinassent.

23. *ξύμμαχοι ἔσονται Λακεδαιμόνιοι*] Adde *καὶ Ἀθηναῖοι.*

ποιῶσι Λακεδαιμονίους, ὠφελεῖν Ἀθηναίους Λακεδαιμονίους τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἢν δὲ δηώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπὸ ἀμφοτέρων, καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλεε. ταῦτα δ' εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως. καὶ ἤν τινες ἐς τὴν τῶν Ἀθηναίων γῆν ἴωσι πολέμιοι καὶ κακῶς ποιῶσιν Ἀθηναίους, ὠφελεῖν Λακεδαιμονίους τρόπῳ ὅτῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἢν δὲ δηώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπ' ἀμφοτέρων, καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλεε. ταῦτα δ' εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως. ἢν δὲ ἡ δουλεία ἐπανιστῆται, ἐπικουρεῖν Ἀθηναίους Λακεδαιμονίοις παντὶ σθένει κατὰ τὸ δυνατόν. ὁμοῦνται δὲ ταῦτα οἵπερ καὶ τὰς ἄλλας σπονδὰς ὤμνυον ἑκατέρων. ἀνανεοῦσθαι δὲ κατ' ἐνιαυτὸν Λακεδαιμονίους μὲν ἰόντας ἐς Ἀθήνας πρὸς τὰ Διονύσια, Ἀθηναίους δὲ ἰόντας ἐς Λακεδαίμονα πρὸς τὰ Ὑακίνθια. στήλην δὲ ἑκατέρους στῆσαι, τὴν μὲν ἐν Λακεδαίμονι παρ' Ἀπόλλωνι ἐν Ἀμυκλαίῳ, τὴν δὲ ἐν Ἀθήναις ἐν πόλει παρ' Ἀθηνᾷ. εἶν δέ τι δοκῇ Λακεδαιμονίοις καὶ Ἀθηναίοις προσθεῖναι καὶ ἀφελεῖν περὶ τῆς ξυμμαχίας, ὅ,τι ἂν δοκῇ, εὔορκον ἀμφοτέροις εἶναι.

Τὸν δὲ ὅρκον ὧμνυον Λακεδαιμονίων μὲν οἵδε, Πλειστοά- 24
ναξ, Ἄγις, Πλειστόλας, Δαμάγητος, Χίονις, Μεταγένης, Ἀκανθος, Δαΐθος, Ἰσχαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἄντιππος, Ἀλκινάδας, Τέλλις, Ἐμπεδίας, Μηνᾶς, Λάφιλος· Ἀθηναίων δὲ Λάμπων, Ἰσθμιόνικος, Λάχης, Νικίας, Εὐθύδημος, Προκλῆς, Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς, Θεογένης, Ἀριστοκράτης, Ἰώλκιος, Τιμοκράτης, Λέων, Λάμαχος, Δημοσθένης.

Αὕτη ἡ ξυμμαχία ἐγένετο μετὰ τὰς σπονδὰς οὐ πολλῷ ὕστερον, καὶ τοὺς ἄνδρας τοὺς ἐκ τῆς νήσου ἀπέδοσαν οἱ Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις, καὶ τὸ θέρος ἦρχε τοῦ ἑνδεκάτου

Fr. Port. Mox Thom. M. et ex eo Phavorin. in *ὠφελῶ* habet *ὠφελεῖν Ἀθηναίους Λακεδαιμονίοις*, docentque *ὠφελεῖν* cum dativo apud solos poetas inveniri, sed Thucydidem quoque hic dativum ei addere. Dativum habent nulli libri scripti, nisi Dan. m. et a corr. Aug. *Λακεδαιμονίους* delet Schaef. ad Eurip. Orest. Porson. 793., tum ut duricies leniatur accusativorum invicem excipientium, tum ut congruat cum sequenti *ὠφελεῖν Λακεδαιμονίους τρόπῳ ὅτῳ ἂν δύνωνται.* De verbis *ἄμφω τὼ πόλεε* v. Matth. p. 570. 812. 1. Et *ἡ δουλεία* est *τὸ πλῆθος τῶν οἰκετῶν*, ut explicat Pollux 3, 75. Thom. M. p. 248. *δουλεία οὐ μόνον αὐτὸ τὸ δουλεύειν ἀλλὰ καὶ τὸ ἄθροισμα τῶν δούλων, ὡς Θουκυδίδης· „ἢν δὲ ἡ δουλεία ἐπανισταται.“* De Hyacinthiis v. adn. ad c. 54.

24. *μετὰ τὰς σπονδάς*] Schol. *τὰς κοινὰς δηλονότι, ὧν μετεῖχον καὶ οἱ σύμμαχοι.* v. cap. 18. Postrema verba ita accipio: *ταῦτα δὲ τὰ δέκα ἔτη ὃς ξυνεχῶς ἐγένετο, ὁ πρῶτος πόλεμος γέγραπται.*

ἔτους. ταῦτα δὲ τὰ δέκα ἔτη ὁ πρῶτος πόλεμος ξυνεχῶς γενόμενος γέγραπται.

25 Μετὰ δὲ τὰς σπονδὰς καὶ τὴν ξυμμαχίαν τῶν Λακεδαιμονίων καὶ τῶν Ἀθηναίων, αἳ ἐγένοντο μετὰ τὸν δεκαετῆ πόλεμον ἐπὶ Πλειστόλα μὲν ἐν Λακεδαίμονι ἐφόρου, Ἄλκαίου δ' ἄρχοντος Ἀθήνησι, τοῖς μὲν δεξαμένοις αὐτὰς εἰρήνη ἦν, οἱ δὲ Κορίνθιοι καὶ τῶν ἐν Πελοποννήσῳ πόλεών τινες διεκίνουν τὰ πεπραγμένα, καὶ εὐθὺς ἄλλη ταραχὴ καθίστατο τῶν ξυμμάχων πρὸς τὴν Λακεδαίμονα. καὶ ἅμα καὶ τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι προιόντος τοῦ χρόνου ὕποπτοι ἐγένοντο, ἔστιν ἐν οἷς οὐ ποιοῦντες ἐκ τῶν ξυγκειμένων ἃ εἴρητο. καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι, ἔξωθεν δὲ μετ' ἀνακωχῆς οὐ βεβαίου ἔβλαπτον ἀλλήλους τὰ μάλιστα· ἔπειτα μέντοι καὶ ἀναγκασθέντες λῦσαι τὰς μετὰ τὰ δέκα ἔτη σπονδὰς αὖθις ἐς πόλεμον φανερὸν κατέστησαν.

26 Γέγραφε δὲ καὶ ταῦτα ὁ αὐτὸς Θουκυδίδης Ἀθηναῖος ἑξῆς ὡς ἕκαστα ἐγένετο κατὰ θέρη καὶ χειμῶνας, μέχρι οὗ τήν τε ἀρχὴν κατέπαυσαν τῶν Ἀθηναίων Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, καὶ τὰ μακρὰ τείχη καὶ τὸν Πειραιᾶ κατέβαλον. ἔτη

25. *ἐπὶ Πλειστόλα*] v. Matth. p. 147.

ἐπὶ ἓξ ἔτη — καὶ δέκα μῆνας] Auctoris computatio annorum progreditur usque ad annum Ol. 91, 2. (414.) et m. Anthesterionem (inde a d. 1. Febr.), quo tempore Lacedaemonii ab Alcibiade exstimulati rursus ad bellum aperte cum Atheniensibus gerendum se accinxerunt. v. Thuc. 6, 93. Exeunt ipsi sex anni et menses decem. Nam inde a Munychione Ol. 89, 3. (inde a d. 17. Apr. 421.) usque ad Anthesterionem Ol. 91, 2. menses octoginta quatuor praeterierunt, si adnumeres duos menses, qui ex canone Metonis Ol. 90, 1. ($42\frac{2}{4}$.) et 4. ($41\frac{1}{4}$.) intercalares erant. At Thuc. in universum nominat sex annos: quare omissis mensibus duobus intercalaribus octoginta duos menses praeteriisse cogitemus, qui sunt scriptoris ipsi sex anni et menses decem. Itidemque inde ab Aprile anni Iuliani 421. usque ad Februarium 414. menses octoginta duos praeteriisse invenies. Sunt, qui putent, scriptoris computationem annorum procedere usque ad res a Thucydide memoratas 6, 105. Quod si recte fieret, non recti forent praesentis loci numeri sex annorum mensiumque decem, sive scriptorem calculum iniisse vitiosum, sive a librariis numeros depravatos esse cogites. At non puto, recte fieri, ut computatio ad res memoratas 6, 105. extendatur. De verbis *ἀπέσχοντο μή* v. Matth. p. 1047. 4.

26. *κατέβαλον*] F. et ex emend. Gr. Vulgo *κατέλαβον*. „Si unus alterve bonae notae cod. cum ea scriptura, quam corrector in Gr. inter versus scripsit, consentiret, eam non reiiciendam putarem. Plut. V. Lys. c. 14. *τὰ δὲ τέλη τῶν Λακεδαιμονίων ἔγγυ, καββαλόντες τὸν Πειραιᾶ καὶ τὰ μακρὰ σχέλη. Καθελεῖν* dixit Xen. H. Gr. 2, 2, 20. *ἐποιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας.* Diod. 13, 107. *περιελεῖν.*“ Duk. Mox ad *διήρηται* supple *ἡ ξύμβασις, considera, quid res et facta ex hoc pacto fecerint, quam naturam facta ei pacto impertierint* interpretatur Arn. coll. Herodot. 7, 47. 103. et Schneid. s. v. *διαιρέω*. Paulo post *οὐδ' ἀπεδέξαντο* Bekk. legi vult. „Hic igitur *τε* post *ἔξω* refert ad prius *οὔτε*. Ita vero *τε* in

δὲ ἐς τοῦτο τὰ ξύμπαντα ἐγένετο τῷ πολέμῳ ἑπτὰ καὶ εἴκοσι. καὶ τὴν διὰ μέσου ξύμβασιν εἴ τις μὴ ἀξιώσει πόλεμον νομίζειν, οὐκ ὀρθῶς δικαιώσει. τοῖς τε γὰρ ἔργοις ὡς διήρηται ἀθρείτω, καὶ εὑρήσει οὐκ εἰκὸς ὂν εἰρήνην αὐτὴν κριθῆναι, ἐν ᾗ οὔτε ἀπέδοσαν πάντα οὔτ' ἀπεδέξαντο ἃ ξυνέθεντο, ἔξω τε τούτων πρὸς τὸν Μαντινικὸν καὶ Ἐπιδαύριον πόλεμον καὶ ἐς ἄλλα ἀμφοτέροις ἁμαρτήματα ἐγένοντο, καὶ οἱ ἐπὶ Θράκης ξύμμαχοι οὐδὲν ἧσσον πολέμιοι ἦσαν, Βοιωτοί τε ἐκεχειρίαν δεχήμερον ἦγον. ὥστε ξὺν τῷ πρώτῳ πολέμῳ τῷ δεκαετεῖ καὶ τῇ μετ' αὐτὸν ὑπόπτῳ ἀνακωχῇ καὶ τῷ ὕστερον ἐξ αὐτῆς πολέμῳ εὑρήσει τις τοσαῦτα ἔτη, λογιζόμενος κατὰ τοὺς χρόνους, καὶ ἡμέρας οὐ πολλὰς παρενεγκούσας, καὶ τοῖς ἀπὸ χρησμῶν τι ἰσχυρισαμένοις μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν. ἀεὶ γὰρ ἔγωγε μέμνημαι, καὶ ἀρχομένου τοῦ πολέμου καὶ μέχρι οὗ ἐτελεύτησε, προφερόμενον ὑπὸ πολλῶν ὅτι τρὶς ἐννέα ἔτη δέοι γενέσθαι αὐτόν. ἐπεβίων δὲ διὰ παντὸς αὐτοῦ, αἰσθανόμενός τε τῇ ἡλικίᾳ, καὶ προσέχων τὴν γνώμην, ὅπως ἀκριβές τι εἴσο-

τοῖς τε γὰρ ἔργοις, ob quod punctum post *ξυνέθεντο* primus sustulit Haack., non habet quo spectet. Vide tamen ad 6, 17.“ Popp. *Τε* in *τοῖς τε γὰρ ἔργοις* mihi referri videtur ad *καὶ εὑρήσει*; in sequentibus recte cum Bekkero particulas ita inter se referas: *οὔτε ἀπέδοσαν — ἔξω τε τούτων — καὶ οἱ ἐπὶ Θράκης — Βοιωτοί τε*, quia haec omnia ad idem genus (*ἔργων* sc.) pertinent. De bello Mantinensium v. Thuc. 5, 33 sqq., de bello Epidauriorum ibidem c. 43 sqq. Plut. V. Alc. 15. Diod. 12, 77. De plurali *ἐγένοντο* iuncto cum *ἁμαρτήματα* adi Matth. §. 300. et Krueg. ad Dionys. p. 247. adn. ad 1, 126. 2, 8. Mox *ἐκεχειρία* induciae sunt, quae denis quibusque diebus renunciari possunt. Porro Grammatici commendant formam *δεκετεῖ*. v. Lobeck. ad Phryn. p. 407.

ἡμέρας οὐ πολλὰς παρενεγκούσας] Initium belli ducit rursus a Munychione Ol. 87, 1. (a d. 8 Apr. 431.) Athenae a Lysandro captae sunt, eodemque finis bello Pelop. impositus Munychionis die 16 Ol. 93, 4. (die 25 Apr. 404.) Vid. Plut. V. Lys. 15. Unde efficitur, bellum gestum esse per annos viginti septem et dies octodecim, siebenundzwanzig Jahre mit einem Ueberschuss von achtzehn Tagen. Verba *καὶ τοῖς ἀπὸ χρησμῶν — ἐξηγήσομαι* habet Dionys. p. 838. Reisk., ubi v. Krueg. p. 91.

αἰσθανόμενος — τῇ ἡλικίᾳ] i. e. *integris ad cognoscendum sensibus valens per aetatem.* Haack. Of an age to take notice. Arn., qui confert 1, 71. *πρὸς ἀνθρώπων τῶν αἰσθανομένων* i. e. with men, that is, with those who are capable of judging. Quo eodem loco libri primi Bau. interpretatur *αἰσθησιν ἐχόντων*, comparans verba 1, 33. *τοὺς Κορινθίους δυναμένους*, quod esse idem ait, ac *δύναμιν ἔχοντας*. Recentiores Graecos Did. narrat de sene mentis compote, non delirante, dicere *αἰσθάνεται ἀκόμη*. Mox pro *παῦ ἀμφοτέροις* „coniicias *παρ' ἀμφοτέρων*, si sanum *Πελοποννησίων*, nam libri nonnulli habent *Πελοποννησίοις*. Conf. tamen Krueg. ad Dionys. p. 46.“ Popp. Krueg. inter alia confert Thuc. 7, 63. *ἑτέρας εὐτυχούσης ὥρας*, pro *ἑτέρων*. 7, 17. *πρὸς τὴν σφετέραν ἀντίταξιν*, pro *σφῶν*. Et verba *τι αὐτῶν* „modestius sonant, quam si dixisset *quidvis ad eas res pertinens, quodcunque rescire cupiebam.* Vid. 5, 31. Matth. §. 487.“ Arn. Deinde prae-

μαι· καὶ ξυνέβη μοι φεύγειν τὴν ἐμαυτοῦ ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμφίπολιν στρατηγίαν, καὶ γενομένῳ παρ' ἀμφοτέροις τοῖς πράγμασι, καὶ οὐχ ἧσσον τοῖς Πελοποννησίων διὰ τὴν φυγήν, καθ' ἡσυχίαν τι αὐτῶν μᾶλλον αἰσθέσθαι. τὴν οὖν μετὰ τὰ δέκα ἔτη διαφοράν τε καὶ ξύγχυσιν τῶν σπονδῶν καὶ τὰ ἔπειτα ὡς ἐπολεμήθη ἐξηγήσομαι.

27 Ἐπειδὴ γὰρ αἱ πεντηκοντούτεις σπονδαὶ ἐγένοντο καὶ ὕστερον αἱ ξυμμαχίαι, καὶ αἱ ἀπὸ τῆς Πελοποννήσου πρεσβεῖαι, αἵπερ παρεκλήθησαν ἐς αὐτά, ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος. καὶ οἱ μὲν ἄλλοι ἐπ' οἴκου ἀπῆλθον, Κορίνθιοι δὲ ἐς Ἄργος τραπόμενοι πρῶτον λόγους ποιοῦνται πρός τινας τῶν ἐν τέλει ὄντων Ἀργείων ὡς χρὴ ἐπειδὴ Λακεδαιμόνιοι οὐκ ἐπ' ἀγαθῷ ἀλλ' ἐπὶ καταδουλώσει τῆς Πελοποννήσου σπονδὰς καὶ ξυμμαχίαν πρὸς Ἀθηναίους τοὺς πρὶν ἐχθίστους πεποίηνται, ὁρᾶν τοὺς Ἀργείους ὅπως σωθήσεται ἡ Πελοπόννησος, καὶ ψηφίσασθαι τὴν βουλομένην πόλιν τῶν Ἑλλήνων, ἥτις αὐτόνομός τέ ἐστι καὶ δίκας ἴσας καὶ ὁμοίας δίδωσι, πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν· ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας, καὶ μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι, τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος. ἔφασαν δὲ πολλοὺς προσχωρήσεσθαι μίσει τῶν Λακεδαιμονίων. καὶ οἱ μὲν Κορίνθιοι διδάξαντες ταῦτα
28 ἀνεχώρησαν ἐπ' οἶκον. οἱ δὲ τῶν Ἀργείων ἄνδρες ἀκούσαντες, ἐπειδὴ ἀνήνεγκαν τοὺς λόγους ἔς τε τὰς ἀρχὰς καὶ τὸν δῆμον, ἐψηφίσαντο Ἀργεῖοι, καὶ ἄνδρας εἵλοντο δώδεκα πρὸς οὓς τὸν

sentis infinitivum *αἰσθάνεσθαι* Popp. desiderat. Bekk. ex libris nonnullis edidit *αἴσθεσθαι*, sicut 2, 93. 7, 75. Vid. Buttm. Gr. max. 2, 1. p. 68. Denique de verbis *τὰ ἔπειτα ὡς ἐπολεμήθη* adi Matth. §. 296. et Krueg. ad Dionys. p. 91.

27. *πεντηκοντούτεις*] Schol. *αἱ κοιναί*. Et mox ad *αἱ ξυμμαχίαι* idem: *ἦγουν αἱ ἰδικαὶ, αἱ πρὸς Ἀθηναίους ἐκ Λακεδαίμονος καὶ ἀνάπαλιν*. Et verbis *καὶ αἱ ἀπό* apodosis incipit, „Peloponnesii legati memorantur cum respectu Atheniensium, qui et ipsi domum revertisse putandi sunt.“ Haack. Illud *καί* fortasse respondet voci Latinae *atque* in apodosi i. e. *continuo*. Deinde pro *παρεκλήθησαν ἐς αὐτά* „debebat scribere *αὐτάς*, sed neutrum est, ac si sit *ταῦτα πάντα*.“ Bau. Paulo post Krueg. ad Dionys. p. 150. comma ponit post *τραπόμενοι*, tollit post *πρῶτον*. Hoc, opinor, dicit scriptor, Corinthios non protinus domum abiisse, sed prius Argos profectos Argivis persuadere studuisse, ut civitates Graecas minores in foedus reciperent. Nisi cum Poppone ita velis accipere, ut *πρῶτόν τινες τῶν ἐν τέλει* contrarie ponantur *ταῖς ἀρχαῖς καὶ τῷ δήμῳ* c. 28. init.

καὶ δίκας — δίδωσι] Id quod neque a civitatibus *οὐκ αὐτοδίκοις*, neque ab Atheniensibus et Lacedaemoniis exspectari poterat, aequabilem, inquam, iuris distributionem servatum iri. Mox *τὸ πλῆθος* intellige *τῶν Ἀργείων*.

28. *εἵλοντο δώδεκα*] v. Od. Muell. Dor. 2. p. 143. Et ad *ἐκκαρπωσάμενοι* cum Bloomfieldio et Arnoldo supple *ἀμφοτέρους*. Arn. confert Demosth. Timocr. p. 700. Reisk. *τῶν ὑμᾶς ἐκκεκαρπωμένων* i. e. *qui vestra vineta ceciderunt*, who have made their harvest out of

βουλόμενον τῶν Ἑλλήνων ξυμμαχίαν ποιεῖσθαι πλὴν Ἀθηναίων καὶ Λακεδαιμονίων· τούτων δὲ μηδετέροις ἐξεῖναι ἄνευ τοῦ δήμου τῶν Ἀργείων σπείσασθαι. ἐδέξαντό τε ταῦτα οἱ Ἀργεῖοι μᾶλλον, ὁρῶντες τόν τε τῶν Λακεδαιμονίων σφίσι πόλεμον ἐσόμενον, ἐπ' ἐξόδῳ γὰρ πρὸς αὐτοὺς αἱ σπονδαὶ ἦσαν, καὶ ἅμα ἐλπίσαντες τῆς Πελοποννήσου ἡγήσεσθαι. κατὰ γὰρ τὸν χρόνον τοῦτον ἥ τε Λακεδαίμων μάλιστα δὴ κακῶς ἤκουσε καὶ ὑπερώφθη διὰ τὰς ξυμφοράς, οἵ τε Ἀργεῖοι ἄριστα ἔσχον τοῖς πᾶσιν, οὐ ξυναράμενοι τοῦ Ἀττικοῦ πολέμου, ἀμφοτέροις δὲ μᾶλλον ἔνσπονδοι ὄντες ἐκκαρπωσάμενοι. οἱ μὲν οὖν Ἀργεῖοι οὕτως ἐς τὴν ξυμμαχίαν προσεδέχοντο τοὺς ἐθέλοντας τῶν Ἑλλήνων. Μαντινῆς δ' αὐτοῖς καὶ οἱ ξύμμαχοι αὐτῶν πρῶτοι 29
προσεχώρησαν, δεδιότες τοὺς Λακεδαιμονίους. τοῖς γὰρ Μαντινεῦσι μέρος τι τῆς Ἀρκαδίας κατέστραπτο ὑπήκοον ἔτι τοῦ πρὸς Ἀθηναίους πολέμου ὄντος, καὶ ἐνόμιζον οὐ περιόψεσθαι σφᾶς τοὺς Λακεδαιμονίους ἄρχειν, ἐπειδὴ καὶ σχολὴν ἦγον· ὥστε ἅσμενοι πρὸς τοὺς Ἀργείους ἐτράποντο, πόλιν τε μεγάλην νομίζοντες καὶ Λακεδαιμονίοις ἀεὶ διάφορον, δημοκρατουμένην τε ὥσπερ καὶ αὐτοί. ἀποστάντων δὲ τῶν Μαντινέων καὶ ἡ ἄλλη Πελοπόννησος ἐς θροῦν καθίστατο ὡς καὶ σφίσι ποιητέον τοῦτο, νομίσαντες πλέον τέ τι εἰδότας μεταστῆναι αὐτούς, καὶ τοὺς Λακεδαιμονίους ἅμα δι' ὀργῆς ἔχοντες, ἐν ἄλλοις τε καὶ ὅτι ἐν ταῖς σπονδαῖς ταῖς Ἀττικαῖς ἐγέγραπτο εὔορκον εἶναι προσθεῖναι καὶ ἀφελεῖν ὅ,τι ἂν ἀμφοῖν τοῖν πολέοιν δοκῇ, Λακεδαιμονίοις καὶ Ἀθηναίοις. τοῦτο γὰρ τὸ γράμμα μάλιστα τὴν Πελοπόννησον διεθορύβει καὶ ἐς ὑποψίαν καθίστη μὴ μετὰ Ἀθηναίων σφᾶς βούλωνται Λακεδαιμόνιοι δουλώσασθαι· δίκαιον γὰρ εἶναι πᾶσι τοῖς ξυμμάχοις γεγράφθαι τὴν μετάθεσιν. ὥστε φοβούμενοι οἱ πολλοὶ ὥρμηντο πρὸς τοὺς Ἀργείους καὶ αὐτοὶ ἕκαστοι ξυμμαχίαν ποιεῖσθαι. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸν θροῦν 30
τὸν ἐν τῇ Πελοποννήσῳ καθεστῶτα, καὶ τοὺς Κορινθίους διδασκάλους τε γενομένους καὶ αὐτοὺς μέλλοντας σπείσασθαι πρὸς τὸ Ἄργος, πέμπουσι πρέσβεις ἐς τὴν Κόρινθον, βουλόμενοι προκαταλαβεῖν τὸ μέλλον, καὶ ἠτιῶντο τήν τε ἐσήγησιν τοῦ παντὸς καὶ εἰ Ἀργείοις σφῶν ἀποστάντες ξύμμαχοι ἔσονται, παραβήσεσθαί τε ἔφασαν αὐτοὺς τοὺς ὅρκους, καὶ ἤδη ἀδικεῖν

you, die aus eurer Haut Riemen geschnitten haben. Ita hic est, *qui pacem egerant cum utrisque, ex utrisque lucrum fecerant.*

29. *δημοκρατουμένην, ὥσπερ καὶ αὐτοί*] Res Argivorum lege perscriptas ab Od. Muellero Dor. 2. p. 142 sqq. et de h. l. p. 143. Paulo post „particulam *τε* in verbis *πλέον τέ τι εἰδότας* recte Bekk. restituit. Traiecta est, nam vero ordine scribere debebat *νομίσαντές τε — καὶ ἔχοντες*.“ Arn. De locutione *δι' ὀργῆς ἔχοντες* v. Matth. p. 1149. e. Et verba *πᾶσι τοῖς ξυμμάχοις γεγράφθαι* converto: sie sagten, gerechterweise müsste für alle Bundesgenossen die Bestimmung aufgenommen seyn, dass sie beliebige Modificationen im Vertrage machen dürften.

ὅτι οὐ δέχονται τὰς Ἀθηναίων σπονδάς, εἰρημένον κύριον εἶναι ὅ,τι ἂν τὸ πλῆθος τῶν ξυμμάχων ψηφίσηται, ἢν μή τι θεῶν ἢ ἡρώων κώλυμα ᾖ. Κορίνθιοι δὲ παρόντων σφίσι τῶν ξυμμάχων, ὅσοι οὐδ' αὐτοὶ ἐδέξαντο τὰς σπονδάς, παρεκάλεσαν δὲ αὐτοὺς αὐτοὶ πρότερον, ἀντέλεγον τοῖς Λακεδαιμονίοις, ἃ μὲν ἠδικοῦντο, οὐ δηλοῦντες ἄντικρυς, ὅτι οὔτε Σόλλιον σφίσιν ἀπέλαβον παρ' Ἀθηναίων οὔτε Ἀνακτόριον, εἴ τέ τι ἄλλο ἐνόμιζον ἐλασσοῦσθαι, πρόσχημα δὲ ποιούμενοι τοὺς ἐπὶ Θρᾴκης μὴ προδώσειν· ὁμόσαι γὰρ αὐτοῖς ὅρκους ἰδίᾳ τε, ὅτε μετὰ Ποτιδαιατῶν τὸ πρῶτον ἀφίσταντο, καὶ ἄλλους ὕστερον. οὔκουν παραβαίνειν τοὺς τῶν ξυμμάχων ὅρκους ἔφασαν, οὐκ ἐξιόντες ἐς τὰς τῶν Ἀθηναίων σπονδάς. Θεῶν γὰρ πίστεις ὁμόσαντες ἐκείνοις οὐκ ἂν εὐορκεῖν προδιδόντες αὐτούς. εἰρῆσθαι δ' ὅτι ἢν μὴ θεῶν ἢ ἡρώων κώλυμα ᾖ· φαίνεσθαι οὖν σφίσι κώλυμα θεῖον τοῦτο. καὶ περὶ μὲν τῶν παλαιῶν ὅρκων τοσαῦτα εἶπον, περὶ δὲ τῆς Ἀργείων ξυμμαχίας μετὰ τῶν φίλων βουλευσάμενοι ποιήσειν ὅ,τι ἂν δίκαιον ᾖ. καὶ οἱ μὲν Λακεδαιμονίων πρέσβεις ἀνεχώρησαν ἐπ' οἴκου. ἔτυχον δὲ παρόντες ἐν Κορίνθῳ καὶ Ἀργείων πρέσβεις, οἳ ἐκέλευον τοὺς Κορινθίους ἰέναι ἐς τὴν ξυμμαχίαν καὶ μὴ μέλλειν· οἱ δὲ ἐς τὸν ὕστερον
31 ξύλλογον αὐτοῖς τὸν παρὰ σφίσι προεῖπον ἥκειν. ἦλθε δὲ καὶ Ἠλείων πρεσβεία εὐθύς, καὶ ἐποιήσαντο πρὸς Κορινθίους ξυμμαχίαν πρῶτον, ἔπειτα ἐκεῖθεν ἐς Ἄργος ἐλθόντες, καθάπερ προείρητο, Ἀργείων ξύμμαχοι ἐγένοντο. διαφερόμενοι γὰρ ἐτύγχανον τοῖς Λακεδαιμονίοις περὶ Λεπρέου. πολέμου γὰρ γενομένου ποτὲ πρὸς Ἀρκάδων τινὰς Λεπρεάταις, καὶ Ἠλείων πα-

30. *εἰρημένον*] v. Matth. §. 564. extr. Propter verba *κύριον εἶναι* adi Od. Muell. Dor. 1. p. 182 sq. De Sollio v. Thuc. 2, 30. de Anactorio 4, 49. Et *τὸν παρὰ σφίσι* intellige *παρὰ τοῖς Κορινθίοις*, ad *ἥκειν* supple *τοὺς Ἀργείους*.

31. *πολέμου γὰρ γενομένου*] v. Od. Muell. Orchom. p. 374. Dor. 1. p. 140. 183. Mox *τάλαντα* habent B. Vind. K. Chr. Dan. corr. Laur. Ald. Flor. Bas. marg. 1. Steph. *τάλαντιαν* marg. 2. *τάλαντα ν'* Cam. Thom. M. in *ἀποφέρεσθαι* vulgatam servat. „Talentum unum nimis parva pecunia est pro agro Leprei dimidio, quem Strab. 8. p. 530. C. scribit fertilem fuisse. [At scriptura incerta est, alii enim legunt: *χώραν δ' εἶχον εὐδαίμονα Τεγεάται* et sic expressum est in ed. Almel.] Praeterea Scylax. p. 16. dicit oram maritimam eius agri centum stadiorum fuisse, quamquam pro *σιάδια ρ'* coniicio *στάδια ν'* i. e. quinquaginta, inde a Neda ad rivum, ad cuius ostium Samicum iacebat. [Huic coniecturae repugnat Strab. p. 530. B.] Probabile est, illud talentum eo consilio erogatum esse, ut dimidium agrum Eleatarum esse agnosceretur. Sic quaterna talenta Athenienses Cytheriis tributi loco imposuerunt. Id quodammodo significare videtur verbum *ἀποφέρειν*, de quo cum respectu huius loci Thom. M. scribit: *ἀποφέρειν καὶ ἀποφορὰ, τὰ παρὰ τῶν ἡττόνων τοῖς μείζοσι παρεχόμενα χρηστά. Θουκ. ἐν τῇ πέμπτῃ· „τάλαντον ἔταξαν τῷ Διὶ τῷ Ὀλυμπίῳ ἀποφέρειν.“* Bloomf. Apparet talentorum numerum deesse, quamvis ingens ille (*ν'*) videatur, et fieri possit, ut corruptus sit. Cam. Cum loco Thomae M. conf. Ammon. De Diff. Vocab. p. 22., unde apud illum *χρηστά* mutandum in *χρήματα*, et Harpocr. in *ἀποφορά*, ubi v. Vales. ad notas Maussaci p. 241 sq. Gron. Propter duplicem articulum in verbis *τῷ Διὶ τῷ* Wass. confert c. 53. *τοῦ Ἀπόλλωνος τοῦ* et 1, 13. 2, 15. 3, 104. Popp. addit 1, 103. 3, 96. et Krueg. de Authent. Anab. p. 61., addens legi tamen *Δία τὸν Ὀλύμπιον* 3, 14.

τὸ αὐτὸ λέγοντες] Schol. *τὴν αὐτὴν γνώμην ἔχοντες*. „Forma enim eorum civitatis aristocratica, commune in Atheniense odium, vicinia agrorum eodem eos traxerunt. Sic c. 38. de duobus iisdem populis Thuc. *τὸ γὰρ αὐτὸ ἐποίουν* ait.“ Arn. Mox *περιορώμενοι* idem esse videtur, quod *θεραπευόμενοι*, quippe Lacedaemonii nihil omiserunt, ut amicitiam eorum ne amitterent, eosque coluerunt. Simili sensu verbum habes 4, 124. *Βρασίδας δὲ τῆς Μένδης περιορώμενος μή τι πάθῃ*. At *περιορᾶσθαί τι* idem est, quod *περιοπτεσθαί τι*, *negligere, praetervidere, detrectare*, velut 2, 43. Hoc sensu frequentior est activa forma *περιορᾶν*. Vid. Thom. M. s. h. v. Tertia significatio verbi est *circumspicere, exspectare*, velut 6, 93. 103. 7, 33. Popponis sententia est, horum verborum non alium sensum esse, quam si scriptor dixisset *περιορώμενοι μέν — νομίζοντες δέ* etc., putans significari *neglectos*. Quis vero credat, Thucydidem tam supinum fuisse, ut tam negligenter loqueretur? Et contemtus, neglectioque longe alienissima erant ab iis sensibus, quos Lacedaemonii per totum hoc bellum erga Boeotos alebant, ut ait Arn. provocans ad 3, 68.

32. *παῖδας — καὶ γυναῖκας*] De omisso articulo v. Krueg. ad Dionys. p. 99. Mox dicit *Ἠλειαιεῦσιν*, nempe iis, qui eruptione facta

ρακληθέντων ὑπὸ Λεπρεατῶν ἐς ξυμμαχίαν ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς καὶ λυσάντων τὸν πόλεμον, Ἠλεῖοι τὴν γῆν νεμομένοις αὐτοῖς τοῖς Λεπρεάταις τάλαντον ἔταξαν τῷ Διὶ τῷ Ὀλυμπίῳ ἀποφέρειν. καὶ μέχρι τοῦ Ἀττικοῦ πολέμου ἀπέφερον, ἔπειτα παυσαμένων διὰ πρόφασιν τοῦ πολέμου οἱ Ἠλεῖοι ἐπηνάγκαζον, οἱ δ' ἐτράποντο πρὸς τοὺς Λακεδαιμονίους. καὶ δίκης Λακεδαιμονίοις ἐπιτραπείσης, ὑποτοπήσαντες οἱ Ἠλεῖοι μὴ ἴσον ἕξειν, ἀνέντες τὴν ἐπιτροπὴν Λεπρεατῶν τὴν γῆν ἔτεμον. οἱ δὲ Λακεδαιμόνιοι οὐδὲν ἧσσον ἐδίκασαν αὐτονόμους εἶναι Λεπρεάτας καὶ ἀδικεῖν Ἠλείους· καὶ ὡς οὐκ ἐμμεινάντων τῇ ἐπιτροπῇ φρουρὰν ὁπλιτῶν ἐξέπεμψαν ἐς Λέπρεον. οἱ δὲ Ἠλεῖοι νομίζοντες πόλιν σφῶν ἀφεστηκυῖαν δέξασθαι τοὺς Λακεδαιμονίους καὶ τὴν ξυνθήκην προφέροντες ἐν ᾗ εἴρητο, ἃ ἔχοντες ἐς τὸν Ἀττικὸν πόλεμον καθίσταντό τινες, ταῦτα ἔχοντας καὶ ἐξελθεῖν, ὡς οὐκ ἴσον ἔχοντες ἀφίστανται πρὸς τοὺς Ἀργείους, καὶ τὴν ξυμμαχίαν, ὥσπερ προείρητο, καὶ οὗτοι ἐποιήσαντο. ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι εὐθὺς μετ' ἐκείνους, καὶ οἱ ἐπὶ Θρᾴκης Χαλκιδῆς ζ' Ἀργείων ξύμμαχοι. Βοιωτοὶ δὲ καὶ Μεγαρῆς τὸ αὐτὸ λέγοντες ἡσύχαζον, περιορῶμενοι ὑπὸ τῶν Λακεδαιμονίων καὶ νομίζοντες σφίσι τὴν Ἀργείων δημοκρατίαν αὐτοῖς ὀλιγαρχουμένοις ἧσσον ξύμφορον εἶναι τῆς Λακεδαιμονίων πολιτείας.

Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου Σκιω- 32
ναίους μὲν Ἀθηναῖοι ἐκπολιορκήσαντες ἀπέκτειναν τοὺς ἡβῶντας, παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν, καὶ τὴν γῆν Πλα-

ταιεῦσιν ἔδοσαν νέμεσθαι· Δηλίους δὴ κατήγαγον πάλιν ἐς Δῆλον, ἐνθυμούμενοι τάς τε ἐν ταῖς μάχαις ξυμφορὰς καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος. καὶ Φωκῆς καὶ Λοκροὶ ἤρξαντο πολεμεῖν. καὶ Κορίνθιοι καὶ Ἀργεῖοι ἤδη ξύμμαχοι ὄντες ἔρχονται ἐς Τεγέαν, ἀποστήσοντες Λακεδαιμονίων, ὁρῶντες μέγα μέρος ὄν, καὶ εἰ σφίσι προσγένοιτο, νομίζοντες ἅπασαν ἂν ἔχειν Πελοπόννησον. ὡς δὲ οὐδὲν ἂν ἔφασαν ἐναντιωθῆναι οἱ Τεγεᾶται Λακεδαιμονίοις, οἱ Κορίνθιοι μέχρι τούτου προθύμως πράσσοντες ἀνεῖσαν τῆς φιλονεικίας, καὶ ὠῤῥώδησαν μὴ οὐδεὶς σφίσιν ἔτι τῶν ἄλλων προσχωρῇ. ὅμως δὲ ἐλθόντες ἐς τοὺς Βοιωτοὺς ἐδέοντο σφῶν τε καὶ Ἀργείων γίγνεσθαι ξυμμάχους καὶ τἆλλα κοινῇ πράσσειν· τάς τε δεχημέρους ἐπισπονδάς, αἳ ἦσαν Ἀθηναίοις καὶ Βοιωτοῖς πρὸς ἀλλήλους οὐ πολλῷ ὕστερον γενόμεναι τούτων τῶν πεντηκονταετίδων σπονδῶν, ἐκέλευον οἱ Κορίνθιοι τοὺς Βοιωτοὺς ἀκολουθήσαντας Ἀθήναζε καὶ σφίσι ποιῆσαι, ὥσπερ Βοιωτοὶ εἶχον, μὴ δεχομένων δὲ Ἀθηναίων ἀπειπεῖν τὴν ἐκεχειρίαν καὶ τὸ λοιπὸν μὴ σπένδεσθαι ἄνευ αὐτῶν. Βοιωτοὶ δὲ δεομένων τῶν Κορινθίων περὶ μὲν τῆς Ἀργείων ξυμμαχίας ἐπισχεῖν αὐτοὺς ἐκέλευον, ἐλθόντες δὲ Ἀθήναζε μετὰ Κορινθίων οὐχ εὕροντο τὰς δεχημέρους σπονδάς, ἀλλ' ἀπεκρίναντο οἱ Ἀθηναῖοι Κορινθίοις εἶναι σπονδάς, εἴπερ Λακεδαιμονίων εἰσὶ ξύμμαχοι. Βοιωτοὶ μὲν οὖν οὐδὲν μᾶλλον ἀπεῖπον τὰς δεχημέρους, ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων ξυνθέσθαι σφίσι· Κορινθίοις δὲ ἀνακωχὴ ἄσπονδος ἦν πρὸς Ἀθηναίους.

33 Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ θέρους πανδημεὶ ἐστράτευσαν, Πλειστοάνακτος τοῦ Πανσανίου Λακεδαιμονίων βασιλέως ἡγουμένου, τῆς Ἀρκαδίας ἐς Παῤῥασίους, Μαντινέων ὑπηκόους ὄντας, κατὰ στάσιν ἐπικαλεσαμένων σφᾶς, ἅμα δὲ καὶ τὸ ἐν

Ol. 88, 1. (428.) Athenas evaserant. v. Thuc. 3, 20. Iidem ab Atheniensibus civitate donati sunt. v. adn. ad 3, 55. Deinde Pollux 2, 231. citat *ἐνθυμιζόμενοι τὰς ἐν τῇ μάχῃ συμφοράς*, ubi v. Iungerm. et Valck. ad Herodot. 2, 175. De regimine verbi v. Matth. p. 658. §. 349. Porro in verbis *τούτων τῶν* articulum om. Dan. At pronomen deletum volunt Popp. et Dobrae., quum eae induciae, quae c. 23. memorantur, intelligendae sint. De forma vocis *πεντηκονταετίδων* v. Lobeck. ad Phryn. p. 407.

αἰτιωμένων] Port.: *quamvis Corinthii hoc flagitarent, et cum expostulatione dicerent ita inter se convenisse.* Bau.: *et obiicerent Boeotis, quod ita pacti essent, nec tamen efficerent.*

33. *ἐπικαλεσαμένων*] sc. *τῶν Παῤῥασίων*. Verba *ἐπὶ τῇ Σκιρίτιδι* recte exponit Schol. *ἐπιτετειχισμένου ὥστε βλάπτειν τὴν Σκιρῖτιν.* De situ Sciritidis v. Leak. Morea Vol. 3. p. 28. Od. Muell. Dor. 2. p. 450., de Parrhasiis ibidem p. 448 sq. Cypsela non aliud oppidum fuisse videntur, quam quae alibi Basilis (ad Alpheum in Parrhasiis sita) audit. V. ibidem 1. p. 63, 3. coll. 2. p. 445., quamquam sic Cypsela paulo remotiora fuisse videantur, quam ut *ἐπὶ τῇ Σκιρίτιδι* sita dici possint. Denique *τὴν ξυμμαχίαν* „idem est, quod *τὴν τῶν ξυμμάχων χώραν*. Socios autem quos hic dicit, ii Parrhasii sunt, *Μαντινέων ὑπήκοοι.*“ ARN.

Κυψέλοις τεῖχος ἀναιρήσοντες, ἢν δύνωνται, ὃ ἐτείχισαν Μαντινῆς καὶ αὐτοὶ ἐφρούρουν, ἐν τῇ Παῤῥασικῇ κείμενον, ἐπὶ τῇ Σκιρίτιδι τῆς Λακωνικῆς. καὶ οἱ μὲν Λακεδαιμόνιοι τὴν γῆν τῶν Παῤῥασίων ἐδῄουν, οἱ δὲ Μαντινῆς τὴν πόλιν Ἀργείοις φύλαξι παραδόντες αὐτοὶ τὴν ξυμμαχίαν ἐφρούρουν· ἀδύνατοι δ' ὄντες διασῶσαι τό τε ἐν Κυψέλοις τεῖχος καὶ τὰς ἐν Παῤῥασίοις πόλεις, ἀπῆλθον. Λακεδαιμόνιοι δὲ τούς τε Παῤῥασίους αὐτονόμους ποιήσαντες καὶ τὸ τεῖχος καθελόντες ἀνεχώρησαν ἐπ' οἴκου.

Καὶ τοῦ αὐτοῦ θέρους, ἤδη ἡκόντων αὐτοῖς τῶν ἀπὸ Θρᾴ- 34
κης μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν, οὓς ὁ Κλεαρίδας μετὰ τὰς σπονδὰς ἐκόμισεν, οἱ Λακεδαιμόνιοι ἐψηφίσαντο τοὺς μὲν μετὰ Βρασίδου Εἵλωτας μαχεσαμένους ἐλευθέρους εἶναι, καὶ οἰκεῖν ὅπου ἂν βούλωνται· καὶ ὕστερον οὐ πολλῷ αὐτοὺς μετὰ τῶν νεοδαμωδῶν ἐς Λέπρεον κατέστησαν, κείμενον ἐπὶ τῆς Λα-

34. *τῶν ἀπὸ Θρᾴκης — ἐξελθόντων*] i. e. *quum ad ipsos iam ex Thracia rediissent milites, qui cum Brasida illuc profecti fuerant.* Est nota enallage praepositionum, de qua v. Buttm. §. 151. 8. (ed. 13.) et Matth. §. 596., orta ex breviloquentia, velut h. l. dici debebat: *ἤδη ἡκόντων αὐτοῖς τῶν ἐς Θρᾴκην μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν ἀπὸ Θρᾴκης.* De Helotis Brasidae manumissis, qui inde ab hoc tempore Brasidei appellabantur, v. Od. Muell. Dor. 2. p. 89. Verbis *καὶ οἰκεῖν ὅπου ἂν βούλωνται* plenae libertatis indicium continetur, vid. ibidem p. 45.

νεοδαμωδῶν] *Ἀργεῖοι* dicebantur Helotum ii, in quibus heri praecipuam fiduciam ponebant, quali in bellis *ἑρυκτῆρες* fruebantur. *Ἀφέται* omni servitio vacabant. *Λεσποσιοναῦται* qui dicebantur, in classe militabant, similesque fuisse videntur libertis Atticis, qui *χωρὶς οἰκοῦντες* dicebantur. Plena libertate qui donati essent, iisdem concedebatur, quocunque vellent habitatum abire, simulque eis agelli aliquid assignatum esse videtur extra sortem a pristino hero possessam. Libertate aliquamdiu usi *νεοδαμώδεις* videntur audivisse, quorum multitudo brevi numerum civium attigit. Ac ne Mothones quidem sive Mothacae perioecorum e numero erant (e perioecis Spartanos factos esse, nusquam memoriae proditur), sed e numero Helotum, qui per aequalem communemque cum Spartanis educationem (quemadmodum apud Ulyssem Eumaeus educatus est), libertatem sine civitate nanciscebantur. *Μόθων* enim est *verna*; perioeci autem hoc nomen habere non poterant, ut qui nunquam in potestate privatorum Spartanorum essent. Credibile est, posteros Mothacum ius civitatis adeptos esse, siquidem Lysander, Callicratidas et Gylippus origine Mothaces fuerunt. Epeunactae (quod ex etymo colligas) cives illi appellati sunt, qui viduam ex antiquo iure hereditario duxissent. Quale matrimonium semel servos iniisse Theopompus tradit. OD. MUELL. Dor. 2. p. 45. Conf. Interpp. ad Herodot. 9, 11. Schneid. Indic. Xen. H. Gr. Mans. Spart. 1, 1. p. 234. C. Fr. Herm. Antt. Gr. p. 41, 14. et inprimis Arn. ad h. l. Mox Lepreum dicitur situm fuisse in confiniis Laconiae, *ἐπὶ τῆς Λακωνικῆς.* Vid. Vig. p. 859, 394. Popp. desiderat *ἐπὶ τῇ Λακωνικῇ καὶ τῇ Ἠλείᾳ* et confert c. 33. *κείμενον ἐπὶ τῇ Σκιρίτιδι*, at dativus ibi alium sensum habet. De situ Leprei v. Od. Muell. Dor. 2. p. 461. Leak. Travels in the Morea Vol. 1. c. 2. p. 49—68. Mox *τοὺς ἐκ τῆς νήσου* „aut brevius dictum more huius scriptoris pro *τοὺς ἐν τῇ νήσῳ*

κωνικῆς καὶ τῆς Ἠλείας, ὄντες ἤδη διάφοροι Ἠλείοις· τοὺς δ' ἐκ τῆς νήσου ληφθέντας σφῶν καὶ τὰ ὅπλα παραδόντας, δείσαντες μή τι διὰ τὴν ξυμφορὰν νομίσαντες ἐλασσωθήσεσθαι καὶ ὄντες ἐπίτιμοι νεωτερίσωσιν, ἤδη καὶ ἀρχάς τινας ἔχοντας ἀτίμους ἐποίησαν, ἀτιμίαν δὲ τοιάνδε ὥστε μήτε ἄρχειν μήτε πριαμένους τι ἢ πωλοῦντας κυρίους εἶναι. ὕστερον δὲ αὖθις χρόνῳ ἐπίτιμοι ἐγένοντο.

35 Τοῦ δ' αὐτοῦ θέρους καὶ Θύσσον τὴν ἐν τῇ Ἄθῳ Διῆς εἶλον, Ἀθηναίων οὖσαν ξύμμαχον. καὶ τὸ θέρος τοῦτο πᾶν

ληφθέντας καὶ ἀνακομισθέντας ἐξ αὐτῆς, aut ληφθέντας est pro ἀναληφθέντας, receptos, redditos ipsis.“ Bau. Popp. comparavit haec: 8, 2. πρὸς τὴν ἐκ τῆς Σικελίας τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν i. e., ait, τὴν ἐν τῇ Σικελίᾳ γενομένην καὶ ἐκ τῆς Σικελίας ἀγγελθεῖσαν κακοπραγίαν. 5, 35. τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδωκότες. Mox καί in καὶ ὄντες ἐπίτιμοι est pro καίπερ. Thom. M. p. 358. exponit ἐπὶ τιμῆς καὶ ἀξιώματος ὄντες. De illo sensu ἐπιτιμίας, quo vox liberum ad honores aditum significat, adi Schoem. De Comit. Athen. p. 73. atque in universum de ἐπιτιμία et ἀτιμία tum summa, tum ea, quae ab Atticis ἀτιμία κατὰ προστάξεις dicebatur, qualis fuit haec in Sphacteria captorum, qua affectis neque magistratus gerere liceret, neque emendi aut vendendi ius esset, consule uberrimam dissertationem Meieri De bonis damn. p. 101 sqq. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 409. 420. Meier. et Schoem. d. Att. Proz. p. 563. 734. 741. Denique in verbis πριαμένους — κυρίους εἶναι hic sensus inest: sie sollten weder eine obrigkeitliche Stelle bekleiden, noch einen gültigen Kauf oder Verkauf schliessen können. v. Matth. p. 1091. med. et de re Od. Muell. Dor. 2. p. 116. 224. Wachsm. Antt. Gr. 2, 1. p. 63, 28.

35. ἐν τῇ Ἄθῳ] Nonnulli libri ἐν τῷ Ἄθῳ. Ac sane hoc nomen 4, 109. 5, 3. et apud alios scriptores masculini generis est. Quod ita explicat Haack., ut ὁ Ἄθ. montem, ἡ Ἄθ. regionem significet, probante Poppone.

Διῆς] Vulgo Δικτιδιῆς, libri Δικτηδιῆς, Δικτυδιῆς, Δικτιδιεῖς et similiter. Itidemque 5, 82. vulgo legitur Δικτιδιῆς, sed ibi complures libri habent Διῆς, „Nullibi terrarum unquam populus quisquam vixit, Dictidienses vocatus. Sunt Dienses intelligendi. Dion, urbem in Atho sive Acte sitam, cuius gentile Διεῖς sive Διῆς est, paulo antea commemoravimus.“ Gatter. de Herodot. et Thuc. Thrac. §. 34. Quum tamen Dienses 4, 109. fideles manserint Atheniensibus et demum 5, 82. ab iis defecisse narrentur, Popp. coniecit Χαλκιδῆς vel οἱ Χαλκιδῆς. Mox ad τοὺς μὴ ἐξιόντας supple ἐς τὰς σπονδάς. Conf. c. 40. 46. Deinde ὑπετόπευον servavi, quod redit 8, 76. Alii putant, Thucydidem modo ὑποτοπεῖν vel ὑποπτεύειν scribere. Mox ἄνευ ξυγγραφῆς Schol. interpretatur ἄνευ συμφωνίας γεγραμμένης, Arn. without a written agreement. De verbis μετεμέλοντο ἀποδεδωκότες v. Matth. p. 1088. Et τὰ ἄλλα χωρία intellige Methonen, Pteleum, Atalantem, Cythera etc. Paulo post vulgo legitur Μεσσηνίους τε, emendavit Reisk. „Quamquam Messenii commode ab Helotis sic distingui posse videantur, ut sint Μεσσήνιοι οἱ ἐκ Ναυπάκτου, quos Pylum praesidium misisse 4, 41. accepimus, tamen eo, quod paulo inferius Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτας legimus, et ipsis, quae antecedunt, particulis εἰ δὲ μή commendatur γε.“ Popp. Denique distinguuntur a Messeniis et Helotis alii, ὅσοι ηὐτομολήκεσαν, hos Arn. putat domesticos privatorum hominum servos fuisse, quum Helotae publice servirent.

ἐπιμιξίαι μὲν ἦσαν τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις, ὑπώπτευον δὲ ἀλλήλους εὐθὺς μετὰ τὰς σπονδὰς οἵ τε Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. τὴν γὰρ Ἀμφίπολιν πρότεροι λαχόντες οἱ Λακεδαιμόνιοι ἀποδιδόναι καὶ τἄλλα οὐκ ἀποδεδώκεσαν, οὐδὲ τοὺς ἐπὶ Θράκης παρεῖχον ξυμμάχους τὰς σπονδὰς δεχομένους, οὐδὲ Βοιωτούς, οὐδὲ Κορινθίους, λέγοντες ἀεὶ ὡς μετ' Ἀθηναίων τούτους, ἢν μὴ θέλωσι, κοινῇ ἀναγκάσουσι· χρόνους τε προὔθεντο ἄνευ ξυγγραφῆς, ἐν οἷς χρῆν τοὺς μὴ ἐξιόντας ἀμφοτέροις πολεμίους εἶναι. τούτων οὖν ὁρῶντες οἱ Ἀθηναῖοι οὐδὲν ἔργῳ γιγνόμενον, ὑπετόπευον τοὺς Λακεδαιμονίους μηδὲν δίκαιον διανοεῖσθαι, ὥστε οὔτε Πύλον ἀπαιτούντων αὐτῶν ἀπεδίδοσαν, ἀλλὰ καὶ τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδωκότες, τά τε ἄλλα χωρία εἶχον, μένοντες ἕως σφίσι κἀκεῖνοι ποιήσειαν τὰ εἰρημένα. Λακεδαιμόνιοι δὲ τὰ μὲν δυνατὰ ἔφασαν πεποιηκέναι· τοὺς γὰρ παρὰ σφίσι δεσμώτας ὄντας Ἀθηναίων ἀποδοῦναι, καὶ τοὺς ἐπὶ Θράκης στρατιώτας ἀπαγαγεῖν, καὶ εἴ τινος ἄλλου ἐγκρατεῖς ἦσαν. Ἀμφιπόλεως δὲ οὐκ ἔφασαν κρατεῖν ὥστε παραδοῦναι, Βοιωτοὺς δὲ πειράσεσθαι καὶ Κορινθίους ἐς τὰς σπονδὰς ἐσαγαγεῖν, καὶ Πάνακτον ἀπολαβεῖν, καὶ Ἀθηναίων ὅσοι ἦσαν ἐν Βοιωτοῖς αἰχμάλωτοι, κομιεῖν. Πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μή, Μεσσηνίους γε καὶ τοὺς Εἵλωτας ἐξαγαγεῖν, ὥςπερ καὶ αὐτοὶ τοὺς ἀπὸ Θράκης, Ἀθηναίους δὲ φρουρεῖν τὸ χωρίον αὐτούς, εἰ βούλονται. πολλάκις δὲ καὶ πολλῶν λόγων γενομένων ἐν τῷ θέρει τούτῳ ἔπεισαν τοὺς Ἀθηναίους ὥστε ἐξαγαγεῖν ἐκ Πύλου Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτάς τε καὶ ὅσοι ηὐτομολήκεσαν ἐκ τῆς Λακωνικῆς· καὶ κατῴκισαν αὐτοὺς ἐν Κρανίοις τῆς Κεφαλληνίας. τὸ μὲν οὖν θέρος τοῦτο ἡσυχία ἦν καὶ ἔφοδοι παρ' ἀλλήλους.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, ἔτυχον γὰρ ἔφοροι ἕτεροι 36 καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο ἄρχοντες ἤδη, καί τινες

36. ἔφοροι ἕτεροι] Inde ab aequinoctio auctumnali. v. C. Fr. Herm. Antt. Gr. p. 84, 2. et de causis turbatae ap. Laced. agror. aequal. p. 16. et de Ephoris in universum Tittm. Gr. Staatsverf. p. 104 sqq. 107. Paulo post nonnulli libri addito articulo praebent ἐναντίοι ταῖς σπονδαῖς. „Putes cum Haackio, articulum hic non minus necessarium esse, quam antea in αἱ σπονδαὶ ἐγένοντο. At hic scriptor in universum dicere potest illos Ephoros minus ad pacem quam ad bellum proclives fuisse, antea de certis foederibus loquitur. Conf. Krueg. ad Xen. Anab. 2, 3, 7.“ Popp. Mox λόγους — ἰδίᾳ pro λ. ἰδίους aliquot libri: utrumque recte dicitur, ut docet Dorv. ad Charit. p. 451. Dein vulgo est ταῦτα γιγνώσκειν, emendavit Reisk. „Sententia haec est: Ephori instabant legatis Boeotorum et Corinthiorum, ut idem vellent, idem nollent, hortantes ut persuaderent Boeotis, ut quamprimum ipsi Argivorum socii fierent, deinde cum Boeotis Argivos Lacedaemoniorum sosios facerent.“ Bred. Conf. c. 31. τὸ αὐτὸ λέγοντες. Paulo post scribendum οὕτω — ἥκισ' ἄν, habet enim οὕτω, ut Popp. adnotavit, sen-

κωνικῆς καὶ τῆς Ἠλείας, ὄντες ἤδη διάφοροι Ἠλείοις· τοὺς δ' ἐκ τῆς νήσου ληφθέντας σφῶν καὶ τὰ ὅπλα παραδόντας, δείσαντες μή τι διὰ τὴν ξυμφορὰν νομίσαντες ἐλασσωθήσεσθαι καὶ ὄντες ἐπίτιμοι νεωτερίσωσιν, ἤδη καὶ ἀρχάς τινας ἔχοντας ἀτίμους ἐποίησαν, ἀτιμίαν δὲ τοιάνδε ὥστε μήτε ἄρχειν μήτε πριαμένους τι ἢ πωλοῦντας κυρίους εἶναι. ὕστερον δὲ αὖθις χρόνῳ ἐπίτιμοι ἐγένοντο.

35 Τοῦ δ' αὐτοῦ θέρους καὶ Θύσσον τὴν ἐν τῇ Ἄθῳ Διῆς εἷλον, Ἀθηναίων οὖσαν ξύμμαχον. καὶ τὸ θέρος τοῦτο πᾶν

ληφθέντας καὶ ἀνακομισθέντας ἐξ αὐτῆς, aut ληφθέντας est pro ἀναληφθέντας, receptos, redditos ipsis.“ Bau. Popp. comparavit haec: 8, 2. πρὸς τὴν ἐκ τῆς Σικελίας τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν i. e., ait, τὴν ἐν τῇ Σικελίᾳ γενομένην καὶ ἐκ τῆς Σικελίας ἀγγελθεῖσαν κακοπραγίαν. 5, 35. τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδωκότες. Mox καί in καὶ ὄντες ἐπίτιμοι est pro καίπερ. Thom. M. p. 358. exponit ἐπὶ τιμῆς καὶ ἀξιώματος ὄντες. De illo sensu ἐπιτιμίας, quo vox liberum ad honores aditum significat, adi Schoem. De Comit. Athen. p. 73. atque in universum de ἐπιτιμίᾳ et ἀτιμίᾳ tum summa, tum ea, quae ab Atticis ἀτιμία κατὰ προστάξεις dicebatur, qualis fuit haec in Sphacteria captorum, qua affectis neque magistratus gerere liceret, neque emendi aut vendendi ius esset, consule uberrimam dissertationem Meieri De bonis damn. p. 101 sqq. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 409. 420. Meier. et Schoem. d. Att. Proz. p. 563. 734. 741. Denique in verbis πριαμένους — κυρίους εἶναι hic sensus inest: sie sollten weder eine obrigkeitliche Stelle bekleiden, noch einen gültigen Kauf oder Verkauf schliessen können. v. Matth. p. 1091. med. et de re Od. Muell. Dor. 2. p. 116. 224. Wachsm. Antt. Gr. 2, 1. p. 63, 28.

35. ἐν τῇ Ἄθῳ] Nonnulli libri ἐν τῷ Ἄθῳ. Ac sane hoc nomen 4, 109. 5, 3. et apud alios scriptores masculini generis est. Quod ita explicat Haack., ut ὁ Ἄθ. montem, ἡ Ἄθ. regionem significet, probante Poppone.

Διῆς] Vulgo Δικτιδῆς, libri Δικτηδῆς, Δικτυδῆς, Δικτιδιεῖς et similiter. Itidemque 5, 82. vulgo legitur Δικτιδῆς, sed ibi complures libri habent Διῆς, „Nullibi terrarum unquam populus quisquam vixit, Dictidienses vocatus. Sunt Dienses intelligendi. Dion, urbem in Atho sive Acte sitam, cuius gentile Διεῖς sive Διῆς est, paulo antea commemoravimus.“ Gatter. de Herodot. et Thuc. Thrac. §. 34. Quum tamen Dienses 4, 109. fideles manserint Atheniensibus et demum 5, 82. ab iis defecisse narrentur, Popp. coniecit Χαλκιδῆς vel οἱ Χαλκιδῆς. Mox ad τοὺς μὴ ἐξιόντας supple ἐς τὰς σπονδάς. Conf. c. 40. 46. Deinde ὑπετόπευον servavi, quod redit 8, 76. Alii putant, Thucydidem modo ὑποτοπεῖν vel ὑποπτεύειν scribere. Mox ἄνευ ξυγγραφῆς Schol. interpretatur ἄνευ συμφωνίας γεγραμμένης, Arn. without a written agreement. De verbis μετεμέλοντο ἀποδεδωκότες v. Matth. p. 1088. Et τὰ ἄλλα χωρία intellige Methonen, Pteleum, Atalantem, Cythera etc. Paulo post vulgo legitur Μεσσηνίους τε, emendavit Reisk. „Quamquam Messenii commode ab Helotis sic distingui posse videantur, ut sint Μεσσήνιοι οἱ ἐκ Ναυπάκτου, quos Pylum praesidium misisse 4, 41. accepimus, tamen eo, quod paulo inferius Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτας legimus, et ipsis, quae antecedunt, particulis εἰ δὲ μή commendatur γε.“ Popp. Denique distinguuntur a Messeniis et Helotis alii, ὅσοι ἠὐτομολήκεσαν, hos Arn. putat domesticos privatorum hominum servos fuisse, quum Helotae publice servirent.

ἐπιμιξίαι μὲν ἦσαν τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις, ὑπώπτευον δὲ ἀλλήλους εὐθὺς μετὰ τὰς σπονδὰς οἵ τε Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. τὴν γὰρ Ἀμφίπολιν πρότεροι λαχόντες οἱ Λακεδαιμόνιοι ἀποδιδόναι καὶ τἆλλα οὐκ ἀποδεδώκεσαν, οὐδὲ τοὺς ἐπὶ Θρᾴκης παρεῖχον ξυμμάχους τὰς σπονδὰς δεχομένους, οὐδὲ Βοιωτούς, οὐδὲ Κορινθίους, λέγοντες ἀεὶ ὡς μετ' Ἀθηναίων τούτους, ἢν μὴ θέλωσι, κοινῇ ἀναγκάσουσι· χρόνους τε προὔθεντο ἄνευ ξυγγραφῆς, ἐν οἷς χρῆν τοὺς μὴ ἐξιόντας ἀμφοτέροις πολεμίους εἶναι. τούτων οὖν ὁρῶντες οἱ Ἀθηναῖοι οὐδὲν ἔργῳ γιγνόμενον, ὑπετόπευον τοὺς Λακεδαιμονίους μηδὲν δίκαιον διανοεῖσθαι, ὥστε οὔτε Πύλον ἀπαιτούντων αὐτῶν ἀπεδίδοσαν, ἀλλὰ καὶ τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδωκότες, τά τε ἄλλα χωρία εἶχον, μένοντες ἕως σφίσι κἀκεῖνοι ποιήσειαν τὰ εἰρημένα. Λακεδαιμόνιοι δὲ τὰ μὲν δυνατὰ ἔφασαν πεποιηκέναι· τοὺς γὰρ παρὰ σφίσι δεσμώτας ὄντας Ἀθηναίων ἀποδοῦναι, καὶ τοὺς ἐπὶ Θρᾴκης στρατιώτας ἀπαγαγεῖν, καὶ εἴ του ἄλλου ἐγκρατεῖς ἦσαν. Ἀμφιπόλεως δὲ οὐκ ἔφασαν κρατεῖν ὥστε παραδοῦναι, Βοιωτοὺς δὲ πειράσεσθαι καὶ Κορινθίους ἐς τὰς σπονδὰς ἐσαγαγεῖν, καὶ Πάνακτον ἀπολαβεῖν, καὶ Ἀθηναίων ὅσοι ἦσαν ἐν Βοιωτοῖς αἰχμάλωτοι, κομιεῖν. Πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μή, Μεσσηνίους γε καὶ τοὺς Εἵλωτας ἐξαγαγεῖν, ὥσπερ καὶ αὐτοὶ τοὺς ἀπὸ Θρᾴκης, Ἀθηναίους δὲ φρουρεῖν τὸ χωρίον αὐτούς, εἰ βούλονται. πολλάκις δὲ καὶ πολλῶν λόγων γενομένων ἐν τῷ θέρει τούτῳ ἔπεισαν τοὺς Ἀθηναίους ὥστε ἐξαγαγεῖν ἐκ Πύλου Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτάς τε καὶ ὅσοι ἠὐτομολήκεσαν ἐκ τῆς Λακωνικῆς· καὶ κατῴκισαν αὐτοὺς ἐν Κρανίοις τῆς Κεφαλληνίας. τὸ μὲν οὖν θέρος τοῦτο ἡσυχία ἦν καὶ ἔφοδοι παρ' ἀλλήλους.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, ἔτυχον γὰρ ἔφοροι ἕτεροι 36 καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο ἄρχοντες ἤδη, καί τινες

36. ἔφοροι ἕτεροι] Inde ab aequinoctio auctumnali. v. C. Fr. Herm. Antt. Gr. p. 84, 2. et de causis turbatae ap. Laced. agror. aequal. p. 16. et de Ephoris in universum Tittm. Gr. Staatsverf. p. 104 sqq. 107. Paulo post nonnulli libri addito articulo praebent ἐναντίοι ταῖς σπονδαῖς. „Putes cum Haackio, articulum hic non minus necessarium esse, quam antea in αἱ σπονδαὶ ἐγένοντο. At hic scriptor in universum dicere potest illos Ephoros minus ad pacem quam ad bellum proclives fuisse, antea de certis foederibus loquitur. Conf. Krueg. ad Xen. Anab. 2, 3, 7.“ Popp. Mox λόγους — ἰδίᾳ pro λ. ἰδίους aliquot libri: utrumque recte dicitur, ut docet Dorv. ad Charit. p. 451. Dein vulgo est ταῦτα γιγνώσκειν, emendavit Reisk. „Sententia haec est: Ephori instabant legatis Boeotorum et Corinthiorum, ut idem vellent, idem nollent, hortantes ut persuaderent Boeotis, ut quamprimum ipsi Argivorum socii fierent, deinde cum Boeotis Argivos Lacedaemoniorum sosios facerent.“ Bred. Conf. c. 31. τὸ αὐτὸ λέγοντες. Paulo post scribendum οὕτω — ἥκισ' ἄν, habet enim οὕτω, ut Popp. adnotavit, sen-

αὐτῶν καὶ ἐναντίοι σπονδαῖς, ἐλθουσῶν πρεσβειῶν ἀπὸ τῆς ξυμμαχίδος, καὶ παρόντων Ἀθηναίων καὶ Βοιωτῶν καὶ Κορινθίων, καὶ πολλὰ ἐν ἀλλήλοις εἰπόντων καὶ οὐδὲν ξυμβάντων, ὡς ἀπῆεσαν ἐπ' οἶκον, τοῖς Βοιωτοῖς καὶ Κορινθίοις Κλεόβουλος καὶ Ξενάρης, οὗτοι οἵπερ τῶν ἐφόρων ἐβούλοντο μάλιστα διαλῦσαι τὰς σπονδάς, λόγους ποιοῦνται ἰδίους παραινοῦντες ὅτι μάλιστα ταὐτά τε γιγνώσκειν καὶ πειρᾶσθαι Βοιωτούς, Ἀργείων γενομένους πρῶτον αὐτοὺς ξυμμάχους, αὖθις μετὰ Βοιωτῶν Ἀργείους Λακεδαιμονίοις ποιῆσαι ξυμμάχους· οὕτω γὰρ ἥκιστα ἀναγκασθῆναι Βοιωτοὺς ἐς τὰς Ἀττικὰς σπονδὰς ἐξελθεῖν· ἐλέσθαι γὰρ Λακεδαιμονίους πρὸ τῆς Ἀθηναίων ἔχθρας καὶ διαλύσεως τῶν σπονδῶν Ἀργείους σφίσι φίλους καὶ ξυμμάχους γενέσθαι. τὸ γὰρ Ἄργος ἀεὶ ἠπίσταντο ἐπιθυμοῦντας τοὺς Λακεδαιμονίους καλῶς σφίσι φίλιον γενέσθαι, ἡγούμενοι τὸν ἔξω Πελοποννήσου πόλεμον ῥᾴω ἂν εἶναι. τὸ μέντοι Πάνακτον ἐδέοντο Βοιωτοὺς ὅπως παραδῶσι Λακεδαιμονίοις, ἵνα ἀντ' αὐτοῦ Πύλον ἣν δύνωνται ἀπολαβόντες ῥᾷον καθιστῶνται
37 Ἀθηναίοις ἐς πόλεμον. καὶ οἱ μὲν Βοιωτοὶ καὶ Κορίνθιοι,

tentiam conditionalem. „Sequitur quidem, ait, statim rursus ἑλέσθαι, sed ibi ἄν, si antea positum fuerit, cogitatione suppleri potest.“ Tum praepositio πρό in verbis πρὸ τῆς ἔχθρας etc. non significat, aliquid alicui rei praeferri, sed significat tempus: denn die Lacedaemonier würden vorziehen, vor dem Wiederausbruch der Feindschaft der Athener und der Auflösung der Verträge mit ihnen, Freunde und Bundesgenossen der Argiver zu werden. Arn. πρό accipit sensu praepositionis ἀντί positum esse: amicitia Argivorum gravior videbatur, quam inimicitia Atheniensium: illa maiorem in modum videbatur bonum, quam haec malum.“ Paulo post καλῶς φίλιον Schol. exponit per βεβαίως φίλιον, et sic ipse acceperam in adn. ad 2, 7., ubi ipse scriptor βεβαίως mihi dixisse videbatur, quod hic καλῶς. Aliter sentit Arn. atque haud scio an verius, interpretans: *pulchra et honesta via*, non redimendo pacem inhonesto modo, velut Cynuriam reddendo. „At serius, addit, necessitate urgente vel ad disceptandum de Cynuria descendebant, quia tum Argivorum amicitiam conciliare studebant *conditione quacunque*, ἐπεθύμουν τὸ Ἄργος πάντως φίλιον ἔχειν 5, 41. Vox πάντως altero loco posita satis, opinor, explicat vim praesentis καλῶς.“ Paulo inferius Schol. monet, proprie ἡγουμένους pro ἡγούμενοι scribendum fuisse; Lacedaemonios enim, quod ipsi, non quod duo illi Ephori bellum extra Peloponnesum ita levius fore putabant, Argivorum semper amicitiam cupivisse. Popp. nominativum ita excusari posse putat, quod scriptor ad magistratus Lacedaemoniorum retulerit id, quod de populo dicendum erat, addens illustrari haec posse ex Graecorum loquendi consuetudine, quam Matth. p. 1109. adn. sub nr. 2. exponit. Haackio scriptor ἡγούμενοι post ἐπιθυμοῦντας scripsisse videtur, quod ante scripsisse se putaret ἐπεθύμησαν οἱ Λακεδαιμόνιοι. Statim nova difficultas est in ἐδέοντο Βοιωτούς, quum inauditum sit, verbum δέομαι eandem structuram habere, quam αἰτεῖν, nisi quis dicat, commixtionem duarum constructionum esse: ἐδέοντο Βοιωτοὺς παραδιδόναι et ἐδέοντο ὅπως Βοιωτοὶ παραδώσουσι vel παραδῶσι (utrumque enim legitur). Ceterum de structura verbi δεῖσθαι et aliorum plurimorum cum ὅπως v. Matth. p. 1037. adn. 2.

ταῦτα ἐπεσταλμένοι ἀπό τε τοῦ Ξενάρους καὶ Κλεοβούλου καὶ ὅσοι φίλοι ἦσαν αὐτοῖς τῶν Λακεδαιμονίων ὥστε ἀπαγγεῖλαι ἐπὶ τὰ κοινά, ἑκάτεροι ἀνεχώρουν. Ἀργείων δὲ δύο ἄνδρες τῆς ἀρχῆς τῆς μεγίστης ἐπετήρουν ἀπιόντας αὐτοὺς καθ' ὁδόν, καὶ ξυγγενόμενοι ἐς λόγους ἦλθον, εἴ πως οἱ Βοιωτοὶ σφίσι ξύμμαχοι γένοιντο, ὥσπερ Κορίνθιοι καὶ Ἠλεῖοι καὶ Μαντινῆς· νομίζειν γὰρ ἂν τούτου προχωρήσαντος ῥᾳδίως ἤδη καὶ πολεμεῖν καὶ σπένδεσθαι καὶ πρὸς Λακεδαιμονίους, εἰ βούλοιντο, κοινῷ λόγῳ χρωμένους, καὶ εἴ τινα πρὸς ἄλλον δέοι. τοῖς δὲ τῶν Βοιωτῶν πρέσβεσιν ἀκούουσιν ἤρεσκε· κατὰ τύχην γὰρ ἐδέοντο τούτων ὧνπερ καὶ οἱ ἐκ τῆς Λακεδαίμονος αὐτοῖς φίλοι ἐπεστάλκεσαν. καὶ οἱ τῶν Ἀργείων ἄνδρες ὡς ἤσθοντο αὐτοὺς δεχομένους τὸν λόγον, εἰπόντες ὅτι πρέσβεις πέμψουσιν ἐς Βοιωτοὺς ἀπῆλθον. ἀφικόμενοι δὲ οἱ Βοιωτοὶ ἀπήγγειλαν τοῖς βοιωτάρχαις τά τε ἐκ τῆς Λακεδαίμονος καὶ τὰ ἀπὸ τῶν ξυγγενομένων Ἀργείων· καὶ οἱ βοιωτάρχαι ἠρέσκοντό τε καὶ πολλῷ προθυμότεροι ἦσαν, ὅτι ἀμφοτέρωθεν ξυνεβεβήκει αὐτοῖς, τούς τε φίλους τῶν Λακεδαιμονίων τῶν αὐτῶν δεῖσθαι καὶ τοὺς Ἀργείους ἐς τὰ ὁμοῖα σπεύδειν. καὶ οὐ πολλῷ ὕστερον πρέσβεις παρῆσαν Ἀργείων τὰ εἰρημένα προκαλούμενοι· καὶ αὐτοὺς ἀπέπεμψαν ἐπαινέσαντες τοὺς λόγους οἱ βοιωτάρχαι καὶ πρέσβεις ὑποσχόμενοι ἀποστελεῖν περὶ τῆς ξυμμαχίας ἐς
Ἄργος. ἐν δὲ τούτῳ ἐδόκει πρῶτον τοῖς βοιωτάρχαις καὶ Κο- 38
ρινθίοις καὶ Μεγαρεῦσι καὶ τοῖς ἀπὸ Θράκης πρέσβεσιν ὁμόσαι ὅρκους ἀλλήλοις ἢ μὴν ἕν τε τῷ παρατυχόντι ἀμύνειν τῷ δεομένῳ καὶ μὴ πολεμήσειν τῳ μηδὲ ξυμβήσεσθαι ἄνευ κοινῆς γνώμης, καὶ οὕτως ἤδη τοὺς Βοιωτοὺς καὶ Μεγαρέας, τὸ γὰρ αὐτὸ ἐποίουν, πρὸς τοὺς Ἀργείους σπένδεσθαι. πρὶν δὲ τοὺς ὅρκους γενέσθαι οἱ βοιωτάρχαι ἐκοίνωσαν ταῖς τέσσαρσι βουλαῖς τῶν Βοιωτῶν ταῦτα, αἵπερ ἅπαν τὸ κῦρος ἔχουσι, καὶ παρήνουν γενέσθαι ὅρκους ταῖς πόλεσιν, ὅσαι βούλονται ἐπ' ὠφελείᾳ σφίσι ξυνομνύναι. οἱ δ' ἐν ταῖς βουλαῖς τῶν Βοιωτῶν ὄντες οὐ προσδέχονται τὸν λόγον, δεδιότες μὴ ἐναντία Λακεδαιμονίοις ποιήσωσι, τοῖς ἐκείνων ἀφεστῶσι Κορινθίοις ξυνομνύντες· οὐ γὰρ εἶπον αὐτοῖς οἱ βοιωτάρχαι τὰ ἐκ τῆς Λακεδαίμονος, ὅτι τῶν τε ἐφόρων Κλεόβουλος καὶ Ξενάρης καὶ οἱ φίλοι παραι-

37. ταῦτα ἐπεσταλμένοι] v. Matth. p. 923.

38. ταῖς τέσσαρσι βουλαῖς] v. Kortuem. Hellen. Staatsverf. p. 86. adn. ad 2, 2. In verbis ἢ ἃ σφίσι προδιαγνόντες παραινοῦσιν pronomen σφίσι non licet ad alios referri, nisi ad Boeotarchas, ut subiecta verbi παραινοῦσιν sint Cleobulus et Xenares, alioquin enim scribendum erat αὐτοῖς, *nam Boeotarchae existimabant, illos, qui erant in consilio, quamvis haec eis non dixissent, tamen nihil aliud decreturos, quam quod Ephori illi duo antea deliberatum sibi suadeant.* Sic paulo ante Ephori illi subiecta eiusdem verbi παραινοῦσι sunt; nihilominus omissio subiectorum durissima est, et προδιαγνόντες melius cum Boeotarchis convenit. Bekk. in ed. stereot. coniecit σφεῖς. Malim ἐν σφίσι.

νοῦσιν Ἀργείων πρῶτον καὶ Κορινθίων γενομένους ξυμμάχους ὕστερον μετὰ τῶν Λακεδαιμονίων γίγνεσθαι, οἰόμενοι τὴν βουλήν, κἂν μὴ εἴπωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι ἢ ἃ [ἐν] σφίσι προδιαγνόντες παραινοῦσιν. ὡς δὲ ἀντέστη τὸ πρᾶγμα, οἱ μὲν Κορίνθιοι καὶ οἱ ἀπὸ Θράκης πρέσβεις ἄπρακτοι ἀπῆλθον, οἱ δὲ βοιωτάρχαι, μέλλοντες πρότερον, εἰ ταῦτα ἔπεισαν, καὶ τὴν ξυμμαχίαν πειράσεσθαι πρὸς Ἀργείους ποιεῖν οὐκέτι ἐσήνεγκαν περὶ Ἀργείων ἐς τὰς βουλάς, οὐδὲ ἐς τὸ Ἄργος τοὺς πρέσβεις οὓς ὑπέσχοντο ἔπεμπον, ἀμέλεια δέ τις ἐνῆν καὶ διατριβὴ τῶν πάντων.

39 Καὶ ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ Μηκύβερναν Ὀλύνθιοι, Ἀθηναίων φρουρούντων, ἐπιδραμόντες εἷλον.

Μετὰ δὲ ταῦτα, ἐγίγνοντο γὰρ ἀεὶ λόγοι τοῖς τε Ἀθηναίοις καὶ Λακεδαιμονίοις περὶ ὧν εἶχον ἀλλήλων, ἐλπίζοντες οἱ Λακεδαιμόνιοι, εἰ Πάνακτον Ἀθηναῖοι παρὰ Βοιωτῶν ἀπολάβοιεν, κομίσασθαι ἂν αὐτοὶ Πύλον, ἦλθον ἐς τοὺς Βοιωτοὺς πρεσβευόμενοι, καὶ ἐδέοντο σφίσι Πάνακτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι, ἵνα ἀντ' αὐτῶν Πύλον κομίσωνται. οἱ δὲ Βοιωτοὶ οὐκ ἔφασαν ἀποδώσειν, ἢν μὴ σφίσι ξυμμαχίαν ἰδίαν ποιήσωνται ὥσπερ Ἀθηναίοις. Λακεδαιμόνιοι δὲ εἰδότες μὲν ὅτι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον ἄνευ ἀλλήλων μήτε σπένδεσθαί τῳ μήτε πολεμεῖν, βουλόμενοι δὲ τὸ Πάνακτον παραλαβεῖν ὡς τὴν Πύλον ἀντ' αὐτοῦ κομιούμενοι, καὶ ἅμα τῶν ξυγχέαι σπευδόντων τὰς σπονδὰς προθυμουμένων τὰ ἐς Βοιωτούς, ἐποιήσαντο τὴν ξυμμαχίαν, τοῦ χειμῶνος τελευτῶντος ἤδη καὶ πρὸς ἔαρ· καὶ τὸ Πάνακτον εὐθὺς καθῃρεῖτο. καὶ ἐνδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

40 Ἅμα δὲ τῷ ἦρι εὐθὺς τοῦ ἐπιγιγνομένου θέρους οἱ Ἀργεῖοι, ὡς οἵ τε πρέσβεις τῶν Βοιωτῶν, οὓς ἔφασαν πέμψειν, οὐχ ἵκοντο, τό τε Πάνακτον ἤσθοντο καθαιρούμενον καὶ ξυμμαχίαν ἰδίαν γεγενημένην τοῖς Βοιωτοῖς πρὸς τοὺς Λακεδαιμονίους, ἔδεισαν μὴ μονωθῶσι καὶ ἐς Λακεδαιμονίους πᾶσα ἡ ξυμμαχία χωρήσῃ· τοὺς γὰρ Βοιωτοὺς ᾤοντο πεπεῖσθαι ὑπὸ Λακεδαιμονίων τό τε Πάνακτον καθελεῖν καὶ ἐς τὰς Ἀθηναίων σπονδὰς ἐσιέναι, τούς τε Ἀθηναίους εἰδέναι ταῦτα, ὥστε οὐδὲ πρὸς Ἀθηναίους ἔτι σφίσιν εἶναι ξυμμαχίαν ποιήσασθαι, πρότερον ἐλπίζοντες ἐκ τῶν διαφορῶν, εἰ μὴ μείνειαν αὐτοῖς αἱ

39. *εἰρημένον ἄνευ ἀλλήλων*] v. cap. 23. med. Paulo inferius vulgo legebatur *τὰς ἐς Βοιωτούς*, Popp. ex bonis et non paucis libris recepit *τά*, quod comparat cum *σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον* 4, 15. *τὰ πρὸς ἡμᾶς ἐπάγεσθαι αὐτούς* 3, 63. Arn. addit 5, 46. *τὰ πρὸς Ἀργείους*. Ad *καθῃρεῖτο* supple *ὑπὸ τῶν Βοιωτῶν*. v. cap. 42.

40. *ἐκ τῶν διαφορῶν*] sc. Lacedaemoniorum et Atheniensium. Verba *ἐν φρονήματι ὄντες ἡγήσεσθαι* per breviloquentiam dicta sunt pro *ἐν φρονήματι ὄντες καὶ ἐλπίζοντες ἡγήσεσθαι*. Simile est 4, 25. *ἐπ' οἴκου διεκρίθησαν*, ut Schol. adnotavit, pro *ἀπέπλευσαν ἐπ' οἴκου διακριθεῖσαι*, et 3, 83. *καταφρονοῦντες* (i. e. *διὰ καταφρόνησιν πεποι-*

πρὸς Λακεδαιμονίους σπονδαί, τοῖς γοῦν Ἀθηναίοις ξύμμαχοι ἔσεσθαι. ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι, καὶ φοβούμενοι μὴ Λακεδαιμονίοις καὶ Τεγεάταις, Βοιωτοῖς καὶ Ἀθηναίοις ἅμα πολεμῶσι, πρότερον οὐ δεχόμενοι τὰς Λακεδαιμονίων σπονδάς, ἀλλ' ἐν φρονήματι ὄντες τῆς Πελοποννήσου ἡγήσεσθαι, ἔπεμπον ὡς ἐδύναντο τάχιστα ἐς τὴν Λακεδαίμονα πρέσβεις Εὔστροφον καὶ Αἴσωνα, οἳ ἐδόκουν προσφιλέστατοι αὐτοῖς εἶναι, ἡγούμενοι, ἐκ τῶν παρόντων κράτιστα πρὸς Λακεδαιμονίους σπονδὰς ποιησάμενοι, ὅπη ἂν ξυγχωρῇ, ἡσυχίαν ἄγειν. καὶ οἱ πρέσβεις 41 ἀφικόμενοι αὐτῶν λόγους ἐποιοῦντο πρὸς τοὺς Λακεδαιμονίους ἐφ' ᾧ ἂν σφίσιν αἱ σπονδαὶ γίγνοιντο. καὶ τὸ μὲν πρῶτον οἱ Ἀργεῖοι ᾔξίουν δίκης ἐπιτροπὴν σφίσι γενέσθαι ἢ ἐς πόλιν τινὰ ἢ ἰδιώτην περὶ τῆς Κυνουρίας γῆς, ἧς ἀεὶ πέρι διαφέρονται μεθορίας οὔσης· ἔχει δὲ ἐν αὐτῇ Θυρέαν καὶ Ἀνθήνην πόλιν, νέμονται δ' αὐτὴν Λακεδαιμόνιοι· ἔπειτα δ' οὐκ ἐώντων Λακεδαιμονίων μεμνῆσθαι περὶ αὐτῆς, ἀλλ' εἰ βούλονται σπένδεσθαι ὥσπερ πρότερον, ἑτοῖμοι εἶναι, οἱ Ἀργεῖοι πρέσβεις τάδε ὅμως ἐπηγάγοντο τοὺς Λακεδαιμονίους ξυγχωρῆσαι, ἐν μὲν τῷ παρόντι σπονδὰς ποιήσασθαι ἔτη πεντήκοντα, ἐξεῖναι δ' ὁποτεροισοῦν προκαλεσαμένοις, μήτε νόσου οὔσης μήτε πολέμου Λακεδαίμονι καὶ Ἄργει, διαμάχεσθαι περὶ τῆς γῆς ταύτης, ὥσπερ καὶ πρότερόν ποτε ὅτε αὐτοὶ ἑκάτεροι ἠξίωσαν νικᾶν, διώκειν δὲ μὴ ἐξεῖναι περαιτέρω τῶν πρὸς Ἄργος καὶ Λακεδαίμονα ὅρων. τοῖς δὲ Λακεδαιμονίοις τὸ μὲν πρῶτον ἐδόκει μωρία

θότες) *κἂν προαισθέσθαι*. Verba *ἐκ τῶν παρόντων κράτιστα* duplicem explicationem admittunt, aut eam, quam Schol. proponit: *ὡς ἐν τῷ παρόντι ἡγοῦντο κράτιστον εἶναι πρὸς Λακεδαιμονίους σπονδὰς ποιήσασθαι, ὡς ἂν ἐνδέχηται, καὶ ἡσυχάζειν*, aut eam, qua *κράτιστα* adverbium est et iungendum cum *σπονδὰς ποιησάμενοι*, et *ἐκ τῶν παρόντων κράτιστα* dicitur, ut *ἐκ τῶν δυνατῶν κράτιστα*. Sic in altero Scholio exponitur. Illud ita cum Heilmanno reddas: indem sie es bei so gestalten Sachen fürs rathsamste hielten, mit den Lacedaemoniern einen Vergleich zu schliessen und sich übrigens, die Sachen möchten laufen wie sie wollten, ruhig zu halten; hoc ita cum eodem interprete: mit dem Entschluss, mit den Lacedaemoniern einen Vergleich, so gut es die gegenwärtigen Umstände erlaubten, zu treffen, und es falle derselbe aus wie er wolle (malim: und wie es die Umstände erlaubten: Schol. *καθὼς ἂν συγχωρῇ ὁ καιρός*), sich ruhig zu halten. Vox *κράτιστα* non aliter nisi adverbii loco haberi posse videtur.

41. *δίκης ἐπιτροπήν*] v. Pausan. 2, 38. Pro *Ἀνθήνην* idem 2, 38, 6. et septem libri Thuc. *Ἀθήνην*. v. Od. Muell. Aeginet. p. 46 sqq. adn. 9. Mox severior ratio exigit *ἀλλ' ἑτοίμων εἶναι φασκόντων* pro *ἀλλ' ἑτοῖμοι εἶναι*. Nominativum posuit, quasi praecessisset: *ἐπειδὴ οὐκ εἴων Λακεδαιμόνιοι, ἀλλ' ἔφασαν (ἑτοῖμοι εἶναι)*. Eius usus multa exempla posuit Lobeck. ad Phryn. p. 755. adn.

ὥσπερ καὶ πρότερόν ποτε] v. Herodot. 1, 82. Pausan. 2, 38, 5. Strab. 8. p. 578. Ovid. 2. Fast. 665. Mox *φίλιον* scripsi, ut est c. 36. 44. Vid. Krueg. ad Dionys. p. 296. coll. Pop. Indic. Xen. Anab. Vulgo *φίλον*. Alterum praebent Ar. Chr. Dan.

εἶναι ταῦτα, ἔπειτα, ἐπεθύμουν γὰρ τὸ Ἄργος πάντως φίλιον ἔχειν, ξυνεχώρησαν ἐφ' οἷς ἠξίουν, καὶ ξυνεγράψαντο. ἐκέλευον δ' οἱ Λακεδαιμόνιοι πρὶν τέλος τι αὐτῶν ἔχειν ἐς τὸ Ἄργος πρῶτον ἐπαναχωρήσαντας αὐτοὺς δεῖξαι τῷ πλήθει, καὶ ἢν ἀρέσκοντα ᾖ, ἥκειν ἐς τὰ Τακίνθια τοὺς ὅρκους ποιησομένους. 42 καὶ οἱ μὲν ἀνεχώρησαν. ἐν δὲ τῷ χρόνῳ τούτῳ ᾧ οἱ Ἀργεῖοι ταῦτα ἔπρασσον οἱ πρέσβεις τῶν Λακεδαιμονίων Ἀνδρομέδης καὶ Φαίδιμος καὶ Ἀντιμενίδας, οὓς ἔδει τὸ Πάνακτον καὶ τοὺς ἄνδρας τοὺς παρὰ Βοιωτῶν παραλαβόντας Ἀθηναίοις ἀποδοῦναι, τὸ μὲν Πάνακτον ὑπὸ τῶν Βοιωτῶν αὐτῶν καθῃρημένον εὗρον, ἐπὶ προφάσει ὡς ἦσάν ποτε Ἀθηναίοις καὶ Βοιωτοῖς ἐκ διαφορᾶς περὶ αὐτοῦ ὅρκοι παλαιοὶ μηδετέρους οἰκεῖν τὸ χωρίον ἀλλὰ κοινῇ νέμειν, τοὺς δ' ἄνδρας οὓς εἶχον αἰχμαλώτους Βοιωτοὶ Ἀθηναίων, παραλαβόντες οἱ περὶ τὸν Ἀνδρομέδην ἐκόμισαν τοῖς Ἀθηναίοις καὶ ἀπέδοσαν, τοῦ τε Πανάκτου τὴν καθαίρεσιν ἔλεγον αὐτοῖς, νομίζοντες καὶ τοῦτο ἀποδιδόναι· πολέμιον γὰρ οὐκέτι ἐν αὐτῷ Ἀθηναίοις οἰκήσειν οὐδένα. λεγομένων δὲ τούτων οἱ Ἀθηναῖοι δεινὰ ἐποίουν, νομίζοντες ἀδικεῖσθαι ὑπὸ Λακεδαιμονίων τοῦ τε Πανάκτου τῇ καθαιρέσει ὃ ἔδει ὀρθὸν παραδοῦναι, καὶ πυνθανόμενοι ὅτι καὶ Βοιωτοῖς ἰδίᾳ ξυμμαχίαν πεποίηνται, φάσκοντες πρότερον κοινῇ τοὺς μὴ δεχομένους τὰς σπονδὰς προσαναγκάσειν. τά τε ἄλλα ἐσκόπουν ὅσα ἐξελελοίπεσαν τῆς ξυνθήκης, καὶ ἐνόμιζον ἐξηπατῆσθαι, ὥστε χαλεπῶς πρὸς τοὺς πρέσβεις ἀποκρινάμενοι ἀπέπεμψαν.

43 Κατὰ τοιαύτην δὴ διαφορὰν ὄντων τῶν Λακεδαιμονίων πρὸς τοὺς Ἀθηναίους, οἱ ἐν ταῖς Ἀθήναις αὖ βουλόμενοι λῦσαι τὰς σπονδὰς εὐθὺς ἐνέκειντο. ἦσαν δὲ ἄλλοι τε καὶ Ἀλκιβιάδης ὁ Κλεινίου, ἀνὴρ ἡλικίᾳ μὲν ἔτι τότε ὢν νέος ὡς ἐν ἄλλῃ

42. *τοὺς παρὰ Βοιωτῶν*] i. e. *τοὺς ἄνδρας τοὺς παρὰ τοῖς Βοιωτοῖς παρ' αὐτῶν παραλαβόντες.* Mox *κοινῇ νέμειν* Schol. interpretatur *κοινὴν νομὴν ἔχειν ἐν αὐτῷ*, probante Arn., ut in solo non limitibus in sortes descripto, quali pro pascuis uti solebant. Dein „*δεινὰ ἐποιοῦν* rarius dictum, pro *δεινὰ ἐποιοῦντο*, quamquam activa forma etiam apud Andocidem 63. p. 103. Bekk. reperitur, ubi Valck. activum in medium mutatum volebat. Vid. Sluiter. Lectt. Andocid. Lugd. 1804." Bred. Legitur *δεινὰ ποιοῦσαν* etiam ap. Lucian. de Sacrif. c. 1. Vol. 3. p. 67. Bip., ubi interpretes sine observatione praeterierunt, itemque apud eundem De Merced. Cond. c. 24. p. 244. *δεινὰ ἐποίεις*, neque aliter ap. Herodotum, cuius v. interpp. ad 3, 155. Dobr. activam formulam existimat significare idem quod *χαλεπαίνειν*, seinen Unwillen äussern, mediam formam esse *indignari*, unwillig seyn. „Quae distinctio si vera est, ait Arn., *δεινὰ ἐποίουν* apte, quamquam non elegantor convertas: they made a great noise about it."

43. *ἐν ταῖς Ἀθήναις αὖ*] sc. ut Cleobulus et Xenares Spartae fecerant. Arn.

ἡλικίᾳ — νέος] Triginta circiter annos vel fortasse plus eo tum natum fuisse colligit Acac. e Platonis Alcibiade primo, in quo Socrates Alcibiadem nondum prorsus viginti annos implevisse dicit et de Pericle loquitur tanquam adhuc vivente. Pericles autem obiit anno tertio

πόλει, ἀξιώματι δὲ προγόνων τιμώμενος· ᾧ ἐδόκει μὲν καὶ ἄμεινον εἶναι πρὸς τοὺς Ἀργείους μᾶλλον χωρεῖν, οὐ μέντοι ἀλλὰ καὶ φρονήματι φιλονεικῶν ἠναντιοῦτο, ὅτι Λακεδαιμόνιοι διὰ Νικίου καὶ Λάχητος ἔπραξαν τὰς σπονδάς, αὐτὸν κατά τε τὴν νεότητα ὑπεριδόντες καὶ κατὰ τὴν παλαιὰν προξενίαν ποτὲ οὖσαν οὐ τιμήσαντες, ἢν τοῦ πάππου ἀπειπόντος αὐτὸς τοὺς ἐκ τῆς νήσου αὐτῶν αἰχμαλώτους θεραπεύων διενοεῖτο ἀνανεώσασθαι. πανταχόθεν τε νομίζων ἐλασσοῦσθαι τό τε πρῶτον ἀντεῖπεν, οὐ βεβαίους φάσκων εἶναι Λακεδαιμονίους, ἀλλ' ἵνα Ἀργείους σφίσι σπεισάμενοι ἐξέλωσι καὶ αὖθις ἐπ' Ἀθηναίους μόνους ἴωσι, τούτου ἕνεκα σπένδεσθαι αὐτούς· καὶ τότε, ἐπειδὴ ἡ διαφορὰ ἐγεγένητο, πέμπει εὐθὺς ἐς Ἄργος ἰδίᾳ, κελεύων ὡς τάχιστα ἐπὶ τὴν ξυμμαχίαν προκαλουμένους ἥκειν μετὰ Μαντινέων καὶ Ἠλείων, ὡς καιροῦ ὄντος καὶ αὐτὸς ξυμπράξων τὰ μάλιστα. οἱ δὲ Ἀργεῖοι ἀκούσαντες τῆς τε ἀγγελίας, καὶ ἐπειδὴ 44 ἔγνωσαν οὐ μετ' Ἀθηναίων πραχθεῖσαν τὴν τῶν Βοιωτῶν ξυμμαχίαν, ἀλλ' ἐς διαφορὰν μεγάλην καθεστῶτας αὐτοὺς πρὸς τοὺς Λακεδαιμονίους, τῶν μὲν ἐν Λακεδαίμονι πρέσβεων, οἳ σφίσι περὶ τῶν σπονδῶν ἔτυχον ἀπόντες, ἠμέλουν, πρὸς δὲ τοὺς Ἀθηναίους μᾶλλον τὴν γνώμην εἶχον, νομίζοντες πόλιν τε σφίσι φιλίαν ἀπὸ παλαιοῦ καὶ δημοκρατουμένην ὥσπερ καὶ

belli Pelop. Si Diodorum Sic. et C. Nepotem sequimur, Alcibiades tum nondum potuit habere triginta annos. Nam hic in vita illius c. 10. scribit, eum occisum, quum annos circiter quadraginta natus esset. Diod. autem 14, 11. mortem illius in annum secundum Ol. 94. (403.) confert. Iam vero ea, quae hic narrat Thuc., incidunt in extremum annum quartum Ol. 89. (421.), a quo usque ad mortem Alcibiadis sunt anni circiter quatuordecim. Duk. Vid. Valck. ad Herodot. 8, 17. et inprimis Schoem. de Comit. Ath. p. 105. coll. Arn. ad h. l. De ipso Alcibiade agunt Wachsm. Antt. Gr. 1, 2. p. 186 sqq. et C. Fr. Herm. Antt. Gr. p. 320, 12. De verbis *ὡς ἐν ἄλλῃ πόλει* vid. Matth. p. 1283. Avum Alcibiadis Schol. Lugd. opinatur Periclem fuisse, colligens id ex Thuc. 2, 13. At vid. adn. ad 6, 89., ubi disquiritur, utrum Megacles maternus, an Alcibiades, paternus avus, Spartanis hospitium renunciaverit. Pericles non fuit avus, sed tutor Alcibiadis. Mox propter aoristum *ἀνανεώσασθαι* v. Thom. M. p. 164. coll. Lobeck. ad Phryn. p. 756.

ἐξέλωσι] Mihi Thuc. hoc videtur velle, Alcibiadem iam tum, quum induciae quinquaginta annorum fiebant, iis se opposuisse ac dixisse, Lacedaemonios eo consilio cum Atheniensibus pacisci, ut foedere cum his facto Argivos sub potestatem redigerent ac deinde illis subactis Athenienses adgrederentur. *Ἐξαιρεῖν* apud Thuc. est *expugnare, capere, evertere* 3, 113. 4, 69. 122. Duk.

44. *νομίζοντες — παλαιοῦ*] Thom. M. p. 897., qui Dukero videtur velle, dicendum esse *ὁ καὶ ἡ φίλιος* et apud Thucydidem *ἡ φιλία* tanquam insolentius atque ei peculiare adnotare. v. Matth. §. 113 — 117. 8. p. 234. Mox articulus in verbis *περὶ τῆς ξυμμαχίας* significat *de ea societate, quam eos meditatos esse diximus*, ut adnotavit Popp. Denique particula *τε* per traiectionem posita est ante *ξυμμαχίαν*, quam exspectes positam post *δείσαντες*.

αὐτοὶ καὶ δύναμιν μεγάλην ἔχουσαν τὴν κατὰ θάλασσαν ξυμπολεμήσειν σφίσιν, ἢν καθιστῶνται ἐς πόλεμον. ἔπεμπον οὖν εὐθὺς πρέσβεις ὡς τοὺς Ἀθηναίους περὶ τῆς ξυμμαχίας· ξυνεπρεσβεύοντο δὲ καὶ οἱ Ἠλεῖοι καὶ Μαντινῆς· ἀφίκοντο δὲ καὶ Λακεδαιμονίων πρέσβεις κατὰ τάχος, δοκοῦντες ἐπιτήδειοι εἶναι τοῖς Ἀθηναίοις, Φιλοχαρίδας καὶ Λέων καὶ Ἔνδιος, δείσαντες μὴ τήν τε ξυμμαχίαν ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται, καὶ ἅμα Πύλον ἀπαιτήσοντες ἀντὶ Πανάκτου, καὶ περὶ τῆς Βοιωτῶν ξυμμαχίας ἀπολογησόμενοι, ὡς οὐκ ἐπὶ κακῷ τῶν
45 Ἀθηναίων ἐποιήσαντο. καὶ λέγοντες ἐν τῇ βουλῇ περί τε τούτων, καὶ ὡς αὐτοκράτορες ἥκουσι περὶ πάντων ξυμβῆναι τῶν διαφόρων, τὸν Ἀλκιβιάδην ἐφόβουν μὴ καὶ ἢν ἐς τὸν δῆμον ταῦτα λέγωσιν, ἐπαγάγωνται τὸ πλῆθος καὶ ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία. μηχανᾶται δὲ πρὸς αὐτοὺς τοιόνδε τι ὁ Ἀλκιβιάδης· τοὺς Λακεδαιμονίους πείθει, πίστιν αὐτοῖς δούς, ἢν μὴ ὁμολογήσωσιν ἐν τῷ δήμῳ αὐτοκράτορες ἥκειν, Πύλον τε αὐτοῖς ἀποδώσειν, πείσειν γὰρ αὐτὸς Ἀθηναίους, ὥσπερ καὶ νῦν ἀντιλέγειν, καὶ τἄλλα ξυναλλάξειν. βουλόμενος δὲ αὐτοὺς Νικίου τε ἀποστῆσαι ταῦτα ἔπρασσε καὶ ὅπως ἐν τῷ δήμῳ διαβαλὼν αὐτοὺς ὡς οὐδὲν ἀληθὲς ἐν νῷ ἔχουσιν οὐδὲ λέγουσιν οὐδέποτε ταὐτά, τοὺς Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας ξυμμάχους ποιήσῃ. καὶ ἐγένετο οὕτως. ἐπειδὴ γὰρ ἐς τὸν δῆμον παρελθόντες καὶ ἐπερωτώμενοι οὐκ ἔφασαν ὥσπερ ἐν τῇ βουλῇ αὐτοκράτορες ἥκειν, οἱ Ἀθηναῖοι οὐκέτι ἠνείχοντο, ἀλλὰ τοῦ Ἀλκιβιάδου πολλῷ μᾶλλον ἢ πρότερον καταβοῶντος τῶν Λακεδαιμονίων ἐσήκουόν τε καὶ ἕτοιμοι ἦσαν εὐθὺς παραγαγόντες τοὺς Ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους ποιεῖσθαι· σεισμοῦ δὲ γενομένου πρίν τι ἐπικυρωθῆναι, ἡ ἐκκλησία αὖτη ἀνεβλήθη.
46 τῇ δ' ὑστεραίᾳ ἐκκλησία ὁ Νικίας, καίπερ τῶν Λακεδαιμονίων αὐτῶν ἠπατημένων καὶ αὐτὸς ἐξηπατημένος περὶ τοῦ μὴ αὐτοκράτορας ὁμολογῆσαι ἥκειν, ὅμως τοῖς Λακεδαιμονίοις ἔφη χρῆναι φίλους μᾶλλον γίγνεσθαι, καὶ ἐπισχόντας τὰ πρὸς Ἀργείους πέμψαι ἔτι ὡς αὐτούς, καὶ εἰδέναι ὅ,τι διανοοῦνται, λέγων ἐν μὲν τῷ σφετέρῳ καλῷ ἐν δὲ τῷ ἐκείνων ἀπρεπεῖ τὸν πόλεμον ἀναβάλλεσθαι· σφίσι μὲν γὰρ εὖ ἑστώτων τῶν πραγμάτων ὡς ἐπὶ πλεῖστον ἄριστον εἶναι διασώσασθαι τὴν εὐπραγίαν, ἐκείνοις δὲ δυστυχοῦσιν ὅτι τάχιστα εὕρημα εἶναι διακιν-

45. καὶ ἢν ἐς τὸν δῆμον] Popp. desiderat ἢν καί, „saltem, ait, καί ad ἐς τὸν δῆμον pertinet et Plut. V. Nic. c. 10. huc respiciens μὴ καὶ τὸν δῆμον ἀπὸ τῶν αὐτῶν λόγων ἐπαγάγωνται."

46. εὕρημα] i. e. ein Gewinn. Ordo verborum hic est: εὕρημα εἶναι ὅτι τάχιστα διακινδυνεῦσαι. In verbis ὅτι — ἄν — πεποιῆσθαι anacoluthon esse dicit Haack., transitu a structura per ὅτι ad infinitivum facto; debuisse enim dici: σφᾶς ἂν πεποιῆσθαι, aut ὅτι ἂν ἐποιήσαντο. At Graecis mos est, post coniunctiones quoque et particulas, post pronomina relativa et alia eiusmodi in oratione obliqua in-

δυνεῦσαι. ἔπεισέ τε πέμψαι πρέσβεις, ὧν καὶ αὐτὸς ἦν, κελεύσοντας Λακεδαιμονίους, εἴ τι δίκαιον διανοοῦνται, Πάνακτόν τε ὀρθὸν ἀποδιδόναι καὶ Ἀμφίπολιν, καὶ τὴν Βοιωτῶν ξυμμαχίαν ἀνεῖναι, ἣν μὴ ἐς τὰς σπονδὰς ἐσίωσι, καθάπερ εἴρητο ἄνευ ἀλλήλων μηδενὶ ξυμβαίνειν. εἰπεῖν τε ἐκέλευον ὅτι καὶ σφεῖς, εἰ ἐβούλοντο ἀδικεῖν, ἤδη ἂν Ἀργείους ξυμμάχους πεποιῆσθαι, ὡς παρεῖναί γ' αὐτοὺς αὐτοῦ τούτου ἕνεκα. εἴ τέ τι ἄλλο ἐνεκάλουν, πάντα ἐπιστείλαντες ἀπέπεμψαν τοὺς περὶ τὸν Νικίαν πρέσβεις. καὶ ἀφικομένων αὐτῶν καὶ ἀπαγγειλάντων τά τε ἄλλα καὶ τέλος εἰπόντων ὅτι εἰ μὴ τὴν ξυμμαχίαν ἀνήσουσι Βοιωτοῖς μὴ ἐσιοῦσιν ἐς τὰς σπονδάς, ποιήσονται καὶ αὐτοὶ Ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους, τὴν μὲν ξυμμαχίαν οἱ Λακεδαιμόνιοι Βοιωτοῖς οὐκ ἔφασαν ἀνήσειν, ἐπικρατούντων τῶν περὶ τὸν Ξενάρη τὸν ἔφορον ταῦτα γίγνεσθαι, καὶ ὅσοι ἄλλοι τῆς αὐτῆς γνώμης ἦσαν, τοὺς δὲ ὅρκους δεομένου Νικίου ἀνενεώσαντο· ἐφοβεῖτο γὰρ μὴ πάντα ἀτελῆ ἔχων ἀπέλθῃ καὶ διαβληθῇ, ὅπερ καὶ ἐγένετο, αἴτιος δοκῶν εἶναι τῶν πρὸς Λακεδαιμονίους σπονδῶν. ἀναχωρήσαντός τε αὐτοῦ, ὡς ἤκουσαν οἱ Ἀθηναῖοι οὐδὲν ἐκ τῆς Λακεδαίμονος πεπραγμένον, εὐθὺς δι' ὀργῆς εἶχον, καὶ νομίζοντες ἀδικεῖσθαι, ἔτυχον γὰρ παρόντες οἱ Ἀργεῖοι καὶ οἱ ξύμμαχοι, παραγαγόντος Ἀλκιβιάδου, ἐποιήσαντο σπονδὰς καὶ ξυμμαχίαν πρὸς αὐτοὺς τήνδε.

Σπονδὰς ἐποιήσαντο ἑκατὸν Ἀθηναῖοι ἔτη καὶ Ἀργεῖοι 47
καὶ Μαντινῆς καὶ Ἠλεῖοι, ὑπὲρ σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων ὧν ἄρχουσιν ἑκάτεροι, ἀδόλους καὶ ἀβλαβεῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας καὶ τοὺς ξυμμάχους ἐπὶ Ἀθηναίους καὶ τοὺς ξυμμάχους ὧν ἄρχουσιν Ἀθηναῖοι μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους ἐπὶ Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας καὶ τοὺς ξυμμάχους, τέχνῃ μηδὲ μηχανῇ μηδεμιᾷ. κατὰ τάδε ξυμμάχους εἶναι Ἀθηναίους καὶ Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας ἑκατὸν ἔτη. ἢν πολέμιοι ἴωσιν ἐς τὴν γῆν τὴν Ἀθηναίων, βοηθεῖν Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας Ἀθήναζε, καθ' ὅτι ἂν ἐπαγγέλλωσιν Ἀθηναῖοι, τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἢν δὲ δηώ-

finitivum ponere. Sic paulo post infinitivus παρεῖναι sequitur post ὡς. V. Matth. §. 538. De verbis εἰ μὴ τὴν ξυμμαχίαν ἀνήσουσι Βοιωτοῖς v. Matth. p. 714., de duplici articulo in verbis τὸν Ξενάρη τόν adi Krueg. de Authent. Anab. p. 61. Denique de sententia per γάρ incipiente praeposita (ἔτυχον γὰρ — Ἀλκιβιάδου) vid. Matth. §. 615. p. 1242. et adn. ad 1, 72. init.

47. τρόπῳ — κατὰ τὸ δυνατόν] Genus pleonasmi, quod illustrat Matth. p. 1311. Adde Isocr. de Permut. Bon. p. 246 sq. Orell. Demosth. Ol. 3. p. 30. Phil. 4. p. 146. Sed ii, si verum spectes, non sunt pleonasmi, sed sensus maiori cum intentione elati, dum bis eadem eodemque tanto fortius inculcantur. Sic nos: aus allen Kräften des Leibes

σαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Ἀργείοις καὶ Μαντινεῦσι καὶ Ἠλείοις καὶ Ἀθηναίοις, καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τῶν πόλεων τούτων· καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν πόλιν μηδεμιᾷ τῶν πόλεων, ἢν μὴ ἁπάσαις δοκῇ. βοηθεῖν δὲ καὶ Ἀθηναίους ἐς Ἄργος καὶ Μαντίνειαν καὶ Ἦλιν, ἢν πολέμιοι ἴωσιν ἐπὶ τὴν γῆν τὴν Ἠλείων ἢ τὴν Μαντινέων ἢ τὴν Ἀργείων, καθ' ὅτι ἂν ἐπαγγέλλωσιν αἱ πόλεις αὗται, τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἢν δὲ δηώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Ἀθηναίοις καὶ Ἀργείοις καὶ Μαντινεῦσι καὶ Ἠλείοις, καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τούτων τῶν πόλεων· καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν πόλιν, ἢν μὴ ἁπάσαις δοκῇ ταῖς πόλεσιν. ὅπλα δὲ μὴ ἐᾶν ἔχοντας διιέναι ἐπὶ πολέμῳ διὰ τῆς γῆς τῆς σφετέρας αὐτῶν καὶ τῶν ξυμμάχων ὧν ἂν ἄρχωσιν ἕκαστοι, μηδὲ κατὰ θάλασσαν, ἢν μὴ ψηφισαμένων τῶν πόλεων ἁπασῶν τὴν δίοδον εἶναι, Ἀθηναίων καὶ Ἀργείων καὶ Μαντινέων καὶ Ἠλείων. τοῖς δὲ βοηθοῦσιν ἡ πόλις ἡ πέμπουσα παρεχέτω μέχρι· μὲν τριάκοντα ἡμερῶν σῖτον, ἐπὴν ἔλθῃ ἐς τὴν πόλιν τὴν ἐπαγγείλασαν βοηθεῖν, καὶ ἀπιοῦσι κατὰ ταὐτά· ἢν δὲ πλέονα βούλωνται χρόνον τῇ στρατιᾷ χρῆσθαι, ἡ πόλις ἡ μεταπεμψαμένη διδότω σῖτον, τῷ μὲν ὁπλίτῃ καὶ ψιλῷ καὶ τοξότῃ τρεῖς ὀβολοὺς Αἰγιναίους τῆς ἡμέρας ἑκάστης, τῷ δ' ἱππεῖ δραχμὴν Αἰγιναίαν. ἡ δὲ πόλις ἡ μεταπεμψαμένη τὴν ἡγεμονίαν ἐχέτω, ὅταν ἐν τῇ αὐτῆς ὁ πόλεμος ᾖ· ἢν δέ ποι δόξῃ ταῖς πόλεσι κοινῇ στρατεύεσθαι, τὸ ἴσον τῆς ἡγεμονίας μετεῖναι πάσαις ταῖς πόλεσιν. ὁμόσαι δὲ τὰς σπονδὰς Ἀθηναίους μὲν ὑπέρ τε σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων, Ἀργεῖοι δὲ καὶ Μαντινῆς καὶ Ἠλεῖοι καὶ οἱ ξύμμαχοι τούτων κατὰ πόλεις ὁμνύντων. ὁμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἕκαστοι τὸν μέγιστον κατὰ ἱερῶν τελείων. ὁ δὲ ὅρκος ἔστω ὅδε· Ἐμμενῶ τῇ ξυμμαχίᾳ κατὰ τὰ ξυγκείμενα δικαίως καὶ ἀβλαβῶς καὶ ἀδόλως, καὶ οὐ παραβήσομαι τέχνῃ οὐδὲ μηχανῇ οὐδεμιᾷ. ὁμνύντων δὲ Ἀθήνῃσι μὲν ἡ βουλὴ καὶ αἱ ἔνδημοι

und der Seele und mit aller Anstrengung et simil. Mox ad ἢν μὴ ψηφισαμένων repetas διίωσι ex διιέναι, vel (quod praeferam) formula ἢν μὴ naturam particulae πλήν induit et cum participio iuncta est, ut persaepe. Vid. 7, 38. εἰ μὴ — καταδύσαντες. Eadem est ratio formulae εἰ καί, ubi idem valet, quod καίπερ. v. Popp. Commentt. 1. p. 246. Dein ad verba ἐπὴν ἔλθῃ ex proximo verbo βοηθοῦσιν et βοηθεῖν arcessendum est ἡ βοήθεια. Structura ad sensum facta. Porro tres oboli Aeginetici aequabant quinque Atticos, sicut drachme Aeginetica decem Atticos obolos. v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 17. Conf. Od. Muell. Etrusk. 1. p. 321. Paulo post vulgo legitur ὅταν ἐν τῇ αὐτῇ ὁ πόλεμος ᾖ, emendavit Duk. Dein ἱερὰ τέλεια Graecis sunt, quae Latinis *maiores* et *eximiae hostiae*, quibus ex adverso ponuntur *lactentes*. v. Herodot. 1, 183.

ὁμνύντων δὲ Ἀθήνῃσι] De iis, quae hinc sequuntur, v. Wachsm. Antt. Gr. 1, 2. p. 87 sq. Et αἱ ἔνδημοι quidem ἀρχαί videntur iidem

ἀρχαί, ἐξορκούντων δὲ οἱ πρυτάνεις· ἐν Ἄργει δὲ ἡ βουλὴ καὶ οἱ ὀγδοήκοντα καὶ οἱ ἀρτῦναι, ἐξορκούντων δὲ οἱ ὀγδοήκοντα· ἐν δὲ Μαντινείᾳ οἱ δημιουργοὶ καὶ ἡ βουλὴ καὶ αἱ ἄλλαι ἀρχαί, ἐξορκούντων δὲ οἱ θεωροὶ καὶ οἱ πολέμαρχοι· ἐν δὲ Ἤλιδι οἱ δημιουργοὶ καὶ οἱ τὰ τέλη ἔχοντες καὶ οἱ ἑξακόσιοι, ἐξορκούντων δὲ οἱ δημιουργοὶ καὶ οἱ θεσμοφύλακες. ἀνανεοῦσθαι δὲ τοὺς ὅρκους Ἀθηναίους μὲν ἰόντας ἐς Ἦλιν καὶ ἐς Μαντίνειαν καὶ ἐς Ἄργος, τριάκοντα ἡμέραις πρὸ Ὀλυμπίων, Ἀργείους δὲ καὶ Ἠλείους καὶ Μαντινέας ἰόντας Ἀθήναζε, δέκα ἡμέραις πρὸ Παναθηναίων τῶν μεγάλων. τὰς δὲ ξυνθήκας τὰς

esse, qui οἱ ἐν τέλει 3, 36. dicuntur, et praeter στρατηγούς alii omnes maiores magistratus significari, velut novem Archontes, Prytanes, γραμματεῖς alii. Nam τὸ ἔνδημον ubique contrarie ponitur τῷ ἀποδήμῳ et ὑπερορίῳ. Porro de ἐξορκούντων dixerat Elmsl. in Museo Crit. a. 1816., et Thucydidem, et Herodotum et omnes priores, non solum poetas, sed etiam prosae orationis scriptores hanc unam imperativi formam in ουντων et οντων usurpare; alterius autem formae in ειωσαν prima vestigia in Archestrati, qui Aristotelis aequalis erat, versibus apud Athenaeum et apud Menandrum inveniri. Contra quem Haack. in Addendis ad h. l. monuit, apud hunc scriptorem legi haec 1, 34. μαθέτωσαν. 3, 67. ὠφελείσθωσαν. 4, 92. extr. κτάσθωσαν. 8, 18. ἔστωσαν bis. Addit Xen. de Ven. 4, 15., ubi nunc legitur μεταθείτωσαν pro μεταιθέτωσαν, *cursu persequuntor* et de Vect. 5, 5. ἐννοησάτωσαν. Vid. etiam Lobeck. ad Phryn. p. 361. De octoginta viris Argis varia viri docti coniiciunt. v. Kortuem. Hellen. Staatsverf. p. 127. Tum vulgo erat αἱ ἀρτῦναι, correxi, quia magistratus significantur. Vid. Etym. M. in ἀρτύνω, Hesych. in ἄρινεν et Ἄρτυνος et ἄρχων, Wachsm. Antt. Gr. 1, 1. p. 178, 61. 195, 45. Od. Muell. Aeginet. p. 134. Dor. 2. p. 140. et de πολιτείᾳ Argivorum in universum ibidem p. 142 sqq. Mans. Spart. 2. p. 432 sqq. Wachsm. l. c. 1, 2. p. 84. nr. 1. p. 215. Tittm. Gr. Staatsverf. p. 355. De demiurgis egi in adn. ad Thuc. 1, 56. Adde Od. Muell. Dor. 2. p. 140 sq. Wachsm. Antt. Gr. 1, 1. p. 193, 21. Theoros Dissen. Explicc. Pindar. p. 376. docet collegium sanctum fuisse et perenne, quod religiones curabat. Adde Od. Muell. Aeginet. p. 135. Dor. 2. p. 18. De civitatis forma Mantinensium in universum v. Wachsm. l. c. 1, 2. p. 89. Tittm. Gr. Staatsverf. p. 370. Porro οἱ τὰ τέλη ἔχοντες Elide non simpliciter intelligi possunt *magistratus*, sed consilium quoddam virorum summa potestate praeditorum ac quum medii leguntur inter demiurgos et sexcentos viros, et demiurgi non habuerint nisi potestatem leges exercendi et iussa exsequendi, Arn. putat, τοὺς τὰ τέλη ἔχοντας reipublicae administrandae praefectos atque ex corpore nobilium lectos, sexcentos autem viros consilium maius universorum nobilium fuisse, et sub sexcentis tanquam capitibus reipublicae τοὺς τὰ τέλη ἔχοντας communibus reipublicae negotiis pertractandis operam dedisse. Hos eosdem postremo loco nominatos non putat alios esse, quam qui apud Aristot. Polit. 5, 6. sunt nonaginta senatores, quos hic scriptor dicit Elide paucos inter paucos imperium tenuisse. De his et sexcentis viris conf. Kortuem l. c. p. 95. Od. Muell. Dor. 2. p. 96 sq. et de civitate atque imperii forma Eleorum in universum Wachsm. Antt. Gr. 1, 2. p. 90. nr. 3. Tittm. l. c. p. 365.

τριάκοντα ἡμέραις — δέκα ἡμέραις] Olympia quarto quoque anno agebantur Hecatombaeonis mensis Attici die 11, Panathenaea Magna non magis singulis annis, quam Olympia, sed item quarto quoque anno

περὶ τῶν σπονδῶν καὶ τῶν ὅρκων καὶ τῆς ξυμμαχίας ἀναγράψαι ἐν στήλῃ λιθίνῃ Ἀθηναίους μὲν ἐν πόλει, Ἀργείους δὲ ἐν ἀγορᾷ ἐν τοῦ Ἀπόλλωνος τῷ ἱερῷ, Μαντινέας δὲ ἐν τοῦ Διὸς τῷ ἱερῷ ἐν τῇ ἀγορᾷ· καταθέντων δὲ καὶ Ὀλυμπίασι στήλην χαλκῆν κοινῇ Ὀλυμπίοις τοῖς νυνί. ἐὰν δέ τι δοκῇ ἄμεινον εἶναι ταῖς πόλεσι ταύταις, προσθεῖναι πρὸς τοῖς ξυγκειμένοις. ὅ,τι δ' ἂν δόξῃ ταῖς πόλεσιν ἁπάσαις κοινῇ βουλευομέναις, τοῦτο κύριον εἶναι.

48 Αἱ μὲν σπονδαὶ καὶ αἱ ξυμμαχίαι οὕτως ἐγένοντο· καὶ αἱ τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων οὐκ ἀπείρηντο τούτου ἕνεκα οὐδ' ὑφ' ἑτέρων. Κορίνθιοι δὲ Ἀργείων ὄντες ξύμμαχοι οὐκ ἐξῆλθον ἐς αὐτάς, ἀλλὰ καὶ γενομένης πρὸ τούτου Ἠλείοις καὶ Ἀργείοις καὶ Μαντινεῦσι ξυμμαχίας, τοῖς αὐτοῖς πολεμεῖν καὶ εἰρήνην ἄγειν, οὐ ξυνώμοσαν, ἀρκεῖν δ' ἔφασαν σφίσι τὴν πρώτην γενομένην ἐπιμαχίαν, ἀλλήλοις βοηθεῖν, ξυνεπιστρατεύειν δὲ μηδενί. οἱ μὲν Κορίνθιοι οὕτως ἀπέστησαν τῶν

et tertio quidem quovis Olympiadum inde ab Hecatombaeonis die 28 celebrabantur. v. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 165 sqq. Wachsm. Antt. Gr. 2, 2. p. 284 sqq. Ergo foedus Peloponnesiis ab Atheniensibus renovatum est m. Scirophorionis die 11 huius ipsius anni Ol. 89, 4. (420. die 15 Iun.), rursusque Atheniensibus a Peloponnesiis Hecatombaeonis mensis d. 19 Ol. 90, 3. (418. die 30 Iul.) „Falsum est, cum Dodwello statuere, legatos utrarumque civitatum uno eodemque tempore ad iusiurandum renovandum convenire debuisse. Nam legati vel iusiurandum maximo die festo paciscentium utrarumque civitatum repetere, vel certe solennibus illis interesse debent, quare electa sunt hinc Olympia, illinc Panathenaea, quamquam inter utrumque festum biennii intervallum erat. Dies autem foederis renovandi competiisse, cogitare non licet, sed foederis caput istud hanc mentem habet, hoc consilium: Argivorum, Mantinensium et Eleorum legati negotium, quod gerant, tantum Athenis habent, quare necesse est, eos tantum decem diebus ante Panathenaea Athenas advenire, quia hoc temporis spatio quae res exigit peragere possunt: Atheniensium vero legati adire tenentur et Argos et Elida et Mantineam, morari in unaquaque earum urbium per decem dies, ut negotium conficiant, quo facto Olympiam abeunt. Nam procul dubio una eademque legatio iuriiurando in universis tribus civitatibus renovando praeficiebatur, poteratque ea legatio cum theoria Olympiam mittenda coniungi. Ea ratione et simplicius agi poterat, et congruit eadem cum consuetudine veterum, commeantes eiusmodi legatos emittere solitorum.“ Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 166. Ceterum proxima Olympia agebantur Ol. 90, 1. (420. inde a d. 14 Iul.), proxima Panathenaea agebantur Ol. 90, 3. (418. inde a d. 8 Aug.) Paulo inferius pro *Ἀπόλλωνος* Vind. habet *Διός* et in K. *Ἀπόλλωνος* erasum est. At v. Od. Muell. Dor. 1. p. 249. Denique de more foedera in tabulis perscripta Olympiae ponendi v. Dahlm. Herodot. p. 18. Boeckh. l. c. Vol. 2. p. 391. Foedus in tabulam aeream incisum et Olympiae repertum extat apud eundem C. I. Vol. 1. p. 26., vide ibi editorem p. 27. b. et p. 878. b. Postremo capite omisso *δέ* post *ὅ*, *τι* cum Bekkero ita legerim: *ἐὰν δέ τι δοκῇ ἄμεινον εἶναι ταῖς πόλεσι ταύταις προσθεῖναι πρὸς τοῖς ξυγκειμένοις, ὅ, τι ἂν δόξῃ ταῖς πόλεσιν ἁπάσαις κοινῇ βουλευομέναις, τοῦτο κύριον εἶναι.* Conf. c. 23. fin.

ξυμμάχων, καὶ πρὸς τοὺς Λακεδαιμονίους πάλιν τὴν γνώμην εἶχον.

49 Ὀλύμπια δ' ἐγένετο τοῦ θέρους τούτου, οἷς Ἀνδροσθένης Ἀρκὰς παγκράτιον τὸ πρῶτον ἐνίκα· καὶ Λακεδαιμόνιοι τοῦ ἱεροῦ ὑπὸ Ἠλείων εἴργθησαν ὥρτε μὴ θύειν μηδ' ἀγωνίζεσθαι, οὐκ ἐκτίνοντες τὴν δίκην αὐτοῖς ἣν ἐν τῷ Ὀλυμπιακῷ νόμῳ Ἠλεῖοι κατεδικάσαντο αὐτῶν φάσκοντες σφᾶς ἐπὶ Φύρκον τε τεῖχος ὅπλα ἐπενεγκεῖν καὶ ἐς Λέπρεον αὐτῶν ὁπλίτας ἐν ταῖς Ὀλυμπιακαῖς σπονδαῖς ἐσπέμψαι. ἡ δὲ καταδίκη δισχίλιαι μναῖ ἦσαν, κατὰ τὸν ὁπλίτην ἕκαστον δύο μναῖ, ὥσπερ ὁ νόμος ἔχει. Λακεδαιμόνιοι δὲ πρέσβεις πέμψαντες ἀντέλεγον μὴ δικαίως σφῶν καταδεδικάσθαι, λέγοντες μὴ ἐπηγγέλθαι πω ἐς

49. *παγκράτιον*] Thuc. praeter morem historicorum, qui plerique omnes stadio victores indicant, pancratio victorem memorat hic et 3, 8. conf. Pausan. Eliac. 2, 7. Mox est *ἐνίκα* imperfectum pro aoristo, non enim saepius nec diutius vincebat, sed semel vicit. „Refertur tamen haec sententia ad priorem, ideoque tempori relativo locus, et simul effectus victoriae (ut honor, quo victor fruebatur) ita permanere significatur. Itaque hac in re semper etiam Diod., Dionys. aliique imperfecto utuntur.“ Popp. Apte Arn. the Olympiad in which Androsthenes *was the conqueror*. Idem monet constantis usus imperfecti *ἐτελεύτα* in *τὸ θέρος ἐτελεύτα — δωδέκατον ἔτος ἐτελεύτα*. Mox *ἐν τῷ Ὀλυμπιακῷ νόμῳ* est *ex Olympiaca lege*, gemäss dem Olympischen Gesetz. v. Matth. p. 1140 sq. Deinde medium *κατεδικάσαντο* Popp. hinc esse dicit, quod multam Elei *in suum usum* irrogaverint; at non totam summam, pars deo debebatur. Vid. hoc cap. exeunt.

σφᾶς ἐπὶ Φύρκον] Pronomen reflexivum *σφῶν* cum pronomine *αὐτῶν* a Thucydide nunquam permutatur, quamquam constat ab Homero, Herodoto, Pausania itemque poetis Atticis tam diligens discrimen horum pronominum non observari. v. Matth. §. 147. adn. Buttm. §. 127. 3. (ed. 13.) Cui sententiae h. l. repugnat, quantumvis multis aliis firmatae. Blum. Script. Schol. (Strals. 1825.) p. 21 sq. illud *σφᾶς* ad Eleos refert, et a verbo *ἐπενεγκεῖν* pendere facit, ut sit pro *σφίσιν ὅπλα ἐπενεγκεῖν*. Vid. Matth. p. 734. §. 402. a. adn. 1. Et formulam *ὅπλα ἐπενεγκεῖν* unius notionis loco esse et constructionem verbi *ἐπιστρατεύειν* vel *ἐπελθεῖν* sequi dicit. Haec mihi ideo non probantur, quod scriptor non ita multo post usitata structura utitur: *καὶ ὅπλα οὐδαμόσε ἔτι αὐτοῖς ἐπενεγκεῖν*, a qua quid est, cur hic recederet? Quare placet etiamnunc scribi *σφῶν ἐπὶ Φύρκον τε τεῖχος*, ut 8, 97. legitur *σφῶν ἐπὶ τὸν Πειραιᾶ*, nam *σφᾶς* et *σφῶν* in libris scriptis exiguo ductu discriminantur. Paulo post de articulo in verbis *κατὰ τὸν ὁπλίτην ἕκαστον* v. Matth. p. 548. 5.

μὴ ἐπηγγέλθαι] Inducias sacras indicebant *σπονδοφόροι* Eleorum, de quibus v. Boeckh. Explicc. Pind. p. 494. et de tota ratione inducirum sacrarum (*ἐκεχειρίας*) Od. Muell. Dor. 1. p. 138. C. Fr. Herm. Antt. Gr. p. 24, 9. Wachsm. Antt. Gr. 1, 1. p. 108, 27. Paulo post ad *οὐ προσδεχομένων* supple *πόλεμον*. Dixerant Elei, se tempore inducirum propter ludos Olympios ipsis (i. e. Eleis) iam indictarum non exspectasse Lacedaemoniorum incursionem et iniuria ab his affectos esse, qui insidiarum tempore per insidias abuterentur. Respondent Lacedaemonii, si Elei iniuriam sibi illatam putavissent, non opus fuisse inducias postea nihilo secius Spartae indicere; indixisse tamen eos,

Λακεδαίμονά τὰς σπονδάς, ὅτ' ἐξέπεμψαν τοὺς ὁπλίτας. Ἠλεῖοι δὲ τὴν παρ' αὐτοῖς ἐκεχειρίαν ἤδη ἔφασαν εἶναι, πρώτοις γὰρ σφίσιν αὐτοῖς ἐπαγγέλλουσι, καὶ ἡσυχαζόντων σφῶν καὶ οὐ προσδεχομένων ὡς ἐν σπονδαῖς, αὐτοὺς λαθεῖν ἀδικήσαντας. οἱ δὲ Λακεδαιμόνιοι ὑπελάμβανον οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγεῖλαι ἔτι ἐς Λακεδαίμονα, εἰ ἀδικεῖν γε ἤδη ἐνόμιζον αὐτούς, ἀλλ' οὐχ ὡς νομίζοντας τοῦτο δρᾶσαι, καὶ ὅπλα οὐδαμόσε ἔτι αὐτοῖς ἐπενεγκεῖν. Ἠλεῖοι δὲ τοῦ αὐτοῦ λόγου εἶχοντο ὡς μὲν οὐκ ἀδικοῦσι μὴ ἂν πεισθῆναι· εἰ δὲ βούλονται σφίσι Λέπρεον ἀποδοῦναι, τό τε αὐτῶν μέρος ἀφιέναι τοῦ ἀργυρίου, καὶ ὃ τῷ Θεῷ γίγνεται αὐτοὶ ὑπὲρ ἐκείνων ἐκτίσειν. ὡς δ' οὐκ ἐσήκουον, αὖθις τάδε ἠξίουν Λέπρεον μὲν μὴ ἀποδοῦναι, εἰ μὴ βούλονται, ἀναβάντες δὲ ἐπὶ τὸν βωμὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου, ἐπειδὴ προθυμοῦνται χρῆσθαι τῷ ἱερῷ, ἀπομόσαι ἐναντίον τῶν Ἑλλήνων ἢ μὴν ἀποδώσειν ὕστερον τὴν καταδίκην. ὡς δὲ οὐδὲ ταῦτα ἤθελον, Λακεδαιμόνιοι μὲν εἴργοντο τοῦ ἱεροῦ, θυσίας καὶ ἀγώνων, καὶ οἴκοι ἔθυον, οἱ δὲ ἄλλοι Ἕλληνες ἐθεώρουν πλὴν Λεπρεατῶν. ὅμως δὲ οἱ Ἠλεῖοι δεδιότες μὴ βίᾳ θύσωσι ξὺν ὅπλοις τῶν νεωτέρων φυλακὴν εἶχον· ἦλθον δὲ αὐτοῖς καὶ Ἀργεῖοι καὶ Μαντινῆς, χίλιοι ἑκατέρων, καὶ

videlicet rem non ita, ut iam praetexant, aestimantes. Addunt, se post indictionem induciarum nullo amplius loco Eleis arma intulisse. Conf. Od. Muell. Dor. 1. p. 139. Nam *αὐτοῖς ἐπενεγκεῖν* est: Eleis Lacedaemonios non iam post indictas apud se inducias arma intulisse, et *οὐκ ἀδικοῦσι* sc. Lacedaemonii et *μὴ ἂν πεισθῆναι* sc. se, Eleos.

50. *ἀναβάντες*] Debebat scribi *ἀναβάντας*. Nominativus similis est iis, qui illustrati sunt ad 5, 41., eumque hic Popponi effecisse videntur verba *βούλονται* et *προθυμοῦνται*. Nulla in libris varietas; Bekk. tacite correxit *ἀναβάντας*. Mox „Valla legit *εἴργοντο τοῦ ἱεροῦ θυσίας*, non interiecta hypodiastole." STEPH. Valla *prohibiti sunt ab immolatione apud templum*. Heilm. hic et c. 49. in verbis *τοῦ ἱεροῦ εἴρχθησαν ὥστε μὴ θύειν μηδ' ἀγωνίζεσθαι*, vocem *ἱερόν* interpretatur die Feierlichkeit. Conf. Boeckh. C. I. Vol. 1. p. 810. a. Propter verba *οἴκοι ἔθυον* adi Wachsm. Antt. Gr. 1, 1. p. 108, 32. De Licha v. Krueg. ad Dionys. p. 281. adn. Od. Muell. Dor. 2. p. 411. coll. p. 209, 3. Porro *ῥαβδοῦχοι* non iidem sunt, qui alias *Ἑλλανοδίκαι* vel *ἀγωνοθέται* nominantur, quamquam ita opinatur Schol. ad Arist. Pac. 733. (unde sua hausit Suidas), idemque firmare videri possit Pausan. 6, 2. *Λίχας δὲ εἰργομένων τηνικαῦτα τοῦ ἀγῶνος Λακεδαιμονίων καθῆκεν ἐπὶ ὀνόματι τοῦ Θηβαίων δήμου τὸ ἅρμα, τὸν δὲ ἡνίοχον νικήσαντα ἀνέδησεν αὐτὸς ταινίᾳ· καὶ ἐπὶ τούτῳ μαστιγοῦσιν αὐτὸν οἱ Ἑλλανοδίκαι.* Qui quod dicit, „Licham *μαστιγοῦσιν οἱ Ἑλλανοδίκαι*, fecisse dicuntur augustissimi iudices, quod per lictores suos, *ἀλύτας* dictos, fieri iusserunt vel per his praefectum. Auctor Etymol. M. p. 72, 12. *ἀλυτάρχης, ὁ τῆς ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι εὐκοσμίας ἄρχων· Ἠλεῖοι γὰρ τοὺς ῥαβδοφόρους ἢ μαστιγοφόρους — ἀλύτας καλοῦσιν.*" VALCK. ad Herodot. 8, 59. Mox *ἀνακηρυχθέντος* proprium in hac re verbum esse ex Heraldi Advers. 2, 14. docet Duk. Verba *προελθὼν — τὸν ἡνίοχον* habent Suid. et Phot. in *ἀγῶνα*, docentes ex h. l., etiam locum ipsum, in quo certatur, vocari *ἀγῶνα*. Conf. Eustath. ad Hom. Od. 8. p. 1595, 31. Rom. Denique *ἀνέδησε* idem est, quod *ἐστεφάνωσε*.

Ἀθηναίων ἱππῆς, οἳ ἐν Ἄργει ὑπέμενον τὴν ἑορτήν. δέος δ' ἐγένετο τῇ πανηγύρει μέγα μὴ ξὺν ὅπλοις ἔλθωσιν οἱ Λακεδαιμόνιοι, ἄλλως τε καὶ ἐπειδὴ καὶ Λίχας ὁ Ἀρκεσιλάου Λακεδαιμόνιος ἐν τῷ ἀγῶνι ὑπὸ τῶν ῥαβδούχων πληγὰς ἔλαβεν, ὅτι νικῶντος τοῦ ἑαυτοῦ ζεύγους καὶ ἀνακηρυχθέντος Βοιωτῶν δημοσίου κατὰ τὴν οὐκ ἐξουσίαν τῆς ἀγωνίσεως, προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον, βουλόμενος δηλῶσαι ὅτι ἑαυτοῦ ἦν τὸ ἅρμα· ὥστε πολλῷ δὴ μᾶλλον ἐπεφόβηντο πάντες καὶ ἐδόκει τι νέον ἔσεσθαι. οἱ μέντοι Λακεδαιμόνιοι ἡσύχασάν τε καὶ ἡ ἑορτὴ αὐτοῖς οὕτω διῆλθεν. ἐς δὲ Κόρινθον μετὰ τὰ Ὀλύμπια Ἀργεῖοί τε καὶ οἱ ξύμμαχοι ἀφίκοντο, δεησόμενοι αὐτῶν παρὰ σφᾶς ἐλθεῖν. καὶ Λακεδαιμονίων πρέσβεις ἔτυχον παρόντες· καὶ πολλῶν λόγων γενομένων τέλος οὐδὲν ἐπράχθη, ἀλλὰ σεισμοῦ γενομένου διελύθησαν ἕκαστοι ἐπ' οἴκου. καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἡρακλεώταις τοῖς ἐν Τρα- 51
χῖνι μάχη ἐγένετο πρὸς Αἰνιᾶνας καὶ Δόλοπας καὶ Μηλιέας καὶ Θεσσαλῶν τινας. προοικοῦντα γὰρ τὰ ἔθνη ταῦτα τῇ πόλει πολέμια ἦν· οὐ γὰρ ἐπ' ἄλλῃ τινὶ γῇ ἢ τῇ τούτων τὸ χωρίον ἐτειχίσθη. καὶ εὐθύς τε καθισταμένῃ τῇ πόλει ἠναντιοῦντο ἐς ὅσον ἐδύναντο φθείροντες καὶ τότε τῇ μάχῃ ἐνίκησαν τοὺς Ἡρακλεώτας, καὶ Ξενάρης ὁ Κνίδιος Λακεδαιμόνιος ἄρχων αὐτῶν ἀπέθανε, διεφθάρησαν δὲ καὶ ἄλλοι τῶν Ἡρακλεωτῶν. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ δωδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς ἀρχομένου τὴν Ἡρά- 52
κλειαν, ὡς μετὰ τὴν μάχην κακῶς ἐφθείρετο, Βοιωτοὶ παρέλαβον, καὶ Ἡγησιππίδαν τὸν Λακεδαιμόνιον ὡς οὐ καλῶς ἄρχοντα ἐξέπεμψαν. δείσαντες δὲ παρέλαβον τὸ χωρίον μὴ Λακεδαιμονίων τὰ κατὰ Πελοπόννησον θορυβουμένων Ἀθηναῖοι λάβωσι· Λακεδαιμόνιοι μέντοι ὠργίζοντο αὐτοῖς. καὶ τοῦ αὐτοῦ θέρους Ἀλκιβιάδης ὁ Κλεινίου, στρατηγὸς ὢν Ἀθηναίων, Ἀργείων καὶ τῶν ξυμμάχων ξυμπρασσόντων, ἐλθὼν ἐς Πελοπόννησον μετ' ὀλίγων Ἀθηναίων ὁπλιτῶν καὶ τοξοτῶν, καὶ τῶν αὐτόθεν ξυμμάχων παραλαβών, τά τε ἄλλα ξυγκαθίστη περὶ τὴν ξυμμαχίαν διαπορευόμενος Πελοπόννησον τῇ στρατιᾷ, καὶ Πατρέας τε τείχη καθεῖναι ἔπεισεν ἐς θάλασσαν, καὶ αὐτὸς ἕτερον διενοεῖτο τειχίσαι ἐπὶ τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ. Κορίνθιοι δὲ καὶ Σικυώνιοι καὶ οἷς ἦν ἐν βλάβῃ τειχισθέν, βοηθήσαντες διεκώλυσαν.

Τοῦ δ' αὐτοῦ θέρους Ἐπιδαυρίοις καὶ Ἀργείοις πόλεμος 53
ἐγένετο, προφάσει μὲν περὶ τοῦ θύματος τοῦ Ἀπόλλωνος τοῦ

51. *οὐ γὰρ ἐπ' ἄλλῃ τινὶ γῇ*] Schol. *οὐκ ἐπὶ βλάβῃ ἄλλης τινὸς γῆς*. Conf. c. 33. *ἐπὶ τῇ Σκιρίτιδι*. Mox interpretes nomen *Κνίδιος* accipiunt ductum a casu recto *Κνίδις*, quod nomen nusquam alibi legitur.

52. *τῶν αὐτόθεν*] Thucydidea ex brevitate est pro *τῶν αὐτόθι ξυμμάχων παραλαβών (τινας) αὐτόθεν* etc. BAU.

Πυθαέως, ὃ δέον ἀπαγαγεῖν οὐκ ἀπέπεμπτον ὑπὲρ βοταμίων
Ἐπιδαύριοι· κυριώτατοι δὲ τοῦ ἱεροῦ ἦσαν Ἀργεῖοι· ἐδόκει δὲ
καὶ ἄνευ τῆς αἰτίας τὴν Ἐπίδαυρον τῷ τε Ἀλκιβιάδῃ καὶ τοῖς
Ἀργείοις προσλαβεῖν, ἣν δύνωνται, τῆς τε Κορίνθου ἕνεκα ἡσυ-
χίας καὶ ἐκ τῆς Αἰγίνης βραχυτέραν ἔσεσθαι τὴν βοήθειαν ἢ
Σκύλλαιον περιπλεῖν τοῖς Ἀθηναίοις. παρεσκενάζοντο οὖν οἱ
Ἀργεῖοι ὡς αὐτοὶ ἐς τὴν Ἐπίδαυρον διὰ τοῦ θύματος τὴν ἔξ-
πραξιν ἐσβαλοῦντες. ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι
κατὰ τοὺς αὐτοὺς χρόνους πανδημεὶ ἐς Λεῦκτρα τῆς ἑαυτῶν

53. *Πυθαέως*] Dedi ex emendatione Wesselingii ad Diod. 12, 78. et sic Pausan. 2, 35, 2. 36, 5. At Valck. Epist. ad Roev. p. 74. scribi vult *Πυθαιέως*. Dobr. veram formam putat esse *Πυθαιῶς*. Vulgo *Πυθέως*. Vat. *Πιθέως*. Mosqu. *Πυθέος*. Reg. (G.) F. Gr. *Πυθιέως*. E. Popp. „De Apolline Pythio nihil habebant causae, cur essent solliciti; de suo cogitabant Argivi. Apollo *Πυθαεύς* vel *Πυθαιεύς* a Lacedaemoniis, sed ab Argivis eximia religione colebatur. Hermionenses teste Pausania 2, 35. τὸ τοῦ *Πυθαέως* (*Ἀπόλλωνος*) ὄνομα μεμαθήκασι παρὰ *Ἀργείων*, et c. 36. traditur, Asine solo aequata reliquisse tamen Argivos templum Apollinis *Πυθαέως*.“ Valck. Fuit huius Apollinis templum etiam Spartae. v. Pausan. 3, 11. Templum, de quo hic agitur, Arn. putat illud esse, quod stabat in adscensu ad Larissam, arcem Argorum apud Pausan. 2, 24. De Apolline Pythaensi agunt Arn., Boeckh. C. I. Vol. 1. p. 560. a. Adde Steph. Byz. in *Πυθώ*, Hemsterh. Anecdd. Vol. 1. p. 261. Meurs. Lectt. Att. 4, 2.

ὑπὲρ βοταμίων] *ὑπὲρ παραποταμίων* Reg. (G.) Cam. marg. Steph. In Gr. *ὑπὲρ παρὰ ποταμίων*. F. *ὑπὲρ παραβοταμίων*. Lugd. *ὑπὲρ ποταμίων*, in marg. *ὑπὲρ βοταμίων*. C.D. I. *ὑπὲρ βοταμένων*. „Quid tandem *ὑπὲρ βοταμίων* erit? Convertunt *pascuorum nomine*, quam quam nullius auctoritate. Nam *Λειμῶνας* titulus, quem nuper vir consultissimus advocavit, ut pascuis auxilio esset, non huic Epidauro, sed alteri in Laconicae finibus fuit proprius. Equidem, in partes si sit eundum, praeferam ex scriptis Thucydidis libris *ὑπὲρ παραποταμίων*, intelligeremque accolas fluvii in Epidauriorum vicinia, cuiusmodi potes rit flumen sumi ex Statio Theb. 4, 710.“ Wessel. ad Diod. l. c. Similes Parapotamios ad Cephissum Od. Muell. Orchom. p. 35. illustrat, sed iure Arn. tum *ὑπ. τῶν παραπ. καλουμένων* desiderat. Wesselingii scripturam tenens Bened. de regione ad fluvium aliquem sita accipit, cuius nomine aliquod tributi genus, hostiam in templum Apollinis Pythaensis Epidaurii offerre debuerint. Conf. c. 31. Argivi illius templi dicuntur *κυριώτατοι* fuisse i. e. er war den Argivern ganz besonders eigen (übrigens ein gemeinsames Heiligthum der ganzen Umgegend). v. Od. Muell. Dor. 1. p. 83. 153. Scyllaeum promontorium illud est, quod nunc Cap Skylli appellatur. Vid. ibid. 2. p. 436.

54. *ἐς Λεῦκτρα*] De situ Leuctrae vid. ibidem p. 448. Falsus esse videtur Leak. Travels in the Morea Vol. 2. p. 322., certe cum eius opinione praesens locus, ubi oppidum *ἐν μεθορίῳ* Laconicae situm esse legimus, minime congruit. Propter verba *ἤδει δὲ οὐδείς* v. Od. Muell. l. c. 1. p. 181. Paulo post *ὅποι στρατεύσουσιν* legi vult Popp., citra necessitatem, opinor. De diabateriis v. Valck. ad Herodot. 7, 134. Wachsm. Antt. Gr. 2, 1. p. 391, 126. Ad verba *μετὰ τὸν μέλλοντα* supple *μῆνα*. Hic mensis proxime futurus, erat Carneus. Schol. *τοῦ γὰρ Καρνείου πολλὰς ἔχοντος ἱερὰς ἡμέρας* [*ἢ καὶ πάσας ἱερὰς μᾶλ-*

*μεθορίας πρὸς τὸ Λύκαιον Ἄγιδος τοῦ Ἀρχιδάμου βασιλέως
ἡγουμένου· ἤδει δὲ οὐδεὶς ὅποι στρατεύουσιν, οὐδὲ αἱ πόλεις
ἐξ ὧν ἐπέμφθησαν. ὡς δ' αὐτοῖς τὰ διαβατήρια θυομένοις οὐ
προὐχώρει, αὐτοί τε ἀπῆλθον ἐπ' οἴκου καὶ τοῖς ξυμμάχοις
περιήγγειλαν μετὰ τὸν μέλλοντα, Καρνεῖος δ' ἦν μήν, ἱερο-
μήνια Δωριεῦσι, παρασκευάζεσθαι ὡς στρατευσομένους. Ἀργεῖοι
δ' ἀναχωρησάντων αὐτῶν, τοῦ πρὸ τοῦ Καρνείου μηνὸς ἐξελ-
θόντες τετράδι φθίνοντος, καὶ ἄγοντες τὴν ἡμέραν ταύτην,
πάντα τὸν χρόνον ἐσέβαλλον ἐς τὴν Ἐπιδαυρίαν καὶ ἐδῄουν.
Ἐπιδαύριοι δὲ τοὺς ξυμμάχους ἐπεκαλοῦντο· ὧν τινες οἱ μὲν
τὸν μῆνα προὐφασίσαντο, οἱ δὲ καὶ ἐς μεθορίαν τῆς Ἐπι-
δαυρίας ἐλθόντες ἡσύχαζον. καὶ καθ' ὃν χρόνον ἐν τῇ Ἐπι-
δαύρῳ οἱ Ἀργεῖοι ἦσαν, ἐς Μαντίνειαν πρεσβεῖαι ἀπὸ τῶν πό-
λεων ξυνῆλθον, Ἀθηναίων παρακαλεσάντων. καὶ γιγνομένων
λόγων Εὐφαμίδας ὁ Κορίνθιος οὐκ ἔφη τοὺς λόγους τοῖς ἔργοις*

λον], *οὐκ ἐστρατεύοντο*. Ubi verba uncis inclusa Valck. ad Herodot. 7, 206. ab ineptulo aliquo interiecta censet. Docuit autem Boeckh. Indic. lectt. aestiv. univers. Berolin. ann. 1816., hoc solo mense Spartanos non ante plenilunium in bellum profectos esse. Mense Spartanorum Hecatombeo, quem respondisse perhibent mensi Attico Hecatombaeoni, Hyacinthia agebantur. v. Wachsm. l. c. 2, 2. p. 258. coll. p. 285. Proxime post Hyacinthia sequenti mense Carnea celebrabantur, mense Spartanorum Carneo, Attico proinde mense Metagitnione. Vid. Od. Muell. Dor. 1. p. 355. Wachsm. l. c. 2, 2. p. 257. 285. 493. Initium Carnea habebant inde a mensis Carnei die septimo et per nundinum continuabantur. Vid. Od. Muell. Orchom. p. 327. Praesenti loco intelligenda sunt Carnea anni Ol. 90, 2. (419.) Conf. Mans. Spart. 1, 2. p. 215. 3, 2. p. 200. Wess. ad Herodot. 6, 106. Ideler. Handb. d. Chronol. Vol. 1. p. 363 sq. Interpp. ad Eurip. Alc. 460. Neutrum *ἱερομήνια* significat festliche Zeit, quinetiam *ἱερομηνία* eo sensu usurpatur. Vid. adn. ad 3, 56. Dein *τετρὰς φθίνοντος* Hecatombei sive quartus dies a fine mensis eius est dies 18 Aug. anni Iuliani 419. sive mensis Attici Hecatombaeonis dies 27. Ol. 90, 2.

καὶ ἄγοντες] Schol. Lugd. *τὸν στρατόν*. Participium praesentis non potest esse *exercitu ducto*, sive ut Valla convertit *itinere facto*, sed sensus est: *sed agmen ducentes die quarto a fine Hecatombei* tum hoc die *tum per omne tempus* usque ad initium Carneorum i. e. per decem fere dies *Epidauriorum agrum incursione vastabant*. Per ipsa Carnea ab armis recedebant, nam ea universis Doriensibus sacra erant. Hinc patet, ex Vat. H. Gr. legendum esse *ἐσέβαλλον* pro *ἐσέβαλον*.

55. *Εὐφαμίδας*] Multi libri *Ἐφαμίδας*, correxit Valck. ad Herodot. 4, 150. Mox *ἐφ' ἑκατέρων* recepi ex Cass. (in quo rec. man. in *ἀφ'* mutavit) et m., qui *ἐφ'* superscriptum habet. Intellige *ad utrorumque belligerantium* (Argivorum et Epidauriorum) *exercitus*. Vulgo *ἀφ' ἑκατέρων*. Quaerit Haack., quinam sint illi *ἑκάτεροι*, et iure quaerit. Arn. et Dobr. interpretantur: *suadebant, ut legati irent ab utrisque partibus Mantineae paciscentibus et exercitus separarent*. Quod si ita est, fatendum erit, Thucydidem parum definite locutum esse, non more suo. Ceterum „verbo *ἐλθόντας* subiectum significatum est. Plat. Phaedon. p. 63. D. *φησὶ γὰρ θερμαίνεσθαι μᾶλλον διαλεγομένους*, si id sine articulo scribendum. Acute disseruit de hoc genere Graserus in Specimin. Advers. in serm. Platon. p. 75. Exempla nonnulla attulit

ὁμολογεῖν· σφεῖς μὲν γὰρ περὶ εἰρήνης ξυγκαθῆσθαι, τοὺς δ' Ἐπιδαυρίους καὶ τοὺς ξυμμάχους καὶ τοὺς Ἀργείους μεθ' ὅπλων ἀντιτετάχθαι· διαλῦσαι οὖν πρῶτον χρῆναι ἐφ' ἑκατέρων ἐλθόντας τὰ στρατόπεδα, καὶ οὕτω πάλιν λέγειν περὶ τῆς εἰρήνης. καὶ πεισθέντες ᾤχοντο καὶ τοὺς Ἀργείους ἀπήγαγον ἐκ τῆς Ἐπιδαυρίας. ὕστερον δὲ ἐς τὸ αὐτὸ ξυνελθόντες οὐδ' ὣς ἐδυνήθησαν ξυμβῆναι, ἀλλ' οἱ Ἀργεῖοι πάλιν ἐς τὴν Ἐπιδαυρίαν ἐξέβαλον καὶ ἐδῄουν. ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐς Καρύας· καὶ ὡς οὐδ' ἐνταῦθα τὰ διαβατήρια αὐτοῖς ἐγένετο, ἐπανεχώρησαν. Ἀργεῖοι δὲ τεμόντες τῆς Ἐπιδαυρίας ὡς τὸ τρίτον μέρος, ἀπῆλθον ἐπ' οἶκον. καὶ Ἀθηναίων αὐτοῖς χίλιοι ἐβοήθησαν ὁπλῖται, καὶ Ἀλκιβιάδης στρατηγός· πυθόμενοι δὲ τοὺς Λακεδαιμονίους ἐξεστρατεῦσθαι, καὶ ὡς οὐδὲν ἔτι αὐτῶν ἔδει, ἀπῆλθον. καὶ τὸ θέρος οὕτω διῆλθεν.

56 Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι λαθόντες Ἀθηναίους φρουρούς τε τριακοσίους καὶ Ἀγησιππίδαν ἄρχοντα κατὰ θάλασσαν ἐς Ἐπίδαυρον ἐξέπεμψαν. Ἀργεῖοι δ' ἐλθόντες παρ' Ἀθηναίους ἐπεκάλουν ὅτι γεγραμμένον ἐν ταῖς σπονδαῖς διὰ τῆς ἑαυτῶν ἑκάστους μὴ ἐᾶν πολεμίους διιέναι, ἐάσειαν κατὰ θάλασσαν παραπλεῦσαι· καὶ εἰ μὴ κἀκεῖνοι ἐς Πύλον κο-

Matth. §. 271., quibus adde Aesch. Ag. 69. Soph. El. 1323." HERM. ad Eur. Hecub. p. 65. ed. sec. Dein Argivi dicuntur *πάλιν ἐς τὴν Ἐπιδαυρίων* incursionem fecisse, nempe post peracta Carnea; nam ne sine intermissione agrum hostium popularentur, hoc ipsum festum ab ipsis quoque celebratum in causa fuit. Statim Lacedaemonii Caryas exercitum educunt: qui locus situs erat ad introitum unius ex convallibus, quae procurrunt a Parnone monte ad convallem Oeni rivi, qui exoneratur in Eurotam superne ab urbe Sparta inter septentriones et orientem, ut Arn. docuit ex Leak. Travels in Morea Vol. 2. p. 531. 3. p. 30. Extremo capite Haack. cum Abreschio et Bredovio interpretatur verbum *ἐξεστρατεῦσθαι* per: *expeditioni finem imposuisse*, quam vim esse dicit perfecti medii, Popp. praepositionis *ἐξ*, Arn. plusquamperfecti (id exempla ab eo allata plusquamperfectorum comprobant), quasi *ἐξεστρατεῦσθαι* plusquamperfectum sit. Sed verbum nihil aliud mea quidem sententia significat, nisi *profectos esse ad bellicam expeditionem*. Sequor Bloomfieldium et Didotium, qui locum leviuscula mutatione persanasse videntur, scribentes: *καὶ Ἀθηναίων αὐτοῖς χίλιοι ἐβοήθησαν ὁπλῖται καὶ Ἀλκιβιάδης στρατηγὸς, πυθόμενοι τοὺς Λακεδαιμονίους ἐξεστρατεῦσθαι· καὶ ὡς οὐδὲν ἔτι αὐτῶν ἔδει* etc. Argivi rursus Epidauriam populantur; Spartani Caryas exeunt, qua expeditione nunciata Athenienses Argivis sociis auxilio properant; interea Spartani, cum fluvium traiecturi non litassent, recedunt, quo fit, ut Argivi Atheniensibus carere possint. Quamobrem hi quoque abeunt.

56. *Πύλον*] Schol. *οἱ Ἀργεῖοι τοῖς Ἀθηναίοις ἔλεγον ὅτι, ἐὰν μὴ εἰσαγάγωσι πάλιν εἰς Πύλον τοὺς Εἵλωτας καὶ Μεσσηνίους, οὓς ἐξήγαγον ἐκ Πύλου διὰ τὰς πρὸς Μεσσηνίους* (scr. *Λακεδαιμονίους*, v. c. 35.) *συνθήκας, ἀδικήσεσθαι αὐτοὶ οἱ Ἀργεῖοι.* Idem *ἐπὶ Λακεδαιμονίους* recte explicat per *κατὰ τῶν Λακεδαιμονίων*. Deinde *τοὺς ἐκ Κρανίων* est idem ac si scripsisset *τοὺς ἐν Κρανίοις ἐκ Κρανίων*. Et verba *ἐκ παρασκευῆς* Schol. interpretatur *ἐκ φανερᾶς παρατάξεως*, dicas keine förmliche Feldschlacht. Ad *ὡς ἐρήμου οὔσης* supple *συμ-*

μιοῦσιν ἐπὶ Λακεδαιμονίους τοὺς Μεσσηνίους καὶ Εἵλωτας, ἀδικήσεσθαι αὐτοί. Ἀθηναῖοι δὲ Ἀλκιβιάδου πείσαντος τῇ μὲν Λακωνικῇ στήλῃ ὑπέγραψαν ὅτι οὐκ ἐνέμειναν οἱ Λακεδαιμόνιοι τοῖς ὅρκοις, ἐς δὲ Πύλον ἐκόμισαν τοὺς ἐκ Κρανίων Εἵλωτας ληίζεσθαι, τὰ δ' ἄλλα ἡσύχαζον. τὸν δὲ χειμῶνα τοῦτον πολεμούντων Ἀργείων καὶ Ἐπιδαυρίων, μάχη μὲν οὐδεμία ἐγένετο ἐκ παρασκευῆς, ἐνέδραι δὲ καὶ καταδρομαί, ἐν αἷς ὡς τύχοιεν ἑκατέρων τινὲς διεφθείροντο. καὶ τελευτῶντος τοῦ χειμῶνος πρὸς ἔαρ ἤδη κλίμακας ἔχοντες οἱ Ἀργεῖοι ἦλθον ἐπὶ τὴν Ἐπίδαυρον, ὡς ἐρήμου οὔσης διὰ τὸν πόλεμον βίᾳ αἱρήσοντες· καὶ ἄπρακτοι ἀπῆλθον. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ τρίτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου θέρους μεσοῦντος Λακεδαιμόνιοι, ὡς57 αὐτοῖς οἵ τε Ἐπιδαύριοι ξύμμαχοι ὄντες ἐταλαιπώρουν καὶ τἆλλα ἐν τῇ Πελοποννήσῳ τὰ μὲν ἀφεστήκει τὰ δ' οὐ καλῶς εἶχε, νομίσαντες, εἰ μὴ προκαταλήψονται ἐν τάχει, ἐπὶ πλέον χωρήσεσθαι αὐτά, ἐστράτευον αὐτοὶ καὶ οἱ Εἵλωτες πανδημεὶ ἐπ' Ἄργος, ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς. ξυνεστράτευον δ' αὐτοῖς Τεγεᾶται καὶ ὅσοι ἄλλοι Ἀρκάδων Λακεδαιμονίοις ξύμμαχοι ἦσαν. οἱ δ' ἐκ τῆς ἄλλης Πελοποννήσου ξύμμαχοι καὶ οἱ ἔξωθεν ἐς Φλιοῦντα ξυνελέγοντο, Βοιωτοὶ μὲν πεντακισχίλιοι ὁπλῖται καὶ τοσοῦτοι ψιλοὶ καὶ ἱππῆς πεντακόσιοι καὶ ἄμιπποι ἴσοι, Κορίνθιοι δὲ δισχίλιοι ὁπλῖται, οἱ δ' ἄλλοι ὡς ἕκαστοι, Φλιάσιοι δὲ πανστρατιᾷ, ὅτι ἐν τῇ ἐκείνων ἦν τὸ στράτευμα. Ἀργεῖοι δὲ προαισθόμενοι τό τε πρῶτον τὴν58 παρασκευὴν τῶν Λακεδαιμονίων καὶ ἐπειδὴ ἐς τὸν Φλιοῦντα βουλόμενοι τοῖς ἄλλοις προσμῖξαι ἐχώρουν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί. ἐβοήθησαν δ' αὐτοῖς καὶ Μαντινῆς, ἔχοντες

μαχίας, vel potius *ἀνθρώπων*. „Exspectabant enim, vires Epidauriorum dispersas esse per totum eorum agrum ad defendenda castella et munita locorum propter depraedationes, quas Argivi passim bellum gerendo exercebant, et sic fore ut urbs sine defensoribus sit." ARN.

57. *τὰ μὲν — τὰ δ' οὔ*] Schol. *τὰ μὲν ἀφειστήκει τῶν Λακεδαιμονίων δηλονότι, τουτέστιν Ἤλις καὶ Μαντίνεια· τὰ δ' οὐ καλῶς εἶχεν, ἤγουν ἐστασίαζεν, τουτέστιν ἡ Κόρινθος.* Mox *ἄμιπποι* erant genus levis armaturae militum, qui una cum equitibus in proeliis versabantur, iubis equorum sublevati cursum adaequabant, modo pone equites assidebant, modo ad pugnandum desiliebant, ut cum hoste concurrerent, quorum usum in proeliis Caes. B. G. 1, 48. B. C. 3, 84. describit. Videntur iidem fuisse, quos Herodot. 7, 158. dicit *ἱπποδρόμους ψιλούς*. Vid. Harpocr. et Hesych. v. *ἄμιππος*, Aristot. Polit. 6, 4, 4. Aelian. Tact. c. 38. Valer. M. 2, 3. Curt. 7, 7. Varia miscent *ἀμίππους* sive equitibus intermixtos pedites et *ἀμιππους* sive desultores non distinguentes veteres Grammatici Suidas in *ἄμιπποι* et *ἄμιππος*, Phavorin. Eustath. in Hom. Od. 5. p. 1539, 28. coll. in Il. 15. p. 1037. 48. Rom. et Interpp. ad Polluc. 1, 131. Melius Mor. et Schneid. ad Xen. H. Gr. 7, 5, 23., Kust. ad Suid., Maussac. ad Harpocr., Od. Muell. Dor. 2. p. 242, 3. et Wachsm. Antt. Gr. 2, 1. p. 401, 48.

τοὺς σφετέρους ξυμμάχους, καὶ Ἠλείων τρισχίλιοι ὁπλῖται. καὶ προϊόντες ἀπαντῶσι τοῖς Λακεδαιμονίοις ἐν Μεθυδρίῳ τῆς Ἀρκαδίας. καὶ καταλαμβάνουσιν ἑκάτεροι λόφον· καὶ οἱ μὲν Ἀργεῖοι ὡς μεμονωμένοις τοῖς Λακεδαιμονίοις παρεσκευάζοντο μάχεσθαι, ὁ δὲ Ἄγις τῆς νυκτὸς ἀναστήσας τὸν στρατὸν καὶ λαθὼν ἐπορεύετο ἐς Φλιοῦντα παρὰ τοὺς ἄλλους ξυμμάχους. καὶ οἱ Ἀργεῖοι αἰσθόμενοι ἅμα ἕῳ ἐχώρουν, πρῶτον μὲν ἐς Ἄργος, ἔπειτα ᾗ προσεδέχοντο τοὺς Λακεδαιμονίους μετὰ τῶν ξυμμάχων καταβήσεσθαι, τὴν κατὰ Νεμέαν ὁδόν. Ἄγις δὲ ταύτην μὲν ἣν προσεδέχοντο οὐκ ἐτράπετο, παραγγείλας δὲ τοῖς Λακεδαιμονίοις καὶ Ἀρκάσι καὶ Ἐπιδαυρίοις ἄλλην ἐχώρησε χαλεπήν, καὶ κατέβη ἐς τὸ Ἀργείων πεδίον· καὶ Κορίνθιοι καὶ Πελληνῆς καὶ Φλιάσιοι ὄρθιον ἑτέραν ἐπορεύοντο· τοῖς δὲ Βοιωτοῖς καὶ Μεγαρεῦσι καὶ Σικυωνίοις εἴρητο τὴν ἐπὶ Νεμέας ὁδὸν καταβαίνειν, ᾗ οἱ Ἀργεῖοι καθῆντο, ὅπως εἰ οἱ Ἀργεῖοι ἐπὶ σφᾶς ἰόντες ἐς τὸ πεδίον βοηθοῖεν, ἐφεπόμενοι τοῖς ἵπποις χρῷντο. καὶ ὁ μὲν οὕτω διατάξας καὶ ἐσβαλὼν ἐς τὸ πεδίον ἐδήου Σάμινθόν τε
59 καὶ ἄλλα. οἱ δὲ Ἀργεῖοι γνόντες ἐβοήθουν ἡμέρας ἤδη ἐκ τῆς Νεμέας, καὶ περιτυχόντες τῷ Φλιασίων καὶ Κορινθίων στρατοπέδῳ τῶν μὲν Φλιασίων ὀλίγους ἀπέκτειναν, ὑπὸ δὲ τῶν Κορινθίων αὐτοὶ οὐ πολλῷ πλείους διεφθάρησαν. καὶ οἱ Βοιωτοὶ

58. *ἐν Μεθυδρίῳ*] Methydrium Od. Muell. l. c. p. 442. putat ruinas esse, Palatia dictas et inter duos fluvios sitas. Consentit cum eo de situ eius oppidi Arn. post Leakium Travels in Morea Vol. 2. p. 57. 58. Mox libri variant inter *ὄρθιον ὁδόν*, *ὄρθριον*, *κατὰ ὄρθριον*, *ὄρθρειοι*, *ὄρθριει* i. e. *ὄρθριοι*. Valla: *diverso itinere matutini perrexere.* Aut vulgatam tenendam, aut legendum *ὄρθριοι* Popp. putat, qui propter *ὄρθριοι* conferri iubet initium proximi capitis. Propter *ἑτέραν*, quod refertur ad *χαλεπήν*, magis inclines in *ὄρθιον*, adde quod cap. proximo Corinthii, Phliasii et Pellenenses *καθύπερθεν* imminere narrantur. „Agis cum Peloponnesiis Phlii est; Argivi, ut campum suum tueantur, in via Contoporia Nemeam tendunt. Agis autem viam ingreditur magis occidenti obversam et exit apud Saminthum; Phliasii viam flectunt per tramitem *trans montem* (*ὄρθιον*) et exeunt, puto, apud Hellenon-Lithari, Boeoti simul per viam celeberrimam Nemea profecti progrediuntur, dum Agis agmine de campo deflexo et superna petens Argivorum tergis impetum minatur.“ Od. Muell. Dor. 2. p. 434. Idem Saminthum p. 433. fin. putat ad occidentem a Mycenis situm fuisse, ubi nunc Phyti est. Leak. Travels in Morea Vol. 2. p. 415. Saminthum suspicatur fuisse eo loco, ubi nunc Kutzopódhi, ubi reliquiae antiquitatis subinde inveniantur. Iter Agidis trans montem Lyrceum ait fuisse. Adde Wachsm. Antt. Gr. 1, 1. p. 17, 9. 10. conf. Muell. l. c. p. 435. init.

59. *αὐτοὶ οὐ πολλῷ πλείους*] Reisk. volebat *αὐτοῖς*. Vall. *ex ipsis haud multo plures a Corinthiis obtruncantur.* Arn. vulgatam tuetur, comparans Liv. 21, 29. *Victi amplius ducenti ceciderunt*, et 5, 115. *Ἀργεῖοι διεφθάρησαν ὡς ὀγδοήκοντα* et interpretans they suffered themselves in not much greater numbers. Participii *καταβάντες* subiectum Argivi sunt, quamquam modo aliud subiectum praecesserat. Thrasyllus dicitur *τῶν πέντε στρατηγῶν εἷς*, quos quinque praetores Arn. putat referri ad quinque illos lochos, qui memorantur c. 72., addens Spartae quoque ab origine quinque lochos fuisse auctore Schol. ad Thuc. 4, 8. Paulo post alii libri *προσελθόντες*, „quod praeferunt Aem. Port. et Bened., sed quum *διελεγέσθην* sequatur, vide ne iis, quae a Matth. §. 301. et Buttm. Gr. §. 129. adn. 4. (ed. 13.) obsefvata sunt, non satis confirmetur.“ Popp.

60. *τῶν ἐν τέλει*] sc. polemarchorum (Xen. R. L. 13, 1.), duorum ex Ephoris, qui regem Spartanorum in bellis comitari solebant (Xen. H. Gr. 2, 4, 36., Homoeorum quorundam (Xen. R. L. 13, 1.) et binorum Pythiorum (Herodot. 6, 57.). Conf. Od. Muell. Dor. 2. p. 240. Arn. Propter verba *διὰ τὸν νόμον* adi eundem Muell. ibidem p. 104, 3. De participio *παραινῶν* v. Matth. p. 1111. §. 564. Ad verba *ἐν Νεμέᾳ* haec extat Scholiastae adnotatio: *ζητεῖται πῶς ἰριχῇ διαιρεθέντος τοῦ τῶν Πελοποννησίων στρατεύματος εἰς Φλιοῦντα, καὶ ἑνὸς μόνου μέρους τὴν ἐπὶ Νεμέαν ἰόντος, τῶν δὲ ἄλλων ἄλλαις χρησαμένων ὁδοῖς καὶ οὐδαμοῦ συμμιξάντων, ἔφη ἀθρόους αὐτοὺς ὤφθαι περὶ Νεμέαν. μήποτε δὲ μετὰ τὰς σπονδὰς ἀναχωροῦντα τὰ τρία μέρη ὀπίσω ἐπὶ Φλιοῦντα ἐν Νεμέᾳ πάντα ἐγένετο. εὔπορος γὰρ ἦδε ἡ ὁδός· καὶ διὰ τοῦτο καὶ οἱ Ἀργεῖοι, ἐγγύθεν πάντας ἥξειν ἐπὶ τὴν μάχην προσδεχόμενοι, προαπῆντων εἰς τὴν Νεμέαν.* De Charadro, quem paulo post nominat, v. Od. Muell. Dor. 2. p. 220, 5. 434. fin. „Charadrus nihil est nisi torrens (Pausan. 2, 25.), fluens subter ipsa moenia Argorum; nunc appellatur Rema. Vid. Leak. Travels in the Morea Vol. 2. p. 364. 394.“ Arn. Mox *ἀπὸ στρατείας* habent Ar. Chr. *ἀποστρατείας* Cass. Aug. Vulgo *ἀπὸ στρατιᾶς*. H. *ἐκ στρατιᾶς*. Scripturam *ἀποστρατείας* amplectitur Schneid. vocabular. intelligens Klagen wegen verlassenen oder schlecht geleisteten Kriegsdienstes. At

καὶ οἱ Μεγαρῆς καὶ οἱ Σικυώνιοι ἐχώρουν, ὥσπερ εἴρητο αὐτοῖς, ἐπὶ τῆς Νεμέας, καὶ τοὺς Ἀργείους οὐκέτι κατέλαβον, ἀλλὰ καταβάντες, ὡς ἑώρων τὰ ἑαυτῶν δηούμενα, ἐς μάχην παρετάσσοντο. ἀντιπαρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι. ἐν μέσῳ δὲ ἀπειλημμένοι ἦσαν οἱ Ἀργεῖοι. ἐκ μὲν γὰρ τοῦ πεδίου οἱ Λακεδαιμόνιοι εἶργον τῆς πόλεως καὶ οἱ μετ' αὐτῶν, καθύπερθεν δὲ Κορίνθιοι καὶ Φλιάσιοι καὶ Πελληνῆς, τὸ δὲ πρὸς Νεμέας Βοιωτοὶ καὶ Σικυώνιοι καὶ Μεγαρῆς. ἵπποι δὲ αὐτοῖς οὐ παρῆσαν· οὐ γάρ πω οἱ Ἀθηναῖοι μόνοι τῶν ξυμμάχων ἦκον· τὸ μὲν οὖν πλῆθος τῶν Ἀργείων καὶ τῶν ξυμμάχων οὐχ οὕτω δεινὸν τὸ παρὸν ἐνόμιζον, ἀλλ' ἐν καλῷ ἐδόκει ἡ μάχη ἔσεσθαι, καὶ τοὺς Λακεδαιμονίους ἀπειληφέναι ἐν τῇ αὑτῶν τε καὶ πρὸς τῇ πόλει. τῶν δὲ Ἀργείων δύο ἄνδρες, Θρασύλλός τε τῶν πέντε στρατηγῶν εἷς ὢν καὶ Ἀλκίφρων πρόξενος Λακεδαιμονίων ἤδη τῶν στρατοπέδων ὅσον οὐ ξυνιόντων προσελθόντε Ἄγιδι διελεγέσθην μὴ ποιεῖν μάχην· ἑτοίμους γὰρ εἶναι Ἀργείους δίκας δοῦναι καὶ δέξασθαι ἴσας καὶ ὁμοίας, εἴ τι ἐπικαλοῦσιν Ἀργείοις Λακεδαιμόνιοι, καὶ τὸ λοιπὸν εἰρήνην ἄγειν σπονδὰς ποιησαμένους. καὶ οἱ μὲν ταῦτα εἰπόντες τῶν
60 Ἀργείων ἀφ' ἑαυτῶν καὶ οὐ τοῦ πλήθους κελεύσαντος εἶπον· καὶ ὁ Ἄγις δεξάμενος τοὺς λόγους αὐτός τε καὶ οὐ μετὰ τῶν πλειόνων οὐδὲ αὐτὸς βουλευσάμενος ἀλλ' ἢ ἑνὶ ἀνδρὶ κοινώσας τῶν ἐν τέλει ξυστρατευομένων σπένδεται τέσσαρας μῆνας ἐν οἷς

ἔδει ἐπιτελέσαι αὐτοὺς τὰ ῥηθέντα. καὶ ἀπήγαγε τὸν στρατὸν εὐθύς, οὐδενὶ φράσας τῶν ἄλλων ξυμμάχων. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι εἵποντο μὲν ὡς ἡγεῖτο διὰ τὸν νόμον, ἐν αἰτίᾳ δ' εἶχον κατ' ἀλλήλους πολλῇ τὸν Ἄγιν, νομίζοντες ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν καὶ πανταχόθεν αὐτῶν ἀποκεκλημένων καὶ ὑπὸ ἱππέων καὶ πεζῶν, οὐδὲν δράσαντας ἄξιον τῆς παρασκευῆς ἀπιέναι. στρατόπεδον γὰρ δὴ τοῦτο κάλλιστον Ἑλληνικὸν τῶν μέχρι τοῦδε ξυνῆλθεν· ὤφθη δὲ μάλιστα ἔως ἔτι ἦν ἀθρόον ἐν Νεμέᾳ, ἐν ᾧ Λακεδαιμόνιοί τε πανστρατιᾷ ἦσαν καὶ Ἀρκάδες καὶ Βοιωτοὶ καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Πελληνῆς καὶ Φλιάσιοι καὶ Μεγαρῆς, καὶ οὗτοι πάντες λογάδες ἀφ' ἑκάστων, ἀξιόμαχοι δοκοῦντες εἶναι οὐ τῇ Ἀργείων μόνον ξυμμαχίᾳ, ἀλλὰ καὶ ἄλλῃ ἔτι προσγενομένῃ. τὸ μὲν οὖν στρατόπεδον οὕτως ἐν αἰτίᾳ ἔχοντες τὸν Ἄγιν ἀνεχώρουν τε καὶ διελύθησαν ἐπ' οἴκου ἕκαστοι. Ἀργεῖοι δὲ καὶ αὐτοὶ ἔτι ἐν πολλῷ πλείονι αἰτίᾳ εἶχον τοὺς σπεισαμένους ἄνευ τοῦ πλήθους, νομίζοντες κἀκεῖνοι μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν Λακεδαιμονίους διαπεφευγέναι· πρός τε γὰρ τῇ σφετέρᾳ πόλει καὶ μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων τὸν ἀγῶνα ἂν γίγνεσθαι. τόν τε Θράσυλλον ἀναχωρήσαντες ἐν τῷ Χαράδρῳ, οὗπερ τὰς ἀπὸ στρατείας δίκας πρὶν ἐξιέναι κρίνουσιν, ἤρξαντο λεύειν. ὁ δὲ καταφυγὼν ἐπὶ τὸν βωμὸν περιγίγνεται· τὰ μέντοι χρήματα ἐδήμευσαν αὐτοῦ.

61 Μετὰ δὲ τοῦτο Ἀθηναίων βοηθησάντων χιλίων ὁπλιτῶν καὶ τριακοσίων ἱππέων, ὧν ἐστρατήγουν Λάχης καὶ Νικόστρα-

tales lites apud Atticos certe audiebant γραφαὶ ἀστρατείας et λειποστρατίου. Mihi persuasum est, Thucydidem dedisse ἀπὸ στρατιᾶς, cum sensu tamen στρατείας, wo sie Prozesse, die durch einen Feldzug veranlasst sind, bevor sie einziehen, abertheilen. v. Matth. p. 1131. §. 573. extr. „Iudicia militaria extra urbem exercebantur, quia intra moenia communes leges cum formulis et beneficiis suis valiturae fuissent: at actiones in Charadro arbitrariae tumultuariaeque videntur fuisse. Neque secus comitia centuriata Romae semper extra pomoerium in Campo Martio habebantur, quia institutio eorum ab origine militaris erat, quapropter populus centuriis descriptus exercitus appellabatur (Liv. 39, 15.). Et propter locum his iudiciis Argis lectum comparandum est Caput Aquae Ferentinae, tam nobile per comitia Latinorum ibi habita.“ Arn.

61. τριακοσίων] Diod. 12, 79. ducentos nominat. In proximis scriptor dicere debebat vel ὅτι οὔτε αἱ σπονδαὶ ὀρθῶς γένοιντο — καὶ νῦν ἅπτεσθαι χρείη τοῦ πολέμου, vel οὐκ ὀρθῶς καὶ γένοιντο καὶ νῦν ἐμπόδιοι εἶεν τῷ πολέμῳ, si in eadem structura manere volebat. Mox ὅμως καὶ πεισθέντες idem est ac si dedisset: οὗτοι δὲ καὶ πεισθέντες, ὅμως ὑπελείποντο etc. Conf. 8, 93. οἱ τετρακόσιοι ἐς τὸ βουλευτήριον ὅμως καὶ τεθορυβημένοι ξυνελέγοντο. Dein ante καὶ ὅμηροι „quum H. Steph. particulam ὅτι omissam crederet, non animadvertit, Thucydidem, quod is facit saepissime, quum ante ex aliena sententia locutus esset, ex sua ipsius sententia loqui pergere.“ Herm. De Ellips. et Pleonasm. p. 190. Extremo capite vulgo legitur καὶ ὁμήρους σφῶν τε

τος, οἱ Ἀργεῖοι, ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν λῦσαι πρὸς τοὺς Λακεδαιμονίους, ἀπιέναι ἐκέλευον αὐτούς, καὶ πρὸς τὸν δῆμον οὐ προσῆγον βουλομένους χρηματίσαι πρὶν ἢ Μαντινῆς καὶ Ἠλεῖοι, ἔτι γὰρ παρῆσαν, κατηνάγκασαν δεόμενοι. καὶ ἔλεγον οἱ Ἀθηναῖοι Ἀλκιβιάδου πρεσβευτοῦ παρόντος ἔν τε τοῖς Ἀργείοις καὶ ξυμμάχοις ταῦτα ὅτι οὐκ ὀρθῶς αἱ σπονδαὶ ἄνευ τῶν ἄλλων ξυμμάχων καὶ γένοιντο, καὶ νῦν, ἐν καιρῷ γὰρ παρεῖναι σφεῖς, ἅπτεσθαι χρῆναι τοῦ πολέμου. καὶ πείσαντες ἐκ τῶν λόγων τοὺς ξυμμάχους εὐθὺς ἐχώρουν ἐπὶ Ὀρχομενὸν τὸν Ἀρκαδικὸν πάντες πλὴν Ἀργείων· οὗτοι δὲ ὅμως καὶ πεισθέντες ὑπελείποντο πρῶτον, ἔπειτα δ' ὕστερον καὶ οὗτοι ἦλθον. καὶ προσκαθεζόμενοι τὸν Ὀρχομενὸν πάντες ἐπολιόρκουν, καὶ προσβολὰς ἐποιοῦντο, βουλόμενοι ἄλλως τε προσγενέσθαι σφίσι, καὶ ὅμηροι ἐκ τῆς Ἀρκαδίας ἦσαν αὐτόθι ὑπὸ Λακεδαιμονίων κείμενοι. οἱ δὲ Ὀρχομένιοι δείσαντες τήν τε τοῦ τείχους ἀσθένειαν καὶ τοῦ στρατοῦ τὸ πλῆθος, καὶ ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, μὴ προαπόλωνται, ξυνέβησαν ὥστε ξύμμαχοί τε εἶναι καὶ ὁμήρους σφῶν τε αὐτῶν δοῦναι καὶ Μαντινεῦσιν οὓς κατέθεντο Λακεδαιμόνιοι παραδοῦναι. μετὰ δὲ τοῦτο ἔχοντες 62
ἤδη τὸν Ὀρχομενὸν ἐβουλεύοντο οἱ ξύμμαχοι ἐφ' ὅ,τι χρὴ πρῶτον ἰέναι τῶν λοιπῶν. καὶ Ἠλεῖοι μὲν ἐπὶ Λέπρεον ἐκέλευον, Μαντινῆς δὲ ἐπὶ Τεγέαν· καὶ προσέθεντο οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι τοῖς Μαντινεῦσι. καὶ οἱ μὲν Ἠλεῖοι ὀργισθέντες ὅτι οὐκ ἐπὶ Λέπρεον ἐψηφίσαντο ἀνεχώρησαν ἐπ' οἴκου· οἱ δὲ ἄλλοι ξύμμαχοι παρεσκευάζοντο ἐν τῇ Μαντινείᾳ ὡς ἐπὶ Τεγέαν ἰόντες. καί τινες αὐτοῖς καὶ αὐτῶν Τεγεατῶν ἐν τῇ πόλει ἐνεδίδοσαν τὰ πράγματα.

Λακεδαιμόνιοι δὲ ἐπειδὴ ἀνεχώρησαν ἐξ Ἄργους τὰς τε- 63
τραμήνους σπονδὰς ποιησάμενοι, Ἄγιν ἐν μεγάλῃ αἰτίᾳ εἶχον

αὐτῶν δοῦναι Μαντινεῦσι, καὶ οὓς κατέθεντο Λακεδαιμόνιοι, παραδοῦναι. Ante Haackium legebatur δοῦναι καὶ M. καί etc. Is prius καί omisit cum libris scriptis compluribus. Praeclare locum restituit Did. Is alterum καί seclusit priori servato. „Quid est, ait, cur Orchomenii ante omnia Mantinensibus obsides darent? et quibusnam dabant eos obsides, quos Lacedaemonii deposuerant?“ Docet porro, obsides, quos Spartani Orchomeni deposuerant, Arcades Parrhasios fuisse καὶ Μαντινέων ὑπηκόους ex cap. 33. Praesenti igitur loco ex emendatione Didoti legimus Orchomenios Mantinensibus reddidisse obsides Arcades, Orchomeni per Spartanos depositos. Denique cap. 77. legimus ἀποδιδόντας τὼς παῖδας τοῖς Ὀρχομενίοις (Hos παῖδας intellige ὁμήρους σφῶν αὐτῶν praesentis loci esse), καὶ τὼς ἄνδρας τὼς ἐν Μαντινείᾳ τοῖς Λακεδαιμονίοις ἀποδιδόντας. Hic οἱ ἄνδρες οἱ ἐν Μαντινείᾳ iidem obsides Arcadiae sunt, quos reddere Mantinensibus Orchomenii coacti sunt, quosque Lacedaemonii repetebant, qui libertatem Arcadibus Parrhasiis restituerent c. 33. Λακεδαιμόνιοι δὲ τοὺς Παῤῥασίους αὐτονόμους ποιήσαντες etc.

62. αὐτῶν Τεγεατῶν] Vulgo αὐτῶν τῶν Τεγεατῶν. At τῶν om. libri quamplurimi. Vid. Krneg. ad Dionys. p. 454.

οὐ χειρωσάμενον σφίσιν Ἄργος, παρασχὸν καλῶς ὡς οὔπω πρότερον αὐτοὶ ἐνόμιζον· ἀθρόους γὰρ τοσούτους ξυμμάχους καὶ τοιούτους οὐ ῥᾴδιον εἶναι λαβεῖν. ἐπειδὴ δὲ καὶ περὶ Ὀρχομενοῦ ἠγγέλλετο ἑαλωκέναι, πολλῷ δὴ μᾶλλον ἐχαλέπαινον καὶ ἐβούλευον εὐθὺς ὑπ' ὀργῆς παρὰ τὸν τρόπον τὸν ἑαυτῶν ὡς χρὴ τήν τε οἰκίαν αὐτοῦ κατασκάψαι καὶ δέκα μυριάσι δραχμῶν ζημιῶσαι. ὁ δὲ παρῃτεῖτο μηδὲν τούτων δρᾶν· ἔργῳ γὰρ ἀγαθῷ ῥύσεσθαι τὰς αἰτίας στρατευσάμενος· ἢ τότε ποιεῖν αὐτοὺς ὅ,τι βούλονται. οἱ δὲ τὴν μὲν ζημίαν καὶ τὴν κατασκαφὴν ἐπέσχον, νόμον δὲ ἔθεντο ἐν τῷ παρόντι, ὃς οὔπω πρότερον ἐγένετο αὐτοῖς· δέκα γὰρ ἄνδρας Σπαρτιατῶν προσείλοντο αὐτῷ ξυμβούλους, ἄνευ ὧν μὴ κύριον εἶναι ἀπάγειν στρατιὰν ἐκ τῆς
64 πόλεως. ἐν τούτῳ δ' ἀφικνεῖται αὐτοῖς ἀγγελία παρὰ τῶν ἐπιτηδείων ἐκ Τεγέας ὅτι εἰ μὴ παρέσονται ἐν τάχει, ἀποστήσεται αὐτῶν Τεγέα πρὸς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ὅσον οὐκ ἀφέστηκεν. ἐνταῦθα δὴ βοήθειν τῶν Λακεδαιμονίων γίγνεται αὐτῶν τε καὶ τῶν Εἱλώτων πανδημεὶ ὀξεῖα καὶ οἵα οὔπω πρότερον. ἐχώρουν δὲ ἐς Ὀρέσθειον τῆς Μαιναλίας· καὶ τοῖς μὲν Ἀρκάδων σφετέροις οὖσι ξυμμάχοις προεῖπον ἀθροισθεῖσιν ἰέναι κατὰ πόδας αὐτῶν ἐς Τεγέαν, αὐτοὶ δὲ μέχρι μὲν τοῦ Ὀρεσθείου πάντες ἐλθόντες, ἐκεῖθεν δὲ τὸ ἕκτον μέρος σφῶν αὐτῶν ἀποπέμψαντες ἐπ' οἶκον, ἐν ᾧ τὸ πρεσβύτερόν τε καὶ τὸ νεώτερον ἦν, ὥστε τὰ οἴκοι φρουρεῖν, τῷ λοιπῷ στρατεύματι ἀφικνοῦνται ἐς Τεγέαν. καὶ οὐ πολλῷ ὕστερον οἱ ξύμμαχοι ἀπ' Ἀρκάδων παρῆσαν. πέμπουσι δὲ καὶ ἐς τὴν Κόρινθον

63. *παρὰ τὸν τρόπον*] v. Od. Muell. Dor. 2. p. 119. Porro *δέκα μυριάσι δραχμῶν* Agidem multabant. Si cum Muellero ibidem p. 106. statuas, has esse drachmas Aegineticas, summa efficitur amplius viginti septem talentorum Euboicorum et dimidii. Miltiades, ut adnotavit Arn., multatus erat quinquaginta talentis teste Herodoto 6, 136. et reges Spartanorum opulentiores erant, quam ullus fere privatus homo per totam Graeciam, quum et publico sumtu alerentur et multum agri in variis partibus Laconiae proprium haberent. Mox libri nonnulli *στρατευσόμενος*. „At sensus est: simulac *profectus fuerit*, non *profecturus*.“ Haack. Porro verbis *ἐν τῷ παρόντι* „non significatur, hanc legem scriptam esse modo uni expeditioni. Conf. Mans. Spart. 1, 2. p. 231. 2. p. 378. k.“ Od. Muell. Dor. 2. p. 105, 2. Add. Tittm. Gr. Staatsverf. p. 124. Paulo post *ἐκ τῆς πολεμίας* scribi vult Lindav. Spicil. p. 10., de quo non posse dubitari, si quis in quo rex antea deliquerit, probe memor esset. In eo rem versam esse, ut rex, quod ante ipse fecerat, in posterum ne faceret, iniussuque horum decemvirorum copias ex agro hostium reduceret. Contra quem Popp. monet, scriptorem nihil aliud dicere velle, quam non licuisse amplius regi sine his comitibus in bellum proficisci, utiturque teste Diod. 12, 78. *παρακατέστησαν συμβούλους καὶ προσέταξαν μηδὲν ἄνευ τῆς τούτων γνώμης πράττειν.*

64. *Ὀρέσθειον*] v. Interpp. ad Herodot. 9, 11. et adn. ad 4, 134. Propter *τὸ ἕκτον μέρος* adi Od. Muell. Dor. 2. p. 232, 7. Verba *ἐξ ὀλίγου* Schol. interpretatur *ἐξαίφνης.*

καὶ Βοιωτοὺς καὶ Φωκέας καὶ Λοκρούς, βοηθεῖν κελεύοντες κατὰ τάχος ἐς Μαντίνειαν. ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγίγνετο, καὶ οὐ ῥᾴδιον ἦν μὴ ἀθρόοις καὶ ἀλλήλους περιμείνασι διελθεῖν τὴν πολεμίαν· ξυνέκλῃε γὰρ διὰ μέσου. ὅμως δὲ ἠπείγοντο. Λακεδαιμόνιοι δὲ ἀναλαβόντες τοὺς παρόντας Ἀρκάδων ξυμμάχους ἐξέβαλον ἐς τὴν Μαντινικήν, καὶ στρατοπεδευσάμενοι πρὸς τῷ Ἡρακλείῳ ἐδῄουν τὴν γῆν. οἱ δὲ Ἀργεῖοι καὶ οἱ ξύμ-63 μαχοι ὡς εἶδον αὐτούς, καταλαβόντες χωρίον ἐρυμνὸν καὶ δυσπρόοδον παρετάξαντο ὡς ἐς μάχην. καὶ οἱ Λακεδαιμόνιοι εὐθὺς αὐτοῖς ἐπῆσαν· καὶ μέχρι μὲν λίθου καὶ ἀκοντίου βολῆς ἐχώρησαν· ἔπειτα τῶν πρεσβυτέρων τις Ἄγιδι ἐπεβόησεν, ὁρῶν πρὸς χωρίον καρτερὸν ἰόντας σφᾶς, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι, δηλῶν τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως τὴν παροῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βουλομένην εἶναι. ὁ δὲ εἴτε καὶ διὰ τὸ ἐπιβόημα, εἴτε καὶ αὐτῷ ἄλλο τι ἦ κατὰ τὸ αὐτὸ δόξαν ἐξαίφνης, πάλιν τὸ στράτευμα κατὰ τάχος πρὶν ξυμμῖξαι ἀπῆγε. καὶ ἀφικόμενος πρὸς τὴν Τεγεᾶτιν τὸ ὕδωρ ἐξέτρεπεν ἐς τὴν Μαντινικήν, περὶ οὗπερ ὡς τὰ πολλὰ βλά-

μὴ ἀθρόοις καὶ] i. e. *μὴ ἀθρόοις μηδὲ ἀλλήλους περιμείνασι, sed his quidem nimis subito imperatum est, ut proficiscerentur, nec facile erat, parva cum manu neque militibus se invicem praestolantibus agrum hostilem permeare: hic enim obstabat in medio situs.* Conf. Liv. 2, 45. *Instruitur acies, nec Veiens hostis Etruscaeque legiones detrectant.* Et *ξυνέκλῃε* proprie est: schloss sich an in der Mitte, nam *ξυγκλείειν* est *utrimque aliquid attingere*, eoque transitum inter duo intercludere vel lacunam explere. Conf. c. 71. 72.

65. *κακὸν κακῷ ἰᾶσθαι*] Locutionis, quae in proverbium abiit, fontem indicavit Lobeck. ad Soph. Ai. 360. Schol. Thuc. *τὴν ἀρχαίαν παροιμίαν ἐξ Ὀρέστου τοῦ Ἀγαμέμνονος ῥηθεῖσαν, ὅστις τὸν τοῦ πατρὸς θάνατον τῷ τῆς μητρὸς φόνῳ ἐθεράπευσε.* Sophocl. fragm. ap. Brunck. p. 672. (fragm. inc. 10.) *ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ, κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.* Anecdd. Bekk. 1. p. 48. Dionys. A. R. 11, 14. Herodot. 3, 53., ubi vid. Wess. Plut. V. Alc. 25. et antiquissimum exemplum apud Hom. Il. *π.* 111. *κακὸν κακῷ ἐστήρικτο.* De verbis *εἴ τε καὶ ἄλλο τι — δόξαν* adi Matth. p. 1112.

τὸ ὕδωρ ἐξέτρεπεν] Campus Mantineae planities est multo editius sita quam planum convallium in litore Peloponnesi, quamquam circumdatus altis montibus, quibuscum comparatus et ipse humilis planities est. Estque ille eatenus receptaculum aquarum, quatenus aquae superne de montibus in eum defluentes non habent exitum, nisi per eosdem montes. Solum lapide calcario constans cavernis abundat, in quas rivuli decumbentes rursus in vallibus comparent satis magnis intervallis in locisque humilioribus propius a litore. Hi elices cognitî sub nomine zerethra sive katavóthra memorantur a Strabone 8, 8, 4. *τῶν βερέθρων, ἃ καλοῦσιν οἱ Ἀρκάδες ζέρεθρα*, eorumque magnus in Arcadia numerus est, cum omnes fluvii hinc vel illinc ita absorbeantur, et rursus emergant maiori minorive intervallo. Campus Mantineae tam planus est, ut in nonnullis partibus non sit satis declivis ad aquas torrentium avertendas, futurumque esset, ut terra inundaretur, nisi fossae ductae essent, quibus cursus aquarum iuvatur versus hanc vel illam katavóthram, quibus natura rerum prospexit illis derivandis. Itaque

πτοντος ὁποτέρωσε ἂν ἐσπίπτῃ Μαντινῆς καὶ Τεγεᾶται πολεμοῦσιν. ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου, βοηθοῦντας ἐπὶ τὴν τοῦ ὕδατος ἐκτροπήν, ἐπειδὰν πύθωνται, καταβιβάσαι, τοὺς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ἐν τῷ ὁμαλῷ τὴν μάχην ποιεῖσθαι· καὶ ὁ μὲν τὴν ἡμέραν ταύτην μείνας αὐτοῦ περὶ τὸ ὕδωρ ἐξέτρεπεν· οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι τὸ μὲν πρῶτον καταπλαγέντες τῇ ἐξ ὀλίγου [αἰφνιδίῳ] αὐτῶν ἀναχωρήσει οὐκ εἶχον ὅ,τι εἰκάσωσιν· εἶτα ἐπειδὴ ἀναχωροῦντες ἐκεῖνοί τε ἀπέκρυψαν καὶ σφεῖς ἡσύχαζον καὶ οὐκ ἐπηκολούθουν, ἐνταῦθα τοὺς ἑαυτῶν στρατηγοὺς αὖθις ἐν αἰτίᾳ εἶχον τό τε πρότερον καλῶς ληφθέντας πρὸς Ἄργει Λακεδαιμονίους ἀφεθῆναι καὶ νῦν ὅτι ἀποδιδράσκοντας οὐδεὶς ἐπιδιώκει, ἀλλὰ καθ' ἡσυχίαν οἱ μὲν σώζονται, σφεῖς δὲ προδίδονται. οἱ δὲ στρατηγοὶ ἐθορυβήθησαν μὲν τὸ παραντίκα, ὕστερον δὲ ἀπάγουσιν αὐτοὺς ἀπὸ τοῦ λόφου, καὶ προελθόντες ἐς τὸ ὁμαλὸν ἐστρατοπεδεύσαντο ὡς ἰόντες ἐπὶ τοὺς πολεμίους.

66 Τῇ δ' ὑστεραίᾳ οἵ τε Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ξυνετάξαντο,

aquae in vicinia Mantineae antiquitus deverti solebant per katavóthram, quae est in australi extremitate campi, in agro Tegeae. At Agis praesenti loco Thucydidis in diversum eas deflectebat, Mantineam versus, qua parte quum katavóthrae angustiores sint, difficilius fuit eas emittere. Vid. Leak. Travels in the Morea Vol. 3. p. 44. 153 sqq. Arn. Adde Pausan. 3, 22, 6. 23, 6. 8, 5. 7, 1. 13, 3. 14, 1. Guil. Gell. Travels p. 145. Dodw. Vol. 2. p. 423., quos nominavit Bloomf.

τοὺς ἀπὸ τοῦ λόφου βοηθοῦντας] Errat Krueg. ad Dionys. p. 150., qui τοὺς βοηθοῦντας iungit et dictum putat pro αὐτοὺς βοηθοῦντας. Nam est nota illa structura permutatarum praepositionum: τοὺς ἐν τῷ λόφῳ ἀπὸ τοῦ λόφου καταβιβάσας βοηθοῦντας i. e. ὥστε βοηθεῖν, quibus per epexegesin additur: τοὺς Ἀργείους καὶ τοὺς ξυμμάχους. Mox αἰφνιδίῳ in verbis τῇ ἐξ ὀλίγου αἰφν. in Reg. deest. „Et potest suspectum esse, tanquam ex interpretatione, nam ἡ ἐξ ὀλίγου ἀναχώρησις eadem est quae αἰφνίδιος. Vid. Thuc. 2, 61. 4, 108. 5, 64., ubi Schol. Cass. supplet καιροῦ. Et c. 72.“ Duk. Aem. Port. verba ἐξ ὀλίγου refert ad intervallum loci. Schol. ad cap. 64. ἐξ ὀλίγου explicat per ἐξαίφνης, et c. 66. δι' ὀλίγου per idem vocabulum. Praesenti loco Schol. ἐξ ὀλίγου explicat per ἐξ ὀλίγου καιροῦ, quod eum vix fecisse recte existimat Arn., si αἰφνιδίῳ in eius libro fuisset. Idem contra Portum observat, ἐξ ὀλίγου apud Thucydidem ad tempus referri solere, ut 2, 11. et locis a Dukero indicatis.

ἀπέκρυψαν] Ἑαυτούς deesse putat Schol., sed videndum est, an potius suppleri debeat αὐτούς, sc. τοὺς Ἀργείους, *e conspectu eorum evaserunt*. Ita certe hoc verbo utitur Lucianus, qui non pauca a Thucydide sumsit, 2. V. H. 38. Vol. 4. p. 297. Bip. ἐφεύγομεν ἀπολιπόντες αὐτοὺς μαχομένους. ἐπεὶ δ' ἀπεκρύψαμεν αὐτούς, ἠρέμα ἐτράπομεν. Sic ἀποκρύπτειν γῆν dicuntur navigantes, qui tam longe in altum provecti sunt, ut terram conspicere non amplius possint. Vid. Budaeum Commentt. L. Gr. p. 324. Ab his autem ductum hoc genus loquendi docet Schol. Duk. Bau. commode attulit Virg. 3. Aen. 291. *Phaeacum abscondimus arcem*, ubi v. Heyn. Adde Heind. ad Platon. Protag. p. 338. A. Mox ad σφεῖς ἡσύχαζον intellige οἱ Ἀργεῖοι. De verbis ὡς ἰόντες v. Herm. ad Soph. Oed. R. 496. Matth. p. 957, 3.

ὡς ἔμελλον μαχεῖσθαι, ἢν περιτύχωσιν· οἵ τε Λακεδαιμόνιοι ἀπὸ τοῦ ὕδατος πρὸς τὸ Ἡράκλειον πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον ἰόντες ὁρῶσι δι' ὀλίγου τοὺς ἐναντίους ἐν τάξει τε ἤδη πάντας καὶ ἀπὸ τοῦ λόφου προεληλυθότας. μάλιστα δὴ Λακεδαιμόνιοι ἐς ὃ ἐμέμνηντο ἐν τούτῳ τῷ καιρῷ ἐξεπλάγησαν. διὰ βραχείας γὰρ μελλήσεως ἡ παρασκευὴ αὐτοῖς ἐγίγνετο· καὶ εὐθὺς ὑπὸ σπουδῆς καθίσταντο ἐς κόσμον τὸν ἑαυτῶν, Ἄγιδος τοῦ βασιλέως ἕκαστα ἐξηγουμένου κατὰ τὸν νόμον. βασιλέως γὰρ ἄγοντος ὑπ' ἐκείνου πάντα ἄρχεται, καὶ τοῖς μὲν πολεμάρχοις αὐτὸς φράζει τὸ δέον, οἱ δὲ τοῖς λοχαγοῖς, ἐκεῖνοι δὲ τοῖς πεντηκοντῆρσιν, αὖθις δ' οὗτοι τοῖς ἐνωμοτάρχαις, καὶ οὗτοι τῇ ἐνωμοτίᾳ. καὶ αἱ παραγγέλσεις, ἤν τι βούλωνται, κατὰ τὰ αὐτὰ χωροῦσι καὶ ταχεῖαι ἐπέρχονται· σχεδὸν γάρ τι πᾶν πλὴν ὀλίγου τὸ στρατόπεδον τῶν Λακεδαιμονίων ἄρχοντες ἀρχόντων εἰσί, καὶ τὸ ἐπιμελὲς τοῦ δρωμένου πολλοῖς προῄκει. τότε δὲ κέρας μὲν εὐώνυμον Σκιρῖται αὐτοῖς καθίσταντο, ἀεὶ67

66. μαχεῖσθαι] v. ibidem p. 323. b. Ad ἢν περιτύχωσιν supple τοῖς Λακεδαιμονίοις. Verbis μάλιστα δὴ Λακεδαιμόνιοι offenderunt interpretes, quia sententia nulla copula praegressis annectitur. In Mosqu. est μάλιστα δὲ καί, Haack. volebat μάλιστα δέ Λ., Popp. μάλιστα δὲ δὴ Λ. Verum Ven. praebere videtur, in quo est μάλιστα δ' οἱ Λ. Paulo post Mosqu. διὰ — μελήσεως. „Διὰ βραχείας μελλήσεως i. e. μετὰ βραχείας μελλήσεως, *ut parum aut nihil temporis superesset ad cunctandum*. In voce μέλλησις autem, si *cunctationem* significat, non urgeatur haec notio; frigidum enim fuerit *breve tempus erat cunctandi*, quasi cunctandum omnino foret in tali casu.“ Bau., contra quem Popp. adnotavit, nos quoque dicere: da durfte man nicht lange zaudern.

σχεδὸν γάρ τι] De universa re militari Spartanorum consulendi sunt Od. Muell. Dor. 2. p. 231. cap. 12. C. Fr. Herm. Antt. Gr. p. 59. §. 29. 30. Wachsm. Antt. Gr. 2, 1. p. 383 sq. 386, 91. b. „Es waren bei der künstlichen Organisation des Spartanischen Heeres fast alle Spartiaten in gewisser Beziehung Befehlshaber: denn nicht bloss die Vordermänner der Reihen auch bei abgebrochenen Enomotieen (πρωτοστάται), sondern auch die Flügelmänner aller Glieder (ζευγῖται) waren Officiere; ja es gehörten auch je zwei und zwei durch die ganze Enomotie als Protostat und Epistat zusammen. Die Commandos (παραγγέλσεις) kamen schnell durch die Polemarchen, Lochagen u. s. w. an die Enomotarchen, die sie wie Herolde mit lauter Stimme ausriefen; aber dass überall nur der Befehl des nächsten Obern gegolten, beweist der Umstand, dass der Ungehorsam eines Polemarchen oder Lochagen den eines ganzen Lochos nach sich zog.“ Od. Muell. l. c. p. 239. Porro τὸ ὀλίγον in verbis πλὴν ὀλίγου intellige gregarios milites singulis enomotiis adscriptos, qui nec πρωτοστάται, neque ἐπιστάται, nec ζευγῖται, neque enomotarchae essent. Hi enim omnes ut imperata accipiebant, ita aliis eadem imperabant. In illos paucos non cadebat imperare, sed tantum imperata exsequi. Hunc ordinem imperantium Schol. exhibet: πρῶτος βασιλεύς, δεύτερος πολέμαρχος, τρίτος λοχαγός, τέταρτος πεντηκοντήρ, πέμπτος ἐνωμοτάρχης, ἕκτη ἐνωμοτία. Vid. adn. ad c. 68.

67. Σκιρῖται] Turma seorsum numerata apud Lacedaemonios Sciritae erant, iique, quousque bellum Peloponnesiacum gerebatur, sex-

ταύτην τὴν τάξιν μόνοι Λακεδαιμονίων ἐπὶ σφῶν αὐτῶν ἔχοντες· παρὰ δ' αὐτοῖς οἱ ἐπὶ Θράκης Βρασίδειοι στρατιῶται, καὶ νεοδαμώδεις μετ' αὐτῶν· ἔπειτ' ἤδη Λακεδαιμόνιοι αὐτοὶ ἑξῆς καθίσταντο τοὺς λόχους, καὶ παρ' αὐτοὺς Ἀρκάδων Ἡραιῆς, μετὰ δὲ τούτους Μαινάλιοι, καὶ ἐπὶ τῷ δεξιῷ κέρᾳ Τεγεᾶται καὶ Λακεδαιμονίων ὀλίγοι τὸ ἔσχατον ἔχοντες, καὶ οἱ ἱππῆς αὐτῶν ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. Λακεδαιμόνιοι μὲν οὕτως ἐτάξαντο· οἱ δ' ἐναντίοι αὐτοῖς, δεξιὸν μὲν κέρας Μαντινῆς εἶχον ὅτι ἐν τῇ ἐκείνων τὸ ἔργον ἐγίγνετο, παρὰ δ' αὐτοὺς οἱ ξύμμαχοι Ἀρκάδων ἦσαν, ἔπειτα Ἀργείων οἱ χίλιοι λογάδες, οἷς

centi. Hi agmen ducebant, in castris cornua, in pugna laevam alam tenebant. Quorum licet armaturam non novimus, vix tamen eos graviter armatos fuisse credere licet, cum repente locum mutare iuberi videamus, ac per impetum invadendo, expugnandis montium iugis, aliisque id genus idoneos. Plerumque in locis perniciosissimis collocabantur. Certe antiquissimis temporibus regionis Sciritidis incolae erant, iacentis ad Parrhasiam Arcadicam. Horum munia militaria quibusdam pactis videntur definita fuisse, modus item pugnandi fortasse Arcadicus. Od. Muell. Dor. 2. p. 242. Conf. C. Fr. Herm. Antt. Gr. p. 60, 11. Wachsm. Antt. Gr. 2, 1. p. 379 sq. Maus. Spart. 1, 2. p. 228. adn. k. Tittm. Gr. Staatsverf. p. 595, 10. et Arn. ad h. l. Mox *ἐπὶ σφῶν* est für sich ausschliesslich. v. Matth. p. 1163. 9. Conf. 8, 63. Dein *Βρασίδειοι* sunt *οἱ ἐπὶ Θράκης Βρασίδου γενόμενοι στρατιῶται.* v. Krueg. ad Dionys. p. 302. Od. Muell. l. c. p. 233. C. Fr. Herm. l. c. p. 91, 6. Mox de Heraeensibus vid. Od. Muell. l. c. 2. p. 69. 444. Boeckh. C. I. Vol. 1. p. 27. b. 876. b. Tegeatas Od. Muell. ibidem 1. p. 179. falso refert in sinistro cornu exercitus fuisse, calami, opinor, lapsu. „Tegeatae locum honorificum in exercitibus Peloponnesiorum vindicabant propter decora militiae, quum Heraclidae incursiones faciebant. Vid. Herodot. 9, 26. Verum ut suprema dignitas Lacedaemoniorum salva esset, extremum cornu dextrum a militibus Spartanis tenebatur. Similis honos habitus est Atheniensibus per Acarnanes sociosque eorum in pugna apud Olpas 3, 107.“ Arn.

παρὰ δ' αὐτούς] Sic magnus numerus librorum, vulgo *αὐτοῖς*. „*Παρ' αὐτούς* non minus recte ea significatione, quam hic habere debet, dicitur, quam *παρ' αὐτοῖς*. Thuc. hoc ipso capite *καὶ παρ' αὐτοὺς Ἀρκάδων Ἡραιῆς.*“ Duk. At ibi praecedit *καθίσταντο*, „quod verbum sane aptius quam nostro loco *ἦσαν*. Et afferri similiter ex hoc ipso capite potest exemplum dativi, quod qui non cupide agit, dissimulare non debet, *παρὰ δ' αὐτοῖς οἱ ἐπὶ Θράκης Βρασ. στραατ.* Nihilominus vulgatum iam ipse dixerim abrogandum, quia *παρά* de quiete in loco intelligendum etiam alibi cum accusativo iungi constat. Cuius tamen usus exemplum non inveni apud Thucydidem nisi unum 7, 39. extr.“ Haack. Ibi *παρά* est *iuxta*, längs, et accusativus nihil difficultatis habet. Nec *παρεῖναι παρά τινα* 3, 3. comparari potest. Paulo aptiora aliorum scriptorum exempla habet Matth. §. 588. 4. c. Conf. nos ad Xen. Cyrop. 1, 4, 18. et maxime in Indic. ad Anab. Popp. Arn. putat breviter dictum esse pro *παρ' αὐτοὺς ταξάμενοι παρ' αὐτοῖς ἦσαν.*

οἱ χίλιοι λογάδες] v. Od. Muell. Dor. 2. p. 58. Conf. 5, 72. Wachsm. Antt. Gr. 1, 2. p. 215 sq. „Cives urbis populari imperio rectae non ferebant molestiam perpetuarum exercitationum militarium, iidemque maximam partem pauperiores erant, quam ut ad eas satis otii haberent. Quo factum est, ut exercitus quasi quidam perpetuus (ein ste-

ἡ πόλις ἐκ πολλοῦ ἄσκησιν τῶν ἐς τὸν πόλεμον δημοσίᾳ παρεῖχε, καὶ ἐχόμενοι αὐτῶν οἱ ἄλλοι Ἀργεῖοι, καὶ μετ' αὐτοὺς οἱ ξύμμαχοι αὐτῶν, Κλεωναῖοι καὶ Ὀρνεᾶται, ἔπειτα Ἀθηναῖοι ἔσχατοι τὸ εὐώνυμον κέρας ἔχοντες, καὶ ἱππῆς μετ' αὐτῶν οἱ οἰκεῖοι.

Τάξις μὲν ἥδε καὶ παρασκευὴ ἀμφοτέρων ἦν, τὸ δὲ στρα- 68
τόπεδον τῶν Λακεδαιμονίων μεῖζον ἐφάνη. ἀριθμὸν δὲ γράψαι, ἢ καθ' ἑκάστους ἑκατέρων ἢ ξύμπαντας, οὐκ ἂν ἐδυνάμην ἀκριβῶς· τὸ μὲν γὰρ Λακεδαιμονίων πλῆθος διὰ τῆς πολιτείας

hendes Heer) opus esset, quare Argivi iustum exercitum mille hominum instituerunt, qui lecti esse narrantur ex iunioribus classium opulentiorum, et proinde favebant imperio paucorum. Proinde hi milites proclives erant ad insultandum tenuioribus civium, eosque iniuriis vexando, et universi conspirabant cum Spartanis post cladem Mantinensem, eosque iuvabant in imperio populari evertendo. Conf. Diod. 12, 75. Plut. V. Alc. 15. Pausan. 2, 20. Aristot. Polit. 5, 4.“ Arn.

Κλεωναῖοι — Ὀρνεᾶται] De situ Cleonarum v. Od. Muell. Dor. 1. p. 81. init. Orneae Argis distabant centum viginti stadiis, teste Pausania 2, 25. De situ huius urbis v. Muell. l. c. p. 435. et Leak. Morea Vol. 2. p. 351. Arn. Orneas et Cleonas pro solis urbibus Argolidis habet, in quibus veteres incolae stirpis Pelasgicae vel Cynuriae superabant, conditione Perioeci, quum Mycenae, Tiryns, Asine etc. iam superiori tempore ab Argivis destructae essent. Idemque postremo etiam Orneis accidit, teste Pausan. 8, 27, 1. 2, 25, 5. Od. Muell. Aeginet. p. 48. statuit Orneatas ab Argivis subiectos esse Ol. 50. (580.) Conf. Dor. 1. p. 159. 2. p. 57. Postea, tempore belli Persici, Argivi incolas omnium urbium subiectarum et in his Ornearum ex sedibus suis amotos in pagis urbis suae vicinis *συνοίκους* fecerunt. Vid. ibidem 1. p. 174. 2. p. 57. Orneas colonos Argivos miserunt, ut defectum incolarum Argos remotorum explerent, Aeginet. p. 49. adn. y. Orneatae igitur, quos Thuc. praesenti loco Argivorum *συμμάχους* appellat, non fuere veteres incolae, sed populares Argivorum. „Verum sic, respondet Arn., hi Orneatae vere Argivi erant, non socii, quemadmodum Eleusinii et Acharnenses Athenienses (Attici) erant.“ Locum Herodoti 8, 73. (*οἱ Κυνούριοι*) *ἐκδεδωρίευνται ὑπό τε Ἀργείων ἀρχόμενοι καὶ τοῦ χρόνου, ἐόντες Ὀρνεᾶται καὶ περίοικοι* Arn. ita interpretatur: Cynurii per Argivos linguam, habitum et mores Dorum acceperunt in decursu temporum, *constant autem Orneatis et perioecis* i. e. Orneatae, quo tempore Herodotus historiam conscripsit, et proinde post initium belli Peloponnesiaci, usque erant antiqui illi Orneatae Cynuriae et Pelasgicae stirpis, et antiquam sedem habebant, quamquam lingua et moribus Doricis multum de origine sua degenerati, *et Perioeci erant Argivorum.* Orneas Arn. negat ab Argivis ante annum belli Peloponnesiaci sextum decimum destructas esse. v. Thuc. 6, 7. Quod si verum est, erravit Od. Muell. Dor. 1. p. 159. 2. p. 57., et qui eum sequitur, C. Fr. Herm. Antt. Gr. p. 41. 42. §. 19. adn. 4., dum affirmant, Argivorum Perioecis commune nomen Orneatis fuisse, neque id ex Herodoti loco Muell. Aeginet. p. 47. probatum velle debebat. Herodotus scripturus fuisset *ἐόντες Ὀρνεᾶται ἢ περίοικοι*, si quod Muell. eum vult dixisse, vere dixisset. Et ne Arnoldi quidem sententia placet, quia non uni Orneatae Cynurii erant, imo ne perioeci quidem, sed hoc scriptor dicere velle videtur: Cynurii in Dores paulatim conversi sunt, *et constant Orneatis* liberis ceterisque, qui non sunt liberi, sed *perioeci Argivorum.*

τὸ κρυπτὸν ἠγνοεῖτο, τῶν δ' αὖ διὰ τὸ ἀνθρώπειον κομπῶδες ἐς τὰ οἰκεῖα πλήθη ἠπιστεῖτο. ἐκ μέντοι τοιοῦδε λογισμοῦ ἔξεστί τῳ σκοπεῖν τὸ Λακεδαιμονίων τότε παραγενόμενον πλῆθος. λόχοι μὲν γὰρ ἐμάχοντο ἑπτὰ ἄνευ Σκιριτῶν ὄντων ἑξακοσίων, ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν τέσσαρες, καὶ ἐν τῇ πεντηκοστύι ἐνωμοτίαι τέσσαρες. τῆς τε ἐνωμοτίας ἐμάχοντο ἐν τῷ πρώτῳ ζυγῷ τέσσαρες· ἐπὶ δὲ βάθος ἐτάξαντο μὲν οὐ πάντες ὁμοίως, ἀλλ' ὡς λοχαγὸς ἕκαστος ἐβούλετο, ἐπὶ πᾶν δὲ κατέστησαν ἐπὶ ὀκτώ. παρὰ δὲ ἅπαν πλὴν Σκιριτῶν τετρακόσιοι καὶ δυοῖν δέοντες πεντήκοντα ἄνδρες ἡ πρώτη τάξις ἦν.

80. καὶ ὁπόσα — διελύσαντο] i. e. καὶ ὁπόσα ἀλλήλων πολέμῳ εἶχον ἢ εἴ τι ἄλλο ἔγκλημα εἶχον, ταῦτα διελύσαντο, τὰ μὲν ἀποδόντες, περὶ δὲ τῶν καταλλαξάμενοι. Deinde θυμῷ ἔφερον est: *reliqua fortiter tolerabant* sive nulli operae sumtuique in reliquis parcebant, quominus magno animi impetu administrarent. Conf. 1, 31. ὀργῇ φέροντες et 4, 121. τὸν πόλεμον προθύμως οἴσειν. Porro de Argiva origine regum Macedoniae v. Herodot. 5, 22. ibique Valck. 8, 137. Weisk. De Hyperbole in Phil. Hist. 1. p. 18. Thuc. 2, 99. Od. Muell. Maced. p. 23 sqq. coll. Dor. 1. p. 156, 1. et inprimis Voemel. Prolegg. ad Demosth. Phil. 1. p. 53, 1. Mox in verbis τὸ ἐξ Ἐπιδαύρου rursus ager Epidauri, non ipsa urbs indicatur et τὸ τεῖχος est Heraeum, idque intelliges comparans verba paulo post sequentia: ὀρῶντες ὀλίγοι πρὸς πλείους ὄντες τοὺς ξυμφύλακας cum c. 75. ξυγκαταλιπόν-

δὲ ἤδη τὰ πράγματα τιθέμενοι, ἐψηφίσαντο κήρυκα καὶ πρεσβείαν παρ' Ἀθηναίων μὴ προσδέχεσθαι, ἢν μὴ ἐκ Πελοποννήσου ἐξίωσι τὰ τείχη ἐκλιπόντες, καὶ μὴ ξυμβαίνειν τῳ μηδὲ πολεμεῖν ἀλλ' ἢ ἅμα. καὶ τά τε ἄλλα θυμῷ ἔφερον καὶ ἐς τὰ ἐπὶ Θράκης χωρία καὶ ὡς Περδίκκαν ἔπεμψαν ἀμφότεροι πρέσβεις, καὶ ἀνέπεισαν Περδίκκαν ξυνομόσαι σφίσιν. οὐ μέντοι εὐθύς γε ἀπέστη τῶν Ἀθηναίων, ἀλλὰ διενοεῖτο, ὅτι καὶ τοὺς Ἀργείους ἑώρα· ἦν δὲ καὶ αὐτὸς τὸ ἀρχαῖον ἐξ Ἄργους. καὶ τοῖς Χαλκιδεῦσι τούς τε παλαιοὺς ὅρκους ἀνενεώσαντο καὶ ἄλλους ὤμοσαν. ἔπεμψαν δὲ καὶ παρὰ τοὺς Ἀθηναίους οἱ Ἀργεῖοι πρέσβεις, τὸ ἐξ Ἐπιδαύρου τεῖχος κελεύοντες ἐκλιπεῖν. οἱ δ' ὁρῶντες ὀλίγοι πρὸς πλείους ὄντες τοὺς ξυμφύλακας, ἔπεμψαν Δημοσθένην τοὺς σφετέρους ἐξάξοντα. ὁ δὲ ἀφικόμενος καὶ ἀγῶνά τινα πρόφασιν γυμνικὸν ἔξω τοῦ φρουρίου ποιήσας, ὡς ἐξῆλθε τὸ ἄλλο φρουρικόν, ἀπέκλησε τὰς πύλας. καὶ ὕστερον Ἐπιδαυρίοις ἀνανεωσάμενοι τὰς σπονδὰς αὐτοὶ οἱ Ἀθηναῖοι ἀπέδοσαν τὸ τείχισμα. μετὰ δὲ τὴν τῶν Ἀργείων 81
ἀπόστασιν ἐκ τῆς ξυμμαχίας καὶ οἱ Μαντινῆς, τὸ μὲν πρῶτον ἀντέχοντες, ἔπειτ' οὐ δυνάμενοι ἄνευ τῶν Ἀργείων, ξυνέβησαν καὶ αὐτοὶ τοῖς Λακεδαιμονίοις, καὶ τὴν ἀρχὴν ἀφεῖσαν τῶν

τες ἅπαντες ἐν τούτῳ τῷ τειχίσματι φρουράν, ubi ἅπαντες sunt *universi* i. e. Athenienses et socii eorum. Structuram sic expedio: κελεύοντες ἐξ Ἐπιδαύρου ἐκλιπεῖν τὸ τεῖχος τὸ ἐν Ἐπιδαύρῳ ἐκλιπόντας. Conf. c. 4. ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν et simillimum locum Herodoti 7, 37. ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην. Mox vulgo legebatur ὀρῶντες ὀλίγοι — ὄντας, emendavit Abr. Tum πρόφασιν est vorgeblich, dem Vorgeben nach, ut 3, 111. Et τὸ ἄλλο φρουρικόν scripsi ex Cam. Gr. Lugd. marg. Steph. et ex emend. Ar. Vulgo φρούριον. Etenim τὸ φρουρικόν dixerit pro οἱ φρουροί, ut τὸ Ἑλληνικόν pro οἱ Ἕλληνες. Et φρουρικόν interpretes ex Dione Cass. 56, 42. afferunt. Hinc autem, quod στρατόπεδον, *castra*, dicitur pro στράτευμα, *exercitus* et φυλακή pro *custodibus*, et quod Aesch. Prom. 801. φρούριον posuit de re, quam aliquis cavere debeat, non puto sequi, etiam praesenti loco φρούριον probari debere. Nam illa partim usus concessit, partim audacia poetae sibi indulsit: ab neutro φρούριον pro φρουρικόν positum excusationem habet.

81. ἀφεῖσαν] Errorem Valckenarii, ἀφεῖσαν pro participio habentis, arguit Matth. p. 399. 3. Et τὴν ἀρχὴν τῶν πόλεων dicit imperium in Parrhasios Arcadiae et alia eiusdem terrae, quae Mantinensibus parebant. Vid. c. 33. 58. 61. 67. „Spartani cupiebant impedire ne aliqua maior civitas in Arcadia oriretur et libenti animo videbant viculos per terram sparsos non iungi in ampliores respublicas. Contrario consilio Epaminondas postea hos vicos uno corpore iungere studens Megalopolin condidit." Arn. Mox cum subiectum Λακεδαιμόνιοι αὐτοί ex parte insit in praegressis Λακεδαιμόνιοι καὶ Ἀργεῖοι, utrumque in nominativo posuit, quum solennius dixisset Λακεδαιμονίων καὶ Ἀργείων, χιλίων ἑκατέρων, ξυστρατευσάντων. Dein ἐς ὀλίγους μᾶλλον κατέστησαν est *magis in formam imperii paucorum redegerunt.* De re v. Od. Muell. Dor. 2. p. 165. Et ξυναμφότεροι dedi ex Laur. F. Gr. Ar. Vulgo ξυναμφότερα, quod Haack. tuetur, intelligens: *postquam duo perfecerant* i. e. post expeditionem in Sicyoniam una cum

πόλεων. καὶ Λακεδαιμόνιοι καὶ Ἀργεῖοι, χίλιοι ἑκάτεροι, ξυστρατεύσαντες, τά τ' ἐν Σικυῶνι ἐς ὀλίγους μᾶλλον κατέστησαν αὐτοὶ οἱ Λακεδαιμόνιοι ἐλθόντες, καὶ μετ' ἐκεῖνα ξυναμφότεροι ἤδη καὶ τὸν ἐν Ἄργει δῆμον κατέλυσαν, καὶ ὀλιγαρχία ἐπιτηδεία τοῖς Λακεδαιμονίοις κατέστη. καὶ πρὸς ἔαρ ἤδη ταῦτα ἦν τοῦ χειμῶνος λήγοντος· καὶ τέταρτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

82 Τοῦ δ' ἐπιγιγνομένου θέρους Διῆς τε οἱ ἐν Ἄθῳ ἀπέστησαν

Argivis susceptam et post mutationem reipublicae Sicyoniorum, per solos Lacedaemonios confectam. Verum quum expeditio illa nullius alius rei, nisi mutandae reipublicae Sicyoniae causa suscepta sit; quae duo ponit Haack., ea pro uno tantum numeranda esse arbitror. Vocabulo ξυναμφότεροι (beide zusammen) scriptor manifesto usus est, ut discerneret, quid Lacedaemonii αὐτοί, soli, per se egerint. De proximis vid. Od. Muell. Dor. 2. p. 143.

82. Διῆς] Cass. Aug. It. Reg. (G.) Gr. B. Ald. Flor. Bas. marg. 2. Steph., nisi quod omnes (praeter It. B. fortasse) ι subscribunt. In Vat. H. δι ῆς. Cl. Ven. cod. Bas. Lugd. Διεῖς. Unus Par., ut videtur, F. Δικτιεῖς. Mosqu. Δικτυεῖς. Vulgo Δικτιδιης. Ar. Chr. Δικτιδιεῖς. Laur. C. D. I. E. m. Dan. Δικτυδιεῖς. Marg. 1. Steph. Δικτυδιῆς. Vid. adn. ad c. 35. De rebus Argivorum hic narratis v. Od. Muell. Dor. 2. p. 143. 144. De gymnopaediis vid. praesertim Ruhnk. ad Timae. p. 73. Od. Muell. Dor. 2. p. 312. 322. 338. 343. 389. Wachsm. Antt. Gr. 2, 2. p. 257 sq. Viri docti, ut idem p. 285., Hecatombaeoni assignant collatis Herodot. 6, 67. Xen. H. Gr. 6, 4, 16. Plut. V. Agesil. 29. Diod. 12, 80. Athenae. 14, 30. p. 631. 15, 22. p. 678. Polluc. 4, 105. Vid. Od. Muell. l. c. p. 143, 8. Ern. et Schneid. ad Xen. l. c. Ern. ad eiusd. M. S. 1, 2, 61. et quos citavit Creuz. Herodoteis Vol. 1. p. 230. Verba οὐκ ἤλθον ἐκ πλείονος significant: es dauerte längere Zeit, ehe sie kamen. Schol. ἐκ πλείονος, ἤτοι πρὸ πλείονος χρόνου sc. διελυθότος. Vocem ἀγγέλων pro appositione habet Bau.: *legati qui essent nuncii*, itidemque Heilm., qui sic exponit: ἐλθόντων πρέσβεων ἀγγελλόντων ἀπό τε τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω Ἀργείων. Quaerit Haack., quid nunciaturi fuerint, quum quid gestum esset, Lacedaemonii iam comperissent, et vocem seclusit. Popp. ἀγγέλων ex Ἀργείων ortum et alterum Ἀργείων, quod est post ἔξω, ab interpretibus adiectum esse suspicatur. Mihi secus videtur: neque ἀγγέλων appositio est, neque interpretibus debetur, sed verba sic accipienda sunt: ἦλθον πρέσβεις ἀπὸ τῶν ἐν τῇ πόλει ἀγγέλων, et ἀγγέλους dicit hominis Lacedaemoniis studentes et in urbe Argivorum, quamquam populari imperii studiosorum plenissima, latentes, et quaecunque ibi agerentur, ad Spartanos referentes, quasi dicas Agenten. Tales homines Spartanis Argis fuisse docet c. 83. n. l. ab init. 84. init., et mirum, ni habuissent. Hos ἀγγέλους scriptor 7, 73. prop. fin. appellat διαγγέλους scribens: ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι τῶν ἔνδοθεν, ubi Schol. ἤτοι μηνυταὶ καὶ ἐξαγγέλλοντες τὰ Συρακουσίων. Ammon. in ἄγγελοι, Ἐξάγγελος, ὁ τὰ ἔνδοθεν τοῖς ἔξω διαγγέλλων, ὃν Θουκ. διάγγελον λέγει. Conf. Grammat. ap. Herm. De emend. r. gr. Gr. p. 327. De verbis μέγιστον ἂν σφᾶς ὠφελήσειν v. Matth. p. 1200. Denique Moeris λιθουργούς, Θουκυδίδης· λιθοκόπους, Ἀντιφῶν. Zonar. λιθουργός· ὁ λιθοκόπος ἢ ὁ λιθογλύπτης. Conf. 4, 69. Τέκτονες sunt fabri, Werkleute, ex adverso agrum colentibus. „Incolae Peloponnesi agriculturae dediti, neque ultra eam sapientes quidquam fabros et lapicidas Atticos multo solertiores, quam suos, habere debebant.“ Arn.

Ἀθηναίων πρὸς Χαλκιδέας καὶ Λακεδαιμόνιοι τὰ ἐν Ἀχαΐᾳ οὐκ ἐπιτηδείως πρότερον ἔχοντα καθίστασαν. καὶ Ἀργείων ὁ δῆμος κατ' ὀλίγον ξυνισταμένους τε καὶ ἀναθαρσήσας ἐπέθεντο τοῖς ὀλίγοις τηρήσαντες αὐτὰς τὰς γυμνοπαιδίας τῶν Λακεδαιμονίων. καὶ μάχης γενομένης ἐν τῇ πόλει ἐπεκράτησεν ὁ δῆμος, καὶ τοὺς μὲν ἀπέκτεινε τοὺς δὲ ἐξήλασεν. οἱ δὲ Λακεδαιμόνιοι, ἕως μὲν αὐτοὺς μετεπέμποντο οἱ φίλοι, οὐκ ἦλθον ἐκ πλείονος, ἀναβαλόμενοι δὲ τὰς γυμνοπαιδίας ἐβοήθουν. καὶ ἐν Τεγέᾳ πυθόμενοι ὅτι νενίκηνται οἱ ὀλίγοι, προελθεῖν μὲν οὐκέτι ἠθέλησαν δεομένων τῶν διαπεφευγότων, ἀναχωρήσαντες δὲ ἐπ' οἴκου τὰς γυμνοπαιδίας ἦγον. καὶ ὕστερον ἐλθόντων πρέσβεων ἀπό τε τῶν ἐν τῇ πόλει ἀγγέλων καὶ τῶν ἔξω Ἀργείων, παρόντων τε τῶν ξυμμάχων, καὶ ῥηθέντων πολλῶν ἀφ' ἑκατέρων, ἔγνωσαν μὲν ἀδικεῖν τοὺς ἐν τῇ πόλει καὶ ἔδοξεν αὐτοῖς στρατεύειν ἐς Ἄργος, διατριβαὶ δὲ καὶ μελλήσεις ἐγίγνοντο. ὁ δὲ δῆμος τῶν Ἀργείων ἐν τούτῳ, φοβούμενος τοὺς Λακεδαιμονίους καὶ τὴν τῶν Ἀθηναίων ξυμμαχίαν πάλιν προσαγόμενός τε καὶ νομίζων μέγιστον ἂν σφᾶς ὠφελήσειν, τειχίζει μακρὰ τείχη ἐς θάλασσαν, ὅπως ἦν τῆς γῆς εἴργωνται, ἡ κατὰ θάλασσαν σφᾶς μετὰ τῶν Ἀθηναίων ἐπαγωγὴ τῶν ἐπιτηδείων ὠφελῇ. ξυνήδεσαν δὲ τὸν τειχισμὸν καὶ τῶν ἐν Πελοποννήσῳ τινὲς πόλεων, καὶ οἱ μὲν Ἀργεῖοι πανδημεί, καὶ αὐτοὶ καὶ γυναῖκες καὶ οἰκέται, ἐτείχιζον· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς ἦλθον τέκτονες καὶ λιθουργοί. καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι ὡς ἤσθοντο 83
τειχιζόντων, ἐστράτευσαν ἐς τὸ Ἄργος αὐτοί τε καὶ οἱ ξύμμαχοι πλὴν Κορινθίων· ὑπῆρχε δέ τι αὐτοῖς καὶ ἐκ τοῦ Ἄργους αὐτόθεν πρασσόμενον. ἦγε δὲ τὴν στρατιὰν Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ τὰ μὲν ἐκ τῆς πόλεως δοκοῦντα προϋπάρχειν οὐ προύχώρησεν ἔτι· τὰ δὲ οἰκοδομούμενα τείχη ἑλόντες καὶ καταβαλόντες καὶ Ὑσιὰς χωρίον τῆς Ἀργείας λαβόντες καὶ τοὺς ἐλευθέρους ἅπαντας οὓς ἔλαβον ἀποκτείναντες, ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις. ἐστράτευσαν δὲ μετὰ τοῦτο καὶ Ἀργεῖοι ἐς τὴν Φλιασίαν, καὶ δηώσαντες ἀπῆλθον, ὅτι σφῶν τοὺς φυγάδας ὑπεδέχοντο· οἱ γὰρ πολλοὶ αὐτῶν ἐνταῦθα κατῴκηντο. κατέκλησαν δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ Μακεδόνας Ἀθηναῖοι, Περδίκκᾳ ἐπικαλοῦντες τήν τε πρὸς Ἀρ-

83. τειχιζόντων] v. Matth. p. 659. adn. 2. Mox αὐτόθεν inclusum uncis volunt Duk. et Valck. ad Herodot. 4, 135. Tuentur Krueg. ad Dionys. p. 280. Schaef. ad Theocr. 25, 170. ad Long. p. 371. Schneid. ad Xen. Cyrop. 7, 1, 23. Interpp. Pausan. 9, 41, 3. Cic. Phil. 14, 3. pr. Sext. 4. Conf. Thuc. 8, 55. ἐντεῦθεν ἐκ τῆς Κῶ. Hom. Il. 19, 330. Videatur tamen alicui Schol. verba ἐκ τοῦ Ἄργους in suo libro non habuisse; nam ita exponit: αὐτόθεν] ἐκ τοῦ Ἄργους. De oligarchis Argivis Phlium profugis v. Od. Muell. Dor. 2. p. 166. De plusquamperfecto κατῴκηντο v. Matth. p. 935. 6.

κατέκλησαν — ἐπικαλοῦντες] Vulgo κατέκλησαν δὲ τοῦ αὐτοῦ χει-

γείους καὶ Λακεδαιμονίους γενομένην ξυνωμοσίαν καὶ ὅτι παρασκευασαμένων αὐτῶν στρατιὰν ἄγειν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης καὶ Ἀμφίπολιν Νικίου τοῦ Νικηράτου στρατηγοῦντος ἔψευστο τὴν ξυμμαχίαν, καὶ ἡ στρατιὰ μάλιστα διελύθη ἐκείνου ἀπάραντος· πολέμιος οὖν ἦν. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος καὶ πέμπτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

84 Τοῦ δ' ἐπιγιγνομένου θέρους Ἀλκιβιάδης τε πλεύσας ἐς Ἄργος ναυσὶν εἴκοσιν, Ἀργείων τοὺς δοκοῦντας ἔτι ὑπόπτους εἶναι καὶ τὰ Λακεδαιμονίων φρονεῖν ἔλαβε τριακοσίους ἄνδρας, καὶ κατέθεντο αὐτοὺς Ἀθηναῖοι ἐς τὰς ἐγγὺς νήσους ὧν ἦρχον· καὶ ἐπὶ Μῆλον τὴν νῆσον Ἀθηναῖοι ἐστράτευσαν ναυσὶν ἑαυτῶν μὲν τριάκοντα, Χίαις δὲ ἓξ, Λεσβίαιν δὲ δυοῖν, καὶ ὁπλίταις ἑαυτῶν μὲν διακοσίοις καὶ χιλίοις καὶ τοξόταις τριακοσίοις καὶ ἱπποτοξόταις εἴκοσι, τῶν δὲ ξυμμάχων καὶ νησιωτῶν ὁπλίταις μάλιστα πεντακοσίοις καὶ χιλίοις. οἱ δὲ Μήλιοι Λακεδαιμονίων μέν εἰσιν ἄποικοι, τῶν δ' Ἀθηναίων οὐκ ἤθελον ὑπακούειν ὥσπερ οἱ ἄλλοι νησιῶται, ἀλλὰ τὸ μὲν πρῶτον οὐδετέρων ὄντες ἡσύχαζον, ἔπειτα ὡς αὐτοὺς ἠνάγκαζον οἱ Ἀθη-

μῶνος καὶ Μακεδονίας Ἀθηναῖοι Περδίκκαν, ἐπικαλοῦντες etc. C. et teste Did. etiam D. Μακεδονίαν. Haack. emendat ἐν Μακεδονίᾳ. Vulgatae non potest alius sensus esse, nisi ab Atheniensibus Perdiccam interclusum esse Macedonia, id quod ineptum est, quum Athenienses nunquam Macedonia armis potiti sint. Port. *usu maris in Macedonia intercluserunt.* Ad sensum recte, quare ea dedi, quae mihi cum hoc sensu post minimam mutationem convenire viderentur. Et Schol. sic, ut exhibendum curavi, legisse videri possit, cuius haec explicatio extat: κατέκλεισαν] τουτέστι τῶν εἰσαγωγίμων ἢ τῆς θαλάττης αὐτοὺς ἀπέκλεισαν. Potest ex C. D. legi Μακεδονίαν, reliquis emendationis meae servatis. Valck. ad Herodot. 6, 133. scripsit: ἐγκατέκλεισαν — Μακεδονίας Ἀθηναῖοι Περδίκκαν, ἐπικαλοῦντες etc., quo loco Lobeck. utitur ad Soph. Ai. 1261., ut probet constructionem verbi praepositione ἐν compositi, qua genitivum adiunctum habeat, notatus eo nomine a Reisigio ad Soph. Oed. C. p. 247. Mox ἀπάραντος Schol. reddit per ἀναπεισθέντος, *mutato consilio.* Bloomf. huc trahit glossam Hesychii: ἀπάρας, σκηψάμενος (sic enim cum Is. Vossio legit pro σκεψάμενος) et convertit *tergiversatus*, Ausflüchte suchend. Recte, opinor; nam quum Athenienses expeditionem pararent, nec iam in Macedonia versarentur, non credibile est, Perdiccam eos iam convenisse; proinde ne destituere quidem eos poterat exercitum suum ab eorum castris abducendo. Eodem referas Hesychium: ἀπαίρει — ἀναχωρεῖ et ἀπῆρε, μετέστη. Scholiastae expositio ducta videtur ex cap. 80. καὶ (Lacedaemonii sociique) ἀνέπεισαν Περδίκκαν ξυνομόσαι σφίσιν etc.

84. ἐς Ἄργος] v. Od. Muell. Dor. 2. p. 143 sq. Mox „Λεσβίαις multi optimique libri, quod licet cum Elmsleio repugnet Buttm. Gr. max. §. 70. p. 282. **, cum Haackio recepimus. Conf. Matth. §. 436. p. 815." Popp. Vulgo Λεσβίαιν. Elmsleii hic canon est: „Δυοῖν apud Atticos duali semper iungitur, δύο vero interdum plurali." Tamen ipse ex Tragicis exempla affert, in quibus δυοῖν cum plurali iungitur, quae omnia dicit soloeca videri. Vid. eius adn. ad Eur. Med. 798. adn. O. p. 215. Lips. De ducibus Atheniensium in concionem non adductis v. Od. Muell. l. c. p. 173.

ναῖοι δηοῦντες τὴν γῆν, ἐς πόλεμον φανερὸν κατέστησαν. στρατοπεδευσάμενοι οὖν ἐς τὴν γῆν αὐτῶν τῇ παρασκευῇ ταύτῃ οἱ στρατηγοὶ Κλεομήδης τε ὁ Λυκομήδους καὶ Τισίας ὁ Τισιμάχου πρὶν ἀδικεῖν τι τῆς γῆς λόγους πρῶτον ποιησομένους ἔπεμψαν πρέσβεις. οὓς οἱ Μήλιοι πρὸς μὲν τὸ πλῆθος οὐκ ἤγαγον, ἐν δὲ ταῖς ἀρχαῖς καὶ τοῖς ὀλίγοις λέγειν ἐκέλευον περὶ ὧν ἤκουσιν. οἱ δὲ τῶν Ἀθηναίων πρέσβεις ἔλεγον τοιάδε. Ἐπειδὴ οὐ πρὸς 85
τὸ πλῆθος οἱ λόγοι γίγνονται, ὅπως δὴ μὴ ξυνεχεῖ ῥήσει οἱ πολλοὶ ἐπαγωγὰ καὶ ἀνέλεγκτα ἑξάπαξ ἀκούσαντες ἡμῶν ἀπατηθῶσι, γιγνώσκομεν γὰρ ὅτι τοῦτο φρονεῖ ὑμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγή, ὑμεῖς οἱ καθήμενοι ἔτι ἀσφαλέστερον ποιήσατε. καθ' ἕκαστον γὰρ καὶ μηδ' ὑμεῖς ἑνὶ λόγῳ, ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν ἐπιτηδείως λέγεσθαι εὐθὺς ὑπολαμβάνοντες κρίνετε. καὶ πρῶτον εἰ ἀρέσκει ὡς λέγομεν εἴπατε. οἱ δὲ τῶν Μηλίων ξύνε- 86
δροι ἀπεκρίναντο· Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους οὐ ψέγεται, τὰ δὲ τοῦ πολέμου παρόντα ἤδη καὶ οὐ μέλλοντα διαφέροντα αὐτοῦ φαίνεται. ὁρῶμεν γὰρ αὐτούς τε κριτὰς ἥκοντας ὑμᾶς τῶν λεχθησομένων, καὶ τὴν τελευτὴν ἐξ αὐτοῦ κατὰ τὸ εἰκὸς περιγενομένοις μὲν τῷ δικαίῳ, καὶ δι' αὐτὸ μὴ ἐνδοῦσι, πόλεμον ἡμῖν φέρουσαν, πεισθεῖσι δὲ δουλείαν.

ΑΘ. Εἰ μὲν τοίνυν ὑπονοίας τῶν μελλόντων λογιούμενοι 87
ἢ ἄλλο τι ξυνήκετε ἢ ἐκ τῶν παρόντων καὶ ὧν ὁρᾶτε περὶ σω-

85. ἐπειδὴ οὐ πρός] Dionys. Hal. p. 906. Reisk. non solum multa vitia orationis in hoc dialogo reprehendit, sed etiam satis aperte significat, totum hoc colloquium a Thucydide confictum esse, quod neque ipse conventui interfuerit, neque ea, quae ab Atheniensibus aut Meliis dicta sint, audierit; nam post ea, quae ad Amphipolin gesta sunt, eum patria eiectum omne reliquum tempus huius belli in Thracia egisse, idque ipsum testari libro superiori. Duk. Inanem Dionysii censuram esse docebit Vit. Thuc. §. 6. Dein τοῦτο φρονεῖ est: *hoc significat.* v. Valck. ad Herodot. 4, 131. Krueg. ad Dionys. p. 172. Et ἡ — ἀγωγή est *a vobis ad paucos facta inductio.* Schol. γιγνώσκομεν γὰρ ὅτι, ταῦτα ὑπονοήσαντες, πρὸς τοὺς ἄρχοντας ὑμῶν μόνους ἠγάγετε ἡμᾶς. Mox ἑνὶ λόγῳ tuetur Krueg. l. c. p. 172. contra lectionem plurimorum librorum ἐν ὀλίγῳ, quam etiam Dionys. habet. „Merito, ait, scripturam ἐν ὀλίγῳ reiicit Hemsterh. ad Lucian. Vol. 1. p. 244. Supra scriptor dixerat eodem sensu ξυνεχεῖ ῥήσει. Ista confusio satis frequens est etc." Idem κρίνετε interpretatur *diiudicate, discernite.*

86. ἡ μὲν ἐπιείκεια] Dionys. p. 908. ita ait orationem procedere debuisse: ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου παρόντα ἤδη καὶ οὐ μέλλοντα διαφέροντα αὐτῆς φαίνεται. Verba οὐ ψέγεται Krueg. exponit: *non vituperanda est.* Pronomen in αὐτοῦ φαίνεται et paulo post in ἐξ αὐτοῦ refertur ad διδάσκειν. Verborum περιγενομένοις τῷ δικαίῳ etc. hic sensus esse videtur: und wir sehen, dass wahrscheinlich das Resultat seyn wird, dass wir, die wir im Rechte die Oberhand haben und deshalb nicht nachgeben wollen, Krieg; wenn wir hingegen uns bereden lassen, Knechtschaft haben werden. Iunge περιγενομένοις (ἡμῖν) τῷ δικαίῳ.

87. εἰ μὲν τοίνυν] Schol. εἰ μὲν ὑπονοήσαντες (scr. ὑπονοήσον-

τηρίας βουλεύσοντες τῇ πόλει, πανοίμεθ' ἄν· εἰ δ' ἐπὶ τοῦτο, λέγοιμεν ἄν.

88 *ΜΗΛ.* Εἰκὸς μὲν καὶ ξυγγνώμη ἐν τῷ τοιῷδε καθεστῶτας ἐπὶ πολλὰ καὶ λέγοντας καὶ δοκοῦντας τρέπεσθαι· ἡ μέντοι ξύνοδος καὶ περὶ σωτηρίας ἥδε πάρεστι, καὶ ὁ λόγος ᾧ προ-

89 καλεῖσθε τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω.

ΑΘ. Ἡμεῖς τοίνυν οὔτε αὐτοὶ μετ' ὀνομάτων καλῶν ὡς ἢ δικαίως τὸν Μῆδον καταλύσαντες ἄρχομεν ἢ ἀδικούμενοι νῦν ἐπεξερχόμεθα, λόγων μῆκος ἄπιστον παρέξομεν, οὔθ' ὑμᾶς ἀξιοῦμεν ἢ ὅτι Λακεδαιμονίων ἄποικοι ὄντες οὐ ξυνεστρατεύσατε ἢ ὡς ἡμᾶς οὐδὲν ἠδικήκατε λέγοντας οἴεσθαι πείσειν, τὰ δυνατὰ δ' ἐξ ὧν ἑκάτεροι ἀληθῶς φρονοῦμεν διαπράσσεσθαι,

τες) περὶ τῶν μελλόντων ἔσεσθαι συνελεγλύθατε, ἢ ἄλλο τι σκεψόμενοι, καὶ μὴ περὶ σωτηρίας τῆς δυνάμεως ἐκ τῶν παρόντων, ἡσυχίαν ἄγοιμεν ἄν. εἰ δὲ περὶ τοῦ δύνασθαι σωθῆναι συνελεγλύθατε, λέγοιμεν ἄν. Non μᾶλλον, *potius quam*, ad ξυνήκετε cogitando supplendum est, imo ad ἄλλο τι supple ποιήσοντες. Vid. Matth. §. 487. 9.

88. καθεστῶτας] Exspectet aliquis vel articulum vel pronomen ἡμᾶς additum. At conf. 1, 78. πολέμου ἄρχοντας. c. 118. εἰ πολεμοῦσιν ἄμεινον ἔσται. c. 139. τὸ ψήφισμα καθελοῖσι. 2, 87. πρῶτον ναυμαχοῦντας. Praesenti tamen loco ἀνθρώπους cogitando melius additur, ut sententia universalis sit, coll. Plat. Phaedon. p. 63. E. φησὶ γὰρ θερμαίνεσθαι μᾶλλον διαλεγομένους et Ast. ad Plat. Polit. p. 430." Krueg. Nihil apud Platonem supplet Herm., quem vid. in adn. mea ad 5, 55. Discernenda enim sunt participia, in quibus ipsis subiectum inest, et ea, ad quae ex proximis subiectum suppleri potest. Huius generis praeter unum Platonis et praesens exemplum omnia alia sunt, quae Krueg. attulit. Paulo post idem animadvertit, Melios minus invidiosa voce δοκοῦντας eandem sententiam exprimere, quam Athenienses verbo ὑπονοεῖν.

89. μετ' ὀνομάτων καλῶν] i. e. *speciosis nominibus*. Eadem, quae hic, auctor Athenienses dicentes facit 6, 83. Noluit repetere, quae iam alibi 1, 73 sqq. exposuerat. Ipsos enim Athenienses hoc argumentum non uberius pertractasse vix crediderim, quippe qui semper istas res iactarent, tum etiam quum Sulla urbem oppugnante funus eius instaret. vid. Plut. V. Sull. 13. Krueg. add. Valck. ad Herodot. 9, 27. p. 247. Schweigh.

τὰ δυνατὰ δὲ — πρὸς εἰδότας] Ordo verborum hic esse videtur: (ἀξιοῦμεν δὲ) τὰ δυνατὰ ἐξ ὧν ἑκάτεροι ἀληθῶς φρονοῦμεν, διαπράσσεσθαι (ὑμᾶς) ἐπισταμένους πρὸς (ἡμᾶς) εἰδότας, ὅτι etc., wir verlangen, dass ihr das Mögliche dem gemäss, was unser beider wahre Gesinnung ist (dass nämlich der Mächtige befehle und der Schwache gehorche), gegen uns die Wissenden geschehen lasset, als Wissende, dass etc. Egregie Arn.: but we expect you rather, agreeably to the real sentiments of us both, to think only of getting what you *can*, not what you may have a *right* to. For you know, and we know, that right is considered in men's discussions, only when both parties are of equal power: what he *can do*, is the only rule of the stronger, and the weaker is fain to yield to it. Διαπράσσεσθαι medium est; Arn. confert 3, 82. prop. fin. οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι. Ἐπισταμένους cohaeret cum ὑμᾶς, quod est ante ἀξιοῦμεν. Schol. ὁ ἀνθρώπινος λογισμὸς τότε τὸ δίκαιον ἐξετάζει, ὅταν ἴσην ἰσχὺν ἔχωσιν

ἐπισταμένους πρὸς εἰδότας ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται, δυνατὰ δὲ οἱ προὔχοντες πράσσουσι καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν.

ΜΗΛ. Ἡμεῖς δὴ νομίζομέν γε χρήσιμον, ἀνάγκη γάρ, 90
ἐπειδὴ ὑμεῖς οὕτω παρὰ τὸ δίκαιον τὸ ξυμφέρον λέγειν ὑπέθεσθε, μὴ καταλύειν ὑμᾶς τὸ κοινὸν ἀγαθόν, ἀλλὰ τῷ ἀεὶ ἐν κινδύνῳ γιγνομένῳ εἶναι τὰ εἰκότα καὶ δίκαια, καί τι καὶ ἐντὸς

οἱ κρινόμενοι. ὅταν δὲ οἱ ἕτεροι προέχωσιν ἰσχύι, προστάττουσι πᾶν τὸ δυνατὸν, καὶ οἱ ἥττονες οὐκ ἀντιλέγουσιν. Dionys. p. 909. ὑμεῖς μὲν ἀληθῶς φρονοῦντες, ὅτι ἀδικεῖσθε, τὴν ἀνάγκην φέρετε καὶ εἴκετε· ἡμεῖς δὲ οὐκ ἀγνοοῦντες, ὅτι ἀδικοῦμεν ὑμᾶς, τῆς ἀσθενείας ὑμῶν περιεσόμεθα τῇ βίᾳ· ταῦτα γὰρ ἑκατέροις δυνατά. Hoc igitur dicit: nach der Gerechtigkeit fragt man unter den Menschen, wo von beiden Seiten gleiche Beschränkungen vorhanden sind: Uebermächtige aber handeln, wie es in ihrer Macht steht und die Schwächeren geben nach. „Ἀνάγκης significat externa, quibus humana voluntas coercetur." Arn.

90. ἡμεῖς δή] ἦ μὲν δή edidit Popp. In Vat. Gr. ᾗ μὲν δή. Lugd. ἦ μὲν δή. Cass. in marg. ἡμεῖς δή, quod Corae auctore Bekk. recepit. „Nec Graeca est particularum η μὲν δή — γε consociatio, sed aut cum Bekkero faciendum, aut ἡμεῖς μὲν δή scribendum. Posterius ob cap. 91. init. placet." Popp.

νομίζομεν] Schol. ἐπειδὴ ὑμεῖς, ὦ Ἀθηναῖοι, τοῦ συμφέροντος μᾶλλον ἀξιοῦτε στοχάζεσθαι, νομίζομεν ἡμῖν προσηκειν μὴ καταλύειν τὸ κοινὸν ἀγαθὸν, τουτέστι τὸ πράως τοῖς ἀσθενεστέροις χρῆσθαι. δεῖ γὰρ τοῖς κινδυνεύουσι τὰ προσήκοντα καὶ τὰ δίκαια νέμεσθαι, καὶ μᾶλλον τῆς φιλανθρωπίας ἢπερ τοῦ πρὸς ἀκρίβειαν δικαίου τυγχάνειν τοὺς ἥττονας. ὃ δὴ καὶ ὑπὲρ ὑμῶν ἐστιν, ὦ Ἀθηναῖοι. εἰ γὰρ δὴ μὴ πράως χρήσεσθε ἡμῖν, αὐτοὶ σφαλέντες ποτὲ παράδειγμα πάντως τοῖς ἄλλοις γενήσεσθε. μεγάλως γὰρ ὑμᾶς οἱ νικήσαντες τιμωρήσονται καὶ αὐτοὶ, τοὺς περὶ ἡμᾶς χαλεποὺς γενομένους. Dionys. p. 911. ὀλίγα δὲ πρὸς ταῦτα τῶν Μηλίων ἀποκρινομένων, ὅτι καλῶς ἂν ἔχοι τοῖς Ἀθηναίοις προνοεῖν τοῦ δικαίου, μὴ καὶ αὐτοί ποτε σφαλέντες ὑπ' ἄλλων ἐν ἐξουσίᾳ γένωνται καὶ τὰ αὐτὰ πάσχωσιν ὑπὸ τῶν ἰσχυροτέρων, ἀποκρινόμενον ποιεῖ τὸν Ἀθηναῖον etc. In his μὴ καταλύειν ὑμᾶς Cass. Aug. Cl. cod. Bas. Coraes. Vulgo ἡμᾶς. Prius Duk. praefert, ut melius conveniens sententiae, nam Melios de eo agere, quod Atheniensibus utile futurum sit. Haack. vulgatam ἡμᾶς referri posse putat ad utrosque, imo ad omnes, quod modestius visum iri, et sequi postremo verba: καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, quae idem *inprimis* Atheniensibus utile esse declarent. At τὸ κοινὸν ἀγαθόν tum Meliis exercere non licebat, nec ἡμῖν significare potest omnes mortales. Ὑμᾶς tuetur etiam Schol. Cass. νομίζομεν ὑμῖν προσήκειν. Τὸ κοινὸν ἀγαθόν intellige τὸ πράως ἀλλήλοις χρῆσθαι, die gegenseitige Schonung. Vid. Pseudothucyd. 3, 84. extr.

εἶναι τὰ εἰκότα καὶ δίκαια] i. e. mortalibus, qui semper in periculo subitae rerum suarum vicissitudinis versantur, utile est aequa pro iustis esse sive haberi (eos ius in aequitate ponere). Nam ὁ ἀεὶ ἐν κινδύνῳ γιγνόμενος non est *is*, qui *in periculo versatur*, quod de se solis Melios praedicare Schol. opinatur, sed omnes mortales scriptor dicit semper periclitari, ne res eorum pro rerum terrestrium mobilitate subitas vicissitudines subeant. Καί, quod est ante δίκαια, om. Cass. Aug. It. Vat. Reg. (G.) Ven. et s. v. eadem man. habet H., delent K. m., quo explicatio mea confirmari videtur. Porro πείσαντα Ar. Chr.

τοῦ ἀκριβοῦς πείσαντά τινα ὠφεληθῆναι. καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, ὅσῳ καὶ ἐπὶ μεγίστῃ τιμωρίᾳ σφαλέντες ἂν τοῖς ἄλλοις παράδειγμα γένοισθε.

91 *ΑΘ.* Ἡμεῖς δὲ τῆς ἡμετέρας ἀρχῆς, ἣν καὶ παυθῇ, οὐκ ἀθυμοῦμεν τὴν τελευτήν· οὐ γὰρ οἱ ἄρχοντες ἄλλων, ὥσπερ καὶ Λακεδαιμόνιοι, οὗτοι δεινοὶ τοῖς νικηθεῖσιν, (ἔστι δὲ οὐ πρὸς Λακεδαιμονίους ἡμῖν ὁ ἀγών), ἀλλ' ἣν οἱ ὑπήκοοί που τῶν ἀρξάντων αὐτοὶ ἐπιθέμενοι κρατήσωσι. καὶ περὶ μὲν τούτου ἡμῖν ἀφείσθω κινδυνεύεσθαι· ὡς δὲ ἐπ' ὠφελείᾳ τε πάρεσμεν τῆς ἡμετέρας ἀρχῆς καὶ ἐπὶ σωτηρίᾳ νῦν τοὺς λόγους ἐροῦμεν τῆς ὑμετέρας πόλεως, ταῦτα δηλώσομεν, βουλόμενοι ἀπόνως μὲν ὑμῶν ἄρξαι, χρησίμως δ' ὑμᾶς ἀμφοτέροις σωθῆναι.

Fr. Port. Vulgo *πείσοντα*. Hoc participium refer ad *εἰκότα*, hoc sensu: wir halten es für nützlich, dass ihr die gegenseitige Schonung nicht aufgebet, sondern dass dem Sterblichen, der immer in Gefahr schwebt, das Billige für Gerechtigkeit gelte, welches auch Manchen schon übergezeugt hat, dass er sich mit einem Vortheil begnügte (*ὠφεληθῆναι*, non *ὠφελεῖσθαι*), der innerhalb dem strengen Rechte stehen blieb. Neutrum abstractae significationis adiunctum habet verbum humanae mentis proprium, ut 6, 88. *τὰ γιγνόμενα καὶ ἐκείνοις ἐπιβουλευόμενα*. Nam verba *ἐντὸς τοῦ ἀκριβοῦς* hoc dicunt: *citra ius summum et strictum*. Et praetuli scripturam librorum Cass. Aug. Cl. Pal. It. Vat. H. Laur. Ven. Reg. (G.) Gr. D. I. h. Vind. K. m. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas. marg. Steph. Vall. Vulgo *ἐκτός*, quod nullum hic idoneum sensum praebet. Et *ἐπὶ μεγίστῃ τιμωρίᾳ* est zur härtesten Bestrafung, *cum sorte, conditione saevissimae vindictae, ita ut* saevissimam poenam daturi essetis. Participium *σφαλέντες* resolve in *εἰ σφαλείητε, si quando vinceremini*, quae est perpetua apud hunc scriptorem verbi significatio.

91. *ἡμεῖς δὲ τῆς ἡμετέρας ἀρχῆς*] Sensum bene aperuit Schol. *ἂν καὶ καταλυθῇ ἡμῶν τὰ τῆς ἡγεμονίας, οὐκ ἀθυμοῦμεν περὶ τῆς καταστροφῆς· Λακεδαιμόνιοι γάρ, καὶ πάντες οἱ ἄρχειν εἰωθότες ἑτέρων οὐ χαλεπῶς τοῖς νικηθεῖσι προσφέρονται.* (Dionys. p. 912. addit: *τοῦτο δὲ ὅμοιόν ἐστι τὸ λέγειν, ὅτι παρὰ τοῖς τυράννοις οὐ μισοῦνται τύραννοι*). *ὥστε οὐ Λακεδαιμονίους δέδιμεν, ἀλλὰ τοὺς ὑπηκόους· οὗτοι γὰρ ἅτε οὐκ εἰωθότες ἑτέρων ἄρχειν, ἐπειδὰν κρατήσωσι τῶν ἀρχόντων, ὠμότατα αὐτοῖς χρῶνται. Ἀλλὰ περὶ μὲν τούτου ἐν ἀσφαλῶ κείσθω ὅπως ποτὲ ἕξει.* Arn. confert 6, 11. *οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι*, et ita sensum exponit: „Multo magis nobis timenda est victoria sociorum nostrorum, suo ipsorum nomine et de sua libertate dimicantium, quam victoria Lacedaemoniorum, si socii nostri nihil nisi ad eos deficiant, eoque eos nostris viribus superiores reddant. Tum enim Lacedaemonii vindictam sociorum nostrorum sua ipsorum causa restricturi essent, utpote in eadem conditione, qua nos, positi, et nolentes exemplum ponere, quo adversus ipsos postea socii usuri sint. Et profecto Athenae servatae sunt prudentia et moderatione Lacedaemonis post exitum belli, quum civitates minores earum extinctionem postularent. Vid. Xen. H. Gr. 2, 2, 19.“ In verbis *οὗτοι δεινοί* subiectum pronomine *οὗτοι* repetitur, „ut apud Demosth. pr. Cor. p. 319, 15. *ὁ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ*. Xen. Cyr. 4, 2, 39. Conf. Mor. ad Isocr. Paneg. c. 2. E.“ KRUEG.

ΜΗΛ. Καὶ πῶς χρήσιμον ἂν ξυμβαίη ἡμῖν δουλεῦσαι, 92 ὥσπερ καὶ ὑμῖν ἄρξαι;

ΑΘ. Ὅτι ὑμῖν μὲν πρὸ τοῦ τὰ δεινότατα παθεῖν ὑπα- 93 κοῦσαι ἂν γένοιτο, ἡμεῖς δὲ μὴ διαφθείραντες ὑμᾶς κερδαίνοιμεν ἄν.

ΜΗΛ. Ὥστε δὲ ἡσυχίαν ἄγοντας ἡμᾶς φίλους μὲν εἶναι 94 ἀντὶ πολεμίων, ξυμμάχους δὲ μεδετέρων, οὐκ ἂν δέξοισθε;

ΑΘ. Οὐ γὰρ τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα ὑμῶν ὅσον 95 ἡ φιλία μὲν ἀσθενείας τὸ δὲ μῖσος δυνάμεως παράδειγμα τοῖς ἀρχομένοις δηλούμενον.

ΜΗΛ. Σκοποῦσι δ' ὑμῶν οὕτως οἱ ὑπήκοοι τὸ εἰκός, 96

94. *ὥστε δέ*] *Λέ* om. Cass. Aug. It. Vat. H. Reg. (G.) F. I., fortasse recte. Agnoscit tamen Dionys. p. 912. POPP. Si *ὥστε* accipias pro *itaque*, cum interprete Dionysii Hal. non opus erit supplementis illis, quae huc inferciuntur. Neque omnino necessarium est ad sententiam, ut haec cum interrogatione legantur, quae a Gr. abest. Ea demta locus ita accipi potest: *Itaque, quantum scilicet ex oratione vestra intelligimus, non receperitis, vel non volueritis*, id est *non concesseritis nobis, ut otium agentes vobis pro hostilibus amici, et neutris socii simus.* Accusativum *ἡμᾶς* vulgo coniungunt cum *δέξοισθε*, qui aeque referri potest ad sequentem infinitivum *εἶναι*. *Λέγεσθαι* autem hac significatione recte dici, ostendi potest e locis veterum scriptorum apud Budaeum in Comm. L. Gr. p. 892. Lucian. D. M. p. 297. *οἳ οὐκ ἂν δέξαιντο ἀνελθεῖν, εἴ τις αὐτοὺς ἀναπέμψειε, non velint, non cupiant.* Thuc. 5, 32. *μὴ δεχομένων δὲ Ἀθηναίων, non volentibus, recusantibus Atheniensibus.* DUK. Ὥστε si significat *itaque*, non potest stare *δέ*, quod mihi servandum videtur, et tota sententia per interrogationem efferenda. Sic *ὥστε* erit *hac lege, ut*, ut sensus sit: *hanc vero conditionem, ut — non accipietis?* Ergo ne *δέχεσθαι* quidem erit *velle*, sed *accipere*. Pro *δέξοισθε* Vind. K. m. Ar. Chr. Dan. *δέξησθε*. Bekk. ex coniectura edidit *δέξαισθε*, Popponis coniectura est *δέξοισθε* (quod Bekk. in ed. stereot. ex Pal. enotavit), qui convertit *non receperitis*, et confert Lycurg. c. Leocr. c. 5. *δόξοιτ' ἄν*. Adde 5, 15. *γνόντες νῦν μᾶλλον ἂν ἐνδεξομένους*. Pendent haec a quaestione de indicativo futuri cum *ἄν*, quam supr. ad c. 82. attigi.

95. *οὐ γὰρ τοσοῦτον — δηλούμενον*] Dionys. p. 912., qui haec ita exponit: *ὅτι φιλοῦντες μὲν ἡμᾶς ἀσθενεῖς φαίνεσθαι πρὸς τοὺς ἄλλους ποιήσετε, μισοῦντες δὲ ἰσχυρούς. οὐ γὰρ ζητοῦμεν εὐνοίᾳ τῶν ὑπηκόων ἄρχειν, ἀλλὰ φόβῳ.* Schol. *ἐχθροὺς μὲν ὑμᾶς ἔχοντες οὐδὲν βλαβησόμεθα, μᾶλλον δὲ ὠφεληθησόμεθα, τεκμήριον τῆς ἰσχύος ἡμῶν καὶ δήλωμα τοῖς ἀρχομένοις παρέχοντες τὸ ὑμᾶς καταδουλώσασθαι· εἰ δὲ φίλους ποιησόμεθα, διὰ τὴν ἡμετέραν ἀσθένειαν τοῦτο δρᾶσαι νομισθησόμεθα ὡς φοβούμενοι ὑμᾶς.* Porro *οὐ γὰρ τοσοῦτον* etc. est *nein*, denn nicht so sehr etc. „Miror neminem dum coniectasse *ἡ φιλία ἡ μέν*. Sanum tamen fuerit vulgatum, quod ita explico, ut verba *ἡ φιλία* bis cogitanda esse putem.“ KRUEG. ad Dionys. p. 178. Possis etiam sic: *ὅσον ἡ φιλία, ἡ φιλία μέν — δηλούμενον*. Facilius tamen est corrigere *ἡ μέν*, quam repetere *ἡ φιλία*. Et ne illud quidem Popponi necessarium videtur, monenti, *ὁ μέν* etiam alibi ante *ὁ δέ* durius omitti, et ableganti ad Matth. §. 288. adn. 4. Sensus igitur hic est: da eure Freundschaft den Unterthanen als ein Beispiel unserer Schwäche, euer Hass ihnen als ein Beispiel unserer Gewalt erscheint.

96. *σκοποῦσι δ' ὑμῶν*] Schol. *εἰπόντων τῶν Ἀθηναίων ὅτι οἱ σύμμαχοι ἀσθένειαν ἡμῶν καταγνώσονται, οἱ Μήλιοι ὑποφέροντές φα-*

ὥστε τούς τε μὴ προσήκοντας, καὶ ὅσοι ἄποικοι ὄντες οἱ πολ-
λοὶ καὶ ἀποστάντες τινὲς κεχείρωνται, ἐς τὸ αὐτὸ τιθέασιν;
97 *ΑΘ.* Δικαιώματι γὰρ οὐδετέρους ἐλλείπειν ἡγοῦνται, κατὰ
δύναμιν δὲ τοὺς μὲν περιγίγνεσθαι, ἡμᾶς δὲ φόβῳ οὐκ ἐπιέναι·
ὥστε ἔξω καὶ τοῦ πλεόνων ἄρξαι καὶ τὸ ἀσφαλὲς ἡμῖν διὰ τὸ
καταστραφῆναι ἂν παράσχοιτε, ἄλλως τε καὶ νησιῶται ναυκρα-
τόρων, καὶ ἀσθενέστεροι ἑτέρων ὄντες, εἰ μὴ περιγένοισθε.
98 *ΜΗΛ.* Ἐν δ' ἐκείνῳ οὐ νομίζετε ἀσφάλειαν; δεῖ γὰρ αὖ
καὶ ἐνταῦθα, ὥσπερ ὑμεῖς τῶν δικαίων λόγων ἡμᾶς ἐκβιβάσαν-
τες τῷ ὑμετέρῳ ξυμφόρῳ ὑπακούειν πείθετε, καὶ ἡμᾶς τὸ ἡμῖν
χρήσιμον διδάσκοντας, εἰ τυγχάνει καὶ ὑμῖν τὸ αὐτὸ ξυμβαῖνον,
πειρᾶσθαι πείθειν. ὅσοι γὰρ νῦν μηδετέροις ξυμμαχοῦσι, πῶς
οὐ πολεμώσεσθε αὐτούς, ὅταν ἐς τάδε βλέψαντες ἡγήσωνταί
ποτε ὑμᾶς καὶ ἐπὶ σφᾶς ἥξειν; κἂν τούτῳ τί ἄλλο ἢ τοὺς μὲν
ὑπάρχοντας πολεμίους μεγαλύνετε, τοὺς δὲ μηδὲ μελλήσοντας
γενέσθαι ἄκοντας ἐπάγεσθε;
99 *ΑΘ.* Οὐ γὰρ νομίζομεν ἡμῖν τούτους δεινοτέρους, ὅσοι
ἠπειρῶταί που ὄντες τῷ ἐλευθέρῳ πολλὴν τὴν διαμέλλησιν τῆς

σιν, εἰ οἱ ὑπήκοοι ὑμῶν τοῦτο κρίνουσιν εὔλογον, ὥστε ἐν τῷ αὐτῷ
τιθέναι καὶ ὁμοίως ἀξιοῦν καταδουλοῦσθαι τούς τε μηδὲν προσήκοντας
ὑμῖν, ὥσπερ ἡμᾶς, καὶ τοὺς ἀποίκους μὲν ὑμῶν ὄντας ἀποστάντας δέ,
καὶ διὰ τοῦτο χειρωθέντας. Dein οἱ πολλοί redde grossentheils, et
τινές zum Theil.

97. *δικαιώματι*] Schol. οἱ ὑπήκοοι ἡμῶν δικαιολογίας μὲν οὔτε
τοὺς ἡμετέρους ἀποίκους ἀποστάντας οὔτε τοὺς μὴ προσήκοντας ἀπο-
ρεῖν ἡγοῦνται· τοὺς δὲ μὴ κατασιραφέντας ὑπὸ ἡμῶν οὐχὶ διὰ τὸ
δίκαιον, ἀλλὰ δι' ἰσχὺν μένειν ἐλευθέρους, καὶ ἡμᾶς αὐτοὺς μὴ ἐπιέ-
ναι οὐ διὰ δικαιοσύνην, ἀλλὰ φοβουμένους· ὥστε εἰ καταστραφείητε,
οὐ μόνον ἡμῖν περιέσται τὸ πλειόνων ἄρχειν, ἀλλὰ καὶ ἀσφάλεια προς-
έσται, ὡς ἂν μὴ καταφρονουμένοις ὑπὸ τῶν συμμάχων. Ubi *περιγί-
γνεσθαι* est frei bleiben. In proximis ordo verborum hic est: *ἄλλως
τε καὶ εἰ μὴ περιγένοισθε ναυκρατόρων νησιῶται, καὶ ἀσθενέστεροι
ἑτέρων ὄντες, maxime quum vos, insulam incolentes infirmioresque aliis,
non liberi manseritis, ideoque nobis maris dominis non superiores:* utrum-
que enim latet in *περιγένοισθε*, et propterea cum genitivo *ναυκρατό-
ρων* iunxit.

98. *ἐν δ' ἐκείνῳ*] sc. *ἐν δὲ τῷ μὴ πειρᾶσθαι τοὺς μὴ προσήκοντας
καταστρέφεσθαι*. Mox pro *ἐκβιβάσαντες* aliquot libri *ἐκβιάσαντες*, sic-
ut fortasse etiam Schol., et probat Duk., neutrum improbat Dorv. ad
Charit. p. 662. Bauero videbatur scriptor *ἐκβιασάμενοι* daturus fuisse.
Certe activum *ἐκβιάζω* dubium est, et ne simplex quidem *βιάζω* apud
Thucydidem reperitur, quamquam *βιάζομαι* saepe passivo sensu habet.
Mox alii libri quamplurimi *εἰ τυγχάνοι*, at „non dubitanter Melii lo-
quuntur, sed modeste affirmant, idem et illis expedire.“ Haack.

99. *οὐ γὰρ νομίζομεν*] Schol. *οὐ γὰρ νομίζομεν τοὺς ἐλευθέρους
τῶν ἠπειρωτῶν ἡμῖν ἔσεσθαι πολεμίους· μὴ δεδιότες γὰρ ἡμᾶς, ὡς
ἂν κατὰ γῆν οὐ μέλλοντας αὐτοῖς ἐπισιρατεύειν, πολλὴν μέλλησιν τοῦ
φυλάττεσθαί τε ἡμᾶς καὶ πολεμεῖν ποιήσονται. τοὺς δὲ ἐν ταῖς νή-
σοις ἐλευθέρους, ὥσπερ ὑμᾶς, καὶ τοὺς ὑπακούοντας μὲν ἤδη, διὰ δὲ
τὸ ἐξ ἀνάγκης καὶ μὴ ἑκοντὶ ὑπακούειν παροξυνομένους καὶ ταραττο-
μένους, τούτους ἡγούμεθα, εἰ περιΐδοιμεν ὑμᾶς ἐλευθέρους, ἐπαρθέν-*

πρὸς ἡμᾶς φυλακῆς ποιήσονται, ἀλλὰ τοὺς νησιώτας τέ που
ἀνάρκτους ὥσπερ ὑμᾶς καὶ τοὺς ἤδη τῆς ἀρχῆς τῷ ἀναγκαίῳ
παροξυνομένους. οὗτοι γὰρ πλεῖστ' ἂν τῷ ἀλογίστῳ ἐπιτρέ-
ψαντες σφᾶς τε αὐτοὺς καὶ ἡμᾶς ἐς προὔπτον κίνδυνον κατα-
στήσειαν.

ΜΗΛ. Ἦπου ἄρα, εἰ τοσαύτην γε ὑμεῖς τε μὴ παυθῆναι 100
ἀρχῆς καὶ οἱ δουλεύοντες ἤδη ἀπαλλαγῆναι τὴν παρακινδύνευσιν
ποιοῦνται, ἡμῖν γε τοῖς ἔτι ἐλευθέροις πολλὴ κακότης καὶ δει-
λία μὴ πᾶν πρὸ τοῦ δουλεῦσαι ἐπεξελθεῖν.

ΑΘ. Οὔκ, ἤν γε σωφρόνως βουλεύησθε· οὐ γὰρ περὶ 101
ἀνδραγαθίας ὁ ἀγὼν ἀπὸ τοῦ ἴσου ὑμῖν μὴ αἰσχύνην ὀφλεῖν,
περὶ δὲ σωτηρίας μᾶλλον ἡ βουλὴ πρὸς τοὺς κρείσσονας πολλῷ
μὴ ἀνθίστασθαι.

ΜΗΛ. Ἀλλ' ἐπιστάμεθα τὰ τῶν πολέμων ἔστιν ὅτε κοι- 102
νοτέρας τὰς τύχας λαμβάνοντα ἢ κατὰ τὸ διαφέρον ἑκατέρων

τας ἀλογίστως καὶ ἀντιστάντας ἡμῖν, αὐτούς τε καὶ ἡμᾶς αὐτοὺς εἰς
κίνδυνον καταστήσειν. Dativus *τῷ ἐλευθέρῳ* est commodi, iungendus
cum *φυλακῆς*. Recte igitur Schol. *ἐπὶ τῇ ἐλευθερίᾳ αὐτῶν*, diese wer-
den nicht leicht daran gehen, sich (durch einen Krieg) zum Schutze
ihrer Freiheit vorsehen zu wollen. Sententiam Arn. illustrat ex 1, 120.
*τοὺς δὲ τὴν μεσόγειαν μᾶλλον, καὶ μὴ ἐν πόρῳ καιωκημένους — χρὴ
— τῶν νῦν λεγομένων μὴ κακοὺς κριτὰς, ὡς μὴ προσηκόντων εἶναι,
προσδέχεσθαι δέ ποτε, εἰ τὰ κάτω πρόοιντο, κἂν μέχρι σφῶν τὸ δει-
νὸν προελθεῖν.*

100. *ἦ που ἄρα*] i. e. doch wohl also. Conf. Matth. §. 604. Popp.
Schol. *εἰ ὑμεῖς τε, ὦ Ἀθηναῖοι, σπουδὴν ποιεῖσθε πολλὴν ὑπὲρ τοῦ
μὴ ἀφαιρεθῆναι τῆς ἡγεμονίας, καὶ οἱ δουλεύοντες ὑμῖν ὑπὲρ τοῦ
ἀπαλλαγῆναι τῆς ὑμετέρας ἀρχῆς διακινδυνεύειν θέλουσι, πῶς ἡμεῖς,
οἱ ἔτι ἐλεύθεροι ὄντες, οὐκ ἂν κάκιστοι καὶ δειλότατοι κριθείημεν, μὴ
πάντα κίνδυνον ὑπομείναντες πρὸ τοῦ δουλεῦσαι;* De infinitivo *ἀπαλ-
λαγῆναι* v. Matth. p. 1065. §. 542. extr.

101. *ὀφλεῖν*] Vulgo *ὄφλειν*. „Grammatici distinguunt inter *ὄφλειν*
et *ὀφείλειν*, inter *ὄφλημα* et *ὀφείλημα*, quum dicant *ὄφλειν* et *ὄφλημα*
pertinere ad ius debitum, *ὀφείλειν* et *ὀφείλημα* ad debitam pecuniam.
v. Phryn. p. 463. Thom. M. p. 666. Et Elmsl. ad Eur. Heracl. 985.
ac Bekk. in Praef. ed. min. p. IV. legunt *ὀφλεῖν*, perhibentes vocem
tantum in aoristo, non in praesenti positam reperiri. At Photius scri-
bit *ὄφλειν*, addens priorem syllabam huius et huiusmodi verborum ab
Atticis scriptoribus *παροξύνεσθαι*. Idem scribit *ὄφλουσι*, quasi verbum
praesens habeat. Itaque Elmsleii mutationem non secutus sum.“ Arn.
Vid. Buttm. Gr. max. Indic. Verb. Anomal.

102. *τὰ τῶν πολέμων*] Mosqu. Vulgo *πολεμίων*. Totum locum
ita per circumlocutionem reddit Dionys. Hal. p. 913. *ὅτι κοινὰς τὰς
τύχας φέρουσιν οἱ πολέμιοι καὶ τὸ μὲν εἶξαι εὐθὺς ἀνέλπιστον, μετὰ
δὲ τοῦ δρωμένου ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς.* Unde patet, et ipsum
legisse *πολεμίων*, quemadmodum Valla legit *πολέμων*, interpretatus
fortunam belli et sic fortassis etiam Schol. „Vulgatam *πολεμίων* pro
πολεμούντων sive *ἀντιπολεμούντων* poni potuisse demonstrantibus cre-
dam, non affirmantibus Abreschio et Haackio. Thuc. 2, 11. *ἄδηλα τὰ
τῶν πολέμων*. 1, 78. *ὁ πόλεμος φιλεῖ ἐς τύχας τὰ πολλὰ περίστα-
σθαι.*“ Krueg. ad Dionys. p. 178. Porro *κοινὰς τύχας* tribui solere
bello vidimus in adn. ad 3, 30. Hi enim sunt proprie casus, qui utris-

πλῆθος. καὶ ἡμῖν τὸ μὲν εἶξαι εὐθὺς ἀνέλπιστον, μετὰ δὲ τοῦ δρωμένου ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς.

103 *ΑΘ.* Ἐλπὶς δὲ κινδύνῳ παραμύθιον οὖσα τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε· τοῖς δ' ἐς

que accidere possunt, adeoque *casus incerti, ancipites, inexspectati*, si potentioribus accidunt quae accidere posse non putaras. Krueg. affert Lys. Or. Funebr. p. 64. Plut. V. Nic. 27. Sensus igitur est: *incertiores, magisque ancipites saepe esse casus bellorum, quam pro multitudinis utrimque ratione.* Alteram scripturam καινοτέρας, quae est in Mosqu. Dan. et apud Stobaeum p. 364., melius sententiae convenire putavit Duk. et Gesnerum in ed. Stobaei ita expressisse dicit: *in bellis interdum eventus inopinatos accidere, et longe alios, quam pro multitudinis utrimque ratione.* Bau. se ait καινοτέρας praeferre vel ob rem vel ob verbum λαμβάνοντα. Communem enim fortunam non capere bellum, sed in se iam habere. Cui respondeas, bellum in se habere, dum nondum acciderunt; dum accidunt, capere.

103. ἐλπὶς δέ] Schol. τοὺς ἐν κινδύνῳ καθεστῶτας αὐτὸ μόνον παρηγορροῦσιν· ἀλλὰ τοὺς μὲν ἐν δυνάμει τυγχάνοντας, κἂν σφαλῇ ποτε ἡ ἐλπὶς, οὐ καιέλυσε παντελῶς, διὰ τὸ ὑπολείπεσθαι δύναμιν αὐτοῖς· οἷς δὲ περὶ πάντων ὧν ἔχουσιν ἀγωνιζόμενοι ἐπ' ἀδήλῳ ἐλπίδι, ἐπειδὰν ἡ ἐλπὶς σφαλῇ, ἅμα τε ἔγνωσαν ὅτι ἐσφάλησαν, καὶ οὐδὲν αὐτοῖς ὑπολείπεται, ἐν ᾧ γνωρίσαντες τὸ ἀβέβαιον τῆς ἐλπίδος ἔτι φυλάξονται. In his ἀπὸ περιουσίας ἐλπίδι χρῆσθαι est „uti quidem spe, verumtamen non ut praesidio palmario, sed *ex supervacaneo, ex abundanti*, velut adminiculo secundario, quod non tu quidem aspernaris, attamen illi minimum omnium tribuas, sic ea fidas, ut sine ulla fraude tua prorsus aequissimo animo careas hac anchora, quia multo pluribus multoque firmioribus aliis utaris, ut, si prosper exitus spei tuae respondeat, laeteris, sin te fallat, nihil ideo deteriori loco sis.“ Reisk. ap. Schaef. App. Crit. Demosth. Vol. 2. p. 19., ubi varias exponit significationes formulae ἐκ et ἀπὸ περιουσίας. Seagero ibidem figura videtur ab iis desumta, qui supervacanea tantum ex fortunis suis in discrimen committunt, quibus vel amissis iacturam non ita magnam faciant. Apte Arn.: like a rich man buying a lottery ticket: his speculation is ἀπὸ περιουσίας, he has a great deal of other property besides the money which he adventures in the lottery. Mox in aoristo καθεῖλεν vis consuetudinis est. v. Herm. ad Vig. p. 746. Matth. §. 502. Et ἐς ἅπαν est im Ganzen, ut sit das Ihrige ganz. Et τὸ ὑπάρχον pendet ab ἀναῤῥίπτοῦσι, non ab ἐς. Non opus est coniectura Schneideri ἐς ἅπαξ. Dionys. Hal. ἀναῤῥίπτουσι. Ven. ἐξαναῤῥίπτουσι. Vid. Herm. ad Soph. Ai. 235. Supple κίνδυνον et adi Valck. ad Herodot. 7, 50. Similitudo ducta ab aleis, quarum ad unum certum genus Reisk. revocat. „Simile ductum ab illo genere ludi puerilis, quo pueri silicem testamve sursum iaciunt, quo videant, utrum latus silicis testaeve delapsae superius sit futurum, utrum terrae incubiturum.“ Et δάπανος ἡ ἐλπίς, ait Schol., δύναται τοιοῦτόν τι, ὅτι οἱ ἐλπίζοντές τινος τεύξεσθαι πολλὰ προσδαπανῶσι καὶ προσαναλίσκουσι. Thom. M. p. 199. exponit per δαπανηρός. Perperam Krueg. p. 179. verborum καὶ ἐν ὅτῳ ἔτι etc. hunc sensum esse dicit: *spes copiam non relinquit* iis, qui ea abutuntur, *qua quis, quum illam semel cognoverit vanam esse, postmodo sibi ab ea caveat.* Nam ἐλλείπειν non est *relinquere*, sed *deficere*. Hoc igitur scriptor dicit: *Illis vero, qui de summa suarum fortunarum aleam iaciunt — ubi cognoscitur, spem se fefellisse et qualis sit, atque ubi se aliquis continens ab ipsa cognita sibi caveat, tamen non*

ἅπαν το ὑπάρχον ἀναῤῥιπτοῦσι, δάπανος γὰρ φύσει, ἅμα τε γιγνώσκεται σφαλέντων, καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν, οὐκ ἐλλείπει. ὑμεῖς ἀσθενεῖς τε καὶ ἐπὶ ῥοπῆς μιᾶς ὄντες μὴ βούλεσθε παθεῖν, μηδὲ ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς παρὸν ἀνθρωπείως ἔτι σώζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται, μαντικήν τε καὶ χρησμοὺς καὶ ὅσα τοιαῦτα μετ' ἐλπίδων λυμαίνεται.

ΜΗΛ. Χαλεπὸν μὲν καὶ ἡμεῖς εὖ ἴστε νομίζομεν πρὸς 104
δύναμίν τε τὴν ὑμετέραν καὶ τὴν τύχην, εἰ μὴ ἀπὸ τοῦ ἴσου ἔσται, ἀγωνίζεσθαι· ὅμως δὲ πιστεύομεν τῇ μὲν τύχῃ ἐκ τοῦ θείου μὴ ἐλασσώσεσθαι, ὅτι ὅσιοι πρὸς οὐ δικαίους ἱστάμεθα, τῆς δὲ δυνάμεως τῷ ἐλλείποντι τὴν Λακεδαιμονίων ἡμῖν ξυμμαχίαν προσέσεσθαι, ἀνάγκην ἔχουσαν καὶ εἰ μή του ἄλλου τῆς γε ξυγγενείας ἕνεκα καὶ αἰσχύνῃ βοηθεῖν. καὶ οὐ παντάπασιν οὕτως ἀλόγως θρασυνόμεθα.

ΑΘ. Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον εὐμενείας οὐδ' ἡμεῖς 105
οἰόμεθα λελείψεσθαι. οὐδὲν γὰρ ἔξω τῆς ἀνθρωπείας τῶν μὲν

deficit, sed homines a spe in rebus certis, velut militibus, armis, locis munitis, alieno auxilio et omni genere copiarum posita progrediuntur ad spem in rebus divinis collocatam. Bekkero vidētur commodius legi οὐκέτι λείπει.

ἐπὶ ῥοπῆς μιᾶς] ῥοπήν constat momentum linguae esse, das Züngelein an der Wage, wodurch der Ausschlag gegeben wird. „*Uno momento librae* sive *lancium*, quod idem est atque ἐς μίαν βουλήν infr. c. 111.; sensus est: non est ut lances semel descendant et postea rursus ascendant; sed, ubi semel descenderunt, periistis.“ Arn. Porro alii libri μὴ βούλεσθε, alii μὴ βούλησθε, v. Greg. Cor. p. 864. Heyn. ad Hom. Il. Vol. 6. p. 36. Matth. §. 511. 3. Thom. M. p. 611. Herm. ad Vig. p. 809, 268.

104. εἰ μὴ ἀπὸ τοῦ ἴσου ἔσται] si non ex aequo futurum est, ut vobiscum tum opibus tum fortuna certemus. Tametsi ex aequo futurum esse confidimus; nam adversus vestram fortunam favorem numinis divini ponimus; adversus vestram potestatem auxilium Lacedaemoniorum opponimus. Arn. Dativum τῷ ἐλλείποντι iunge cum προσέσεσθαι, alter autem dativus ἡμῖν cum ξυμμαχίαν iungendus. Vid. adn. ad 5, 5. 46.

105. τῆς μὲν τοίνυν] Schol. οὐκ ἔλαττον ἡγούμεθα εὐμενεῖς ἡμῖν ἔσεσθαι τοὺς θεοὺς ἢπερ ὑμῖν, οὐδὲν γὰρ ἔξω πράττομεν οὔτε τῶν εἰθισμένων περὶ τοὺς θεοὺς οὔτε τῶν πρὸς ἀνθρώπους δικαίων. τό τε γὰρ θεῖον θεραπεύομεν κατὰ τὸ κοινὸν πάντων ἔθος ἀνθρώπων, τούς τε ἀνθρώπους ἡγούμεθα φύσει γεγονέναι πρὸς τὸ ἄρχειν ὧν κρατοῦσιν. Dionys. p. 915. ὅτι τὸ μὲν θεῖον δόξῃ γινώσκουσιν ἅπαντες, τὰ δὲ πρὸς ἀλλήλους δίκαια τῷ κοινῷ τῆς φύσεως κρίνουσι νόμῳ, οὗτος δ' ἔστιν ἄρχειν ὧν δύνηταί τις κρατεῖν. Thom. M. in εὔνοια scribit, εὐμένειαν esse maioris erga minorem et interdum contra, idque cum ex aliis tum hoc loco Thucydidis docet. Sed hoc quidem loco parum apte usus est, neque recte Reisk.: *ne nos quidem nobis videmur erga deos minus bene animati esse, quam vos vobis videmini.* Sed haec verba non dicuntur de bona piaque mente hominum erga deos, sed de favore et gratia divini numinis erga homines, id quod docet

ἐς τὸ θεῖον νομίσεως τῶν δ' ἐς σφᾶς αὐτοὺς βουλήσεως δικαιοῦμεν ἢ πράσσομεν. ἡγούμεθα γὰρ τό τε θεῖον δόξῃ, τὸ ἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ὑπὸ φύσεως ἀναγκαίας, οὗ ἄν κρατῇ, ἄρχειν. καὶ ἡμεῖς οὔτε θέντες τὸν νόμον οὔτε κειμένῳ πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες καὶ ἐσόμενον ἐς ἀεὶ καταλείψοντες, χρώμεθα αὐτῷ, εἰδότες καὶ ὑμᾶς ἄν καὶ ἄλλους ἐν τῇ αὐτῇ δυνάμει ἡμῖν γενομένους δρῶντας ἂν αὐτό. καὶ πρὸς μὲν τὸ θεῖον οὕτως ἐκ τοῦ εἰκότος οὐ φοβούμεθα ἐλασσώσεσθαι· τῆς δὲ ἐς Λακεδαιμονίους δόξης, ἣν διὰ τὸ αἰσχρὸν δὴ βοηθήσειν ὑμῖν πιστεύετε αὐτούς, μακαρίσαντες ὑμῶν τὸ

caput proxime praegressum. Exspectes igitur utique *πρὸς τοῦ θείου*. Krueg. vulgatam ita tuetur, ut verba *τῆς πρὸς τὸ θεῖον εὐμενείας οὐδ' ἡμεῖς οἰόμεθα λελείψεσθαι* attractionis quodam genere posita censeat pro *πρὸς μὲν τὸ θεῖον τῆς πρὸς τοῦ θείου εὐμενείας οὐδ' ἡμεῖς οἰόμεθα λελείψεσθαι*, *ad deos quod attinet, ne nos quidem eorum gratia inferiores fore speramus*. Similiter explanat Arn.: *τὰ μὲν πρὸς τὸ θεῖον, τῆς ἐξ αὐτοῦ εὐμενείας οὐδ'* etc. et confert 4, 51. *ποιησάμενοι μέντοι πρὸς τοὺς Ἀθηναίους πίστεις* etc., ubi vid. adn. Adde 6, 80. extr. *καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν διαφυγεῖν* i. e. *τὰ πρὸς ἡμᾶς, τὴν πρὸς ἡμῶν ἔχθραν διαφυγεῖν*. Porro *τῶν ἐς τὸ θεῖον* est *eorum, quae ad deos pertinent*. v. Matth. p. 558. b. Mox *νόμισις* est der Glaube, *βούλησις* das Wollen. Arn.: what men, as far as the gods are concerned, *think*; and as far as themselves are concerned, *will have to be so*. Krueg. adiectivum *ἀνθρωπείας* et ad *νομίσεως* et ad *βουλήσεως* pertinere ac propterea praemissum esse docet, in verbis *ἐς σφᾶς αὐτούς* structuram *ἀπὸ κοινοῦ* esse, nam pronomina ita posita esse, quasi antecessisset *ἔξω τῆς τῶν ἀνθρώπων*, et locum in has partes resolvit: *οὐδὲν δικαιοῦμεν ἢ πράσσομεν ἔξω τῆς ἀνθρωπείας τῶν ἐς τὸ θεῖον νομίσεως* et *οὐδὲν δικαιοῦμεν ἢ πράσσομεν ἔξω τῆς ἀνθρωπείας τῶν ἐς σφᾶς αὐτοὺς βουλήσεως*. Reisk. ita interpretatur: *non aliter agimus, neque aliter ius et fas aestimamus, quam prout alii homines partim in rebus divinis statuunt agendum et censendum esse, partim in rebus humanis, in mutuis rerum inter se commerciis volunt agi atque censeri.* „Significatur autem, addit Krueg., fortiorem quemque poscere, ut quem viribus superet, is sibi pareat.“ Minus recte Dionys. *τὸ μὲν θεῖον δόξῃ γινώσκουσιν ἅπαντες*, qui non vidit addendum esse verbum *ἄρχειν*, *existimamus enim deos ex opinione hominum, homines manifesto semper, utrosque autem, quia necesse sit per naturam rerum, ei imperare, cuius potentes sint.* Contrarie ponuntur *δόξῃ* et *σαφῶς*, utrumque iungendum cum *ἄρχειν*. Arn.: Men's common belief with regard to the gods, and their common practice amongst themselves, alike justify our conduct. Belief with regard to the gods; for of them we can only believe, not know it: practice amongst men; for we do not only believe, but know, that their practice is such.

δόξης, ἣν — πιστεύετε] Reisk. coniecit *ᾗ*. Arn. ferri posse vulgatam existimat, quia *δόξης* plane idem sit ac *πίστεως*, nec alius sensus, quam si scripsisset *πίστεως ἣν περὶ αὐτῶν πιστεύετε, βοηθήσειν ὑμῖν αὐτούς*, the belief which you believe concerning them, that they will help you. Mox *ζηλοῦμεν* est *felices praedicamus*. v. Valck. ad Thom. M. pone Ruhnk. et aliorum epistt. ad I. A. Ern. p. 162., Tittm. ad Zonar. in v. Proxima de illiberalitate Lacedaemoniorum tractant Od. Muell. Dor. 2. p. 409. Kortuem. Hellen. Staatsverf. p. 69, 4. Extrema *οὐ πρὸς τῆς ὑμετέρας* etc. intelligo: ist nicht zum Vortheil eu-

ἀπειρόκακον οὐ ζηλοῦμεν τὸ ἄφρον. Λακεδαιμόνιοι γὰρ πρὸς σφᾶς μὲν αὐτοὺς καὶ τὰ ἐπιχώρια νόμιμα πλεῖστα ἀρετῇ χρῶνται· πρὸς δὲ τοὺς ἄλλους πολλὰ ἄν τις ἔχων εἰπεῖν ὡς προσφέρονται, ξυνελὼν μάλιστ' ἂν δηλώσειεν ὅτι ἐπιφανέστατα ὧν ἴσμεν τὰ μὲν ἡδέα καλὰ νομίζουσι, τὰ δὲ ξυμφέροντα δίκαια. καίτοι οὐ πρὸς τῆς ὑμετέρας νῦν ἀλόγου σωτηρίας ἡ τοιαύτη διάνοια.

*ΜΗΛ. Ἡμεῖς δὲ κατ' αὐτὸ τοῦτο ἤδη καὶ μάλιστα πι-*106 *στεύομεν τῷ ξυμφέροντι αὐτῶν Μηλίους ἀποίκους ὄντας μὴ βουλήσεσθαι προδόντας τοῖς μὲν εὔνοις τῶν Ἑλλήνων ἀπίστους καταστῆναι, τοῖς δὲ πολεμίοις ὠφελίμους.*

*ΑΘ. Οὔκουν οἴεσθε τὸ ξυμφέρον μὲν μετὰ ἀσφαλείας εἶ-*107 *ναι, τὸ δὲ δίκαιον καὶ καλὸν μετὰ κινδύνου δρᾶσθαι· ὃ Λακεδαιμόνιοι ἥκιστα ὡς ἐπὶ τὸ πολὺ τολμῶσιν.*

*ΜΗΛ. Ἀλλὰ καὶ τοὺς κινδύνους τε ἡμῶν ἕνεκα μᾶλλον*108 *ἡγούμεθ' ἂν ἐγχειρίσασθαι αὐτούς, καὶ βεβαιοτέρους ἢ ἐς ἄλλους νομιεῖν ὅσῳ πρὸς μὲν τὰ ἔργα τῆς Πελοποννήσου ἐγγὺς κείμεθα, τῆς δὲ γνώμης τῷ ξυγγενεῖ πιστότεροι ἑτέρων ἐσμέν.*

*ΑΘ. Τὸ δ' ἐχυρόν γε τοῖς ξυναγωνιουμένοις οὐ τὸ εὔνουν*109 *τῶν ἐπικαλεσαμένων φαίνεται, ἀλλ' ἢν τῶν ἔργων τις δυνάμει πολὺ προῦχῃ· ὃ Λακεδαιμόνιοι καὶ πλεῖόν τι τῶν ἄλλων σκοποῦσι. τῆς γοῦν οἰκείας παρασκευῆς ἀπιστίᾳ καὶ μετὰ ξυμμάχων πολλῶν τοῖς πέλας ἐπέρχονται. ὥστε οὐκ εἰκὸς ἐς νῆσόν γε αὐτοὺς ἡμῶν ναυκρατόρων ὄντων περαιωθῆναι.*

*ΜΗΛ. Οἱ δὲ καὶ ἄλλους ἂν ἔχοιεν πέμψαι· πολὺ δὲ τὸ*110

rer Rettung, sive eine solche Denkweise lässt nichts für eure Rettung erwarten.

106. *ἡμεῖς δέ*] Schol. *φασὶν οἱ Μήλιοι ὅτι διὰ τὸ ἴδιον συμφέρον τοὺς Λακεδαιμονίους πιστεύομεν καὶ μάλιστα ἥξειν ἡμῖν βοηθοὺς, ὅπως μὴ τοῖς μὲν εὐνοοῦσι τῶν Ἑλλήνων ἄπιστοι φανῶσιν, ὑμᾶς δὲ τοὺς πολεμίους ὠφελήσωσι, προδόντες ἡμᾶς τοὺς συμμάχους.*

107. *οὔκουν*] Bekk. sensu flagitante pro *οὐκοῦν*. Quamquam longe aliter sentit Elmsl. ad Eur. Heracl. 256.: „Apud veteres Atticos utraque particula semper propriam suam significationem servat. Ego ubique *οὐκ οὖν* scribo, adhibita, prout opus est, vel omissa interrogatione.“ Is ergo hic interrogationem omissurus fuisset, non additurus, ut Arn. opinatur.

108. *βεβαιοτέρους ἢ ἐς ἄλλους*] Unice vera videtur interpretatio Scholfieldi in adn. ad Dobrei Adversaria: *ea pericula, quae nostra causa suscipiuntur, tutiora* i. e. *minus periculosa fore, quam quae propter alios*, quamquam cum Arnoldo malim: *quam periculum ad alios traïciendo susceptum*, quippe traiectus ad Melios non longus erat Laconica proficiscentibus et ad consanguineos fiebat. Propter *βεβαιοτέρους κινδύνους* Scholf. comparat 3, 39. *κίνδυνον ἡγησάμενοι βεβαιότερον*, et ad *ἐς ἄλλους* Arn. cogitatione supplet *παρακινδυνεῦσαι*, coll. 3, 36. *ἐς Ἰωνίαν παρακινδυνεῦσαι*. *Βεβαιοτέρους* ante Anglos iam Did. ad *κινδύνους* retulerat. Porro genitivus *τῆς γνώμης* pendet a *πιστότεροι*. Et *μᾶλλον — ὅσῳ* pro *τοσούτῳ μᾶλλον, ὅτι* dici docuit Buttm. Exc. ad Platon. 2. Alcib. §. 16. a. p. 205. Conf. 3, 45. 5, 90. 6, 89.

Κρητικὸν πέλαγος, δι' οὗ τῶν κρατούντων ἀπορώτερος ἡ λῆψις ἢ τῶν λαθεῖν βουλομένων ἡ σωτηρία. καὶ εἰ τοῦδε σφάλλοιντο, τράποιντ' ἂν καὶ ἐς τὴν γῆν ὑμῶν καὶ ἐπὶ τοὺς λοιποὺς τῶν ξυμμάχων, ὅσους μὴ Βρασίδας ἐπῆλθε· καὶ οἱ περὶ τῆς μὴ προσηκούσης μᾶλλον ἢ τῆς οἰκειοτέρας ξυμμαχίδος τε [καὶ γῆς] ὁ πόνος ὑμῖν ἔσται.

111 *ΑΘ.* Τούτων μὲν καὶ πεπειραμένοις ἄν τι γένοιτο καὶ ὑμῖν καὶ οὐκ ἀνεπιστήμοσιν ὅτι οὐδ' ἀπὸ μιᾶς πώποτε πολι-

22. *ναυσί τε*] Bekk. vult *ναυσὶ δέ*. Non probo, nam *καὶ πολύ* est *gar* sehr, ubi *καὶ* est intensivum. Quid igitur vetat, ne per particulam *τε* sententia *ναυσὶ — παρεῖναι* adnectatur ad praecedentem *ὁπλίτας τε — ἄγειν*? Mox cogita cum Arnoldo esse *τὸν δὲ καὶ σῖτον αὐτόθεν — ἄγειν*. Quia per verba *πεφρυγμένας κριθάς* Grammatici interpretantur vocem *κάγχρυς*, Piers. ad Moer. p. 213. suspicatur id vocabulum h. l. reponendum esse, sed Piers. ipse ait, hanc tantum levissimam coniecturam esse. Verba *πρὸς μέρος* Vall. interpretatur: *quorum pars molere cogatur.* Acacius: *pistoribus aliis coactis, aliis mercede conductis.* Haec versio desiderat *πρὸς μέρος* bis poni. Duk. dubitat, num sit *pro numero ac multitudine hominum, quos navibus imponemus.* Dobr. (similiter Boeckhio Staatsh. d. Ath. Vol. 1. p. 308. adn. qui tamen parem ex quoque pistrino numerum, velut ex singulis duos sumtos esse censet), convertit *pro servorum apud quemque numero*, quae Arn. his exemplis comprobat: Demosth. Macart. p. 1068, 4. Reisk. *τῇ ἐπικλήρῳ πρὸς μέρος ἐπιδιδόναι ἕκαστον.* Phorm. p. 954, 18. *ὅτε γὰρ τὰ μητρῷα πρὸς μέρος αὐτὸς ἠξίους νέμεσθαι*, ut igitur sit *εἰς ἴσας μοίρας, κατ' ἰσομοιρίαν*, verhältnissmässig. Et pistores dicit vi cogendos esse, ut exercitum sequantur, mercede tamen sustententur, v. Boeckh. l. c. et Arn. ad h. l. Mox pro *ἀπολαμβανώμεθα*, E. habet *ὑπολαμβανώμεθα*, Ar. Chr. *ἀπολαμβανόμεθα*, I. *ἀποκλειώμεθα*, sicut D. in marg. eadem man. cum *γρ.* Contra I. in marg. *ἀπολαμβανώμεθα*. *Ὑπολαμβανώμεθα* placet Dorvillio ad Charit. p. 363. 567., quod usu receptius esse fatens Wess. ad Herodot. 2, 115. alterius per *α* tamen exempla ex Platone et Philostrato affert.

ἔχῃ ἡ στρατιὰ τὰ ἐπιτήδεια, πολλὴ γὰρ οὖσα οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι, τά τε ἄλλα ὅσον δυνατὸν ἑτοιμάσασθαι, καὶ μὴ ἐπὶ ἑτέροις γίγνεσθαι, μάλιστα δὲ χρήματα αὐτόθεν ὡς πλεῖστα ἔχειν. τὰ δὲ παρ' Ἐγεσταίων, ἃ λέγεται ἐκεῖ ἑτοῖμα,
23 νομίσατε καὶ λόγῳ ἂν μάλιστα ἑτοῖμα εἶναι. ἦν γὰρ αὐτοὶ ἔλθωμεν ἐνθένδε μὴ ἀντίπαλον μόνον παρασκευασάμενοι πλήν

πολλὴ γὰρ οὖσα] Attractionis genus quoddam est, ut verbum ad *στρατιά* tanquam ad subiectum suum relatum esse iudicetur, et sit *πολλὴ γὰρ οὖσα οὐ πάσης ἔσται πόλεως, ὥστε ὑποδέξασθαι αὐτήν*, pro *πολλὴν γὰρ οὖσαν* etc. Et sic explicat Matthiae p. 621. b. coll. Soph. Oed. R. 393. *καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοὐπιόντος ἦν ἀνδρὸς διειπεῖν.*

23. *ἀντίπαλον μόνον*] Clarius ita loquutus esset: *ἦν γὰρ αὐτοὶ ἔλθωμεν ἐνθένδε ἀντίπαλον μόνον παρασκευασάμενοι (πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν τὸ ὁπλιτικὸν), καὶ οὐχ ὑπερβάλλοντες τοῖς πᾶσι* etc. i. e. wenn das einzige, worin wir ihnen nicht gleich stehen, *sondern sie übertreffen*, unsere Hoplitenmacht ist, und wir sie nicht in jeder Truppengattung übertreffen etc. Poscit igitur ab Atheniensibus, ut non solum hoplitarum numero superiores sint, sed omni genere copiarum. Athenagoras c. 37. sperat, fore ut Athenienses ne hoplitarum quidem numero pares veniant, siquidem navibus venturi sint. Schol. verba *μὴ ἀντίπαλον μόνον π. πλήν γε πρός* etc. ita accepit, ut significent *minorem* numerum, non maiorem hoplitarum: *πρὸς μὲν τὸ μάχιμον αὐτῶν τὸ ὁπλιτικὸν οὐδ' ὅλως δυνάμεθα ἀντιτάξασθαι· πρὸς δὲ τὰ ἄλλα μὴ μόνον ἐξ ἴσου ἐκείνοις, ἀλλὰ καὶ μειζόνως παρασκευασώμεθα.* Verum cum robur Graecorum in gravi armatura situm esset, qui graviter armatos scriptor excluderet numero eorum, quibus ab Atheniensibus hostes exsuperari debeant, si sperari possit, hostes victum iri? Imo ante omnia graviter armatorum numero Athenienses excellere debebant, si victoriam sperare possent. Maiorem numerum hoplitarum Atheniensibus a Nicia tribui, indicant etiam verba *τοῖς πᾶσι, non unis hoplitis par est nos praestare, sed omni genere militum.* Athenagorae autem verba nihil obstant huic explicationi, ut qui in omnibus infra rem de Atheniensium expeditione existimet. Et minorem Syracusanis hoplitarum numerum fuisse, apparet ex 6, 72. coll. 67. (*πανδημεὶ*) et 68. (*οὐκ ἀπολέκτους*). Et propter paucitatem militum graviter armatorum Syracusani in prima pugna 6, 67. aciem instruxerunt senis denis militibus altero post alterum positis (sechszehn Mann tief), Athenienses vero octonis. v. adn. ad. 4, 93. Maxime equitatus defectu exercitus Atheniensium laborabat. De articulo in verbis *τὸ μάχιμον — τὸ ὁπλιτικόν* repetito v. Matth. §. 274. 275. Mox vulgo legebatur *οἰκειοῦντας*. Ar. Chr. *οἰκιοῦντες*. It. Aug. teste Bekk. ex correctione *οἰκιοῦντας*. De Lugd. tacetur, quasi vere idem habeat. Buttm. Gr. max. Vol. 1. p. 403. vulgatam tuetur cum aliis, tum illo *ἐρημοῦτε* 3, 58., quod item futuri sensum habeat. Conf. Matth. p. 324. c., qui his accenset etiam *ἐλευθεροῦσιν* 2, 8. At v. adn. ad utrumque locum. Bau. *οἰκιοῦντας* praefert, suppleto *ὡς*, *tanquam condituros*, neque enim *οἰκειοῦν* urbem Athenienses voluisse, sed ita comparari atque instrui iuberi a Nicia, ut qui urbem velint inter infesta omnia condere. Quum igitur futuro opus sit, quum verbum *οἰκίζειν* propria futuri forma gaudeat, ac quum nonnulli certe libri eam formam praebeant, rescripsi *οἰκιοῦντας*, ut 1, 100. *ὡς οἰκιοῦντες*. Secus se res habet in illis *ἐρημοῦτε* et *ἐλευθεροῦσιν*, quae non futura, sed praesentia sunt. Deinde vulgo barbare legebatur *ην σφάλωνται*, correxit Popp. provocans ad Buttm. Gr. max. Vol. 1. p. 413. adn. Veram scripturam multi bonique libri habent. Tum vulgo

γε πρὸς τὸ μάχιμον αὐτῶν τὸ ὁπλιτικόν, ἀλλὰ καὶ ὑπερβάλλοντες τοῖς πᾶσι, μόλις οὕτως οἷοί τε ἐσόμεθα τῶν μὲν κρατεῖν, τὰ δὲ καὶ διασῶσαι. πόλιν τε νομίσαι χρὴ ἐν ἀλλοφύλοις καὶ πολεμίοις οἰκιοῦντας ἰέναι, οὓς πρέπει τῇ πρώτῃ ἡμέρᾳ ἢ ἂν κατάσχωσιν εὐθὺς κρατεῖν τῆς γῆς, ἢ εἰδέναι ὅτι ἢν σφάλλωνται, πάντα πολέμια ἕξουσιν. ὅπερ ἐγὼ φοβούμενος, καὶ εἰδὼς πολλὰ μὲν ἡμᾶς δέον βουλεύσασθαι, ἔτι δὲ πλείω εὐτυχῆσαι, χαλεπὸν δὲ ἀνθρώπους ὄντας, ὅτι ἐλάχιστα τῇ τύχῃ παραδοὺς ἐμαυτὸν βούλομαι ἐκπλεῖν, παρασκευῇ δὲ ἀπὸ τῶν εἰκότων ἀσφαλὴς ἐκπλεῦσαι. ταῦτα γὰρ τῇ τε ξυμπάσῃ πόλει βεβαιότατα ἡγοῦμαι καὶ ἡμῖν τοῖς στρατευσομένοις σωτήρια. εἰ δέ τῳ ἄλλως δοκεῖ, παρίημι αὐτῷ τὴν ἀρχήν.

*Ὁ μὲν Νικίας τοσαῦτα εἶπε, νομίζων τοὺς Ἀθηναίους τῷ*24
πλήθει τῶν πραγμάτων ἢ ἀποτρέψειν, ἢ εἰ ἀναγκάζοιτο στρατεύεσθαι, μάλιστα οὕτως ἀσφαλῶς ἐκπλεῦσαι. οἱ δὲ τὸ μὲν ἐπιθυμοῦν τοῦ πλοῦ οὐκ ἐξῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς, πολὺ δὲ μᾶλλον ὥρμηντο. καὶ τοὐναντίον πε-

εὖ βουλεύσασθαι erat, sed *εὖ* om. ipsi optimi libri Cass. Aug. It. Vat. Reg.(G. s. v. habet? Popp.) Cl. Ven. Haack. vulgatam tuetur eo, quod etiam alibi Thuc. dicat *εὖ βουλεύεσθαι*, ut 1, 71. extr. 4, 87. extr., et h. l. *εὖ* defendi etiam opposito verbo *εὐτυχῆσαι*. Haec Popp. negat sufficere ad vulgatam tuendam, idque ait doceri adnotatione Dindorfii ad 3, 12., qui talia librariis obrepere dicit ex proximis, velut 3, 104. *μήτ' ἐναποθνήσκειν μήτ' ἐναποτίκτειν* liber unus habeat pro *ἐντίκτειν*. Denique quia Vall. non interpretatus sit verbum *ἐκπλεῦσαι*, Krueg. suspicatur, interpolatori deberi, idque petitum esse ex verbis proximi capitis ineuntis *ἀσφαλῶς ἐκπλεῦσαι*.

24. *μάλιστα — ἐκπλεῦσαι*] Popp. et Bekk. desiderant *μάλιστ' ἄν*. Non opus est, v. adn. ad 1, 139. init. De verbis *τὸ ἐπιθυμοῦν* v. Matth. p. 780. 1. Krueg. ad Dionys. p. 231. Verba *καὶ ἔρως — ὑπάρξειν* tractat Matth. Animadv. in Hom. H. Ap. 157. p. 28., cuius verba posui in adn. ad 7, 28. Ad verba *τοῖς μὲν γὰρ πρεσβυτέροις* supple *ἐνέπεσε*. Vid adn. ad 1, 25. Sine variatione orationis h. l. ita conformari poterat: *καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι· τοῖς μὲν γὰρ πρεσβυτέροις ἐνέπεσεν, ὡς ἢ κατασιρεψομένοις, ἐφ' ἃ ἔπλεον, ἢ οὐδὲν ἂν σφαλεῖσι μεγάλῃ δυνάμει*, pro quibus postremis posuit accusativum: *ἢ οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν*. v. Matth. §. 568. 3. Buttm. Gr. §. 145. adn. 5. (ed. 13.) Et *ἔπλεον* est *quo navigare volebant*. Verbum habet sensum praegnantem. v. Wessel. ad Diod. 13, 4. Et *τὸ θεωρίας*, ait Schol., *ἀντὶ τοῦ ἱστορίας κεῖται, ἵνα ᾖ, ποθοῦντες τὴν ἀλλοδαπὴν καὶ ἰδεῖν καὶ ἱστορῆσαι*, „aus Sehnsucht, die Fremde zu sehen und *näher* kennen zu lernen.“ Doederl. Lat. Synon. Vol. 4. p. 316. Hinc oratio ad amussim grammaticam instituta sic pergere debebat: *τοῖς δ' ἐν τῇ ἡλικίᾳ τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας καὶ ἐλπίδι σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος καὶ στρατιώτης ἤλπισαν ἔν τε τῷ παρόντι* etc. Nominativis autem illis *εὐέλπιδες ὄντες* et *ὁ πολὺς ὅμιλος* ideo usus est, quod in *ἔρως ἐνέπεσε* idem sensus inest, ac si scripsisset superius: *καὶ ἐπεθύμουν πάντες*. Simili modo explicandus est locus Euripidis apud Matth. p. 1057. §. 537. Verborum *καὶ προσκτήσασθαι δύναμιν* etc. hic sensus est: *et adiumento esse in terra acquirenda, ut perpetuum stipendium suppeditarum sit.*

ριέστη αὐτῷ· εὖ τε γὰρ παραινέσαι ἔδοξε καὶ ἀσφάλεια νῦν δὴ καὶ πολλὴ ἔσεσθαι. καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι· τοῖς μὲν γὰρ πρεσβυτέροις ὡς ἢ καταστρεψομένοις ἐφ' ἃ ἔπλεον ἢ οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν, τοῖς δ' ἐν τῇ ἡλικίᾳ τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας, καὶ εὐέλπιδες ὄντες σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος καὶ στρατιώτης ἔν τε τῷ παρόντι ἀργύριον οἴσειν καὶ προσκτήσασθαι δύναμιν ὅθεν ἀίδιον μισθοφορὰν ὑπάρξειν. ὥστε διὰ τὴν ἄγαν
25 τῶν πλειόνων ἐπιθυμίαν, εἴ τῳ ἄρα καὶ μὴ ἤρεσκε, δεδιὼς μὴ ἀντιχειροτονῶν κακόνους δόξειεν εἶναι τῇ πόλει ἡσυχίαν ἦγε. καὶ τέλος παρελθών τις τῶν Ἀθηναίων καὶ παρακαλέσας τὸν Νικίαν οὐκ ἔφη χρῆναι προφασίζεσθαι οὐδὲ διαμέλλειν, ἀλλ' ἐναντίον ἁπάντων ἤδη λέγειν ἥντινα αὐτῷ παρασκευὴν Ἀθηναῖοι ψηφίσωνται. ὁ δὲ ἄκων μὲν εἶπεν, ὅτι καὶ μετὰ τῶν ξυναρχόντων καθ' ἡσυχίαν μᾶλλον βουλεύσοιτο, ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ, τριήρεσι μὲν οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι· αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι ὁπλιταγωγοὺς ὅσαι ἂν δοκῶσι, καὶ ἄλλας ἐκ τῶν ξυμμάχων μεταπεμπτέας εἶναι· ὁπλίταις δὲ τοῖς ξύμπασιν Ἀθηναίων καὶ τῶν ξυμμάχων πεντακισχιλίων μὲν οὐκ ἐλάσσοσιν, ἢν δέ τι δύνωνται, καὶ πλείοσι· τὴν δὲ ἄλλην παρασκευὴν ὡς κατὰ λόγον, καὶ τοξοτῶν τῶν αὐτόθεν καὶ ἐκ Κρήτης, καὶ σφενδονητῶν, καὶ ἤν τι ἄλλο
26 πρέπον δοκῇ εἶναι, ἑτοιμασάμενοι ἄξειν. ἀκούσαντες δ' οἱ Ἀθηναῖοι ἐψηφίσαντο εὐθὺς αὐτοκράτορας εἶναι καὶ περὶ στρατιᾶς πλήθους καὶ περὶ τοῦ παντὸς πλοῦ τοὺς στρατηγοὺς πράσσειν ᾗ ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι Ἀθηναίοις. καὶ μετὰ ταῦτα ἡ παρασκευὴ ἐγίγνετο, καὶ ἐς τε τοὺς ξυμμάχους ἔπεμπον καὶ αὐτόθεν καταλόγους ἐποιοῦντο. ἄρτι δ' ἀνειλήφει ἡ πόλις ἑαυτὴν ἀπὸ τῆς νόσου καὶ τοῦ ξυνεχοῦς πολέμου ἔς τε ἡλικίας πλῆθος ἐπιγεγενημένης καὶ ἐς χρημάτων ἄθροισιν διὰ τὴν ἐκεχειρίαν, ὥστε ῥᾷον πάντα ἐπορίζετο. καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν.

27 Ἐν δὲ τούτῳ, ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ Ἀθηναίων, εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον, ἡ τετράγωνος ἐργασία,

25. *τις τῶν Ἀθηναίων*] Demostratus, ut videtur. v. Plut. V. Alc. 18. Nic. 12. De vi coniunctivi *ψηφίσωνται* v. Matth. p. 985. 3. Verba *ἄκων μὲν εἶπεν* Arn. dicta breviter esse existimat pro *ἄκων μὲν ὅμως δὲ εἶπεν*. De ratione verborum *ὅσα — δοκεῖν* v. Matth. 1070.

27. *ὅσοι Ἑρμαῖ*] Horum praecipue magna multitudo erecta erat in via Hermarum, de qua v. Od. Muell. in v. Attica apud Ersch. et Grub. Vol. 6. p. 236. De Hermis truncatis v. qui citantur ad Timaei fragm. 88. p. 279., a Mansone Spart. 2. p. 211. adn. s. a C. Fr. Herm. Antt. Gr. p. 323, 18. Accuratissime inter omnes hunc locum pertractavit Wachsm. Antt. Gr. 1, 2. p. 192. sqq. p. 444. sqq. nr. 5. Articulus *ἡ* in verbis *ἡ τετράγωνος ἐργασία* rem notam indicat, quum Hermarum magna in urbe multitudo esset *κατὰ τὸ ἐπιχώριον* (nam haec verba referuntur ad *πολλοὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς*), et omnibus il-

πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς, μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. καὶ τοὺς δράσαντας ἤδει οὐδείς, ἀλλὰ μεγάλοις μηνύτροις δημοσίᾳ οὗτοί τε ἐζητοῦντο καὶ προσέτι ἐψηφίσαντο καὶ εἴ τις ἄλλο τι οἶδεν ἀσέβημα γεγενημένον, μηνύειν ἀδεῶς τὸν βουλόμενον καὶ ἀστῶν καὶ ξένων καὶ δούλων. καὶ τὸ πρᾶγμα μειζόνως ἐλάμβανον· τοῦ τε γὰρ ἔκπλου οἰωνὸς ἐδόκει εἶναι, καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων πραγμάτων καὶ δήμου καταλύσεως γεγενῆσθαι. μηνύεται 28
οὖν ἀπὸ μετοίκων τέ τινων καὶ ἀκολούθων περὶ μὲν τῶν Ἑρμῶν οὐδέν, ἄλλων δὲ ἀγαλμάτων περικοπαί τινες πρότερον ὑπὸ νεωτέρων μετὰ παιδιᾶς καὶ οἴνου γεγενημέναι, καὶ τὰ μυστήρια ἅμα ὡς ποιεῖται ἐν οἰκίαις ἐφ' ὕβρει· ὧν καὶ τὸν Ἀλκιβιάδην ἐπητιῶντο. καὶ αὐτὰ ὑπολαμβάνοντες οἱ μάλιστα τῷ Ἀλκιβιάδῃ ἀχθόμενοι ἐμποδὼν ὄντι σφίσι μὴ αὐτοῖς τοῦ δήμου βεβαίως προεστάναι, καὶ νομίσαντες, εἰ αὐτὸν ἐξελάσειαν, πρῶτοι ἂν εἶναι, ἐμεγάλυνον, καὶ ἐβόων ὡς ἐπὶ δήμου καταλύσει τά τε

lorum adspectus familiaris esset, simulque articulus has quadratas formas distinguit ab imaginibus dei plenis et perfectis, iisdemque minus vulgaribus: hinc de interpunctione huius loci iudicare licet. Etenim verba *ἡ — ἐργασία* in appositione subiecti sunt, quod latet in verbo *εἰσί*, quare ea utrimque virgula seiunxi. Vox *ἐργασία* et *ἐργάσασθαι θεόν* apud Pollucem 1, 11. 15. sunt inter vocabula propria de his, qui statuas deorum faciunt. Scribit auctor *τὰ πρόσωπα* mutilata esse; „adde ex historia *καὶ τὰ αἰδοῖα*, ad quod alludit Arist. Lysistr. 1095. Erant enim Mercurii illa simulacra subturpia *αἰδοῖον ἔχοντα ἐπὶ τοῦ βάθρου*. v. Cic. de N. D. 3, 22. Herodot. 2, 51. Palmer. Exercc. Gr. p. 53.“ Hubs. add. interpretes ad Cic. l. c. p. 604. Creuz., Schweigh. in Epheneridibus, quibus titulus Isis a. 1817. 8. nr. 136. p. 1081. Wess. ad Herodot. l. c. Scholiastae ad Aristoph. l. c. et ad Thuc. h. l. sic: *ἴστέον ὅτι Πανσανίας ἐν τῇ διαπεπονημένῃ αὐτῷ τῶν Ἀττικῶν ὀνομάτων συναγωγῇ τοὺς τραχήλους καὶ τὰ αἰδοῖα τοὺς Ἑρμᾶς περικοπῆναί φασι, καὶ τοὺς τοῦτο δράσαντας Ἑρμοκοπίδας καλεῖσθαι.* Nihil de mutilatis pudendis aut Plut. V. Alc. aut Diod. habet, nisi eo referas verbum *ἀκρωτηριασθέντων*, quo de truncatis Hermis Plut. Nic. 13. utitur. C. Nep. Andocid. de Myst. p. 9, 13. Plut. V. Nic. 13. de numero truncatorum Hermarum a Thucydide recedunt: eorum primo loco nominatus Alc. 3. *Accidit una nocte*, ait, *ut omnes Hermae deiicerentur, praeter unum, qui ante ianuam erat Andocidis*, itemque reliqui duo *omnes praeter unum* mutilatos esse referunt, adduntque, ut C. Nep., illum unum postea Mercurium Andocidis vocitatum esse. Plurimos truncatos esse, credibilius est, quam omnes. Porro *τὰ μήνυτρα*, de quibus auctor loquitur, centum minae erant, teste Andocid. De Myst. 40. p. 97. Bekk.

28. *ἀκολούθων*] Servos intellige pedissequos, qui heros sectati testes et fortassis adiutores eorum lasciviae fuerant. Nam *ἀκόλουθοι* proprie dicebantur servi, qui heros sectabantur. Vid. interpretes ad Theophr. Char. c. 11. Perizon. ad Aelian. V. H. 14, 14. Duk. Discimus ex Andocide de Myst. 12. p. 89. Bekk., Isocrate de Big. 6. p. 419., Pausania 1, 2, 4., in domo Polytionis cuiusdam mysteria per ludibrium acta esse, atque ex Plutarcho Alc. c. 19. Alcibiadem ibi hierophantae munere functum. De verbis *μετὰ παιδιᾶς καὶ οἴνου* v. Matth. p. 1170. De accusatione Alcibiadis diligentissimam quaestionem instituit Meier. de Bon. Damn. p. 179. adn.

μυστικὰ καὶ ἡ τῶν Ἑρμῶν περικοπὴ γένοιτο καὶ οὐδὲν εἴη αὐτῶν ὅ,τι οὐ μετ' ἐκείνου ἐπράχθη, ἐπιλέγοντες τεκμήρια τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα οὐ δημοτικὴν παρανομίαν.

29 ὁ δ' ἔν τε τῷ παρόντι πρὸς τὰ μηνύματα ἀπελογεῖτο, καὶ ἑτοῖμος ἦν πρὶν ἐκπλεῖν κρίνεσθαι, εἴ τι τούτων εἰργασμένος ἦν, ἤδη γὰρ καὶ τὰ τῆς παρασκευῆς ἐπεπόριστο, καὶ εἰ μὲν τούτων τι εἴργαστο, δίκην δοῦναι, εἰ δ' ἀπολυθείη, ἄρχειν. καὶ ἐπεμαρτύρετο μὴ ἀπόντος πέρι αὐτοῦ διαβολὰς ἀποδέχεσθαι, ἀλλ' ἤδη ἀποκτείνειν, εἰ ἀδικεῖ, καὶ ὅτι σωφρονέστερον εἴη μὴ μετὰ τοιαύτης αἰτίας πρὶν διαγνῶσι πέμπειν αὐτὸν ἐπὶ τοσούτῳ στρατεύματι. οἱ δ' ἐχθροὶ δεδιότες τό τε στράτευμα μὴ εὔνουν ἔχῃ, ἢν ἤδη ἀγωνίζηται, ὅ τε δῆμος μὴ μαλακίζηται, θεραπεύων ὅτι δι' ἐκεῖνον οἵ τ' Ἀργεῖοι ξυνεστράτευον καὶ τῶν Μαντινέων τινές, ἀπέτρεπον καὶ ἀπέσπευδον, ἄλλους ῥήτορας ἐνιέντες οἳ ἔλεγον νῦν μὲν πλεῖν αὐτὸν καὶ μὴ κατασχεῖν τὴν ἀγωγήν, ἐλθόντα δὲ κρίνεσθαι ἐν ἡμέραις ῥηταῖς, βουλόμενοι ἐκ μείζονος διαβολῆς, ἣν ἔμελλον ῥᾷον αὐτοῦ ἀπόντος πορίειν, μετάπεμπτον κομισθέντα αὐτὸν ἀγωνίσασθαι. καὶ ἔδοξε πλεῖν τὸν Ἀλκιβιάδην.

30 Μετὰ δὲ ταῦτα θέρους μεσοῦντος ἤδη ἡ ἀναγωγὴ ἐγίγνετο ἐς τὴν Σικελίαν. τῶν μὲν οὖν ξυμμάχων τοῖς πλείστοις καὶ ταῖς σιταγωγοῖς ὁλκάσι καὶ τοῖς πλοίοις καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο, πρότερον εἴρητο ἐς Κέρκυραν ξυλλέγεσθαι, ὡς ἐκεῖθεν ἀθρόοις ἐπὶ ἄκραν Ἰαπυγίαν τὸν Ἰόνιον διαβαλοῦσιν· αὐτοὶ δ' Ἀθηναῖοι καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν ἐς τὸν Πειραιᾶ καταβάντες ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς ὡς ἀναξόμενοι. ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας ὡς εἰπεῖν ὁ ἐν τῇ πόλει καὶ ἀστῶν καὶ ξένων, οἱ μὲν ἐπιχώριοι τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες, οἱ μὲν ἑταίρους, οἱ δὲ ξυγγενεῖς, οἱ δὲ υἱεῖς, καὶ μετ' ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν, τὰ μὲν ὡς κτήσοιντο, τοὺς δ' εἴ ποτε ὄψοιντο, ἐνθυμούμενοι ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο· (καὶ ἐν τῷ παρόντι καιρῷ, ὡς ἤδη ἔμελλον μετα κινδύνων ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄει τὰ δεινὰ ἢ ὅτε ἐψηφίζοντο πλεῖν· ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ διὰ τὸ πλῆθος ἑκάστων ὧν ἑώρων τῇ ὄψει ἀνεθάρσουν·) οἱ δὲ ξένοι καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἦκεν ὡς ἐπὶ ἀξιόχρεων καὶ ἄπιστον διάνοιαν. παρασκευὴ γὰρ αὕτη πρώτη ἐκπλεύσασα μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη

29. ἐπὶ — στρατεύμαιτ] v. Matth. p. 1168. 7. Vox ἀποσπεύδειν inprimis Herodoto usitata. Suidas et Zonar. ἀποσπεύδοντας, κωλύοντας. Mox alii libri τὴν ἀναγωγήν, et sic sequitur c. 30. 32. Ἀγωγήν habent Cass. (in quo int. vers. rec. man. ἀναγ.) Aug. Cl. (in hoc ἀναγ. in marg.) Ven. lt. Vat. H. (in hoc αν s. v.) Reg. (G.) C. Gr. B. Ald. Flor. Bas. marg. Steph. Quid intersit inter utrumque vocabulum, dictum est in adn. ad 4, 29.

30. ἔμελλον ἀπολιπεῖν] v. uberrimam disputationem Lobeckii in Parergis ad Phryn. p. 745. de constructione verbi μέλλειν. De formula κατὰ θέαν v. Matth. ad Hom. H. Merc. 65. et Gramm. p. 1153.

31 πόλεως δυνάμει Ἑλληνικῇ πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη

31. πρώτη ἐκπλεύσασα] i. e. παρασκευὴ αὕτη, ἣ πρώτη ἐξέπλευσε δυνάμει Ἑλληνικῇ μιᾶς πόλεως, πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη ἐγένετο etc., denn dieses Heer, welches, das erste, mit Hellenenmacht eines einzigen Staates (sive mit der Macht eines einzigen Hellenischen Staates) aussegelte, war das kostbarste und sehenswürdigste. Minus recte Dobr. et Arn. volunt αὕτη ἡ πρώτη, nam πρώτη cum ἐκπλεύσασα iungendum est, non cum αὕτη. De expeditione Periclis v. 2, 56., de classe Potidaeam missa ibidem c. 58. Ad οὗτος δὲ ὁ στόλος supple ὡρμήθη. v. adn. ad 1, 25. Porro omnes cives, quorum res familiaris octo talenta excedebat, tenebantur munere et officiis trierarchi fungi. Quadringenti quotannis trierarchi eo tempore legebantur, in quo nunc versamur, at nemo obstrictus erat trierarchiae per duos deinceps annos subeundae. Respublica navem et ordinarium stipendium nautarum suppeditabat; at trierarchi curabant navem instruendam, utque idoneum rectorem ac bonum remigium pararent, stipendio publice dato accessionem addere solebant. Quod si quis nautarum pro perfuga ad hostem transiret, trierarchus, qui teneretur plenum numerum classiariorum suorum sistere, coactus erat eum vel pecuniae largitione ad reditum sollicitare, vel alios quoad eius fieri poterat in deficientium locum sufficere. De omni ratione trierarchiae Atticae uberrime disseruit Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 79. 119. Respublica δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ solvebat. Alias Athenienses nautis stipendii et procurandi victus nomine quaternos obolos solvere solebant; at initio belli Pelop. et in hac expeditione singulas drachmas, v. Boeckh. l. c. Vol. 1. p. 296. Propter ναῦς — κενάς adi Wolf. ad Demosth. Lept. p. CI. ed. pr. et Boeckh. ibidem Vol. 2. p. 90. De differentia triremium ταχειῶν et στρατιωτίδων sive ὁπλιταγωγῶν v. ibidem Vol. 1. p. 300. sq. Porro legimus ὑπηρεσίας τὰς κρατίστας, etenim quiqui praeter milites classiarios (ἐπιβάτας) navibus vehebantur (i. e. die Matrosen sive Seeleute.) modo ναῦται modo ὑπηρέται appellantur. Interdum etiam remiges discernuntur ab hyperetis et nautis, appellanturque ἐρέται vel κωπηλάται. Duplici igitur hominum genere totum πλήρωμα (die Schiffsmannschaft) compositum erat, militibus et nautis, qui latiori sensu appellantur, quique erant aut ναῦται (strictiori sensu dicti), aut ὑπηρέται i. e. ministri eorum aut remiges. Triplex igitur rursus genus nautarum sive non-militum:

ἐπιβάται s. ναυβάται (1, 121.) = ναῦται s. ὑπηρέται latiori sensu

1. ναῦται strictiori sensu (7, 14.) — 2. ὑπηρέται str. s. sive θεράποντες (7, 13.) — 3. ἐρέται

Ναῦται ubi strictiori sensu ponuntur, „die beim Steuer, bei den Segeln, beim Tauwerk, bei den Pumpen und dergleichen beschäftigt sind.“ Boeckh. l. l. Vol. 1. p. 301. His adde κελευστήν. Rem paucis exemplis scriptorum Graecorum illustrabo: Nicias Defens. Largit. p. 702. apud Arn. distinguit κυβερνήτην, πλήρωμα et τὴν ἄλλην ὑπηρεσίαν. Hic rector est ex nautarum strictiori sensu dictorum numero, πλήρωμα remiges sunt coll. Xen. H. Gr. 1, 6. ἐκ πολλῶν πληρωμάτων τοὺς ἀρίστους ἐρέτας. Et ἡ ἄλλη ὑπηρεσία sunt ministri nautarum. Thuc. 1, 143. κυβερνήτας καὶ τὴν ἄλλην ὑπηρεσίαν, hic postremum vocabulum latiori sensu dictum est. At nautae strictiori sensu accipiendi sunt ap. eundem 7, 14. τῶν ναυτῶν οἱ ἐξορμῶντες

τῶν ἐς ἐκεῖνον τὸν χρόνον ἐγένετο. ἀριθμῷ δὲ νεῶν καὶ ὁπλιτῶν καὶ ἡ ἐς Ἐπίδαυρον μετὰ Περικλέους καὶ ἡ αὐτὴ ἐς Ποτίδαιαν μετὰ Ἄγνωνος οὐκ ἐλάσσων ἦν· τετράκις γὰρ χίλιοι ὁπλῖται αὐτῶν Ἀθηναίων καὶ τριακόσιοι ἱππῆς καὶ τριήρεις ἑκατόν, καὶ Λεσβίων καὶ Χίων πεντήκοντα, καὶ ξύμμαχοι ἔτι πολλοὶ ξυνέπλευσαν. ἀλλὰ ἐπί τε βραχεῖ πλῷ ὡρμήθησαν καὶ παρασκευῇ φαύλῃ. οὗτος δὲ ὁ στόλος ὡς χρόνιός τε ἐσόμενος καὶ κατ' ἀμφότερα οὗ ἂν δέῃ, καὶ ναυσὶ καὶ πεζῷ ἅμα, ἐξαρτυθείς, τὸ μὲν ναυτικὸν μεγάλαις δαπάναις τῶν τε τριηράρχων τε ναῦν καὶ ξυνέχοντες τὴν εἰρεσίαν, quos Arn. comparat „to those who are rated in English ships as *able seamen* or as *captains of the forecastle and the tops* etc. See Capt. Hall's Fragments of Voyages, second series, Vol. 2. p. 77. etc.“ Demosth. c. Polycl. p. 1214. Reisk. distinguit *ἐπιβάτας*, *ναύτας* et *ὑπηρεσίαν*, itidemque p. 1216., ubi *ναύτας* intelligo strictiori sensu et *ὑπηρεσίαν* ministros una cum remigibus. Postea p. 1217. nominat *πλήρωμα*, *ἐπιβάτας* et *ὑπηρεσίαν*, ubi *πλήρωμα* intelligo nautas et remiges, *ὑπηρεσίαν* ministros nautarum. Idem p. 1214. distinguit *στρατιώτας* et *ναύτας* et p. 1216. *ἐπιβάτας* et *ὑπηρεσίαν*, ubi *ὑπηρεσίαν* intelligo nautas, ministros unaque remigium. Praesenti loco Thucydidis Popp. contendit, a Dukero hic et ad 8, 1. demonstratum esse *ὑπηρεσίας τὰς κρατίστας* intelligendas esse remiges. Verum nihil obstare videtur, quin *ὑπηρεσίας* cogitemus hoc loco omnes non-milites intelligi. De Epibatis et omni genere *πληρώματος* navium vid. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 301. Wachsm. Antt. Gr. 2, 1. p. 403.

τῶν [*δὲ*] *τριηράρχων*] Vulgo *δέ* omisso virgula post *τριηράρχων* ponebatur. Emendavit Heilm., cuius coniectura postea firmata est libro Ven. Respondent inter se *τοῦ μὲν δημοσίου* et *τῶν δὲ τριηράρχων*. Civitas, ait scriptor, praeter stipendium vacuas naves, at trierarchi armaturam navalem et additamenta stipendii dabant. Acacius: *cum respublica naves praeberet vacuas, egregio omnes remigio instructas, trierarchi vero ad publicum stipendium adiicerent.* Conf. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 90 sq. Arn. vulgatam restitui vult interpunctionem, omittique *δέ*, „adiectivum *κρατίστας*, ait, significat *τὴν ὑπηρεσίαν* selectam esse, ita ut qui optimi reperiri possent, eos conquirerent. Hic delectus trierarchorum erat, quorum suae quisque navi praestantissimos parare studeret. Quo trierarchia tam sumtuosa facta est, dum alter alterum licitando superare vult.“ Idque comprobat locis Demosth. Or. c. Polycl. p. 1208. et de Cor. Trierarch. p. 1229. At quum stipendium nautarum publice definitum esset, nihil amplius nisi additionem de suo offerre trierarchis licebat; qui sive adiiciebant ad stipendium, sive non adiiciebant, nautas alere onus publicum, non privatum trierarchorum erat. Adde quod series orationis Heilmanni emendationem insigniter commendat. Conf. Mans. Spart. 2. p. 457. adn. Porro *ἐπιφορά*, ait Pollux 3, 94., *τὸ τῷ μισθῷ προστιθέμενον*, *ὡς Θουκ.*, et *ἐκ δημοσίου* sine articulo dictum, „ut *κοινόν* de aerario dicitur sine articulo. Itidemque *δημόσιον* legitur, saltem ubi paulo alia significatione gaudet, *ἀνακηρυχθέντος Βοιωτῶν δημοσίου* 5, 20. atque *ὅσης Ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ* 5, 18.“ Popp. Porro Schol. *οἱ θρανῖται, μετὰ μακροτέρων κωπῶν ἐρέττοντες, πλείονα κόπον ἔχουσι τῶν ἄλλων· διὰ τοῦτο τούτοις μόνοις ἐπιδόσεις ἐποιοῦντο οἱ τριηράρχαι, οὐχὶ δὲ πᾶσι τοῖς ἐρέταις.* v. adn. ad 4, 32. *Τῶν ναυτῶν* etc. igitur est unter den Schiffsleuten den Thraniten. Sequuntur verba *καὶ ταῖς ὑπηρεσίαις,*

καὶ τῆς πόλεως ἐκπονηθέν, τοῦ μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδόντος καὶ ναῦς παρασχόντος κενὰς ἑξήκοντα μὲν ταχείας, τεσσαράκοντα δὲ ὁπλιταγωγούς, καὶ ὑπηρεσίας ταύτας τὰς κρατίστας, τῶν [*δὲ*] *τριηράρχων ἐπιφορᾶς τε πρὸς τῷ ἐκ δημοσίου μισθῷ διδόντων τοῖς θρανίταις τῶν ναυτῶν καὶ ταῖς ὑπηρεσίαις, καὶ τἆλλα σημείοις καὶ κατασκευαῖς πολυτελέσι χρησαμένων, καὶ ἐς τὰ μακρότατα προθυμηθέντος ἑνὸς ἑκάστου ὅπως αὐτῷ τινι εὐπρεπείᾳ τε ἡ ναῦς μάλιστα προέξει καὶ τῷ ταχυναυτεῖν, τὸ δὲ πεζὸν καταλόγοις τε χρηστοῖς ἐκκριθὲν καὶ ὅπλων καὶ τῶν περὶ τὸ σῶμα σκευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἁμιλληθέν. ξυνέβη δὲ πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι ᾧ τις ἕκαστος προσετάχθη, καὶ*

quas si intelligas nautas (in universum Seeleute) esse, distinctio sit parum subtilis: sic scriptor dicere debebat *τοῖς θρανίταις καὶ τοῖς ἄλλοις ναυταῖς*, accedit quod sic ratio tolleretur, qua ad Thranitarum stipendium adiectum est. Et ne remiges quidem intelligi licet, nam sic quoque illa ratio tolleretur, et scriptor dicere debebat *τοῖς θρανίταις καὶ τοῖς ἄλλοις ἐρέταις*. Nihil restat, nisi ut *ὑπηρεσίας* de ministris nautarum accipiamus, quos cogitare licet eadem ratione, qua Thranitas, additamento stipendii sublevatos esse, ut qui et ipsi laboriosiorem operis partem haberent. Porro *τὰ σημεῖα* navium Bloomfieldio videntur ea ornamenta navium fuisse, quae Latini *insignia* (*παράσημα*) et *tutelas* appellabant. „*Παράσημον*, ait, *insigne* fuit, unde navi nomen: pictura erat vel opus ex dimidia parte caelatum s. entoreuma (Basrelief) in prora, repraesentans vel deum vel heroem vel subinde animal, quin inanimans aliquid, velut scutum etc. Ovid. Trist. 1, 10, 1. *Est mihi sitque, precor, flavae tutela Minervae, Navis; et a picta cassida nomen habet.* Virg. 5. Aen. 115 sqq. Puppis gerebat picturam vel imaginem dei alicuius, sub cuius custodia navis esse putabatur. Et tutela et insigne aurata erant, vel eburna, vel ex alia aliqua sumtuosa materia. Virg. 10. Aen. 171. *et aurato fulgebat Apolline puppis.* Harum tutelarum praecipua *παλλάδια* erant, aurata illa, ut ex Arist. Ach. 547. apparet.“ De *κατασκευαῖς* v. adn. ad 1, 10. Mox *ἁμιλληθέν* est *δι' ἁμίλλης παρασκευασθέν*, ut Abr. adnotavit.

ᾧ τις ἕκαστος προσετάχθη] Si licet iudicare ex loquendi usu Thucydidis, apud quem *προστάσσεσθαι* ubique est *praecesse*, *praefici*, sensus horum verborum non alius potest esse, nisi *contigit autem, ut simul et illi inter se certarent in illo munere, cui quisque fuerat praefectus* etc., ut supplendum sit *ἐν ἐκείνῳ*, *ᾧ* etc. Conf. 7, 70. *πᾶς τέ τις ἐν ᾧ προσετάχθη αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι*. Mox in verbis *ἀνάλωσιν δημοσίαν* Valla vocabulum *δημοσίαν* non convertit, unde Kruegero suspicio orta est, eiiciendum esse, „nec articulus cur omissus sit post *ἀνάλωσιν*, apparet, et malim hoc vocabulum plane abesse, licet deinde sequitur *τὴν ἰδίαν*, ob quod ipsum nostrum temere addi potuit.“ Popp. De augmento in *ἀναλώκει* v. Buttm. Gr. max. 2, 1. p. 77. Matth. p. 433 sq. Thom. M. p. 55. Et *ἐπὶ μεταβολῇ* est zum Tauschhandel. v. adn. ad 7, 13. Paulo ante *προετετελέκει* pro *προσετ.* iam Dukero et Reiskio placebat. Popp. miratur, quod vulgatam omnes editores servaverint. *Προετετ.* erit, *quae ante erogaverat.* Vulgatam etiam Schol. agnoscit explicans per *προσανήλωσε*, quae si retinenda esset, intelligi deberet non *quae praeter alia impendit*, sed *quae in expeditionem impenderat*, quod sine ambiguitate vix fieri poterit. Arn. tamen Vol. 3. p. 206. confert *προσαναγκάζειν* 6, 91. 7, 18., in quo verbo

ἐς τοὺς ἄλλους Ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ ἐξουσίας ἢ ἐπὶ πολεμίους παρασκευήν. εἰ γάρ τις ἐλογίσατο τήν τε τῆς πόλεως ἀνάλωσιν δημοσίαν καὶ τῶν στρατευομένων τὴν ἰδίαν, τῆς μὲν πόλεως, ὅσα τε ἤδη προετετελέκει καὶ ἃ ἔχοντας τοὺς στρατηγοὺς ἀπέστελλε, τῶν δὲ ἰδιωτῶν, ἅ τε περὶ τὸ σῶμά τις καὶ τριήραρχος ἐς τὴν ναῦν ἀναλώκει καὶ ὅσα ἔτι ἔμελλεν ἀναλώσειν, χωρὶς δ' ἃ εἰκὸς ἦν καὶ ἄνευ τοῦ ἐκ δημοσίου μισθοῦ πάντα τινὰ παρασκευάσασθαι ἐφόδιον ὡς ἐπὶ χρόνιον στρατείαν, καὶ ὅσα ἐπὶ μεταβολῇ τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει, πολλὰ ἂν τάλαντα εὑρέθη ἐκ τῆς πόλεως τὰ πάντα ἐξαγόμενα. καὶ ὁ στόλος οὐχ ἧσσον τόλμης τε θάμβει καὶ ὄψεως λαμπρότητι περιβόητος ἐγένετο ἢ στρατιᾶς πρὸς οὓς ἐπήεσαν ὑπερβολῇ, καὶ ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκείας καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων πρὸς τὰ ὑπάρχοντα ἐπεχειρήθη.

32 Ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν καὶ ἐξέκειτο πάντα ἤδη ὅσα ἔχοντες ἔμελλον ἀνάξεσθαι, τῇ μὲν σάλπιγγι σιωπὴ ὑπεσημάνθη, εὐχὰς δὲ τὰς νομιζομένας πρὸ τῆς ἀναγωγῆς οὐ κατὰ ναῦν ἑκάστην ξύμπαντες δὲ ὑπὸ κήρυκος ἐποιοῦντο, κρατῆράς τε κεράσαντες παρ' ἅπαν τὸ στράτευμα καὶ ἐκπώμασι χρυσοῖς τε καὶ ἀργυροῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες σπένδοντες. ξυνεπεύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς γῆς τῶν τε πολιτῶν καὶ εἴ τις ἄλλος εὔνους παρῆν σφίσι. παιωνίσαντες δὲ καὶ τελεώσαντες τὰς σπονδὰς ἀνήγοντο, καὶ ἐπὶ κέρως τὸ πρῶτον ἐκπλεύσαντες ἅμιλλαν ἤδη μέχρι Αἰγίνης ἐποιοῦντο. καὶ οἱ μὲν ἐς τὴν Κέρκυραν, ἔνθα περ καὶ τὸ ἄλλο στράτευμα τῶν ξυμμάχων ξυνελέγετο, ἠπείγοντο ἀφικέσθαι.

Ἐς δὲ τὰς Συρακούσας ἠγγέλλετο μὲν πολλαχόθεν τὰ περὶ τοῦ ἐπίπλου, οὐ μέντοι ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδέν.

πρός similem sensum habet. Dein verbis στρατιᾶς, πρὸς οὕς simillima sunt verba 2, 65. γνώμης ἁμάρτημα ἦν, πρὸς οὕς ἐπῆεσαν, ubi v. adn. Tum usitatius μέγιστος δὴ διάπλους esse ait Bekk. v. Krueg. ad Dionys. p. 118. At „ἤδη significat *iam*, nunmehr, quum antea tam longe non abiissent, quam *nunc iam* auderent.“ Bau. In proximis haec structura est: ἐπὶ ἐλπίδι τῶν μελλόντων μεγίστῃ πρὸς τὰ ὑπάρχοντα i. e. τῶν μελλόντων ὡς μέγιστα ἔσεται πρὸς τὰ ὑπάρχοντα, im Vergleich mit der Gegenwart. *Spem maximam* dixit pro *spe rei maximae*, ut 7, 75. n. l. ab init. μεγάλης ἐλπίδος pro spe magnarum rerum.

32. ὑπὸ κήρυκος] v. Matth. p. 1185.

κρατῆρας κεράσαντες] Illustrarunt hunc morem veterum Muret. V. L. 14, 2. et Cerda ad Virg. 3. Aen. 776. Adde Arriau. Exp. Al. M. 6, 3. Duk. Bloomf. addit Pindar. Pyth. 4, 343. Pro ὅμιλος ὁ ἐκ τῆς γῆς paulo ante c. 30. scripserat ὁ ἄλλος ὅμιλος ὁ ἐν τῇ πόλει. v. Dorv. ad Charit. p. 263. 631. De locutione ἐπὶ κέρως v. dicta ad 2, 90. De sequentibus: γενομένης ἐκκλησίας etc. v. Od. Muell. Dor. 2. p. 160. Deinde τοιοίδε λόγοι sunt tales, quales Hermocrates et Athenagoras deinceps in proxime sequentibus habent, quorum ille eloquitur sensus illorum, qui expeditionem Atticam venire credebant, alter illorum, qui non credebant, ut adnotavit Arn.

ἀλλὰ καὶ γενομένης ἐκκλησίας ἐλέχθησαν τοιοίδε λόγοι ἀπό τε ἄλλων, τῶν μὲν πιστευόντων τὰ περὶ τῆς στρατείας τῆς τῶν Ἀθηναίων, τῶν δὲ τὰ ἐναντία λεγόντων, καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος παρελθὼν αὐτοῖς, ὡς σαφῶς οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν ἔλεγε καὶ παρῄνει τοιάδε.

33 Ἄπιστα μὲν ἴσως, ὥσπερ καὶ ἄλλοι τινὲς δόξω ὑμῖν περὶ τοῦ ἐπίπλου τῆς ἀληθείας λέγειν, καὶ γιγνώσκω ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι ἢ λέγοντες ἢ ἀπαγγέλλοντες οὐ μόνον οὐ πείθουσιν ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν εἶναι· ὅμως δὲ οὐ καταφοβηθεὶς ἐπισχήσω, κινδυνευούσης τῆς πόλεως, πείθων γε ἐμαυτὸν σαφέστερόν τι ἑτέρου εἰδὼς λέγειν. Ἀθηναῖοι γὰρ ἐφ' ἡμᾶς, ὃ πάνυ θαυμάζετε, πολλῇ στρατιᾷ ὥρμηνται καὶ ναυτικῇ καὶ πεζικῇ, πρόφασιν μὲν Ἐγεσταίων ξυμμαχίᾳ καὶ Λεοντίνων κατοικίσει, τὸ δὲ ἀληθὲς Σικελίας ἐπιθυμίᾳ, μά-

33. καὶ πεζικῇ] G. πεζῇ. Thom. M. p. 699. praecipit, cum Demosthene et omnibus aliis dicendum esse πεζῇ στρατιά, non πεζική, etsi hoc sit apud Thucydidem; hoc enim esse ποιητικώτερον. Quem satis refellere H. Stephanum Thes. L. Gr. adnotavit Duk. „Πεζικός est apud Xen. M. S. 3, 6, 9. Cyrop. 2, 4, 18. apud Dinarchum c. Philocl. 10. p. 96, 5. Reisk. et Aristotelem A. Rh. 2, 23. et probabiliter multis aliis locis. At loco Cyropaediae optimi libri habent πεζῇ, et apud Isocratem quoque Philipp. p. 95. C. Bekk. ex cod. Urbinate mutavit πεζικήν in πεζήν.“ Arn. Apud Thuc. 7, 7. Vat. H. habent πεζήν, itidemque iidem libri 7, 16. Contra 7, 15. soli F. Lugd. I. πεζικήν habent. Bekk. omnibus his locis Thucydidis πεζήν scribit. v. Popp. ad Cyrop. l. c. Lobeck. ad Phryn. p. 763. De verbis ἀπὸ τῶν ὑπαρχόντων v. Matth. p. 688. b. Paulo post Krueg. coniicit περὶ σφίσιν αὐτοὶ τὰ πλείω etc. Utrumque et αὐτοί et αὐτοῖς recte dicitur, et αὐτοί quidem, si sic cogites, *ipsi* et non alii *pedem quasi offenderunt*, αὐτοῖς autem, si ita cogites, *per se ipsos* et non alios *quasi ad rupem affligebantur*. Priori modo habes 1, 69. Tum ὅπερ in verbis ὅπερ καὶ Ἀθηναῖοι — ηὐξήθησαν nunc cum Lehnero Actt. Philol. Monacc. Vol. 3. p. 32. accipio pro δι' ὅπερ, aus welchem Grunde. Conf. 2, 40. 3, 12. 4, 125. Isocr. Panath. 181. p. 304. (si verba sana sunt, de quo tamen dubitatur et sunt, qui lacunam hic esse statuant, v. Lang. Add. et Corrig. p. 84.) τῶν — οὕτω δεινὰ πεπονθότων — ἔξεσται τοῖς ἐφόροις ἀκρίτους ἀποκτεῖναι τοσούτους ὁπόσους ἂν βουληθῶσιν· ἃ τοῖς ἄλλοις Ἕλλησιν. οὐδὲ τοὺς πονηροτάτους τῶν οἰκετῶν ὅσιόν ἐστι μιαιφονεῖν. Bene de consilio oratorio horum verborum Schol. disputat: τρία πραγματεύεται διὰ τούτων· ἓν μὲν ἐν ἐλπίσι ποιῆσαι τοὺς Συρακουσίους τῆς νίκης, ὡς σφαλησομένων τῶν Ἀθηναίων περὶ αὐτούς, ὅπερ τρόπον ἐσφάλησαν οἱ Μῆδοι στρατεύσαντες ἐπὶ τὴν Ἑλλάδα· ἕτερον δέ, τὸ μόνους Συρακουσίους, ἂν κατορθώσωσι, δοκεῖν νενικηκέναι τοὺς Ἀθηναίους, ἐπειδὴ ἐπὶ Συρακουσίους ἐκεῖνοι προηγουμένως στρατεύονται (καὶ γὰρ τὸν Μῆδον ὑπὸ πάντων νενικημένον τῶν Ἑλλήνων ὑπὸ μόνων τῶν Ἀθηναίων ἡττῆσθαι νενομίσθαι διὰ τοῦτο, ὅτι ἐπ' Ἀθήνας λόγος ἦν στρατεύειν αὐτόν). τρίτον δὲ, ἀπαλλάξαι τοῦ φόβου τοὺς Συρακουσίους. ἐπεὶ γὰρ καταπεπλήγασιν ἀκοῇ τοὺς Ἀθηναίους νενικηκότας τὸν Μῆδον, παραδείκνυσιν αὐτοῖς ὅτι ὁ Μῆδος αὐτὸς περὶ ἑαυτὸν πταίσας τὰ πλείω τὴν δόξαν τῆς νίκης ἐκείνοις προσέθηκεν. Dein ἐπὶ τῷ ὀνόματι est weil es den Namen hatte, propter famam. v. Matth. §. 585. extr.

λιστα δὲ τῆς ἡμετέρας πόλεως, ἡγούμενοι, εἰ ταύτην σχοῖεν, ῥᾳδίως καὶ τἆλλα ἕξειν. ὡς οὖν ἐν τάχει παρεσομένων, ὁρᾶτε ἀπὸ τῶν ὑπαρχόντων ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτούς, καὶ μήτε καταφρονήσαντες ἄφρακτοι ληφθήσεσθε, μήτε ἀπιστήσαντες τοῦ ξύμπαντος ἀμελήσετε. εἰ δέ τῳ καὶ πιστά, τὴν τόλμαν αὐτῶν καὶ δύναμιν μὴ ἐκπλαγῇ. οὔτε γὰρ βλάπτειν ἡμᾶς πλείω οἷοί τε ἔσονται ἢ πάσχειν, οὔθ' ὅτι μεγάλῳ στόλῳ ἐπέρχονται, ἀνωφελεῖς, ἀλλὰ πρός τε τοὺς ἄλλους Σικελιώτας πολὺ ἄμεινον, μᾶλλον γὰρ ἐθελήσουσιν ἐκπλαγέντες ἡμῖν ξυμμαχεῖν, καὶ ἢν ἄρα ἢ κατεργασώμεθα αὐτοὺς ἢ ἀπράκτους ὧν ἐφίενται ἀπώσωμεν, οὐ γὰρ δὴ μὴ τύχωσί γε ὧν προσδέχονται φοβοῦμαι, κάλλιστον δὴ ἔργον ἡμῖν ξυμβήσεται, καὶ οὐκ ἀνέλπιστον ἔμοιγε. ὀλίγοι γὰρ δὴ στόλοι μεγάλοι ἢ Ἑλλήνων ἢ βαρβάρων πολὺ ἀπὸ τῆς ἑαυτῶν ἀπάραντες κατώρθωσαν. οὔτε γὰρ πλείους τῶν ἐνοικούντων καὶ ἀστυγειτόνων ἔρχονται, πάντα γὰρ ὑπὸ δέους ξυνίσταται, ἤν τε δι' ἀπορίαν τῶν ἐπιτηδείων ἐν ἀλλοτρίᾳ γῇ σφαλῶσι, τοῖς ἐπιβουλευθεῖσιν ὄνομα, κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω πταίωσιν, ὅμως καταλείπουσιν. ὅπερ καὶ Ἀθηναῖοι αὐτοὶ οὗτοι τοῦ Μήδου παρὰ λόγον πολλὰ σφαλέντος ἐπὶ τῷ ὀνόματι ὡς ἐπ' Ἀθήνας ἦλθε ἠύξήθησαν, καὶ
34 ἡμῖν οὐκ ἀνέλπιστον τὸ τοιοῦτο ξυμβῆναι. θαρσοῦντες οὖν τά τε αὐτοῦ παρασκευαζώμεθα καὶ ἐς τοὺς Σικελοὺς πέμποντες τοὺς μὲν μᾶλλον βεβαιωσώμεθα, τοῖς δὲ φιλίαν καὶ ξυμμαχίαν πειρώμεθα ποιεῖσθαι, ἔς τε τὴν ἄλλην Σικελίαν πέμπωμεν πρέσβεις, δηλοῦντες ὡς κοινὸς ὁ κίνδυνος, καὶ ἐς τὴν Ἰταλίαν, ὅπως ἢ ξυμμαχίαν ποιώμεθα ἡμῖν ἢ μὴ δέχωνται Ἀθηναίους. δοκεῖ δέ μοι καὶ ἐς Καρχηδόνα ἄμεινον εἶναι πέμψαι. οὐ γὰρ ἀνέλπιστον αὐτοῖς, ἀλλ' ἀεὶ διὰ φόβου εἰσὶ μή ποτε Ἀθηναῖοι αὐτοῖς ἐπὶ τὴν πόλιν ἔλθωσιν, ὥστε τάχ' ἂν ἴσως νομίσαντες, εἰ τάδε προήσονται, κἂν σφεῖς ἐν πόνῳ εἶναι, ἐθελήσειαν ἡμῖν ἤτοι κρύφα γε ἢ φανερῶς ἢ ἐξ ἑνός γέ του τρόπου ἀμῦναι.

34. *ξυμμαχίαν ποιώμεθα*] Cass. Aug. Ven. Cl. (hic in marg. *ποιῶνται*) Laur. Pal. It. Vat. H. (in hoc *ἐαν ποιώμεθα* eras. et *ὦσιν* s. *ἐαν*), Reg. (G.) tacite Lugd. tum F. C. Gr. B. I. E. K. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas. Steph. primus dedit *ποιῶνται*. *Ξυμμαχίαν* aut dictum est pro *ξυμμάχους*, aut notio conciliandae societatis, ut Haackio videtur, sufficit (ita erit aut *ξυμμαχίαν* i. e. *ξυμμάχους αὐτούς*, aut *ξυμμαχίαν αὐτῶν ποιώμεθα ἡμῖν*), qui idem post *δέχωνται* supplendum esse docet *Ἰταλιῶται* ex praecedente *Ἰταλίαν*. Coraes coniecit *ξυμμαχίδα ποιώμεθα*.

ἤτοι κρύφα γε] In talibus formulis Graeci alium, ac nos, ordinem sequuntur, ut qui rem probabiliorem ponant ante rem minus probabilem, cum nos dicamus *vel palam vel certe clam*. Conf. Herodot. 3, 140. *ἀναβέβηκε δ' ἤ τις ἢ οὐδείς* i. e. *unus modo duove, si quisquam*, et Aristot. Eth. Nicom. 1, 8. *ἔν γέ τι ἢ τὰ πλεῖστα κατορθοῦν, uno certe, si non plurimis.* Arn. Recte sane monet Abr., verba *ἢ ἐξ ἑνός γέ του τρόπου* adiecta esse non quo alia sit ratio aut media inter occultam et apertam, sed quo comprehendat omnia, nihil relinquat. Fortasse *ἤ*

δυνατοὶ δέ εἰσι μάλιστα τῶν νῦν, βουληθέντες· χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται, ὅθεν ὅ τε πόλεμος καὶ τἆλλα εὐπορεῖ. πέμπωμεν δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ ἐς Κόρινθον δεόμενοι δεῦρο κατὰ τάχος βοηθεῖν καὶ τὸν ἐκεῖ πόλεμον

delendum, ut frustra ex prioribus repetitum. Bau. Schol. idem sentiens *ἐν δὲ τῷ ἢ ἐξ ἑνός γε τρόπου περιττὸς ὁ ἢ σύνδεσμος· παρὰ γὰρ τὸ ἢ κρύφα ἢ φανερῶς ἀπαμῦναι τρίτον οὐδέν ἐστιν.* Addit Popp. aliud exemplum nimii *μερισμοῦ* extare 7, 7., quem tamen locum multae dubitationi obnoxium esse videbimus. Tum *περὶ τῇ Σικελίᾳ* „est *circum* vel *ad Siciliam*, non, ut omnes converterunt, *de Sicilia*. Probabile tamen est, mentem Thucydidis et quem haec dicentem inducit, Hermocratis esse eam, quam interpretes expresserunt. Nam Atheniense in animo habebant tentare, num Sicilia potiri possent. Sed hoc Graeci dicunt *περὶ τῆς Σικελίας ἔσται ὁ ἀγών*. Thuc. 2, 42. 3, 53. 5, 9. 53. 101. 6, 11. Sic *ὁ περὶ ψυχῆς, κρεῶν, βασιλείας ἀγών* et plurima alia hoc genus, in quibus *περί* semper genitivum habet. Haec mihi suspectam faciunt vulgatam huius loci scripturam.“ Duk. His motus Haack. scripsit *περὶ τῆς Σικελίας*. „Mihi casu ipso distinxisse videtur Thuc. asperius paulo, ut uno vocabulo semel posito duos adiungeret casus; ut sensum tamen videatur distinguere voluisse: non *circa* Siciliam fore concertationem i. e. non passuros ipsos, eo usque penetrare Atheniensium classem, sed *procul* a Sicilia impedituros et occursuros, ut ne Ionium quidem mare traiiciant, nedum Siciliae immineant. Quod si absit aut *τοῦ* aut *ἤ*, commodum sane sensum reddiderint verba: non *prius* de Sicilia vel circa Siciliam concertationem futuram, *quam* (domo) illi transmiserint Ionium i. e. prius eluctandum illis esse, nobis sc. prohibentibus, Ionium mare, quam ad Siciliam tam prope accedant. Ut verba nunc leguntur, *πρότερον* sit pro *μᾶλλον*, nicht so wohl, *non tam*, minus.“ Bau. Ad *εὐεπίθετος* intellige *ἡ παρασκευή*, et Thom. M. p. 381. explicat *ὁ εὔκολος εἰς ἐπίθεσιν, ἤτοι ὁ εὐεπιχείρητος*. Mox pro *κατ' ὀλίγον*, quod praebent Cl. in marg. Ven. et, qui *κατά* plene, cod. Bas., vulgo *κατὰ λόγον*. Receptam scripturam firmat Scholiastae expositio *οὐκ ἀθρόα*, quam Duk. monet ex ipso scriptore sumtam, qui mox verbo *βραδεῖα* contrarium ponit *τὸ ταχυναυτοῦν*, et verborum *κατ' ὀλίγον* contrarium *τὸ ἀθροώτερον*. Sic inter se referuntur locis ab eodem allatis 4, 10. *κατ' ὀλίγον* et *πολλοὶ μαχόμενοι* et 5, 9. *κατ' ὀλίγον* et *ἅπαντες κινδυνεύοντες*. Et tamen tuetur vulgatam, sensum eius esse dicens: *ratio ac natura rei ita fert*, ut magna classis multis onerariis aliisque navibus impedita et commeatu atque apparatibus belli gravis lente naviget ac late diffundatur, nec conferta progredi possit. Verum si scriptor hoc voluisset, certum est eum dicturum fuisse *βραδεῖα κατὰ λόγον προσπίπτουσα*, ne urgeam, scriptoris usum potius ita flagitare: *βραδεῖα κατὰ τὸ εἰκὸς* (sive *ὡς εἰκὸς*) *προσπίπτουσα*. Nihil autem illa formula frequentius. Sic rursus 3, 111. extat *ὑπαπῆσαν καὶ' ὀλίγους* et 4, 11. *καὶ' ὀλίγας ναῦς διελόμενοι*. Et sic Herodotus quoque et nullus non probatus scriptor. v. Wessel. ad Herodot. 8, 113. *Λύγος* et *ὀλίγος* permutantur etiam apud Zonaram, ut indicavit Iacobs. in Lucianeis pone Porsoni Adverss. p. 301. et haec ipsa *κατὰ λόγον* et *κατ' ὀλίγον* permutata sunt apud Diodorum locis indicatis a Schaefero ad Dionys. de C. V. p. 119. Idem ibidem p. 44. congessit plura exempla formulae *κατ' ὀλίγους*. Itidem *λόγος* et *ὀλίγος* confusa apud Plutarchum. Vid. Reisk. Vol. 5. p. 703. et Schneid. ad Aristot. H. A. p. 524., quos citat Schaef. Indic. ad Porson. Adverss. s. v. *λόγος*, ubi sine cunctatione praesenti loco *κατ' ὀλίγον* recipi iubet.

κινεῖν. ὃ δὲ μάλιστα ἐγώ τε νομίζω ἐπίκαιρον, ὑμεῖς τε διὰ τὸ ξύνηθες ἥσυχον ἥκιστ' ἂν ὀξέως πείθοισθε, ὅμως εἰρήσεται. Σικελιῶται γὰρ εἰ θέλοιμεν ξύμπαντες, εἰ δὲ μή, ὅτι πλεῖστοι μεθ' ἡμῶν, καθελκύσαντες ἅπαν τὸ ὑπάρχον ναυτικὸν μετὰ δυοῖν μηνοῖν τροφῆς ἀπαντῆσαι Ἀθηναίοις ἐς Τάραντα καὶ ἄκραν Ἰαπυγίαν, καὶ δῆλον ποιῆσαι αὐτοῖς ὅτι οὐ περὶ τῇ Σικελίᾳ πρότερον ἔσται ὁ ἀγὼν ἢ τοῦ ἐκείνους περαιωθῆναι τὸν Ἰόνιον, μάλιστ' ἂν αὐτοὺς ἐκπλήξαιμεν καὶ ἐς λογισμὸν καταστήσαιμεν ὅτι ὁρμώμεθα μὲν ἐκ φιλίας χώρας φύλακες, ὑποδέχεται γὰρ ἡμᾶς Τάρας, τὸ δὲ πέλαγος αὐτοῖς πολὺ περαιοῦσθαι μετὰ πάσης τῆς παρασκευῆς, χαλεπὸν δὲ διὰ πλοῦ μῆκος ἐν τάξει μεῖναι, καὶ ἡμῖν ἂν εὐεπίθετος εἴη, βραδεῖά τε καὶ κατ' ὀλίγον προσπίπτουσα. εἰ δ' αὖ τῷ ταχυναυτοῦντι ἀθροωτέρῳ κουφίσαντες προσβάλοιεν, εἰ μὲν κώπαις χρήσαιντο, ἐπιθοίμεθ' ἂν κεκμηκόσιν, εἰ δὲ μὴ δοκοίη, ἔστι καὶ ὑποχωρῆσαι ἡμῖν ἐς Τάραντα. οἱ δὲ μετ' ὀλίγων ἐφοδίων ὡς ἐπὶ ναυμαχίᾳ περαιωθέντες ἀποροῖεν ἂν κατὰ χωρία ἐρῆμα, καὶ ἢ μένοντες πολιορκοῖντο ἂν ἢ πειρώμενοι παραπλεῖν τήν τε ἄλλην παρασκευὴν ἀπολίποιεν ἂν καὶ τὰ τῶν πόλεων οὐκ ἂν βέβαια ἔχοντες, εἰ ὑποδέξοιντο, ἀθυμοῖεν. ὥστε ἔγωγε τούτῳ τῷ λογισμῷ ἡγοῦμαι ἀποκληομένους αὐτοὺς οὐδ' ἂν ἀπᾶραι ἀπὸ

πολιορκοῖντο ἄν] i. e. *ad deditionem cogere tentaremus, oppugnatione.* Nam aliam vim quam *oppugnandi* hoc verbum non habet, neque aliam *ἐκπολιορκεῖν*, quam *expugnare.* Vid. 1, 131. 135. 7, 14. Nullo horum locorum figurate dicitur, quae tamen quorundam est opinio, qui capiunt sensu anshungern. At negat Popp., hoc sensu oppugnandi verbum *πολιορκεῖσθαι* praesenti loco intelligi posse, siquidem, quum Athenienses manerent, non Athenienses oppugnarentur, sed ipsi navibus obsessuri essent. Corruptum igitur locum et vel *ἐκπολιορκοῖντο* vel *ταλαιπωροῖντο* legendum esse. Qui autem *ἐκπολιορκοῖντο* legi, *πολιορκοῖντο* non legi possit? Nonne, si expugnari dici, iidem oppugnari dici poterunt? Meminisse debemus moris antiquorum, naves ad litus trahendi et castra navalia ponendi (*καὶ ἐνταῦθα ἤδη ἐθροίζοντο — καὶ τὰς ναῦς ἀνελκύσαντες ἡσύχασαν* c. 44.), ut quorum naves mare non tenere possent, nullo spatio in illis in usum militum vel ad cubitionem vel ad convictum suppeditante. Si in castris ergo, et expugnari poterant atque scilicet et oppugnari, nisi forte expugnatio sine oppugnatione fieri potest. Paulo post *ἐπὶ τὸ πλεῖον* etc. est *in maius vulgaremur* sive ita nunciaremur, ut maiores copiae nostrae et putarentur et dicerentur. Deinde *πείθεσθε — τολμήσαντες* „meo quidem iudicio nihil aliud significaret nisi *credite vos ausos esse.* Hoc autem loco *πείθεσθε* coniungendum est cum *ταῦτα*, quod simul huius imperativi, simul etiam sequentis participii obiectum est. Conf. 7, 73. *πάντα μᾶλλον ἐλπίζων ἂν σφῶν πείθεσθαι αὐτούς*, quo loco nollem Haackium offendisset genitivus personae, cuius exemplum apud verbum *πείθεσθαι* hucusque frustra se quaesivisse dicit. Inspicere saltem debebat Hudsoni notam ad h. l., ubi exemplum invenisset ex Homero; aliorum exemplorum affatim praebet Matth. §. 362." SCHOEM. Obss. p. 15 sq. Mox *παραστῆναι* eodem sensu, quo hic, rursus legitur 4, 61. 95. 6, 78. A *πείθεσθαι*, quae Dukeri Arnoldique sententia est, hinc infinitivus pendere non potest, imo infinitivus loco imperativi est. v. Matth. p. 1072.

Κερκύρας, ἀλλ' ἢ διαβουλευσαμένους καὶ κατασκοπαῖς χρωμένους ὁπόσοι τ' ἐσμὲν καὶ ἐν ᾧ χωρίῳ ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς χειμῶνα, ἢ καταπλαγέντας τῷ ἀδοκήτῳ καταλῦσαι ἂν τὸν πλοῦν, ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν, ὡς ἐγὼ ἀκούω, ἄκοντος ἡγουμένου καὶ ἀσμένου ἂν πρόφασιν λαβόντος, εἴ τι ἀξιόχρεων ἀφ' ἡμῶν ὀφθείη. ἀγγελλοίμεθα δ' ἂν εὖ οἶδ' ὅτι ἐπὶ τὸ πλεῖον· τῶν δ' ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμαι ἵστανται, καὶ τοὺς προεπιχειροῦντας ἢ τοῖς γε ἐπιχειροῦσι προδηλοῦντας ὅτι ἀμυνοῦνται μᾶλλον πεφόβηνται, ἰσοκινδύνους ἡγούμενοι. ὅπερ ἂν νῦν Ἀθηναῖοι πάθοιεν. ἐπέρχονται γὰρ ἡμῖν ὡς οὐκ ἀμυνουμένοις δικαίως κατεγνωκότες ὅτι αὐτοὺς οὐ μετὰ Λακεδαιμονίων ἐφθείρομεν· εἰ δ' ἴδοιεν παρὰ γνώμην τολμήσαντας, τῷ ἀδοκήτῳ μᾶλλον ἂν καταπλαγεῖεν ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει. πείθεσθε οὖν μάλιστα μὲν ταῦτα τολμήσαντες, εἰ δὲ μή, ὅτι τάχιστα τἄλλα ἐς τὸν πόλεμον ἑτοιμάζειν, καὶ παραστῆναι παντὶ τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι, τὸ δ' ἤδη τὰς μετὰ φόβου παρασκευὰς ἀσφαλεστάτας νομίσαντας ὡς ἐπὶ κινδύνου πράσσειν χρησιμώτατον ἂν ξυμβῆναι. οἱ δὲ ἄνδρες καὶ ἐπέρχονται καὶ ἐν πλῷ εὖ οἶδ' ὅτι ἤδη εἰσὶ καὶ ὅσον οὔπω πάρεισιν.

Καὶ ὁ μὲν Ἑρμοκράτης τοσαῦτα εἶπε. τῶν δὲ Συρακο- 35
σίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν, οἱ μὲν ὡς

καταφρονεῖν τοὺς ἐπιόντας] Thom. M. p. 510. ex eoque Phavorin. *καταφρονῶ· ὡς ἐπὶ τὸ πλεῖστον μὲν γενικῇ συντάσσεται, ἔστι δὲ ὅπου καὶ αἰτιατικῇ.* Similia Schol. ad 3, 39. et 8, 82. v. Matth. p. 696. adn. 2. Ad sententiam quod attinet, apud hunc scriptorem frequentissima est, ut 2, 11. *χρὴ ἀεὶ — τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν, τῷ δὲ ἔργῳ δεδιότας παρασκευάζεσθαι* i. e. *ἀβούλως βουλεύεσθαι*, ut Herodot., sive *priusquam incipias, consulto opus est*, ut Sallust. loquitur. Herodotea cum Thucydideis composuit Valck. ad Herodot. 7, 49. ubi vid. Wess. Schol. *δεῖ τοὺς καταφρονοῦντας τῶν ἐπιόντων ἐν αὐτῷ τῷ πολέμῳ καὶ τῇ κατ' αὐτὸν ἀνδρείᾳ φαίνεσθαι καταφρονοῦντας τῶν ἐναντίων. ἔργον γὰρ κἀνταῦθα καὶ πολλαχοῦ τὸν πόλεμον λέγει.* Sed propter numerum pluralem *ἔργων* malim cum Heilmanno convertere: wobei ich einem Jeden zu Gemüth führen will, dass man die Verachtung, welche man gegen einen Feind hegt, am besten in der Stärke seiner *wirklichen* Gegenanstalten zeigen könne. Quam interpretationem haud inepte firmat his locis 2, 42. *λόγων κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια.* 4, 67. init. *ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ λόγων παρεσκεύασται ἀμφοτέροις.* v. adn. ad 1, 73. Proximorum haec structura esse videtur: *τὸ δ' ἤδη τὰς μετὰ φόβου ὡς ἐπὶ κινδύνῳ* (mit Furcht *wie während einer Gefahr*, v. Matth. §. 584. *γ.*) *παρασκευὰς ἀσφαλεστάτας νομίσαντας ὡς ἐπὶ κινδύνου πράσσειν χρησιμώτατον ἂν ξυμβῆναι*, nam verba *ὡς ἐπὶ κινδύνου* et ad *φόβου* et ad *πράσσειν* pertinent.

35. *τῶν δὲ Συρακοσίων — ἦσαν*] Dionys. Hal. p. 802., ubi structuram *ἐξηλλαγμένην*, quippe ad sensum factam notat. Eundem usum e Thuc. 3, 79. enotavit Greg. Cor. p. 71. v. Matth. §. 302. §. 434. 2. In sequentibus *οἱ μὲν — τοῖς δέ* oratio variatur, sicut multis locis.

οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι, οὐδ' ἀληθῆ ἐστιν ἃ λέγει, τοῖς δέ, εἰ καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς ὅτι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν; ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα. ὀλίγον δ' ἦν τὸ πιστεῦον τῷ Ἑρμοκράτει καὶ φοβούμενον τὸ μέλλον. παρελθὼν δ' αὐτοῖς Ἀθηναγόρας, ὃς δήμου τε προστάτης ἦν καὶ ἐν τῷ παρόντι πιθανώτατος τοῖς πολλοῖς, ἔλεγε τοιάδε.

36 Τοὺς μὲν Ἀθηναίους ὅστις μὴ βούλεται οὕτω κακῶς φρονῆσαι καὶ ὑποχειρίους ἡμῖν γενέσθαι ἐνθάδε ἐλθόντας, ἢ δειλός ἐστιν ἢ τῇ πόλει οὐκ εὔνους· τοὺς δ' ἀγγέλλοντας τὰ τοιαῦτα καὶ περιφόβους ὑμᾶς ποιοῦντας τῆς μὲν τόλμης οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας, εἰ μὴ οἴονται ἔνδηλοι εἶναι. οἱ γὰρ δεδιότες ἰδίᾳ τι βούλονται τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι, ὅπως τῷ κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγάζωνται. καὶ νῦν αὗται αἱ ἀγγελίαι τοῦτο δύνανται, οὐκ ἀπὸ ταὐτομάτου, ἐκ δὲ ἀνδρῶν, οἵπερ ἀεὶ τάδε κινοῦσι, ξύγκεινται. ὑμεῖς δὲ ἢν εὖ βουλεύησθε, οὐκ ἐξ ὧν οὗτοι ἀγγέλλουσι σκοποῦντες λογιεῖσθε τὰ εἰκότα, ἀλλ' ἐξ ὧν ἂν ἄνθρωποι δεινοὶ καὶ πολλῶν ἔμπειροι, ὥσπερ ἐγὼ Ἀθηναίους ἀξιῶ, δράσειαν. οὐ γὰρ αὐτοὺς εἰκὸς Πελοποννησίους τε ὑπολιπόντας καὶ τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως καταλελυμένους ἐπ' ἄλλον πόλεμον οὐκ ἐλάσσω

Scripsit *οἱ μὲν*, in mente habens *λέγοντες*, et *τοῖς δέ*, cogitans *ἐδόκει*. Hic praeterea subitus ex indirecta in directam orationem transitus fit verbis *οὐδ' ἀληθῆ ἐστιν*, de quo usu v. Creuz. Art. Hist. Gr. p. 188. Longin. de Subl. sect. 27. Herm. ad Vig. p. 900. Emendatricem manum produnt libri, in quibus est *οἱ δ' ἀληθῆ* etc. Mox *ἐς γέλωτα ἔτρεπον* est *rem in risum verterunt*. v. Wess. ad Herodot. 7, 105. Porro *δήμου προστάτης* fuit magistratus Syracusanorum, sive hoc ipso nomine appellatus, sive nomine *δημιουργός* vel simili, ut in aliis Doricis civitatibus. v. Od. Muell. Dor. 2. p. 160. coll. Wachsm. Antt. Gr. 1, 2. p. 435. Append. 1. Tum huc refertur glossa in Schleusneri Curis novis ad Photium p. 345. *πιθανώτατος τοῖς πολλοῖς ὁ πιστικώτατος, πείθων τοὺς πολλούς, παρὰ Θουκυδίδῃ*. „Quae ad 4, 21. pertinere male editor coniicit.“ Popp.

κεύοντο. οἱ δ' οὐκ ἐδέχοντο, λέγοντες σφίσι τὰ ὅρκια εἶναι μιᾷ νηῒ καταπλεόντων Ἀθηναίων δέχεσθαι, ἢν μὴ αὐτοὶ πλείους μεταπέμπωσιν. ἄπρακτοι δὲ γενόμενοι ἀπέπλεον· καὶ ἀποβάντες κατά τι τῆς Συρακοσίας, καὶ ἁρπαγὴν ποιησάμενοι, καὶ τῶν Συρακοσίων ἱππέων βοηθησάντων καὶ τῶν ψιλῶν τινὰς ἐσκεδασμένους διαφθειράντων, ἀπεκομίσθησαν ἐς Κατάνην.

53 καὶ καταλαμβάνουσι τὴν Σαλαμινίαν ναῦν ἐκ τῶν Ἀθηνῶν ἥκουσαν ἐπί τε Ἀλκιβιάδην ὡς κελεύσοντας ἀποπλεῖν ἐς ἀπολογίαν ὧν ἡ πόλις ἐνεκάλει, καὶ ἐπ' ἄλλους τινὰς τῶν στρατιωτῶν τῶν μετ' αὐτοῦ μεμηνυμένων περὶ τῶν μυστηρίων ὡς ἀσεβούντων, τῶν δὲ καὶ περὶ τῶν Ἑρμῶν. οἱ γὰρ Ἀθηναῖοι, ἐπειδὴ ἡ στρατιὰ ἀπέπλευσεν, οὐδὲν ἧσσον ζήτησιν ἐποιοῦντο τῶν περὶ τὰ μυστήρια καὶ τῶν περὶ τοὺς Ἑρμᾶς δρασθέντων, καὶ οὐ δοκιμάζοντες τοὺς μηνυτάς, ἀλλὰ πάντας ὑπόπτως ἀποδεχόμενοι, διὰ πονηρῶν ἀνθρώπων πίστιν πάνυ χρηστοὺς τῶν πολιτῶν ξυλλαμβάνοντες κατέδουν, χρησιμώτερον ἡγούμενοι εἶναι βασανίσαι τὸ πρᾶγμα καὶ εὑρεῖν ἢ διὰ μηνυτοῦ πονηρίαν τινὰ καὶ χρηστὸν δοκοῦντα εἶναι αἰτιαθέντα ἀνέλεγκτον διαφυγεῖν. ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισιστράτου καὶ τῶν παίδων τυραννίδα χαλεπὴν τελευτῶσαν γενομένην, καὶ προσέτι οὐδ' ὑφ' ἑαυτῶν καὶ Ἁρμοδίου καταλυθεῖσαν ἀλλ' ὑπὸ Λακεδαιμονίων, ἐφοβεῖτο ἀεὶ καὶ πάντα ὑπόπτως ἐλάμβανε.

54 Τὸ γὰρ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα δι' ἐρωτικὴν ξυντυχίαν ἐπεχειρήθη, ἣν ἐγὼ ἐπὶ πλέον διηγησάμενος ἀποφανῶ οὔτε τοὺς ἄλλους οὔτε αὐτοὺς Ἀθηναίους περὶ τῶν

53. *Σαλαμινίαν ναῦν*] *ναῦν* om. Chr. „Nisi omnes alii libri haberent, tuto omitti posset, ut supra 3, 33. 79., apud Arist. Av. 147. 1204. Plut. Alc. et alios. Infr c. 61. utroque modo.“ Duk. Mox in verbis *ἀλλὰ πάντας* etc. alii libri *πάντας*, alii *πάντα* habent. Arn. negat, *πάντα ὑπόπτως ἀποδέχεσθαι* idem esse, quod *πάντα ὑπόπτως λαμβάνειν*, quia *ἀποδέχεσθαι* non sit simpliciter *accipere*, sed *approbare*, apte autem verbo *ἀποδ.* ex adverso poni *δοκιμάζοντες*. Praefert *πάντας*, hoc sensu: *non explorantes animos delatorum, sed propter suspicionem approbantes, quicunque delator extitit.* Et comparat 6, 29. *διαβολὰς ἀποδέχεσθαι*. Addit, *ὑπόπτως* aeque recte accipi de suspicione adversus alios atque adversus delatores; hoc tolli argumentum Pepponis, negantis *ὑπόπτως*, si *πάντας* legatur, significare idem quod *δι' ὑποψίαν*.

ὑπὸ Λακεδαιμονίων] ope Cleomenis, ut narrat Herodot. 5, 64. sqq. 91. et v. Valck. ad eundem 5, 55. A Lacedaemoniis igitur, unde auxilium iterum non exspectandum esset.

54. Sequitur quaestio historica de caede Pisistrati filii, num Hippias an Hipparchus, frater eius, tyrannus fuerit. Conf. Thuc. 1, 20. Scriptor aetate proximus Herodot. 5, 55. ita scribit: *Ἵππαρχον τὸν Πεισιστράτου Ἱππίεω δὲ τοῦ τυράννου ἀδελφεόν*, ubi v. Valck., adde Dahlm. Herodot. p. 227. Hunc cum Thucydide consentire sumi potest, dummodo colligere licet, Hippiam ut tyrannum, ita natu maiorem fuisse. Plato, qui vulgo fertur, in Hipparcho secus ac Thucydides Hipparchum in tyrannide occisum esse narrat p. 228. Steph. Hipparchus, ait, *ὃς τῶν Πεισιστράτου παίδων ἦν πρεσβύτατος καὶ σοφώτατος*. At Hipparchum dialogum nunc omnes in Platonis lectione assidue, et vel non assidue versati pro spurio habent. Nihil certi confici putat Duk. e Clidemi an

Clitodemi historici verbis apud Athenae. 13. p. 609. C. *ἐξέδωκε δὲ* (Pisistratus) *Ἱππάρχῳ τῷ υἱεῖ Φύην, τῷ μετὰ αὐτὸν τυραννεύσαντι*, sed apud Athenaeum nunc rectius editum: *ἐξέδωκε δὲ καὶ Ἱππάρχῳ τῷ υἱεῖ Φύην, καὶ Χάρμου θυγατέρα ἔλαβεν Ἱππίᾳ τῷ μετ' αὐτὸν τυραννεύσαντι*. Itaque hic quoque scriptor, (de quo v. Pausan. 10, 15, 3. Blomf. ad Aesch. Pers. Gloss. v. 80. Dahlm. Herodot. p. 227. adn., qui putat Hellanicum errorem a Thucydide notatum commisisse), eximendus est e numero eorum, qui a Thucydide dissentiunt. Adde Siebelis. in Phanodemi, Demonis, Clitodemi atque Istri *Ἀτθίδων* etc. fragmentis (Lips. 1812.). Porro Thucydidem sequitur Aristot. Pol. 5, 10. p. 120. Schn. At cum Pseudo-Platone Plut. in *Ἐρωτικοῖς* facit. De auctoritate Diodori fragm. libr. 10. (Vol. 4. p. 61. Argent.) iudicare non licet, quia quos duces secutus sit non constat. Eius haec verba sunt: *οἱ δὲ ἄλλοι Ἵππαρχος καὶ Ἱππίας βίαιοι καὶ χαλεποὶ ἐτυράννευον τῆς πόλεως*, ubi Hipparchum Hippia priorem in tyrannide ponere videtur. Pseudo-Platone usus rem narrat Aelian. V. H. 8, 2., memorans et ipse, Hipparchum in tyrannide occisum esse, ita tamen ut de huius dialogi *γνησιότητι* dubitare videatur, adiectis his verbis: *εἰ δὴ ὁ Ἵππαρχος Πλάτωνός ἐστι τῷ ὄντι*. Idem V. H. 11, 8., ubi caedis causam enarrat, non istius dialogi auctori, sed Thucydidi se adiungit. Venimus ad Heraclidem Ponticum, qui in fragm. de Rep. Ath. p. 232. Tauchn. nec cum Pseudo-Platone nec cum hoc scriptore facit, nec, quod sciam, cum alio quoquam, nam Thessalum tyrannum facit: *τοῦτον τυραννοῦντα μὴ δυνηθέντες ἀνελεῖν, Ἵππαρχον ἀπέκτειναν τὸν ἀδελφὸν αὐτοῦ*. Nam quod post Pisistratum ab eo primo loco Hipparchus ponitur, secundo Thessalus memoratur, tertio Hippias, non catalogum decessorum tyrannidis dare voluit, sed *εἰκῇ* enumeravit, sin catalogum cum Dukero ea esse statuas, quae refert Heraclides, istius verba ipsa secum pugnant. Quid enim? si primus post patrem Hipparchus dominatus est, non potuit sub fratre tyranno interimi. Thucydidi rursus Maximus Tyr. Diss. 24. adstipulatur, itemque Polyaen. Strateg. 5, 14., neque minus ad Thucydidis auctoritatem se contulerunt Scholiastae ad Arist. Vesp. 500. Lys. 619. Alios scriptores, qui de hac caede egerunt, recenset Valesius ad Diod. l. c. Hoc autem „communi veterum consensu firmatum, quod Aristotelis Rhet. 2, 24. verbis sic expresserim: *ὁ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον*, sive ut Platonis in Conv. c. 9. verbis utar: *ὁ γὰρ Ἀριστογείτονος ἔρως καὶ Ἁρμοδίου φιλία βέβαιος γενομένη κατέλυσεν αὐτῶν τὴν ἀρχήν.*“ Evers. de Prooem. Thuc. p. 23. Quibus Scolion Callistrati addit, percussores Athenis etiam libertatem parasse: *ὅτε τὸν τύραννον κτανέτην Ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην*. Quod falsum esse, Thuc. arguit, neque is cum Aristotele et Platone, ab Eversio allatis, facit; nisi tres illi auctores sic senserunt, Harmodium et Aristogitonem libertatis et abrogatae tyrannidis causam remotiorem fuisse. Vid. omnino Valck. ad Herodot. 5, 55.

ἐπεχειρήθη] v. Matth. p. 922. Mox *μέσος πολίτης* est ein Bürger aus dem Mittelstande. Lucian. de Parasit. 48. Vol. 7. p. 140. Bip. *τί δέ; οὐχὶ καὶ Ἀριστογείτων δημοτικὸς ὢν καὶ πένης, ὥσπερ Θουκυδίδης φησὶ, παράσιτος ἦν Ἁρμοδίου; τί δέ; οὐχὶ καὶ ἐραστής;* Is videtur Dukero verba Thucydidis ad argumentum, in quo versatur, accommodasse; nam Aristotelem Polit. 4. 11. et 12. *μέσους πολίτας* inter *πλουσίους* et *πένητας* ponere et eos esse docere, qui nimis nec divites nec pauperes sint. Et Plutarchum addit V. Sol. init. *ἀνδρὸς οὐσίᾳ μὲν, ὡς φασὶ, καὶ δυνάμει μέσου τῶν πολιτῶν*, et fortasse ex hoc genere

σφετέρων τυράννων οὐδὲ περὶ τοῦ γενομένου ἀκριβὲς οὐδὲν λέγοντας. Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι οὐχ Ἵππαρχος, ὥσπερ οἱ πολλοὶ οἴονται, ἀλλ' Ἱππίας πρεσβύτατος ὢν ἔσχε τὴν ἀρχήν. γενομένου δὲ Ἁρμοδίου ὥρᾳ ἡλικίας λαμπροῦ Ἀριστογείτων ἀνὴρ τῶν ἀστῶν μέσος πολίτης ἐραστὴς ὢν εἶχεν αὐτόν. πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου καὶ οὐ πεισθεὶς καταγορεύει τῷ Ἀριστογείτονι. ὁ δὲ ἐρωτικῶς περιαλγήσας καὶ φοβηθεὶς τὴν Ἱππάρχου δύναμιν μὴ βίᾳ προσαγάγηται αὐτόν, ἐπιβουλεύει εὐθὺς ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως κατάλυσιν τῇ τυραννίδι. καὶ ἐν τούτῳ ὁ Ἵπparχος ὡς αὖθις πειράσας οὐδὲν μᾶλλον ἔπειθε τὸν Ἁρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾶν, ἐν τόπῳ δέ τινι ἀφανεῖ ὡς οὐ διὰ τοῦτο δὴ παρεσκενάζετο

civium fuisse, quos Latini *patres familias* dicunt, Liv. 1, 45. 2, 36. Sueton. Aug. 59. Calig. 26. Domit. 10. et e Livio Valer. Max. 3, 1. Vid. Ernest. et Casaub. ad locum e vita Calig. Dein εἶχεν αὐτόν sensu venereo, ut Aristippus usus est apud Diogenem Laert. 2, 75., utque est apud Terent. Andr. 1, 1, 58., ubi v. dictata Ruhnkenii. Sensu pudico Hom. de uxore legitima Od. 4, 569. Il. 6, 398. Tum ὡς ἀπὸ τῆς — ἀξιώσεως est ὡς καὶ τὴν ὑπάρχουσαν αὐτῷ δύναμιν, ait Schol., ἦν γὰρ μέσος πολίτης, mit den Mitteln, die ihm als einem Bürger aus dem Mittelstande zu Gebote standen.

ἐν τόπῳ — ἀφανεῖ] Apud Scholiastam in lemmate quidem est τόπῳ, sed eius interpretatio sonat, quasi τρόπῳ legisset: ἐμηχανᾶτο κρύφα προπηλακίσαι τὸν Ἁρμόδιον, ὡς δι' ἄλλην αἰτίαν τινὰ καὶ οὐ διὰ τὸ μὴ τυγχεῖν αὐτοῦ. Atque vulgatae τόπῳ adversantur ab ipso scriptore narrata, nam in publico et festo Panathenaeorum die virginem contumelia affecit. Itaque valde probabilis est Levesquii coniectura ἐν τρόπῳ i. e. *ratione aliqua occulta*, ut vera offensionis causa non pateret. Ita 1, 97. legitur ἐν οἵῳ τρόπῳ κατέσχη. Popp. conferri iubet Brem. ad Lys. p. 49. Haack in Addendis coniecit ἐν τόπῳ δέ τινι διαφανεῖ, at ἀφανεῖ propter verba ὡς οὐ διὰ τοῦτο δή mutari non licet, ut quibus explicatio τοῦ ἀφανοῦς sine controversia contineatur. Porro „προπηλακισμός dicitur omne omnino iniuriae et contumeliae genus, sive re sive verbis factae, item sive de qua ibatur in ius sive de qua non dabatur iudicium, et verbum erat elegans atque usus communis, sed non legum, in quibus ὕβρις, αἰκία, κακηγορία, λοιδορία, quae omnia προπηλακισμός comprehendebat.“ Herald. Animadv. in Salmas. Obss. ad Ius A. et R. 2, 10, 4. p. 123. vid. Demosth. in Mid. p. 537. Reisk., ac Meier. et Schoem. d. Att. Proz. p. 327. 550. De participio προπηλακιῶν post παρασκευάζεσθαι v. Matth. p. 1091. med. Et κατασήσαιο (sc. τὴν ἀρχήν) Schol. explicat per εὐτάκτησεν. Mox οἱ τύραννοι οὗτοι Popp. scribendum putavit, coll. edit. suae 1, 1. p. 196., „quibuscum, ait, licet conferas quae Blum. Script. Schol. init. disputavit, vel sic articulus deesse nequit.“ Articulo opus est, si in τύραννοι non notio generalis vocis cogitatur, sed definita Pisistratidarum. At mihi auctor sine articulo hoc dicere voluisse videtur: καίπερ τύραννοι ὄντες οὗτοι. Dein μόνον post εἰκοστήν addidit, quia sub ipso Pisistrato Athenienses decimam reditnum ex agris suis pendebant, quod vectigal eius posteri non totum tollebant, sed tantum ad dimidium redigebant. Fusius rem pertractat Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 351.

προπηλακιῶν αὐτόν. οὐδὲ γὰρ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλούς, ἀλλ' ἀνεπιφθόνως κατεστήσατο· καὶ ἐπετήδευσαν ἐπὶ πλεῖστον δὴ τύραννοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν, καὶ Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τῶν γιγνομένων τήν τε πόλιν αὐτῶν καλῶς διεκόσμησαν καὶ τοὺς πολέμους διέφερον καὶ ἐς τὰ ἱερὰ ἔθυον. τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖς πρὶν κειμένοις νόμοις ἐχρῆτο, πλὴν καθ' ὅσον ἀεί τινα ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶναι. καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαύσιον Ἀθηναίοις ἀρχὴν καὶ Πεισίστρατος ὁ Ἱππίου τοῦ τυραννεύσαντος υἱὸς τοῦ πάππου ἔχων τοὔνομα, ὃς τῶν δώδεκα θεῶν βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων ἀνέθηκε καὶ τὸν τοῦ Ἀπόλλωνος ἐν Πυθίου. καὶ τῷ μὲν ἐν τῇ ἀγορᾷ προσοικοδομήσας ὕστερον ὁ δῆμος Ἀθηναίων μεῖζον

et Wachsm. Antt. Gr. 1, 1. p. 287, 17. Porro αὐτὴ ἡ πόλις „est *ipsa per se, nihil a tyrannis impedimenti experta.*“ Haack. Et διέφερον Schol. explicat per διήνυον. Vid. adn. ad 1, 11. Hoc loco Duk. verbum istud interpretatur: *praestabant, excellebant, eminebant in bellis*, allatis his locis: Lucian. D. M. 12, 1. Vol. 2. p. 171. Bip. πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια. Pausan. 1, 23. de Pisistrato et Hippia Περιάνδρου φιλάνθρωποι μᾶλλον καὶ σοφώτεροι τὰ πολέμια ἦσαν. At apertum est, formulam διαφέρειν πόλεμον (Tacitus *bella tolerare* v. Schaef. et Bast. ad Greg. Cor. p. 624.) tam usitatam hoc sensu esse, quo Schol. interpretatur, vix ut alio detorqueri possit, et aliud est τὸν πόλεμον διαφέρειν, aliud τὰ πολέμια διαφέρειν. „Non moleste feret Duk., si dissentire me profitear et Scholiastae Cass. et omnium interpretum partibus potius accedam, quas sane, simul atque locus incontroversus fuerit prolatus, ubi τοὺς πολέμους διαφέρειν idem valere constet, quod *bello strenuum atque egregium esse*, lubens deseram.“ Hemsterh. ad Lucian. l. c.

ἐς τὰ ἱερὰ ἔθυον] i. e. *in templa, ut Diis facerent, se conferebant*, dictum ut θύειν εἰς ταύτην τὴν πανήγυριν βουλόμενοι apud Lysiam. v. Hemsterh. ad Arist. Plut. 1169. p. 456. Lips. Mox ἐν ταῖς ἀρχαῖς est *inter magistratus*. Et ὃς ante τῶν δώδεκα θεῶν Bekk. delendum censet. „Cur tandem? quaerit Popp., nam quod Ἄρχων redit, non gravis causa est.“ Ceterum aram istam praeter Herodotum memorant Plut. V. Demosth. Nic. et Lycurgus orator. Ara duodecim deorum in foro erat, exstructa iam Ol. 65, 1. (520.) v. Herodot. 6, 108. Probabile est, iam inde a Pisistrati aetate intervalla locorum per terram Atticam et ultra ab hac ara, sicut Romae a milliario aureo computata esse. Hipparchus medio viarum ex urbe in pagos singulos ducentium intervallo Hermas posuit cum inscriptionibus binis, altera in sinistro, altera in dextero latere: in dextero autem erat pentameter, velut μνῆμα τόδ' Ἱππάρχου, στεῖχε δίκαια φρονῶν, unde colligunt, in sinistro fuisse hexametrum, velut ἐν μέσσῳ γε Θρίης τε καὶ ἄστεος, ἄνερ, ἴδ' Ἑρμῆς, ut integrum compleretur elegiacum distichum, utque hi Hermae pro lapidibus milliariis essent. V. Boeckh. C. I. Vol. 1. p. 31. sq. Od. Muell. in v. Attica apud Ersch. et Grub. Encyclop. Vol. 6. p. 237. Habes exemplum versus ab Hipparcho Pisistrati filio Hermae inscripti apud Boeckh. l. c. nr. 12. et alium eiusmodi titulum post Euchidem, ut Boeckh. existimat, positum ibidem p. 483. nr. 525. Ad ἐν Πυθίου supple τεμένει, ut suppletur paulo inferius in inscriptione. De Pythio v. adn. ad 2, 15.

μῆκος, τοῦ βωμοῦ ἠφάνισε τοὐπίγραμμα· τοῦ δ' ἐν Πυθίου ἔτι καὶ νῦν δῆλόν ἐστιν ἀμυδροῖς γράμμασι λέγον τάδε·

μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

55 Ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν εἰδὼς μὲν καὶ ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι, γνοίη δ' ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνον φαίνονται τῶν γνησίων ἀδελφῶν γενόμενοι, ὡς ὅ τε βωμὸς σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυράννων ἀδικίας ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα, ἐν ᾗ Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται, Ἱππίου δὲ πέντε, οἱ αὐτῷ ἐκ Μυρρίνης τῆς Καλλίου τοῦ Ὑπερεχίδου Θυγατρὸς ἐγένοντο· εἰκὸς γὰρ ἦν τὸν πρεσβύτατον πρῶτον γῆμαι. καὶ ἐν τῇ πρώτῃ στήλῃ πρῶτος γέγραπται μετὰ τὸν πατέρα, οὐδὲ τοῦτο ἀπεικότως διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτε Ἱππίας τὸ παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος μὲν ἐν τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν καθίστατο· ἀλλὰ καὶ διὰ τὸ πρότερον ξύνηθες τοῖς μὲν πολίταις φοβερόν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβές, πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησε, καὶ οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν, ἐν ᾧ οὐ πρότερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ. Ἱππάρχῳ δὲ ξυνέβη τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν.

55. *γνησίων ἀδελφῶν*] Quatuor Pisistratidas fuisse, dicit Schol. Arist. ad Vesp. 500. et Lys. 619. Ex his unus erat nothus, Hegesistratus. Meurs. in Pisistr. c. 10. Duk. *Γνήσιοι* erant Hippias, Hipparchus, Thessalus, de quo v. Thuc. 1, 20. Diod. fragm. libr. 10. (Vol. 4. p. 61. Argent.) Theophr. Hist. Plant. His unus Plut. V. Cat. Mai. c. 24. Iophontem addit, tum hunc tum Thessalum scribens ex altera uxore Pisistrati natum esse. Iophontem vel prima aetate absumtum morte, vel in legitimorum filiorum numero prorsus non fuisse Evers. de Prooem. Thuc. p. 22. existimat. Quod sequitur *ἐν τῇ πρώτῃ στήλῃ*, ibi *πρώτῃ* quid significet, nemo intelligit, quum una tantum columna memorata sit. In H. s. v. *γρ. αὐτῇ*. Valla *in ipso titulari lapide*. G. quid haberet, Gail. satis eruere non potuit, sed suspicabatur esse *ἄλλως*. *Αὐτῇ* verum esse, Popponis sententia est. Mox ad *ἀπεικότως* Thom. M. p. 86., ex eoque Phavorin. *ἀπεικότως καὶ ἀπεικότως Θουκυδίδης ἐν τῇ ἕκτῃ· „οὐδὲ τοῦτο ἀπεικότως.“* Altera forma extat 1, 73. 8, 68. Dein *πρεσβεύειν* idem est, quod *πρεσβύτερον εἶναι*, ut Phavorin. et Thom. M. p. 738. exponunt. Hesych. *ἐπρέσβευσε, πρεσβύτερος ἦν* ex Herodoto 7, 2., ubi v. Valck. Et *ἀπ' αὐτοῦ* est *post Pisistratum*. Paulo post verba *ἀλλὰ καί* refer ad sequens *καί* ante *οὐχ ὡς*, et *κατεκράτησε* est er hielt sich, behielt die Oberhand. Schol. *ἀλλὰ διὰ τὸ ἐκ μακροῦ χρόνου τοῖς μὲν πολίταις σύνηθες ἐμπεποιηκέναι τὸ φοβεῖσθαι αὐτόν, τοῖς δὲ δορυφόροις τὸ φυλάττειν ἐπιμελῶς, ἐκ πολλοῦ τοῦ περιόντος ἀσφαλῶς* (scribendum videtur *ἀσφαλοῦς*) *ἐκράτει*. In his *τὸ ξύνηθες φοβερόν* et *τὸ ξύνηθες ἀκριβές* idem esse, quod *τὸν ξυνήθη φόβον καὶ τὴν ξυνήθη ἀκρίβειαν* Bau. monuit coll. 6, 34. *τὸ ξύνηθες ἧσυχον*. Verba *πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς* Arn. exponit with superabundant security, i. e. *ita ut securitas superesset* coll. 5, 7. et Liv. 2, 27. *adeo supererant animi ad sustinendam invidiam*. Idem *τὸ ἀκριβές* ait indicare, quod Hippias non omiserit supplere numerum corporis custodum, ut satis essent ad tyrannidem tuendam, quod diligens fuerit in legendis viris et conciliandis per ampla stipendia et liberalitatem.

Τὸν δ' οὖν Ἁρμόδιον ἀπαρνηθέντα τὴν πεῖρασιν, ὥσπερ 56
διενοεῖτο, προὐπηλάκισεν· ἀδελφὴν γὰρ αὐτοῦ κόρην ἐπαγγεί-

ἐν ᾧ οὐ πρότερον — ὡμιλήκει] Putes hoc esse: in welchem Falle (sc. *εἰ ἠπόρησεν*) er nicht früher mit der Tyrannei vertraut gewesen war. At exspectet sic aliquis potius *κατεκράτησε, καὶ πρότερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ, ἐν ᾧ οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν*, quare verba *ἐν ᾧ* malim referre ad *ὡς ἀδελφὸς νεώτερος ὤν*, ut sit *καὶ οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν· εἰ γὰρ ἀδ. ν. ἦν, οὐ πρότερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ*. Hic demum est verus nexus causae et effectus. Et *οὐκ ἠπόρησεν* est idem quod *οὐκ ἐν ἀπορίᾳ ἐγένετο τοῦ πῶς δεῖ καταστήσασθαι τὴν ἀρχήν*.

56. *ἀπαρνηθέντα*] Schol. *ἀρνησάμενον ὁμιλῆσαι τῷ πειρῶντι*. Mox *κόρην*, nunquam *κόραν*, v. Matth. §. 68. 2. adn. Passov. üb. Zweck etc. gr. Wörterb. p. 7. Et *ἐπαγγείλαντες* Schol. explicat per *προστάξαντες, nam sororem eius virginem, quum ad gestandum in pompa canistrum venire iussissent, abegerunt dicentes se prorsus non ei denunciasse, quod digna non esset*, ubi *οὐδὲ τὴν ἀρχήν* est *prorsus non*, ut docet Herm. ad Vig. p. 723. Wolf. ad Demosth. Lept. p. 278. ed. pr. „Philochorus *ἐν δευτέρᾳ Ἀτθίδος φησὶν ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν οἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ θεῷ, ἐφ' οἷς ἐπέκειτο τὰ πρὸς θυσίαν, τοῖς τε Παναθηναίοις καὶ ταῖς ἄλλαις πομπαῖς*. Harpocr. in *κανηφόροι*. Et Photius in eadem v.: *αὗται δὲ αἱ κανηφόροι τῶν ἀστῶν καὶ τῶν εὐγενῶν ἦσαν*. Secundum Herodotum percussores Hipparchi origine Phoenicia erant, quorum maiores ex Boeotia Athenas migraverant, ubi inter cives quidem recepti, at tamen quibusdam exclusi sunt, quibus tantum cives plene Attici fruerentur. Atqui si *κανηφόροι*, ut ait Photius, legebantur *ἐξ εὐγενῶν*, soror Harmodii, quae non talis esset, ad illud munus, si vere rem spectes, non legi poterat: quae videtur opinio fuisse tyrannorum, quum negarent *ἀξίαν εἶναι*, peregrina enim stirpe prohibebatur, quominus sacra Minervae ferret.“ Arn. v. Herodot. 5, 57 sqq. At ex praesenti loco discimus, Harmodii sororem a tyranno non vera de causa, sed inferendae contumeliae ergo reiectam esse. Ceterum de tempore Panathenaeorum v. adn. ad 5, 47. Pompa Panathenaeorum Academia sive Ceramico exteriore profecta lata rectaque via per Dipylon sive portam Thriasiam in urbem deducebatur. Non est credibile, viam, qua a Dipylo ad Ceramicum interiorem ibatur, admodum longam fuisse, quia, ut alia taceam, extrema pompa Panathenaica usque in Ceramico exteriori adstante, et proinde sex ad octo stadia a Dipylo remota, prima pompa iam circum Leocorium i. e. in medio Ceramico interiori sive *ἀγορᾷ* versabatur. Iam apud hoc ipsum Leocorium Hipparchus pompam ordinabat, quum ab Harmodio et Aristogitone percussus est. Unde quo pompa processerit, multis exsequitur Od. Muell. s. v. Attica p. 235. Phot. et Suid. *πέμπειν τὸ πομπεύειν — καὶ πέμψαντες τὸ πομπεύσαντες παρὰ Θουκυδίδῃ*. v. Meinek. in Fragmm. Menandr. p. 166. Polluc. Onom. 8, 94. Schleusn. Cur. Nov. ad Phot. p. 328. Denique *ἀσφαλείας ἕνεκα* Cass. cod. Bas. Gr. Vulgo *οὕνεκα*. Thom. M. p. 307. *Θουκυδίδης ἀεὶ ἕνεκα* (et *ἕνεκεν*). Vid. Popp. 1, 1. p. 212. Schaef. Appar. cr. Demosth. Vol. 2. p. 364.

λαντες ἦκειν κανοῦν οἶσουσαν ἐν πομπῇ τινι, ἀπήλασαν λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν διὰ τὸ μὴ ἀξίαν εἶναι. χαλεπῶς δὲ ἐνεγκόντος τοῦ Ἁρμοδίου πολλῷ δὴ μᾶλλον δι' ἐκεῖνον καὶ ὁ Ἀριστογείτων παρωξύνετο. καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς τοὺς ξυνεπιθησομένους τῷ ἔργῳ ἐπέπρακτο, περιέμενον δὲ Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο ἐν ὅπλοις τῶν πολιτῶν τοὺς τὴν πομπὴν πέμψαντας ἀθρόους γενέσθαι· καὶ ἔδει ἄρξαι μὲν αὐτούς, ξυνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς τοὺς δορυφόρους ἐκείνους. ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκότες, ἀσφαλείας ἕνεκα· ἤλπιζον γὰρ καὶ τοὺς μὴ προειδότας, εἰ καὶ ὁποσοιοῦν τολμήσειαν, ἐκ τοῦ παραχρῆμα, ἔχοντάς γε ὅπλα, ἐθελήσειν σφᾶς αὐτοὺς ξυνελευθεροῦν.

67 καὶ ὡς ἐπῆλθεν ἡ ἑορτή, Ἱππίας μὲν ἔξω ἐν τῷ Κεραμεικῷ καλουμένῳ μετὰ τῶν δορυφόρων διεκόσμει, ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι· ὁ δὲ Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων, ἔχοντες ἤδη τὰ ἐγχειρίδια, ἐς τὸ ἔργον προῆεσαν. καὶ ὡς εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ, ἧν δὲ πᾶσιν εὐπρόοδος ὁ Ἱππίας, ἔδεισαν καὶ ἐνόμισαν μεμηνῦσθαί τε καὶ ὅσον οὐκ ἤδη ξυλληφθήσεσθαι. τὸν λυπήσαντα οὖν σφᾶς καὶ δι' ὅνπερ πάντα ἐκινδύνευον ἐβούλοντο πρότερον εἰ δύναιντο προτιμωρήσεσθαι, καὶ ὥσπερ εἶχον ὥρμησαν εἴσω τῶν πυλῶν, καὶ περιέτυχον τῷ Ἱππάρχῳ παρὰ τὸ Λεωκόριον καλούμενον καὶ εὐθὺς ἀπερισκέπτως προσπεσόντες καὶ ὡς ἂν μάλιστα δι' ὀργῆς, ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμένος, ἔτυπτον, καὶ ἀποκτείνουσιν αὐτόν. καὶ ὁ μὲν τοὺς δορυφόρους τὸ αὐτίκα διαφεύγει ὁ Ἀριστογείτων, ξυνδραμόντος τοῦ ὄχλου, καὶ ὕστερον ληφθεὶς οὐ ῥᾳδίως διετέθη· Ἁρμόδιος

58 δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται. ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς τὸν Κεραμεικόν, οὐκ ἐπὶ τὸ γενόμενον ἀλλ' ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτας, πρότερον ἢ αἰσθέσθαι αὐτοὺς ἄποθεν ὄντας, εὐθὺς

57. *τὸν λυπήσαντα*] Schol. *τὸν Ἵππαρχον.* Et *δι' ὅνπερ* i. e. *propter quem* (v. Matth. p. 1151. b.) est in libris longe plurimis et optimis. Vulgo *δι' οὗπερ* i. e. *per quem.* Mox *περὶ τὸ Λεωκόριον* H. ut 1, 20. *κατὰ τὸ Λ.* Mosqu. „Alterutrum malis, quum in vulgata exspectes *τῷ Λεωκορίῳ.*“ Popp. De Leocorio v. Aelian. V. H. 12, 28. et adn. ad 1, 20. Et *καί* in verbis *καὶ εὐθύς* ex Reg. (G.) „recte inseruit Bekk. Vulgo enim eo omisso post *καλούμενον* comma, post *προσπεσόντες* punctum ponitur. Sed ita coniuratos Hipparcho, postquam adorti essent, obviam factos esse inepte dici iam in Ephemm. Lips. a. 1820. p. 461. declaravimus. Veriorem interpunctionem praebet etiam Aug.“ Popp. Post verba *καὶ ὡς ἂν μάλιστα δι' ὀργῆς* Matth. p. 858. supplet *περιπέσοιεν.* Minus recte Schaef. Appar. cr. Demosth. Vol. 2. p. 268. e vicinia repetit *τύπτοιεν*, sic enim particula *καί*, quae est ante *ὡς ἂν μάλιστα*, abesse deberet. Cum Schaefero Arn. ad 1, 33. facit, quippe uterque veterem huius loci interpunctionem secutus esse videtur, quam si sequaris, utique *τύπτοιεν* suppleri verum est. Denique *οὐ ῥᾳδίως* per *κακῶς* explicant Hesych. et Phavorin. Conf. Phot. et Thuc. 7, 73.

ἐχώρησε, καὶ ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς τὴν ξυμφορὰν ἐκέλευσεν αὐτοὺς δείξας τι χωρίον ἀπελθεῖν ἐς αὐτὸ ἄνευ τῶν ὅπλων. καὶ οἱ μὲν ἀνεχώρησαν, οἰόμενοί τι ἐρεῖν αὐτόν· ὁ δὲ τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν ἐξελέγετο εὐθὺς οὓς ἐπητιᾶτο καὶ εἴ τις εὑρέθη ἐγχειρίδιον ἔχων· μετὰ γὰρ ἀσπίδος καὶ δόρατος εἰώθεσαν τὰς πομπὰς ποιεῖν.

Τοιούτῳ μὲν τρόπῳ δι' ἐρωτικὴν λύπην ἥ τε ἀρχὴ τῆς59 ἐπιβουλῆς καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ παραχρῆμα περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένετο. τοῖς δ' Ἀθηναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραννὶς κατέστη, καὶ ὁ Ἱππίας διὰ φόβου ἤδη μᾶλλον ὢν τῶν τε πολιτῶν πολλοὺς ἔκτεινε καὶ πρὸς τὰ ἔξω ἅμα διεσκοπεῖτο, εἴ ποθεν ἀσφάλειάν τινα ὁρῴη μεταβολῆς γενομένης ὑπάρχουσάν οἱ. Ἱππόκλου γοῦν τοῦ Λαμπακηνοῦ τυράννου Αἰαντίδῃ τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην Ἀθηναῖος ὢν Λαμπακηνῷ ἔδωκεν, αἰσθανόμενος αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν ἐπίγραμμα ἔχον τόδε·

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
παίδων τ' οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

Τυραννεύσας δὲ ἔτη τρία Ἱππίας ἔτι Ἀθηναίων, καὶ πανθεὶς

58. *ἀδήλως τῇ ὄψει πλασάμενος*] i. e. *vultuque ad calamitatem dissimulandam composito.* Schol. *ὑποκρινάμενος φαιδρὸς εἶναι τῷ προσώπῳ, ἤγουν ἀσύγχυτον τὴν ἑαυτοῦ ὄψιν τηρήσας καὶ μὴ ὑπεμφαίνουσαν τεκμήριον τοῦ πάθους.* Structuram (*ἀδήλως*, i. e. *ὥστε ἄδηλος εἶναι, τῇ ὄψει, πλασάμενος αὐτὴν πρὸς τὴν ξυμφοράν* i. e. dem Vorfalle gemäss, sive wie es der Vorfall erforderte) Arn. mihi recte comparare videtur cum 3, 59. *φείσασθαι οἴκτῳ σώφρονι λαβόντας*, ubi v. adn. Tum alii libri non multi neque optimae notae pro *ὑπολαβεῖν* habent *ἀπολαβεῖν*, quod reiicit Dorv. ad Charit. p 269. Porro quandocunque dux milites alloquebatur, arma ordine structa relinquebant et sine armis audiebant. vid. adn. ad 2, 2. Hinc scriptor: *καὶ οἱ μὲν ἀνεχώρησαν, οἰόμενοί τι ἐρεῖν αὐτόν*, ubi Popp. legi vult *ἀπεχώρησαν.*

59. *ἐκ τοῦ παραχρῆμα περιδεοῦς*] Schol. *ἐκ τοῦ εὐθέως φόβου καὶ τοῦ φοβηθέντας αὐτοὺς, ὡς μεμηνυμένους, ἀλογίστῳ τόλμῃ ἐπὶ τὸν Ἵππαρχον χωρῆσαι.* De verbis *διὰ φόβου ὤν* v. Matth. p. 1149. e. Verbis *Ἀθηναῖος ὤν* scriptor fastum popularem significat. v. Valck. ad Herodot. 7, 161. De verbis *μέγα δύνασθαι* adi Matth. p. 1079. n. l. ab init. De epigrammate, quod sequitur, „v. Casaub. Epist. 467. Simonidi tribuit Aristot. A. Rh. 1, 9., ubi tertium versum addit.“ Duk. Auctor Hippiae post fratris necem tyrannidem tribus annis terminat, totidem Plato in Hipparcho p. 229. B. Herodot. 5, 55., postquam Hipparchum, ait, Aristogiton et Harmodius interfecerunt, *μετὰ ταῦτα ἐτυραννεύοντο Ἀθηναῖοι ἐπ' ἔτεα τέσσερα*, ubi Wess. adnotavit, Thucydidem et Platonem Herodoti quatuor annis nihil admodum officere, modo cum Dodwello tres integri et quartus inchoatus Hippiae tyranno post Hipparchi violentam mortem relinquantur. Hippias primo Sigeum abiit: „nam id temporis eius urbis dominus erat Hegesistratus, frater Hippiae nothus, a Pisistrato patre impositus. v. Meurs. Pisistr. c. 10.“ Huds. conf. Herodot. 5, 94. 95.

ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ Ἀλκμαιωνιδῶν τῶν φευγόντων, ἐκώρει ὑπόσπονδος ἔς τε Σίγειον καὶ παρ' Αἰαντίδην ἐς Λάμψακον, ἐκεῖθεν δὲ ὡς βασιλέα Δαρεῖον, ὅθεν καὶ ὁρμώμενος ἐς Μαραθῶνα ὕστερον ἔτει εἰκοστῷ ἤδη γέρων ὢν μετὰ Μήδων ἐστράτευσεν.

60 Ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν Ἀθηναίων καὶ μιμνησκόμενος ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο, χαλεπὸς ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας, καὶ πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπρᾶχθαι. καὶ ὡς αὐτῶν διὰ τὸ τοιοῦτον ὀργιζομένων πολλοί τε καὶ ἀξιόλογοι ἄνθρωποι ἤδη ἐν τῷ δεσμωτηρίῳ ἦσαν, καὶ οὐκ ἐν παύλῃ ἐφαίνετο, ἀλλὰ καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερόν τε καὶ πλείους ἔτι ξυλλαμβάνειν, ἐνταῦθα ἀναπείθεται εἷς τῶν δεδεμένων, ὅστις ἐδόκει αἰτιώτατος εἶναι, ὑπὸ τῶν ξυνδεσμωτῶν τινος εἴτε ἄρα καὶ τὰ ὄντα μηνῦσαι εἴτε καὶ οὔ· ἐπ' ἀμφότερα γὰρ εἰκάζεται, τὸ δὲ σαφὲς οὐδεὶς οὔτε τότε οὔτε ὕστερον ἔχει εἰπεῖν περὶ τῶν δρασάντων τὸ ἔργον. λέγων δὲ ἔπεισεν αὐτὸν ὡς χρή, εἰ μὴ καὶ δέδρακεν, αὐτόν τε ἄδειαν ποιησάμενον σῶσαι καὶ τὴν πόλιν τῆς παρούσης ὑποψίας παῦσαι· βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι ὁμολογήσαντι μετ' ἀδείας, ἢ ἀρνηθέντι διὰ δίκης ἐλθεῖν. καὶ ὁ μὲν αὐτός τε καθ' ἑαυτοῦ καὶ κατ' ἄλλων μηνύει τὸ τῶν Ἑρμῶν· ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἄσμενος λαβὼν ὡς ᾤετο τὸ σαφές, καὶ δεινὸν ποιούμενοι πρότερον, εἰ τοὺς ἐπιβουλεύοντας σφῶν τῷ πλήθει μὴ εἴσονται, τὸν μὲν μηνυτὴν εὐθὺς καὶ τοὺς ἄλλους μετ' αὐτοῦ ὅσων μὴ κατηγορήκει ἔλυσαν, τοὺς δὲ καταιτιαθέντας κρίσεις ποιήσαντες τοὺς μὲν ἀπέκτειναν, ὅσοι ξυνελήφθησαν, τῶν δὲ διαφυγόντων θά-

60. *οὐκ ἐν παύλῃ ἐφαίνετο*] Reisk. et Toup. Emendd. in Suid. Vol. 1. p. 257. emendant *οὐκ ἀνάπαυλα ἐφαίνετο*. Vocabulum *παῦλα* damnat Thom. M. p. 59., sed eum ex Platone, Aristotele, Dionysio et aliis refellunt Duk. et Valck. in Epistt. Batavorum ad I. A. Ern. p. 146. Nihilominus vulgata retinenda est. Usitatissime sic Thuc. loquitur, ut impersonalia ponat, ubi *τὰ πράγματα* mente concipias, velut hic hoc dicit und da es nicht nachzulassen schien mit Verhaftungen. Simillimum est 3, 33. *ἐν καταλήψει ἐφαίνετο*. Porro ille *εἷς τῶν δεδεμένων* erat Andocides orator, cui Timaeus quidam consilii auctor fuit. v. Andocid. or. de Myster., Plut. V. Alc. 20, 21. Wachsm. Antt. Gr. 1, 2. p. 194 sqq. Mox *οὐδεὶς οὔτε τότε* Ar. Chr. Vulgo *οὐθείς*. At v. Lobeck. ad Phryn. p. 181 sq. Buttm. Gr. max. §. 70. adn. 7. Deinde *εἰ καὶ μὴ δέδρακεν* est in D. pro vulgata *εἰ μὴ καὶ δέδρακεν*. Sensus utique postulat: *etiamsi non fecerit*, sive wenn er es auch nicht gethan habe. Vulgata scriptura non aliter intelligi potest nisi sic: *nisi etiam fecerit* sive wenn er es nicht auch gethan habe. Propter verba *εἰ τοὺς ἐπιβουλεύοντας* etc. adi Matth. p. 1251. Verbum *ἐπανεῖπον* Suid. Zonar. Phavorin. explicant per *ἐκήρυξαν*, adduntque pro testimonio haec Thucydidis verba *τῶν δὲ διαφυγόντων — τῷ ἀποκτείναντι*. Talentum publice decretum est proscriptorum aliquem trucidanti. v. Wess. ad Diod. 13, 2.

νατον καταγνόντες ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι. κἀν τούτῳ οἱ μὲν παθόντες ἄδηλον ἦν εἰ ἀδίκως ἐτετιμώρηντο, ἡ μέντοι ἄλλη πόλις ἐν τῷ παρόντι περιφανῶς ὠφέλητο. περὶ 61
δὲ τοῦ Ἀλκιβιάδου, ἐναγόντων τῶν ἐχθρῶν, οἵπερ καὶ πρὶν ἐκπλεῖν αὐτὸν ἐπέθεντο, χαλεπῶς οἱ Ἀθηναῖοι ἐλάμβανον· καὶ ἐπειδὴ τὸ τῶν Ἑρμῶν ᾤοντο σαφὲς ἔχειν, πολὺ δὴ μᾶλλον καὶ τὰ μυστικὰ ὧν ἐπαίτιος ἦν μετὰ τοῦ αὐτοῦ λόγου καὶ τῆς ξυνωμοσίας ἐπὶ τῷ δήμῳ ἀπ' ἐκείνου ἐδόκει πραχθῆναι. καὶ γάρ τις καὶ στρατιὰ Λακεδαιμονίων οὐ πολλὴ ἔτυχε κατὰ τὸν καιρὸν τοῦτον ἐν ᾗ περὶ ταῦτα ἐθορυβοῦντο μέχρι ἰσθμοῦ παρελθοῦσα πρὸς Βοιωτούς τι πράσσοντες. ἐδόκει οὖν ἐκείνου πράξαντος καὶ οὐ Βοιωτῶν ἕνεκα ἀπὸ ξυνθήματος ἥκειν, καὶ εἰ μὴ ἔφθασαν δὴ αὐτοὶ κατὰ τὸ μήνυμα ξυλλαβόντες τοὺς ἄνδρας, προδοθῆναι ἂν ἡ πόλις. καί τινα μίαν νύκτα καὶ κατέδαρθον ἐν Θησείῳ τῷ ἐν πόλει ἐν ὅπλοις. οἵ τε ξένοι τοῦ Ἀλκιβιάδου οἱ ἐν Ἄργει κατὰ τὸν αὐτὸν χρόνον ὑπωπτεύθησαν τῷ δήμῳ ἐπιτίθεσθαι· καὶ τοὺς ὁμήρους τῶν Ἀργείων τοὺς ἐν ταῖς νήσοις κειμένους οἱ Ἀθηναῖοι τότε παρέδοσαν τῷ Ἀργείων δήμῳ διὰ ταῦτα διαχρήσασθαι. πανταχόθεν τε περιεστήκει ὑποψία ἐς τὸν Ἀλκιβιάδην. ὥστε βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγαγόντες ἀποκτεῖναι, πέμπουσιν οὕτω τὴν Σαλαμινίαν ναῦν ἐς τὴν Σικελίαν ἐπί τε ἐκεῖνον καὶ ὧν περὶ ἄλλων ἐμεμήνυτο. εἴρητο δὲ προειπεῖν αὐτῷ ἀπολογησομένῳ ἀκολουθεῖν, ξυλλαμβάνειν δὲ μή, θεραπεύοντες τό τε πρὸς τοὺς ἐν τῇ Σικελίᾳ

61. *ἐπὶ τῷ δήμῳ*] i. e. *contra populare imperium*. Quare Hesych. haec verba Thucydidis exponit *ἐπὶ τῇ τοῦ δήμου καταλύσει*. v. Meier. et Schoem. d. Att. Proz. p. 341. De Theseo v. Additamenta ad Leak. Athen. p. 405. vers. Germ. Od. Muell. Archaeol. p. 89. „Hoc est templum Thesei adhuc superstes et conversum in templum Christianorum. Quia situm erat inter septentriones et occasum ab urbe prope portas Corinthum et Eleusinem ducentes, eo tempore opportunissimus locus esse videbatur, in quo Athenienses excubias agerent. Videlicet cives non in ipso templo dormitum ibant, sed in sacro circuitu sive *τεμένει*, et verba *ἐν ὅπλοις* significant, hastas et scuta congesta fuisse, ut in castris, loco propatulo intra *τέμενος*, dum milites in aliquo sacrorum aedificiorum vel humi prope arma sua recubuerunt.“ Arn.

οἱ ξένοι τοῦ Ἀλκιβιάδου] Diod. 13, 5. *συνελάβετο δὲ αὐτῶν* (inimicorum Alcibiadis) *ταῖς διαβολαῖς τὸ πραχθὲν παρὰ τοῖς Ἀργείοις. οἱ γὰρ ἰδιόξενοι* (Alcibiadis) *ξυνθέμενοι καταλῦσαι τὴν ἐν Ἄργει δημοκρατίαν πάντες ὑπὸ τῶν πολιτῶν ἀνῃρέθησαν.* v. Od. Muell. Dor. 2. p. 144. De obsidibus Argivorum v. Thuc. 5, 84. Schol. *διὰ τὰ κατηγορημένα τοῦ Ἀλκιβιάδου καὶ διὰ τοὺς ξένους αὐτοῦ τοὺς ἐν Ἄργει, ὑποπτευθέντας ἐπιτίθεσθαι τοῖς Ἀργείοις, οἱ Ἀθηναῖοι παρέδωκαν τῷ δήμῳ τῶν Ἀργείων τοὺς ὁμήρους τοὺς ἐν ταῖς νήσοις ἀποκειμένους, ὡς οἰκείους ὄντας τῶν τοῦ Ἀλκιβιάδου ξένων.* Mox *πέμπουσι — ἐπ' ἐκεῖνον* est *mittunt ad eum arcessendum*. v. Valck. ad Herodot. 7, 15.

θεραπεύοντες τό τε] Schol. *τὸ τό τε οὐκ ἔσει χρονικὸν, ἀλλ' ἀνέστραπται οὕτω, θεραπεύοντές τε τὸ πρὸς τοὺς ἐν τῇ Σικελίᾳ στρατιώτας τε σφετέρους καὶ πολεμίους μὴ θορυβεῖν, ὥστε μηδένα θόρυβον*

στρατιώτας τε σφετέρους καὶ πολεμίους μὴ θορυβεῖν, καὶ οὐχ ἥκιστα τοὺς Μαντινέας καὶ Ἀργείους βουλόμενοι παραμεῖναι, δι' ἐκείνου νομίζοντες πεισθῆναι σφᾶς ξυστρατεύειν. καὶ ὁ μὲν ἔχων τὴν ἑαυτοῦ ναῦν καὶ οἱ ξυνδιαβεβλημένοι ἀπέπλεον μετὰ τῆς Σαλαμινίας ἐκ τῆς Σικελίας ὡς ἐς τὰς Ἀθήνας· καὶ ἐπειδὴ ἐγένοντο ἐν Θουρίοις, οὐκέτι ξυνείποντο, ἀλλ' ἀπελθόντες ἀπὸ τῆς νεὼς οὐ φανεροὶ ἦσαν, δείσαντες τὸ ἐπὶ διαβολῇ ἐς δίκην καταπλεῦσαι. οἱ δ' ἐκ τῆς Σαλαμινίας τέως μὲν ἐζήτουν τὸν Ἀλκιβιάδην καὶ τοὺς μετ' αὐτοῦ· ὡς δ' οὐδαμοῦ φανεροὶ ἦσαν, ὥχοντο ἀποπλέοντες. ὁ δὲ Ἀλκιβιάδης ἤδη φυγὰς ὢν οὐ πολὺ ὕστερον ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόννησον ἐκ τῆς Θουρίας· οἱ δ' Ἀθηναῖοι ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν αὐτοῦ τε καὶ τῶν μετ' ἐκείνου.

συλληφθέντος τοῦ Ἀλκιβιάδου μήτε ἀπὸ τῶν Ἀττικῶν στρατιωτῶν ἀγανακτούντων γενέσθαι, μήτε ἀπὸ τῶν πολεμίων καταφρονησάντων. Nominativum θεραπεύοντες posuit, quasi non εἴρητο, sed εἰρήκεσαν praecessisset. v. Lobeck. ad Phryn. p. 755. adn. Mox πεισθῆναι σφᾶς om. D. I. Mihi interpretamentum videntur, quod usus Thucydidis postulabat, ut πεισθῆναι αὐτούς scriberetur. Et commode abesse possunt ea verba, nam τοὺς Μαντινέας καὶ Ἀργείους βουλόμενοι παραμεῖναι, δι' ἐκείνου νομίζοντες ξυστρατεύειν non minus recte dicitur, quam 6, 29. ὅτι δι' ἐκεῖνον ξυνεστράτευον οἵ τ' Ἀργεῖοι καὶ τῶν Μαντινέων τινές i. e. *quoniam ab eo persuasum erat Argivis et nonnullis Mantinensium, ut auxiliarentur.* Certe σφᾶς suspectum est, pro quo Bekk. Lindav. Dobr. Arn. certatim σφίσι emendant. Haackii Blumiique Script. Schol. p. 20. ratio nimis quaesita est, quam ut probari possit.

ἔχων τὴν ἑαυτοῦ ναῦν] i. e. *vectus priva triremi*, quam ipse armaverat, cuique ipse praeerat; quamquam probabile est, navem etiam ipsam eius sumtibus paratam esse: [alioquin enim nihil a quolibet triearcho differebat]. Ita avus eiusdem a Plutarcho Alc. 1. dicitur ἰδιοτριήρει περὶ Ἀρτεμίσιον ἐνδόξως ναυμαχῆσαι. Neque secus Herodotus 5, 47, 5. συνέσπετο οἰκηίῃ τε τριήρει καὶ οἰκηίῃ ἀνδρῶν δαπάνῃ et 8, 17, 6. ὃς δαπάνην οἰκηίην παρεχόμενος ἐστρατεύετο καὶ οἰκηίῃ νηί. Pausan 10, 9, 1. ἐναυμάχησε — ἐναντία τοῦ Μήδου ναῦν παρασκευασάμενος οἰκείαν.“ Bloomf. Non avus Alcibiadis, sed Clinias, pater priva triremi apud Artemisium pugnabat, nec Herodot. priori loco, aut Pausanias loquuntur de Clinia, sed ille de Philippo, hic de Phayllo Crotoniatis. Mox ἐπὶ διαβολῇ est während ein Vorurtheil gegen sie obwaltete. v. Matth. §. 586. Arn. comparat locutionem ζῆν ἐπὶ παισίν, de qua v. Herm. ad Vig. p. 860, 397.

ἐκ τῆς Θουρίας] i. e. Thuriis urbe. Nam Steph. Byz. et Schol. Arist. Nub. 331. urbem dicunt appellatam fuisse et Θουρίαν et Θούριον et Θουρίους, addit Arn. Eckhelium describere nummum cum inscriptione ΘΟΥΡΙΑ, et τὴν Θουρίαν c. 104. non posse non significare urbem. Dissentiunt Bred. et Popp., urbem dicentes Θουρίους appellatam esse, agrum Thuriorum esse Θουρίαν, qui tamen 7, 35. in libris scriptis audiat ἡ Θουριὰς γῆ (vulgo Θουριᾶτις γῆ). Polyaenus 1, 40, 6. Alcibiadem narrat navi mercatoria in Laconicam traiecisse. Denique ἐρήμῃ δίκῃ est *deserto vadimonio* (vulgo *in contumaciam*) v. Matth. de Iudiciis Athen. p. 266. Formulam accusationis (per εἰσαγγελίαν v. Schoem. de Comit. Ath. p. 190.) Plut. V. Alc. c. 22. servavit.

Μετὰ δὲ ταῦτα οἱ λοιποὶ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τῇ Σικελίᾳ, δύο μέρη ποιήσαντες τοῦ στρατεύματος καὶ λαχὼν ἑκάτερος, ἔπλεον ξὺν παντὶ ἐπὶ Σελινοῦντος καὶ Ἐγέστης, βουλόμενοι μὲν εἰδέναι τὰ χρήματα εἰ δώσουσιν οἱ Ἐγεσταῖοι, κατασκέψασθαι δὲ καὶ τῶν Σελινουντίων τὰ πράγματα καὶ τὰ διάφορα μαθεῖν τὰ πρὸς Ἐγεσταίους. παραπλέοντες δ' ἐν ἀριστερᾷ τὴν Σικελίαν τὸ μέρος τὸ πρὸς τὸν Τυρσηνικὸν κόλπον ἔσχον ἐς Ἱμέραν, ἥπερ μόνη ἐν τούτῳ τῷ μέρει τῆς Σικελίας Ἑλλὰς πόλις ἐστί· καὶ ὡς οὐκ ἐδέχοντο αὐτούς, παρεκομίζοντο. καὶ ἐν τῷ παράπλῳ αἱροῦσιν Ὕκκαρα, πόλισμα Σικανικὸν μέν, Ἐγεσταίοις δὲ πολέμιον· ἦν δὲ παραθαλασσίδιον. καὶ ἀνδραποδίσαντες τὴν πόλιν παρέδοσαν Ἐγεσταίοις, παρεγένοντο γὰρ αὐτῶν ἱππῆς, αὐτοὶ δὲ πάλιν τῷ μὲν πεζῷ ἐχώρουν διὰ τῶν Σικελῶν, ἕως ἀφίκοντο ἐς Κατάνην, αἱ δὲ νῆες περιέπλευσαν, τὰ ἀνδράποδα ἄγουσαι, Νικίας δὲ εὐθὺς ἐξ Ὑκκάρων ἐπὶ Ἐγέστης παραπλεύσας, καὶ τἆλλα χρηματίσας καὶ λαβὼν τάλαντα τριάκοντα παρῆν ἐς τὸ στράτευμα· καὶ τἀνδράποδα ἀπέδοσαν, καὶ ἐγένοντο ἐξ αὐτῶν εἴκοσι καὶ ἑκατὸν τάλαντα. καὶ ἐς τοὺς τῶν Σικελῶν ξυμμάχους περιέπλευσαν, στρατιὰν κελεύοντες πέμπειν· τῇ τε ἡμισείᾳ τῆς ἑαυτῶν ἦλθον ἐπὶ Ὕβλαν τὴν Γελεᾶτιν, πολεμίαν οὖσαν, καὶ οὐχ εἷλον. καὶ τὸ θέρος ἐτελεύτα. 62

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς τὴν ἔφοδον οἱ Ἀθηναῖοι ἐπὶ Συρακούσας παρεσκευάζοντο, οἱ δὲ Συρακόσιοι καὶ αὐτοὶ ὡς ἐπ' ἐκείνους ἰόντες. ἐπειδὴ γὰρ αὐτοῖς πρὸς τὸν πρῶτον φόβον καὶ τὴν προσδοκίαν οἱ Ἀθηναῖοι οὐκ εὐθὺς ἐπέκειντο, κατά τε τὴν ἡμέραν ἑκάστην προιοῦσαν ἀνεθάρσουν 63

62. Ὕκκαρα] Fazellus refert huius oppidi ruinas etiamnunc extare prope vicum, vulgari lingua Garbolangi appellatum; at ipsum situm Hyccarae antiquae nunc Muro di Carini i. e. d'Iccarini dici. Scriptor adiecit πόλισμα Σικανικὸν μέν etc., quia, quum oppidum Sicanicae originis esset, exspectaretur opus erat, Hyccarenses amicos fore Segestanorum, ut qui ab eadem origine profecti essent. Bloomf. Hinc scriptor addit, Athenienses terrestri itinere per terram Siculorum Catanam reversos esse: hoc iter Bloomf. aestimat centum triginta ad quadraginta mill., dierum octodecim per regionem tumulosam fuisse. Sequitur παρῆν ἐς τὸ στράτευμα, quippe πάρειμι frequens in motu significando, v. Valck. ad Herodot. 1, 21. Pro ἀπέδοσαν Bekk. coniecit ἀπέδοντο, *vendiderunt.* Doederl. Lat. Synon. Vol. 4. p. 115. ἀποδοῦναι pro πωλεῖν dici posse existimat non minus, quam λαβεῖν pro πρίασθαι. De neutro plurali τάλαντα iuncto cum verbo plurali v. Matth. p. 599. Porro non iniuria Popp. legi vult ἐς τῶν Σικελῶν τοὺς ξυμμάχους pro ἐς τοὺς τῶν Σικελῶν ξυμμάχους. Et Hyblam Geleatidem ne confunde cum Megara Hyblaea, v. adn. ad 6, 4.

63. τὴν ἡμέραν ἑκάστην] v. Matth. p. 548. Mox τὰ ἐπέκεινα est in der Gegend jenseits, nec pendet haec formula a πλέοντες. Sic dicitur τὸ πρὸς νότον 3, 6. in der Gegend südlich von etc. et multa alia, ut mireris, Reiskium et alios in hoc offendisse. Paulo post cum Bekkero scripsi σφίσιν αὐτοὶ μᾶλλον ἥκοιεν pro vulgata αὐτοῖς. Ratio in

μᾶλλον, καὶ ἐπειδὴ πλέοντες τά τε ἐπέκεινα τῆς Σικελίας πολὺ ἀπὸ σφῶν ἐφαίνοντο, καὶ πρὸς τὴν Ὕβλαν ἐλθόντες καὶ πειράσαντες οὐχ εἷλον βίᾳ, ἔτι πλέον κατεφρόνησαν, καὶ ἠξίουν τοὺς στρατηγούς, οἷον δὴ ὄχλος φιλεῖ θαρσήσας ποιεῖν, ἄγειν σφᾶς ἐπὶ Κατάνην, ἐπειδὴ οὐκ ἐκεῖνοι ἐφ' ἑαυτοὺς ἔρχονται. ἱππῆς τε προσελαύνοντες ἀεὶ κατάσκοποι τῶν Συρακοσίων πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων ἐφύβριζον ἄλλα τε καὶ εἰ ξυνοικήσοντες σφίσιν αὐτοὶ μᾶλλον ἥκοιεν ἐν τῇ ἀλλοτρίᾳ ἢ Λεοντίνους ἐς τὴν οἰκείαν κατοικιοῦντες. ἃ γιγνώσκοντες οἱ στρατηγοὶ τῶν Ἀθηναίων καὶ βουλόμενοι αὐτοὺς ἄγειν πανδημεὶ ἐκ τῆς πόλεως ὅτι πλεῖστον, αὐτοὶ δὲ ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα παραπλεύσαντες στρατόπεδον καταλαβεῖν ἐν ἐπιτηδείῳ καθ' ἡσυχίαν, εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες [καὶ] εἰ ἐκ τῶν νεῶν πρὸς παρεσκευασμένους ἐκβιβάζοιεν ἢ κατὰ γῆν ἰόντες γνωσθείησαν· τοὺς γὰρ ἂν ψιλοὺς τοὺς σφῶν καὶ τὸν ὄχλον τῶν Συρακοσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων, βλάπτειν ἂν μεγάλα· οὕτω δὲ λήψεσθαι χωρίον ὅθεν ὑπὸ τῶν ἱππέων οὐ βλάψονται ἄξια λόγου· ἐδίδασκον δ' αὐτοὺς περὶ τοῦ πρὸς τῷ Ὀλυμπιείῳ χωρίου, ὅπερ καὶ κατέλαβον, Συρακοσίων φυγάδες, οἳ ξυνείποντο· τοιόνδε τι οὖν πρὸς ἃ ἐβούλοντο οἱ στρατηγοὶ μηχανῶνται. πέμπουσιν ἄνδρα σφίσι μὲν πιστόν, τοῖς δὲ τῶν Συρακοσίων στρατηγοῖς τῇ δοκήσει οὐχ ἧσσον ἐπιτήδειον· ἦν δὲ Καταναῖος ὁ ἀνήρ, καὶ ἀπ' ἀνδρῶν ἐκ τῆς Κατάνης ἥκειν ἔφη, ὧν ἐκεῖνοι τὰ ὀνόματα ἐγίγνωσκον, καὶ ἠπίσταντο ἐν τῇ πόλει ἔτι ὑπολοίπους ὄντας τῶν σφίσιν εὐνόων. ἔλεγε δὲ τοὺς Ἀθηναίους αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει, καὶ εἰ βούλονται ἐκεῖνοι πανδημεὶ ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπὶ τὸ στρά-

aperto est. Paulo abit Plut. V. Nic. 16. *οἱ δ' ἱππεῖς ὕβρει προσελαύνοντες ἤδη πρὸς τὸ στρατόπεδον ἠρώτων, εἰ Καταναίοις συνοικήσοντες ἢ Λεοντίνους κατοικιοῦντες ἥκουσιν.*

64. *οὐκ ἂν ὁμοίως — καὶ εἰ*] καὶ οἱ Vat. H. *καί* sine *εἰ* Mosqu. Vulgatae non potest alius sensus esse, nisi hic: *quum scirent, se nocte navigantes non aeque bene castra munire posse, ac si ex navibus contra paratos hostes escensionem facerent, vel terrestri itinere progredientes viderentur.* Haec autem partim sensu cassa sunt, partim docerent, duces non nocte navigare debuisse, id quod contra mentem scriptoris est. Itaque *καί* aut cum Reiskio abiiciendum, aut in *εἰ* et ipsum *εἰ* in *ἤ* mutandum. Valla *si aut.* Schol. *εἰδότες ὅτι οὐχ ὁμοίως οἱ Ἀθηναῖοι δυνήσονται στρατόπεδον καταλαβεῖν, οὔτ' εἰ κατὰ θάλασσαν φανερῶς καὶ προηγσθημένων τῶν Συρακουσίων ἐπιπλέοιεν (χαλεπὴν γὰρ ἔσεσθαι τὴν ἀπόβασιν, ἀντιταχθησομένων τῶν ἐναντίων, καὶ οὐκ ἀπαρασκεύων ὄντων), οὔτ' εἰ κατὰ γῆν ἐπίοιεν ἐκ τοῦ φανεροῦ· (καὶ γὰρ καὶ οὕτως ἐδόκουν βλαβήσεσθαι). διὰ ταῦτα δὴ ἀπάτῃ ἐβούλοντο χρήσασθαι καὶ παρασχεῖν δόκησιν τοῖς Συρακουσίοις ὡς κατὰ γῆν ἰόντες, ὅπως ἐπεξελθόντες ἐκεῖνοι πανδημεὶ παρατάξωνται.* Ad *ἐκβιβάζοιεν* supple *τὴν στρατιάν.* Verbis *τοιόνδε τι οὖν* apodosis incipit. v. Matth. p. 1274. init. p. 1298. et adn. ad 1, 35. De forma non contracta *εὐνόων* v. Lobeck. ad Phryn. p. 141 sq.

τευμα ἐλθεῖν, αὐτοὶ μὲν ἀποκλήσειν τοὺς παρὰ σφίσι καὶ τὰς ναῦς ἐμπρήσειν, ἐκείνους δὲ ῥᾳδίως τὸ στράτευμα προσβαλόντας τῷ σταυρώματι αἱρήσειν· εἶναι δὲ ταῦτα τοὺς ξυνδράσοντας πολλοὺς Καταναίων, καὶ ἡτοιμάσθαι ἤδη ἀφ' ὧν αὐτὸς ἥκειν. οἱ δὲ στρατηγοὶ τῶν Συρακοσίων, μετὰ τοῦ καὶ ἐς τὰ ἄλλα 65
θαρσεῖν καὶ εἶναι ἐν διανοίᾳ καὶ ἄνευ τούτων ἱέναι παρεσκευάσθαι ἐπὶ Κατάνην, ἐπίστευσάν τε τῷ ἀνθρώπῳ πολλῷ

τοὺς παρὰ σφίσι] Polyaen. 1, 40, 5. *δύνασθαι τοὺς ἐν τῇ πόλει γυμνοὺς ἀποκλεισθέντας ἁλῶναι ῥᾳδίως.* Diod. 13, 6. *συχνοὺς τῶν Ἀθηναίων αὐλιζομένους ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει νυκτὸς ἄφνω συλλαβόντες τὰς ἐν τῷ λιμένι ναῦς ἐμπρῆσαι.* Iam quum pro *τούς* Cass. Aug. Pal. It. Vat. H. Reg. (G., in quo tamen *αυ* eras.) F. E. Mosqu. K. m. Ar. Chr. Dan. habeant *αὐτούς*, Popp. suspicatur, in *αὐτούς* latere *ἄφνω* (*αὐτίκα*) *τούς*, addens tamen, *αὐτούς* et *τούς* etiam alibi confundi. Tum pro *τῷ σταυρώματι* F. Lugd. Laur. Gr. I. E. Ar. Chr. Dan. Ald. Flor. Bas. marg. Steph. et Cass. in marg. *τῷ στρατεύματι*, quam scripturam etiam Schol. memorat, in. *στρώματι*, accentu simulque spiritu rec. man. addito; in marg. exaratum *στρώ.*, totum autem vocabulum in rasura est. Vall. interpretatur: *Syracusanos autem facile Athenienses adortos exercitum deleturos.* Quibus perpensis suspiceris, scriptoris manum hanc fuisse: *ἐκείνους δὲ ῥᾳδίως προσβαλόντας τῷ στρατεύματι αἱρήσειν.* Ubi quum esset, qui supplendi causa *τὸ στράτευμα* adscripsisset, alios posthac offendit repetitum illud *τὸ στράτευμα — τῷ στρατεύματι.* Ita *σταυρώματι* invectum est, vel errore librarii *στράτευμα* et *σταύρωμα* confusa sunt, ut saepius factum est, velut 6, 100. 101. Notum autem, ubi verbum finitum una cum participio una eademque sententia habet, regimen obtinere participii, non verbi finiti. Vid. Krueg. ad Dionys. p. 119. Negat Popp. *τὸ στράτευμα* hic recte memorari, quum ad exercitum etiam illi Athenienses pertineant, qui in urbe Catana erant; urbi potius castra ex adverso poni debere, quare pro *στράτευμα* apud Plutarchum et Polyaenum in huius rei narratione *στρατόπεδον* esse, et paulo ante recte in Mosqu. legi videri: *ἐπὶ τὸ στρατόπεδον ἐλθεῖν*, et hic seclusit verba *τὸ στράτευμα* ut falsa ac languida, legens *ῥᾳδίως προσβαλόντες τῷ σταυρώματι αἱρήσειν.* Mecum sentit Arn., qui monet, etiam c. 63. vocem *στράτευμα* significare Athenienses, qui in castris erant, et distinguere ab iis, qui forte Catanae erant. Idem narrat, communicatam secum esse coniecturam, qua legeretur *τῷ στρατεύματι* pro *τὸ στράτευμα*, *ut Syracusani cum exercitu suo vallum adorti caperent.* Quod ordine verborum suaderi dicit et loco simili 4, 11. *τῷ στρατῷ προσέβαλλον τῷ τειχίσματι.* Extrema capitis ita intellige: *καὶ ἑτοίμους εἶναι ἤδη τοὺς ἄνδρας, παρ' ὧν αὐτὸς ἥκει.*

65. *ἔσεσθαι παρεσκευάσθαι*] Iam Dukero hic locus suspicionem moverat. Non possunt haec verba significare *cum apparatu proficisci.* Et ne Haackii quidem explicatio vera est: *praeterquam quod animo reputarent, etiam sine his se satis paratos esse adversus Catanam progredi.* Nam *ἐν διανοίᾳ εἶναι* significat non *animo reputare*, sed meminisse, cogitare (gedenken, vorhaben). Est igitur interpretandum: und ausserdem dass sie auch ohnedies gedachten, *gerüstet zu seyn nach Katana zu gehen.* Verum tum exspectes sich zu rüsten, *parare expeditionem*, non gerüstet zu seyn, *paratos esse.* Atque *παρασκευάσασθαι* habent Cl. [Ven.] F. E. Verum vel sic hoc verbum languet, quare Duk. dicit: hoc ita sine apparatu fieri non potuisse, facile quilibet intelligit. Cens. nescio qui. Quidni vero recte dictum sit: und ausserdem dass

ἀπερισκεπτότερον, καὶ εὐθὺς ἡμέραν ξυνθέμενοι ἦ παρέσονται ἀπέστειλαν αὐτόν, καὶ αὐτοί, ἤδη γὰρ καὶ τῶν ξυμμάχων Σελινούντιοι καὶ ἄλλοι τινὲς παρῆσαν, προεῖπον πανδημεὶ πᾶσιν ἐξιέναι Συρακοσίοις. ἐπεὶ δὲ ἑτοῖμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν καὶ αἱ ἡμέραι ἐν αἷς ξυνέθεντο ἥξειν ἐγγὺς ἦσαν, πορευόμενοι ἐπὶ Κατάνης ηὐλίσαντο ἐπὶ τῷ Συμαίθῳ ποταμῷ ἐν τῇ Λεοντίνῃ. οἱ δ' Ἀθηναῖοι ὡς ἤσθοντο αὐτοὺς προσιόντας, ἀναλαβόντες τό τε στράτευμα ἅπαν τὸ ἑαυτῶν καὶ ὅσοι Σικελῶν αὐτοῖς ἦ ἄλλος τις προσεληλύθει καὶ ἐπιβιβάσαντες ἐπὶ τὰς ναῦς καὶ τὰ πλοῖα ὑπὸ νύκτα ἔπλεον ἐπὶ τὰς Συρακούσας. καὶ οἵ τε Ἀθηναῖοι ἅμα ἕῳ ἐξέβαινον ἐς τὸ κατὰ τὸ Ὀλυμπιεῖον ὡς τὸ στρατόπεδον καταληψόμενοι, καὶ οἱ ἱππῆς οἱ Συρακοσίων πρῶτοι προσελάσαντες ἐς τὴν Κατάνην, καὶ αἰσθόμενοι ὅτι τὸ στράτευμα ἅπαν ἀνῆκται, ἀποστρέψαντες ἀγγέλλουσι τοῖς πεζοῖς, καὶ ξύμπαντες ἤδη ἀποτρεπόμενοι ἐβοή-
66 θουν ἐπὶ τὴν πόλιν. ἐν τούτῳ δ' οἱ Ἀθηναῖοι, μακρᾶς οὔσης

sie auch ohnedies gedachten, *mit der Rüstung fertig zu seyn* (perfect.), um nach Katana zu gehen? Quare statim subiicit: *ἐπεὶ δὲ ἑτοῖμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν.* Ceterum in his ipsis verbis „traiectio est; debebat scribere *καὶ τὰ τῆς παρασκευῆς ἑτοῖμα ἦν, καὶ αἱ ἡμέραι ἐγγὺς ἦσαν.*“ Bau. Et animadverte pluralem *ἡμέραι* pro *ἡμέρα*, quem nescio an posuerit intelligens diem et profectionis et adventus. Dein „Symaethus deprehenditur esse is fluvius, qui non modo omnium hoc litore inter Pelorum Pachynumque sito, sed totius etiam insulae maximus ac proximus Catanae, a qua distat octo passuum millibus, vulgo nunc accolis dicitur la Giaretta, vocabulo ipsius scaphae, qua traiicitur.“ Cluv. S. A. 1, 10. Oritur in parte septentrionali Aetnae, magnam partem montis circumdat. Bartels. 3. p. 7. Vocatur etiam fluvius S. Pauli. Brydon. 1. p. 281 sq.

ἐξέβαινον ἐς τὸ κατὰ τό] *ἐς τό* Pal. K., posterior tamen cum *ν* s. v. Vulgo *ἐς τόν*. In H. Reg. Lugd. superscr. *μεγαν λιμένα*. Vulgo supplent *τόπον*, et sic Diod. 13, 6. conf. ibidem c. 8. Olympium, si Dorvillium audis, ab urbe distabat quindecim stadiis, Anapus ab Olympio quinque stadiis, ab urbe decem. Sic etiam Plut. V. Dion. c. 27. Auctore Livio Olympium mille et quingentis passibus ab urbe aberat i. e. duodecim stadiis, ut Diodorus. Ab Olympio probe distinguendum est oppidulum prope adiacens Polichne, de quibus, sicut de aliis huc pertinentibus v. lib. De Situ et Orig. Syrac. p. 85. Latini scribunt et Olympium et Olympieum. v. Ruhnk. ad Vell. Pat. 1, 10. init. Olympium Syracusanum derivatum Olympia, nam Archiam conditorem urbis comitabatur unus ex Iamidis, familia vaticina Olympiae, cuius posteri Pindari aetate Syracusis florebant. *Ἀμφίπολος* sive supremus sacerdos Olympii *ἐπώνυμος* erat anni Syracusanorum. v. Od. Muell. Dor. 1. p. 116. 395, 1. A regione Anapi ad Euryelum intervallum viginti quinque stadiorum, teste Thuc. 6, 97. Denique legitur in multis optimisque libris *ὡς τὸ στρατόπεδον καταληψόμενοι*, articulus vulgo abest. „Aperte Thuc. respicit antecedentis capitis verba *βουλόμενοι στρατόπεδον καταλαβεῖν ἐν ἐπιτηδείῳ*.“ Bened.

66. Partes urbis Syracusarum fuere quinque: Ortygia — Acradina — Tyca — Neapolis — Epipolae. Strab. 6. p. 415. A. *πεντάπολις γὰρ ἦν τὸ παλαιὸν ἑκατὸν καὶ ὀγδοήκοντα σταδίων ἔχουσα τὸ τεῖχος.* Et Plut. V. Nic. c. 17. Syracusas dicit *πόλιν Ἀθηνῶν οὐκ ἐλάσσονα.*

τῆς ὁδοῦ αὐτοῖς, καθ' ἡσυχίαν καθῖσαν τὸ στράτευμα ἐς χωρίον ἐπιτήδειον, καὶ ἐν ᾧ μάχης τε ἄρξειν ἔμελλον ὁπότε βού-

σαντες ἐψηφίσαντό τε πάντα ὡς ἐκέλευε καὶ στρατηγὸν αὐτόν τε εἵλοντο τὸν Ἑρμοκράτην καὶ Ἡρακλείδην τὸν Λυσιμάχου καὶ Σικανὸν τὸν Ἐξηκέστου, τούτους τρεῖς· καὶ ἐς τὴν Κόρινθον καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις ἀπέστειλαν, ὅπως ξυμμαχία τε αὐτοῖς παραγένηται καὶ τὸν πρὸς Ἀθηναίους πόλεμον βεβαιότερον πείθωσι ποιεῖσθαι ἐκ τοῦ προφανοῦς ὑπὲρ σφῶν τοὺς Λακεδαιμονίους, ἵνα ἢ ἀπὸ τῆς Σικελίας ἀπαγάγωσιν αὐτοὺς ἢ πρὸς τὸ ἐν Σικελίᾳ στράτευμα ἧσσον ὠφέλειαν ἄλλην ἐπιπέμπωσι.

Τὸ δ' ἐν τῇ Κατάνῃ στράτευμα τῶν Ἀθηναίων ἔπλευσεν εὐ-74
θὺς ἐπὶ Μεσσήνην ὡς προδοθησομένην. καὶ ἃ μὲν ἐπράσσετο οὐκ ἐγένετο. Ἀλκιβιάδης γὰρ ὅτε ἀπῄει ἐκ τῆς ἀρχῆς ἤδη μετάπεμπτος, ἐπιστάμενος ὅτι φείξοιτο, μηνύει τοῖς τῶν Συρακοσίων φίλοις τοῖς ἐν τῇ Μεσσήνῃ ξυνειδὼς τὸ μέλλον· οἱ δὲ τούς τε ἄνδρας διέφθειραν πρότερον καὶ τότε στασιάζοντες καὶ ἐν ὅπλοις ὄντες ἐπεκράτουν μὴ δέχεσθαι τοὺς Ἀθηναίους οἱ ταῦτα βουλόμενοι. ἡμέρας δὲ μείναντες περὶ τρεῖς καὶ δέκα

quae Wachsm. Antt. Gr. 1, 2. p. 93. nr. 9. p. 96, 78. disputat de republica Syracusanorum. Ad τὴν μέν supple τὴν εὐταξίαν.

74. τρεῖς καὶ δέκα] Alii libri τρεῖς καίδεκα, alii τρεισκαίδεκα, vulgo τρισκαίδεκα. Vulgatam non debebant mutare, aut τρεῖς καὶ δέκα, si mutabant, scribere. Nam haec est probabilis norma, ex qua de numeralium in compositione scriptura iudicandum est, apud Grammaticos veteres: „numeros flexibiles sub diversis accentibus, indeclinabiles et loquelares sub uno scribi voluerunt; verbi causa in τρισκαίδεκα copula acuitur, quae in τρεῖς καὶ δέκα gravatur.“ Lobeck. ad Phryn. p. 408. Forma tamen flexibilis praeferenda est, quia parathesis numeralium huic scriptori adamata est, id quod Duk. Praef. p. XIV. Lips. primus monuit et Lobeck. p. 409. magis illustravit. Idque cognitum fuisse videtur ei, qui in m. supra vulgatum scripsit flexibilem formam. Magis etiam placet, quod ex G. Gail. memorat et in Cl. Ven. est περὶ τρεῖς μείναντες καὶ δέκα, at ex Reg. et Gr. Duk. affert περὶ τρεῖς καὶ δέκα (Gr. περὶ τρεῖς καίδεκα) μείναντες. Mox vulgo legitur καὶ Θρᾷκας, σταυρώματα, vel σταύρωμα. Gailio teste G. omisso Θρᾷκας habet καὶ σταύρωμα, quamquam de Reg. Duk. tacet. Θρᾷκας iam Fr. Port. deleri censuerat, ut natum ex glossa χάρακας i. e. σταυρώματα. Adversatur Censor in Ephemm. Ien. a. 1823. mens. Febr. p. 223 sq. Θρᾴκας legi volunt Heilm. et Bred. Θρᾴκην praebet

οἱ Ἀθηναῖοι ὡς ἐχειμάζοντο καὶ τὰ ἐπιτήδεια οὐκ εἶχον καὶ προὐχώρει οὐδέν, ἀπελθόντες ἐς Νάξον καὶ σταύρωμα περὶ τὸ στρατόπεδον ποιησάμενοι αὐτοῦ διεχείμαζον· καὶ τριήρη ἀπέστειλαν ἐς τὰς Ἀθήνας ἐπί τε χρήματα καὶ ἱππέας, ὅπως ἅμα τῷ ἦρι παραγένωνται.

75 Ἐτείχιζον δὲ καὶ οἱ Συρακόσιοι ἐν τῷ χειμῶνι πρός τε τῇ πόλει τὸν Τεμενίτην ἐντὸς ποιησάμενοι τεῖχος παρὰ πᾶν τὸ πρὸς τὰς Ἐπιπολὰς ὁρῶν, ὅπως μὴ δι' ἐλάσσονος εὐαποτειχιστοι ὦσιν, ἢν ἄρα σφάλλωνται, καὶ τὰ Μέγαρα φρούριον,

Lugd. Χαράκων σταύρωμα coniecit Reisk. Pluralem σταυρώματα habent libri plerique, quem Popp. defendi posse putat loco 7, 53., sane enim circa singula castra plures ordines vallorum fuisse.

75. *τὸν Τεμενίτην*] Apollo Temenites a *τεμένει* dictus esse videtur (v. 6, 99.), non alia ratione, quam Diana Nemorensis Aricii extra Romam a nemore. v. de sit. et orig. Syrac. p. 59. Nomen Apollinis Temenitis hinc in nomen regionis evaluit, ubi eius *τέμενος* situm fuit; Temenitem autem Apollinem in Neapoli, quod fuit post aetatem Thucydidis nomen huius regionis, fuisse testatur Cic. 4. Verr. 53. At Arn. praesenti loco *τὸν Τεμενίτην* non intelligit regionem, sed statuam Apollinis Temenitis magnitudine et pulchritudine insignem, ut testantur Cic. l. c. et Sueton. Ti. 74. „Quum regio, ait, nondum esset exaedificata, ambitus novi muri non potuit melius indicari, quam dicendo, eum satis laxum fuisse, ut includeret hanc statuam.“ Templum Apollinis Letr. exstructum fuisse existimat in *ἄκρᾳ Τεμενίτιδι*, cuius Thucydides 7, 3. mentionem facit. At haec *ἄκρα* non potuit esse, nisi pars *κρημνοῦ* sive rupis, quae Neapolin et Tycam dividit, unde simul patet, Temenitem iam tum regionis, non solius dei nomen fuisse. In ipsa area huius regionis nunc quidem nullum vestigium collis est. Et quis scit, num iam Thucydidis aetate nobilis illa statua ibi extiterit.

τὰ Μέγαρα φρούριον] Ante quam Athenienses Syracusas appulerunt, Megara ista, non diversa a Megara Hyblaea, praesidio vacua erat. v. Thuc. 6, 49. Nunc a Syracusanis munitur una cum Olympio. Athenienses posthac Megaram saepius aggressi nunquam ceperunt. Aliquanto tamen serius prope eam stationem habentes leguntur 7, 25. Hanc autem Megaram, ut dixi, non diversam esse Hyblaea, probat Thuc. 6, 94. *παρέπλευσαν* (Athenienses) *ἐπὶ Μεγάροων τῶν ἐν τῇ Σικελίᾳ, οὓς ἐπὶ Γέλωνος τοῦ τυράννου, ὡς καὶ πρότερόν μοι εἴρηται, ἀναστήσαντες οἱ Συρακόσιοι αὐτοὶ ἔχουσι τὴν γῆν.* Quod se supra narrasse dicit, id 6, 4. narravit de Megara Hyblaea. v. de sit. et orig. Syrac. p. 55 sq. Castellum autem, quod hic Megaram dicit, proprie Styella appellabatur, ni fallit Cluverii coniectura. Ei in loco Stephani (Ὕβλαι τρεῖς) verba *μία δὲ τῶν Ὑβλῶν Τίελλα καλεῖται, ὡς Φίλιστος τετάρτῳ Σικελικῶν* corrupta esse videntur. Vid. S. A. p. 160. E. „Stephani autem qui epitomen scripsit, alio loco dicit: *Στύελλα, φρούριον τῆς ἐν Σικελίᾳ Μεγαρίδος· ἐθνικὸν Στυελληνός.* Quum dubium sit vocabulum *Μεγαρίς* (quod alias Megarae urbis agrum significat, Ciceroni vero, Melae et Plinio ipsam urbem), pars aliqua Megarae Hyblaeae vel arx eius *Στύελλα* appellata esse potuit, idque comprobari videtur ipsius Stephani verbis, vel potius Philisti: *μία δὲ τῶν Ὑβλῶν Τίελλα καλεῖται*, dummodo liceat ex utroque loco collato corrigere *Στύελλα*. Nisi potius hinc aliquis colligat, Megaram Hyblaeam quae antea dicebatur, postea Styellam appellatam esse inde a tempore communitionis hic memoratae, idque nomen aetate Philisti iam in usum

καὶ ἐν τῷ Ὀλυμπιείῳ ἄλλο· καὶ τὴν θάλασσαν προεσταύρωσαν πανταχῇ ᾗ ἀποβάσεις ἦσαν. καὶ τοὺς Ἀθηναίους εἰδότες ἐν τῇ Νάξῳ χειμάζοντας, ἐστράτευσαν πανδημεὶ ἐπὶ τὴν Κατάνην, καὶ τῆς τε γῆς αὐτῶν ἔτεμον καὶ τὰς τῶν Ἀθηναίων σκηνὰς καὶ τὸ στρατόπεδον ἐμπρήσαντες ἀνεχώρησαν ἐπ' οἴκου. καὶ πυνθανόμενοι τοὺς Ἀθηναίους ἐς τὴν Καμάριναν κατὰ τὴν ἐπὶ Λάχητος γενομένην ξυμμαχίαν πρεσβεύεσθαι, εἴ πως προσαγάγοιντο αὐτούς, ἀντεπρεσβεύοντο καὶ αὐτοί. ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ Καμαριναῖοι μὴ προθύμως σφίσι μήτ' ἐπὶ τὴν πρώτην μάχην πέμψαι ἃ ἔπεμψαν, ἔς τε τὸ λοιπὸν μὴ οὐκέτι βούλωνται ἀμύνειν, ὁρῶντες τοὺς Ἀθηναίους ἐν τῇ μάχῃ εὖ πράξαντας, προσχωρῶσι δ' αὐτοῖς κατὰ τὴν προτέραν φιλίαν πεισθέντες. ἀφικομένων οὖν ἐκ μὲν Συρακουσῶν Ἑρμοκράτους καὶ ἄλλων ἐς τὴν Καμάριναν, ἀπὸ δὲ τῶν Ἀθηναίων Εὐφήμου μεθ' ἑτέρων, ὁ Ἑρμοκράτης ξυλλόγου γενομένου τῶν Καμαριναίων βουλόμενος προδιαβάλλειν τοὺς Ἀθηναίους ἔλεγε τοιάδε.

Οὐ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων, ὦ Καμαρι- 76
ναῖοι, μὴ αὐτὴν καταπλαγῆτε δείσαντες ἐπρεσβευσάμεθα, ἀλλὰ

communem evaluisse. Vide adn. ad fragm. Philist. 22. p. 161. Eius communitionis pars esse videtur, quam Thuc. 6, 94. dicit *ἐρυμά τι τῶν Συρακοσίων*. Mox de societate Lachetis tempore inita v. 3, 86. Postremo *προδιαβάλλειν* dedi cum libris plurimis et optimis: alii *προδιαβαλεῖν*, vulgo *προσδιαβαλεῖν*. *Προδιαβάλλειν* iure tuetur Reitz. ad Lucian. Philop. 8. Vol. 9. p. 512. Bip. ut accommodatum consilio oratorio, quod c. 76. init. proponitur.

76. *οὐ τὴν παροῦσαν δύναμιν — μὴ αὐτήν*] Attractionis genus est, de quo post Kruegerum omnium uberrime egit Beier. ad Cic. Oratt. fragm. p. 21 sq. 96. 130. De h. l. vide Matth. §. 296. Cum verbis *προφάσει μὲν — διανοίᾳ δέ* Valck. ad Herodot. 2, 100. comparat Herodotea: *πρόσχημα μὲν ποιεύμενος — ἐν νῷ δ' ἔχων*, ubi plura id generis. Dein *ἀπὸ σφῶν* Schol. explicat *ὅσοι ἄποικοι ἦσαν αὐτῶν*. Imo *sponte sua*, freiwillig. v. adn. ad 6, 40. „Socii, qui se iungebant Atheniensibus, maxime Iones et Hellespontii erant, quorum hi non erant origine Attica: ut difficile sit dicere qui extra Iones Atheniensium coloni fuerint. Verum et Iones et Hellespontii socii Atheniensium sponte sua facti sunt. v. Thuc. 1, 95. 96. Herodot. 8, 3.“ Arn. Sequitur *τοὺς μὲν — τοὺς δὲ — τοῖς δ'*, at debebat ubique scribere *τοῖς*, casum pendere faciens a participio, qui est usus Graecorum, et suppleto *αὐτούς* post *κατεστρέψαντο*. Mox pro *λειποστρατίαν* C. *λειποστρατείαν*. Reg. *λειποστρατιάν*. Pal. lt. F. Lugd. Gr. ed. Bas. *λιποστρατίαν*. Etiam H. s. v. *γρ. λιποστρατίαν*. Suspiceris legendum esse *λειποστράτιον*, quae forma sine varietate extat 1, 99., neque aliam habuisse videntur oratores Attici, nisi forte fuit *λιποστράτιον*. Nam „formae a *λιπο* incipientes in similibus saepe temere sunt neglectae, ut Passov. *λιπομαρτύριον* omisit ex Demosth. c. Timoth. §. 19. et *λιποταξίου* ex eodem c. Mid. §. 103. et Boeot. de Nom. §. 17.“ Popp. Sed nihil mutandum: formam *λειποστρατίαν* habet etiam Herodotus et agnoscit praeter Dionysium A. R. 11, 22. p. 2212, 9. (*λειποστρατίαν ἐπενεγκόντες*) Thom. M. p. 572., ubi v. interpp., adde Lobeck. ad Phryn. p. 519. Ceterum de isto crimine v. adn. ad 1, 99. De verbis *σφίσιν — μὴ ἐκείνῳ καταδουλώσεως* v. Matth. p. 717.

μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους, πρίν τι καὶ ἡμῶν ἀκοῦσαι, μὴ ὑμᾶς πείσωσιν. ἥκουσι γὰρ ἐς τὴν Σικελίαν προφάσει μὲν ᾗ πυνθάνεσθε, διανοίᾳ δὲ ἣν πάντες ὑπονοοῦμεν· καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι κατοικίσαι, ἀλλ' ἡμᾶς μᾶλλον ἐξοικίσαι. οὐ γὰρ δὴ εὔλογον τὰς μὲν ἐκεῖ πόλεις ἀναστάτους ποιεῖν, τὰς δὲ ἐνθάδε κατοικίζειν, καὶ Λεοντίνων μὲν Χαλκιδέων ὄντων κατὰ τὸ ξυγγενὲς κήδεσθαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ, ὧν οἵδε ἄποικοί εἰσι, δουλωσαμένους ἔχειν. τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον καὶ τὰ ἐνθάδε νῦν πειρῶνται· ἡγεμόνες γὰρ γενόμενοι ἑκόντων τῶν τε Ἰώνων καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν ξύμμαχοι ὡς ἐπὶ τοῦ Μήδου τιμωρίᾳ, τοὺς μὲν λειποστρατίαν, τοὺς δὲ ἐπ' ἀλλήλους στρατεύειν, τοῖς δ' ὡς ἑκάστοις τινὰ εἶχον αἰτίαν εὐπρεπῆ ἐπενεγκόντες κατεστρέψαντο. καὶ οὐ περὶ τῆς ἐλευθερίας ἄρα οὔτε οὗτοι τῶν Ἑλλήνων οὔθ' οἱ Ἕλληνες τῆς ἑαυτῶν τῷ Μήδῳ ἀντέστησαν, περὶ δὲ οἱ μὲν σφίσιν ἀλλὰ μὴ ἐκείνῳ καταδουλώσεως, οἱ δ' ἐπὶ δεσπότου μεταβολῇ οὐκ ἀξυνετωτέρου κακο-
77 ξυνετωτέρου δέ. ἀλλ' οὐ γὰρ δὴ τὴν τῶν Ἀθηναίων εὐκατηγόρητον οὖσαν πόλιν νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν ὅσα ἀδικεῖ, πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι ὅτι ἔχοντες παραδείγματα τῶν τ' ἐκεῖσε Ἑλλήνων ὡς ἐδουλώθησαν οὐκ ἀμύνοντες σφίσιν αὐτοῖς, καὶ νῦν ἐφ' ἡμᾶς ταὐτὰ παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν κατοικίσεις καὶ Ἐγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ ξυστραφέντες βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς ὅτι οὐκ Ἴωνες τάδε εἰσὶν οὐδ' Ἑλληςπόντιοι

77. ἡμᾶς αὐτούς] F. Lugd. αὐτοὺς ἡμᾶς, quod si propter Buttm. Gr. med. §. 127. 3. (ed. 13.) praeferas, v. Schaef. Appar. cr. ad Demosth. Vol. 1. p. 347. et Matth. §. 148. adn. 2. Popp. Mox particulam in verbis τῶν τ' ἐκεῖσε om. Ar. Chr. Dan. Dionys. Hal. p. 933. Popp. et Arn. per traiectionem excusant, pro ἔχοντες παραδείγματά τε. Et ἐκεῖ pro ἐκεῖσε praeter Dionysium aliquot libri Thuc. habent: at Lobeck. ad Phryn. p. 44. docet, Graecos saepe ἐκεῖσε dicere pro ἐκεῖ, contra id Krueg. ad Dionys. p. 199. hunc usum ad hunc unum locum Thucydidis et recentiores scriptores revocat. Porro Kruegero σοφίσματα per appositionem adiectum videtur, sic: ταῦτα (sic enim legit) παρόντα, σοφίσματα (ὄντα). Idem in Addendis Plutarchi Timol. c. 12. imitationem indicat: ταῦτα πάλιν ἥκειν ἐπ' αὐτοὺς σοφίσματα καὶ δελεάσματα, μετ' ἐλπίδων χρησιῶν καὶ φιλανθρώπων ὑποσχέσεων εἰς μεταβολὴν δεσποτοῦ καινοῦ πιθανευομένους, ὑπώπτευον, ubi liber Monac. nr. 85. ταὐτά, sicut dedi hic ex Cass. Pal. Laur. T. i. e. Cantabr. Arnoldi et Dionys. Hal. In vulgata ταῦτα iam Reisk. ad Dionys. p. 1150. articulum desiderabat, ut adnotavit Popp.

οὐκ Ἴωνες τάδε εἰσίν] Dionys. et Aristid. Vol. 2. p. 382. ταῦτα. Cum τάδε magis convenirent Ἰωνία, quam Ἴωνες, nec tamen aliter Eurip. Androm. 168. οὐ γάρ ἐσθ' Ἕκτωρ τάδε. v. Matth. p. 823. extr. Verbum εἰσί sequitur structuram praedicati Ἴωνες. vid. ibidem §. 305. Neutrum ταῦτα, τάδε saepe significat non res aut homines, modo memorata in antecedentibus sententiae, sed rem et statum rerum in universum, omnibus nota, trita, in quibus omnes versamur, velut τάδε

καὶ νησιῶται, οἳ δεσπότην ἢ Μῆδον ἢ ἕνα γέ τινα ἀεὶ μεταβάλλοντες δουλοῦνται, ἀλλὰ Δωριῆς ἐλεύθεροι ἀπ' αὐτονόμου τῆς Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες. ἢ μένομεν ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν, εἰδότες ὅτι ταύτῃ μόνον ἀλωτοί ἐσμεν καὶ ὁρῶντες αὐτοὺς ἐπὶ τοῦτο τὸ εἶδος τρεπομένους ὥστε τοὺς μὲν λόγοις ἡμῶν διιστάναι, τοὺς δὲ ξυμμάχων ἐλπίδι ἐκπολεμοῦν πρὸς ἀλλήλους, τοῖς δὲ ὡς ἑκάστοις τι προσηνὲς λέγοντες δύνανται κακουργεῖν; καὶ οἰόμεθα τοῦ ἄποθεν ξυνοίκου προαπολλυμένου οὐκ ἐς αὐτόν τινα ἥξειν τὸ δεινόν, πρὸ δὲ αὐτοῦ μᾶλλον τὸν πάσχοντα καθ' αὐτὸν δυστυχεῖν; καὶ εἴ τῳ ἄρα παρέστηκε τὸν μὲν Συρακόσιον, ἑαυτὸν δ' οὔ 78

significat res, quae sub sensus cadunt sive die Sinnenwelt, die Schöpfung, quo sensu Latini quoque *haec* dicunt, ut Cic. de N. D. 1, 9. §. 23. (v. Fr. A. Wolf. in Anall. Literar. 2. p. 317.) et in Catilinariis: *qui haec stare cupiat* i. e. urbem Romanam. conf. Matth. p. 872. Eiusdem generis est praesens locus, ubi hoc magis interpretes advertere debebat, quod εἰσί dixit, et non ἐσί, quod Ἴωνες et non Ἰωνία, quam quod τάδε. Non aliter in columna illa, quae a Theseo in Isthmo erecta esse fertur, scriptum: τάδ' οὐχὶ Πελοπόννησος, ἀλλ' Ἰωνία — τάδ' ἐστι Πελοπόννησος, οὐκ Ἰωνία i. e. terra, quam hac ex parte conspicitis, est Peloponnesus et non Ionia etc. Porro de Doribus origine superbientibus, Iones despicientibus — notissima res est, et memoravit Valck. ad Herodot. 3, 56. 5, 87., ad Theocr. Adoniaz. Vol. 2. p. 229. Heind., adde Od. Muell. Dor. 2. p. 403. et de Syracusis vere Dorica urbe ibidem 1. p. 116. Mox ἢ μένωμεν suspicatur Valck. ad Herodot. 5, 82. Indicativum tuentur Platonica ἢ πῶς λέγομεν; (quanquam etiam coniunctivus in eadem formula comparet) τί δὴ καὶ λέγομεν; Vid. Heind. ad Plat. Gorg. p. 109., ad Theaet. p. 441., ubi „Attuli haec, ait, ne cui in mentem veniat corrigere λέγωμεν, quo in genere saepius erravit Steph.“ Adde Matth. §. 516. adn. 2. Paulo post δύνανται abesse vult Bau., at Popponi transitus factus videtur ab infinitivo in indicativum, ut in verbis 5, 14. ξυνέβη — ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον. Sic igitur verba τοῖς δὲ ὡς ἑκάστοις τι προσηνὲς λέγοντες δύνανται κακουργεῖν extra interrogationem essent, et signum interrogationis post ἀλλήλους ponendum esset: id quod fieri nequit, quia etiam quae post κακουργεῖν sequuntur, in interrogatione sunt, cohaerente et continuata cum ἢ μένομεν. Imo κακουργεῖν cogitatione iterandum est, quasi scripsisset: ὥστε τοὺς μὲν — διιστάναι, τοὺς δὲ — ἐκπολεμοῦν — τοὺς δὲ κακουργεῖν, ὡς ἑκάστοις τι προσηνὲς λέγοντες δύνανται κακουργεῖν; Omnis difficultas amota esset, si scriptori placuisset τοὺς δέ scribere pro τοῖς δέ. Prorsus tamen dativus iste convenit cum usu linguae Graecae, quae participiis regimen tribuit, ubi una eademque sententia participium et aliud verbum diversi regiminis iunctum habet. Postrema ita intelligo: τὸν δὲ πρὸ αὐτοῦ πάσχοντα μᾶλλον καθ' αὐτὸν δυστυχεῖν, sondern denken wir, wer vor uns unglücklich ist, der sey es für sich allein?

78. καὶ εἴ τῳ ἄρα — κολάσασθαι] Dionys. p. 936. et rursus p. 798. usque ad τῷ Ἀθηναίῳ, ubi in Thucydide reprehendit nimium usum singularis pro plurali, quod dixerit τὸν Συρακόσιον — τῷ Ἀθηναίῳ — ἐμέ. Sed hoc non eius idioma esse, quis est qui ignoret? Vid. Greg. Cor. p. 126., qui hunc usum Atticis tribuit, Krueg. ad Dionys. p. 229. et Quintil. I. O. 8, 6, 21. Mox οὐκ ἐρῆμος scriptura paucorum quidem

πολέμιον εἶναι τῷ Ἀθηναίῳ, καὶ δεινὸν ἡγεῖται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθήτω οὐ περὶ τῆς ἐμῆς μᾶλλον, ἢν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα ἐν τῇ ἐμῇ μαχούμενος, τοσούτῳ δὲ καὶ ἀσφαλέστερον ὅσῳ οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ καὶ οὐκ ἐρῆμος ἀγωνιεῖται· τόν τε Ἀθηναῖον μὴ τὴν τοῦ Συρακοσίου ἔχθραν κολάσασθαι, τῇ δ' ἐμῇ προφάσει τὴν ἐκείνου φιλίαν οὐχ ἧσσον βεβαιώσασθαι βούλεσθαι. εἴ τέ τις φθονεῖ μὲν ἢ καὶ φοβεῖται, ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω, διὰ δὲ αὐτὰ τὰς Συρακούσας κακωθῆναι μέν, ἵνα σωφρονισθῶμεν, βούλεται, περιγενέσθαι δὲ ἕνεκα τῆς αὐτοῦ ἀσφαλείας, οὐκ ἀνθρωπίνης δυνάμεως βούλησιν ἐλπίζει. οὐ γὰρ οἷόν τε ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως ταμίαν γενέσθαι. καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὑτοῦ κακοῖς ὀλοφυρθεὶς τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτε βουληθείη αὖθις φθονῆσαι. ἀδύνατον δὲ προεμένῳ, καὶ μὴ τοὺς αὐτοὺς κινδύνους οὐ περὶ τῶν ὀνομάτων ἀλλὰ περὶ τῶν ἔργων ἐθελήσαντι προσλαβεῖν· λόγῳ μὲν γὰρ τὴν ἡμετέραν δύναμιν σώζοι ἄν τις, ἔργῳ δὲ τὴν αὐτοῦ σωτηρίαν. καὶ μάλιστα εἰκὸς ἦν ὑμᾶς, ὦ Καμαριναῖοι, ὁμόρους ὄντας καὶ τὰ δεύτερα κινδυνεύσοντας προορᾶσθαι αὐτὰ καὶ μὴ μαλακῶς ὥσπερ νῦν ξυμμαχεῖν, αὐτοὺς δὲ πρὸς ἡμᾶς μᾶλλον ἰόντας, ἅπερ εἰ ἐς τὴν Καμαριναίαν πρῶτον ἀφίκοντο οἱ Ἀθηναῖοι δέομενοι ἂν

librorum, nihilominus tamen vera est. Vulgatam οὐκ ἐρῆμον Bened. tuetur, quia socii aliorum societate firmi magis expetendi sint, si optio detur, quam si omni ope sociorum destituti sint. At ex adverso pronuntur ὁ ἔχων ξύμμαχον et ὁ ἐρῆμος, id quod particulae καὶ οὐκ clarissime indicant: si Benedicti explicatio vera esset, legeremus οὐδὲ a scriptore relictum. Paulo post Reisk. apud Dionys. p. 936. audacissime τὴν ἐκείνου δουλείαν reposuit. Quod ut probari non potest, ita vulgatam aliquid vitii contraxisse, Popponi persuasum est, qui coniicit, βιάσασθαι pro βεβαιώσασθαι reponendum esse. Mihi vulgata non inexplicabilis videtur: meum odium, ait, praetexens illius (i. e. aliorum Siceliotarum, qui Syracusanos oderunt) amicitiam maxime firmare Atheniensis studet. Nimirum qui quem communiter oderunt, eos consentaneum est, eo firmiorem inter se amicitiam colere. Οὐχ ἧσσον est *maxime*. Schol. βεβαιώσασθαι· βεβαιότατα σχεῖν ἢ περιποιήσασθαι. Propter μὴ τὴν ἔχθραν κολάσασθαι Arn. apte confert 4, 61. οὐ γὰρ τοῖς ἔθνεσιν — τοῦ ἑτέρου ἔχθει ἐπίασιν. Proxima Schol. ita explicat: φοβεροὶ γὰρ ἅμα καὶ ἐπίφθονοι καθιστᾶσιν οἱ μείζους. Et σωφρονισθῶμεν idem et Suidas reddunt per ταπεινωθῶμεν. Vid. adn. ad 3, 65. extr. Mox ἀνθρωπίνης libri ad Wassium usque collati omnes, praeterea Vat. Laur. Pal. It. Lugd. m., ex Parr. H. D. I. E. K., de reliquis Parr. tacetur. Non dubie ἀνθρωπείας ex Aug. et Dionys. affertur. Conf. 3. 40. Verba οὐ περὶ τῶν ὀνομάτων etc. ipse scriptor explicat: λόγῳ (ὀνόματι) μὲν γὰρ τὴν ἡμετέραν δύναμιν σώζοι ἄν τις, ἔργῳ δὲ τὴν αὐτοῦ σωτηρίαν. Schol. οὐ πρὸς τὰ ὀνόματα ἀποβλέποντας, ἀλλὰ πρὸς τὰ ἔργα. Dein ad καὶ τὰ δεύτερα idem: μεθ' ἡμᾶς εὐθὺς κινδυνεύσοντας, et ad ἐπὶ ταῦτα ὥρμησθε idem: τὰ εἰρημένα, τουτέστι τῷ λόγῳ μὲν βοηθεῖν καὶ συμμαχεῖν τοῖς Συρακουσίοις, ἔργῳ δὲ ἑαυτῷ, εἴπερ ἐκ διαδοχῆς ὁ κίνδυνος εἰς πάντας.

ἐπεκαλεῖσθε, ταῦτα ἐκ τοῦ ὁμοίου καὶ νῦν παρακελευομένους ὅπως μηδὲν ἐνδώσομεν φαίνεσθαι. ἀλλ' οὔθ' ὑμεῖς νῦν γέ πω οὔθ' οἱ ἄλλοι ἐπὶ ταῦτα ὥρμησθε. δειλίᾳ δὲ ἴσως τὸ δίκαιον πρός τε ἡμᾶς 79
καὶ πρὸς τοὺς ἐπιόντας θεραπεύσετε λέγοντες ξυμμαχίαν εἶναι ὑμῖν πρὸς Ἀθηναίους· ἦν γε οὐκ ἐπὶ τοῖς φίλοις ἐποιήσασθε, τῶν δὲ ἐχθρῶν ἦν τις ἐφ' ὑμᾶς ἴῃ, καὶ τοῖς γε Ἀθηναίοις βοηθεῖν, ὅταν ὑπ' ἄλλων, καὶ μὴ αὐτοὶ ὥσπερ νῦν τοὺς πέλας ἀδικῶσιν, ἐπεὶ οὐδ' οἱ Ῥηγῖνοι ὄντες Χαλκιδῆς Χαλκιδέας ὄντας Λεοντίνους ἐθέλουσι ξυγκατοικίζειν. καὶ δεινὸν εἰ ἐκεῖνοι μὲν τὸ ἔργον τοῦ καλοῦ δικαιώματος ὑποπτεύοντες ἀλόγως σωφρονοῦσιν, ὑμεῖς δ' εὐλόγῳ προφάσει τοὺς μὲν φύσει πολεμίους βούλεσθε ὠφελεῖν, τοὺς δὲ ἔτι μᾶλλον φύσει ξυγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖραι. ἀλλ' οὐ δίκαιον, ἀμύνειν δὲ καὶ μὴ φοβεῖσθαι τὴν παρασκευὴν αὐτῶν· οὐ γὰρ ἢν ἡμεῖς ξυστῶμεν πάντες δεινή ἐστιν, ἀλλ' ἢν ὅπερ οὗτοι σπεύδουσι τἀναντία διαστῶμεν, ἐπεὶ οὐδὲ πρὸς ἡμᾶς μόνους ἐλθόντες καὶ μάχῃ περιγενόμενοι ἔπραξαν ἃ ἠβούλοντο, ἀπῆλθον δὲ διὰ τάχους. ὥστε οὐκ ἀθρόους γε ὄντας εἰκὸς ἀθυμεῖν, ἰέναι δὲ 80
ἐς τὴν ξυμμαχίαν προθυμότερον, ἄλλως τε καὶ ἀπὸ Πελοποννήσου παρεσομένης ὠφελείας, οἳ τῶνδε κρείσσους εἰσὶ τὸ παράπαν τὰ πολέμια· καὶ μὴ ἐκείνην τὴν προμήθειαν δοκεῖν τῳ ἡμῖν μὲν ἴσην εἶναι, ὑμῖν δὲ ἀσφαλῆ, τὸ μηδετέροις δὴ ὡς καὶ ἀμφοτέρων ὄντας ξυμμάχους βοηθεῖν. οὐ γὰρ ἔργῳ ἴσον ὥσπερ τῷ δικαιώματί ἐστιν. εἰ γὰρ δι' ὑμᾶς μὴ ξυμμαχήσαν-

79. θεραπεύσετε] i. e. non iustitiam coletis, sed *colere vos simulabitis*, sive *coletis scilicet*. Schol. δειλίᾳ δὲ προβλήμασι χρήσεσθε τῷ δικαίῳ δῆθεν, ἀξιοῦντες ὁμοίως ἡμῖν τε καὶ Ἀθηναίοις προσφέρεσθαι. Dein supple ὅταν ὑπ' ἄλλων ἐπιόντων ἀδικῶνται, καὶ μὴ τοὺς πέλας ἀδικῶσιν. Et τὸ ἔργον τοῦ καλοῦ est was diesem beschönigenden Vorgeben zu Grunde liegt; τὸ ἔργον sunt consilia Atheniensium Sicilia potiundi et unam urbem post alteram subiiciendi. Paulo post ἀλόγως σωφρονεῖν est *caute agere, ita tamen ut rationem tuam non defendere possis*, quod tamen certe fore ut Rhegini possint, mens oratoris est, unde sequitur, Camarinaeos, si contra agunt quam Rhegini, suam rationem iustis causis defendere non posse. Ἄλογον aderat 1, 32. eodem sensu, ut esset nicht zu rechtfertigen; et εὐλόγῳ προφάσει est unter einem Vorgeben, das sich rechtfertigen, als begründet nachweisen lässt.

80. ὠφελείας, οἳ] v. Matth. p. 809. b. p. 812. §. 435. Pro προμήθειαν, quod habent boni libri, vulgo legebatur προθυμίαν, cui hic nullum locum esse vidit Duk. Schol. τὸ μηδετέροις συμμαχεῖν, ὡς ἀμφοτέρων οὖσι φίλοις, μὴ δοκείτω προμηθὲς εἶναι, ὡς ὑμῖν μὲν ἀσφαλοῦς ὄντος τοῦδε, ἡμῖν δὲ δικαίου φανησομένου. Et rursus ὅτι τὸ ἴσον ἐπὶ τοῦ δικαίου πρόσθεν εἰείακτο, δῆλον ἐντεῦθεν· καὶ γὰρ οὐχ ὥσπερ λεγόμενον (φησὶ) δικαιόφανές ἐστιν, οὕτω καὶ ταῖς ἀληθείαις δίκαιον τυγχάνει. Ubi δή post μηδετέροις est *scilicet*, ut docet Valck. ad Eurip. Hipp. 959., ad Herodot. 5, 20. Sic iterum paulo inferius φίλους δὴ ὄντας, de quo loco v. Matth. p. 1210. Paulo inferius οὐδὲν ἔργον εἶναι est *nihil prodesse*, ut apud Herodotum 1, 17. 3, 127., quos locos Arn. indicavit.

τας ὅ τε παθὼν σφαλήσεται καὶ ὁ κρατῶν περιέσται, τί ἄλλο ἢ τῇ αὐτῇ ἀπουσίᾳ τοῖς μὲν οὐκ ἠμύνατε σωθῆναι, τοὺς δὲ οὐκ ἐκωλύσατε κακοὺς γενέσθαι; καίτοι κάλλιον τοῖς ἀδικουμένοις καὶ ἅμα ξυγγενέσι προσθεμένους τήν τε κοινὴν ὠφέλειαν τῇ Σικελίᾳ φυλάξαι, καὶ τοὺς Ἀθηναίους φίλους δὴ ὄντας μὴ ἐᾶσαι ἁμαρτεῖν. ξυνελόντες τε λέγομεν οἱ Συρακόσιοι ἐκδιδάσκειν μὲν οὐδὲν ἔργον εἶναι σαφῶς οὔτε ὑμᾶς οὔτε τοὺς ἄλλους περὶ ὧν αὐτοὶ οὐδὲν χεῖρον γιγνώσκετε· δεόμεθα δὲ καὶ μαρτυρόμεθα ἅμα, εἰ μὴ πείσομεν, ὅτι ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων ἀεὶ πολεμίων, προδιδόμεθα δὲ ὑπὸ ὑμῶν Δωριῆς Δωριέων. καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ὑμετέραις γνώμαις κρατήσουσι, τῷ δ' αὐτῶν ὀνόματι τιμηθήσονται, καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον ἢ τὸν τὴν νίκην παρασχόντα λήψονται· καὶ εἰ αὖ ἡμεῖς περιεσόμεθα, τῆς αἰτίας τῶν κινδύνων οἱ αὐτοὶ τὴν τιμωρίαν ὑφέξετε. σκοπεῖτε οὖν καὶ αἱρεῖσθε ἤδη ἢ τὴν αὐτίκα ἀκινδύνως δουλείαν, ἢ κἂν περιγενόμενοι μεθ' ἡμῶν τούσδε τε μὴ αἰσχρῶς δεσπότας λαβεῖν, καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν μὴ ἂν βραχεῖαν γενομένην διαφυγεῖν.

81 Τοιαῦτα μὲν ὁ Ἑρμοκράτης εἶπεν· ὁ δ' Εὔφημος ὁ τῶν Ἀθηναίων πρεσβευτὴς μετ' αὐτὸν τοιάδε.

82 Ἀφικόμεθα μὲν ἐπὶ τῆς πρότερον οὔσης ξυμμαχίας ἀνανεώσει, τοῦ δὲ Συρακοσίου καθαψαμένου ἀνάγκη καὶ περὶ τῆς ἀρχῆς εἰπεῖν ὡς εἰκότως ἔχομεν. τὸ μὲν οὖν μέγιστον μαρτύριον αὐτὸς εἶπεν ὅτι οἱ Ἴωνες ἀεί ποτε πολέμιοι τοῖς Δωριεῦσί εἰσιν. ἔχει δὲ καὶ οὕτως· ἡμεῖς γὰρ Ἴωνες ὄντες Πελοποννησίοις Δωριεῦσι καὶ πλείοσιν οὖσι καὶ παροικοῦσιν ἐσκεψάμεθα ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα. καὶ μετὰ τὰ Μηδικὰ ναῦς κτησάμενοι τῆς μὲν Λακεδαιμονίων ἀρχῆς καὶ ἡγεμονίας ἀπηλλάγημεν, οὐδὲν προσῆκον μᾶλλόν τι ἐκείνους ἡμῖν ἢ καὶ ἡμᾶς ἐκείνοις ἐπιτάσσειν, πλὴν καθ' ὅσον ἐν τῷ παρόντι μεῖζον ἴσχυον, αὐτοὶ δὲ τῶν ὑπὸ βασιλεῖ πρότερον ὄντων ἡγεμόνες καταστάντες οἰκοῦμεν, νομίσαντες ἥκιστ' ἂν ὑπὸ Πελοποννησίοις οὕτως εἶναι, δύναμιν ἔχοντες ἢ ἀμυνούμεθα, καὶ ἐς τὸ ἀκριβὲς εἰπεῖν οὐδὲ ἀδίκως καταστρεψάμενοι τούς τε Ἴωνας καὶ νησιώτας, οὓς ξυγγενεῖς φασιν ὄντας ἡμᾶς Συρακόσιοι δεδουλῶσθαι. ἦλθον γὰρ ἐπὶ τὴν μητρόπολιν ἐφ' ἡμᾶς μετὰ τοῦ Μήδου, καὶ οὐκ ἐτόλμησαν ἀποστάντες τὰ οἰκεῖα φθεῖραι, ὥςπερ ἡμεῖς ἐκλιπόντες τὴν πόλιν, δουλείαν δὲ αὐτοί τε ἐβούλοντο καὶ ἡμῖν τὸ αὐτὸ ἐπενεγκεῖν. ἀνθ' 83
ὧν ἄξιοί τε ὄντες ἅμα ἄρχομεν, ὅτι τε ναυτικὸν πλεῖστόν τε καὶ προθυμίαν ἀπροφάσιστον παρεσχόμεθα ἐς τοὺς Ἕλληνας,

οὐκ ἄλλον τινὰ ἆθλον] Schol. τὸ ἆθλον αὐτοῖς καὶ οἷον ἐπινίκιον οὐδὲν ἄλλο ἢ ὑμεῖς γενήσεσθε δουλωθέντες οἱ τῆς νίκης αἴτιοι. Ἆθλον igitur neutrius generis est, neque cum eo iungendum ἄλλον τινὰ, sed ita intelligendum: *non alium quemquam praemium* sive *pro praemio accipient*. Tum ἡ αἰτία τῶν κινδύνων est id, quod paulo superius dixit: τῇ ἀπουσίᾳ οὐκ ἠμύνατε σωθῆναι. Sequentia sic exponit Schol. σκεψάμενοι οὖν ἔλεσθε ἢ εὐθὺς δουλεύειν τοῖς Ἀθηναίοις χωρὶς κινδύνων, ἢ μεθ' ἡμῶν στάντες καὶ κρατήσαντες μήτε ὑπ' ἐκείνων ἀτίμως δουλωθῆναι, τήν τε πρὸς ἡμᾶς ἔχθραν ἐκεργεῖν, μὴ ἂν μικρὰν γενομένην, εἰ Ἀθηναίοις συμμαχήσετε. Iunge αἱρεῖσθε κἂν μὴ λαβεῖν, wählt es *vielleicht* nicht zu Herren zu bekommen etc. Et „insolenter hic ἀκινδύνως adverbium qualitatis, ab adiectivo usitato ductum pro hoc adiectivo positum est, quod alibi in adverbiis loci ac temporis et parvis particulis fit. Vix tamen ausim sollicitare. Sic ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ ἀληθῶς φῶς edidit Stallb. Plat. Paedon. c. 58. (De ἰδίᾳ conf. 1, 68. 95.) Non plane similia verba χρημάτων βιαιότερον φορά c. 85.“ Popp. Verba τὴν πρὸς ἡμᾶς ἔχθραν non possunt alium sensum habere, nisi τὴν ἐν τοῖς πρὸς ἡμᾶς ἀφ' ἡμῶν ἔχθραν, quod utut novitate notabile est, non aliter tamen accipienda sunt verba 4, 51. ποιησάμενοι πρὸς Ἀθηναίους πίστεις et 5, 105. τῆς πρὸς τὸ θεῖον εὐμενείας. Quare h. l. non praeferendum est ὑμᾶς, quod est in Ald. Flor. Bas., quod omni auctoritate librorum scriptorum caret.

82. Ἴωνες ἀεί ποτε πολέμιοι] v. Od. Muell. Dor. 1. p. 186. Verbis Ἴωνες ὄντες respondet ad illa Hermocratis c. 80. ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων. Vid. Valck. ad Herodot. 3, 56. Mox ἥκιστ' ἄν nonnulli libri, quod restitutum vult Krueg. ad Dionys. p. 98. provocans ad Popp. 1, 1. p. 160., ubi quaeritur, num futuro ἄν addi possit, id quod Popp. probat allatis his exemplis: 2, 80. bis, 5, 15. 6, 20. add 1, 140. al. et Spohn. in Isocr. Panegyr. 48., quibus Popp. adiungit Matth. §. 598. 2. d. Mox in αὐτῶν ὑπακουσόμεθα pronomen αὐτῶν post subiectum, quod iam praecesserat, repetitum, ut 4, 93. τῷ Ἱπποκράτει ὄντι περὶ τὸ Δήλιον ὡς αὐτῷ ἠγγέλθη, ὅτι Βοιωτοὶ ἐπέρχονται. Similior etiam locus 1, 114., quia post alium casum subiecti alius casus pronominis sequitur: καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων, ἠγγέλθη αὐτῷ. Praesenti loco genitivus pronominis adiicitur, quia verbum ὑπακούειν duplicem structuram admittit, ut docet Matth. §. 362. 4. et adn. 2., ubi tamen minus apte affert Hom. Il. 16, 128. ὅττι οἱ οὐκ ἤκουσε μέγας θεὸς εὐξαμένοιο, nam ibi εὐξαμένοιο est genitivus absolutus et supplendum αὐτοῦ, als er flehte. Variatam autem verbi structuram Matth. Misc. Philol. Vol. 2. p. 7. illustrat loco Aesch. Ag. 670. ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς ἀνδρῶν Ἀχαιῶν ναυτικῶν τ' ἐρειπίων, ubi postremum genitivum pendere ait ab ἀνθοῦν, ut quod cum eo casu strui possit, quem verba *plenum esse* significantia requirunt, quum solennius dativum assumat. Quamquam hic locus etiam aliam explicationem admittit. Sed addit Hom. Od. ρ. 554. μεταλλῆσαί τι ἑ θυμὸς Ἀμφὶ πόσει κέλεται καὶ κήδεά περ πεπαθυίῃ, pro πεπαθυῖαν, quia κελεύειν τινά et τινί dicitur. Ut porro praesenti loco subiectum per additum pronomen repetitur, sic saepe pronomen demonstrativum post relativum additur, id quod notum est ex adnotatione Hermanni ad Vig. p. 708, 28., quem v. etiam ad Soph. Phil. 315., quem tamen locum Matth. p. 867. 1. aliter explicat. Adde Grotef. Gr. Lat. §. 145. 3., interpp. ad Lucian. D. Mar. 3, 1. Vol. 2. p. 355. Bip. Fisch. ad Well. 2. p. 235. et apud Matth. p. 822. §. 440. 6. exemplum ex Plat. Parmen. p. 134. C. Adde Matth. p. 881. sq. Paulo post ὑπὸ βασιλεῖ sine articulo dedi, quem om. libri quamplurimi. Vid. Buttm. Gr. med. §. 124. adn. 3. (ed. 13.) Et οἰκοῦμεν „est idem quod διάγομεν, we continue to go on so etc. v. adn. ad 2. 37.“ Arn. Denique ἐς τὸ ἀκριβὲς εἰπεῖν idem est, quod ὡς ἀκριβῶς εἰπεῖν, ut monet Matth. p. 1069.

καὶ διότι καὶ τῷ Μήδῳ ἑτοίμως τοῦτο δρῶντες οὗτοι ἡμᾶς ἔβλαπτον, ἅμα δὲ τῆς πρὸς Πελοποννησίους ἰσχύος ὀρεγόμενοι. καὶ οὐ καλλιεπούμεθα ὡς ἢ τὸν βάρβαρον μόνοι καθελόντες εἰκότως ἄρχομεν ἢ ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε μᾶλλον ἢ τῶν ξυμπάντων τε καὶ τῇ ἡμετέρᾳ αὐτῶν κινδυνεύσαντες. πᾶσι δὲ ἀνεπίφθονον τὴν προσήκουσαν σωτηρίαν ἐκπορίζεσθαι. καὶ νῦν τῆς ἡμετέρας ἀσφαλείας ἕνεκα καὶ ἐνθάδε παρόντες ὁρῶμεν καὶ ὑμῖν ταὐτὰ ξυμφέροντα. ἀποφαίνομεν δὲ ἐξ ὧν οἵδε τε διαβάλλουσι καὶ ὑμεῖς μάλιστα ἐπὶ τὸ φοβερώτερον ὑπο-

83. καὶ οὐ καλλιεπούμεθα] F. cod. Bas. Gr. In Lugd. καλλοεπούμεθα, rec. man. καλλιεπούμεθα cum ιω super ι. Vulgo οὐκ ἄλλῳ ἐπόμεθα. Ex ceteris libris It. Cl. Ven. οὐκ ἄλλο ἑπόμεθα, Vat. οὐκ ἄλλο ἑπόμεθα, Pal. οὐκ αλλο ἑπομεθα, marg. Steph. οὐκ ἄλλῳ ἑσόμεθα. „*Neque ornata nos oratione iactamus, quod merito tenemus principatum, qui soli barbarorum vim profligaverimus* etc. Rarius illud καλλιεπεῖσθαι usurpatur a Platone, cuius in Apologia Socrates p. 17. B. se negat adhibiturum κεκαλλιεπημένους λόγους ῥήμασί τε καὶ ὀνόμασιν. Scriptor Hipparchi, Platonis studiosissimus Vol. 2. p. 225. C. τῶν σοφῶν ῥημάτων meminit, ὧν οἱ δεξιοὶ περὶ τὰς δίκας καλλιεποῦνται. Agathon ὁ καλλιεπής est in Arist. Thesm. 52.“ Valck. Diatr. in Eurip. Rell. p. 291. B. v. Krueg. ad Dionys. p. 17. Bloomf. praeterea verbum affert ex Theophilo Sim. p. 76. D. et Schol. in Eurip. Hec. 382. Mox τὴν προσήκουσαν σωτηρίαν dicit salutem, quam sibi ipsam parare civitatem decet, et servare, ut indignam vel ab aliis impetrare vel alii civitati servire. Mox ταὐτὰ ξυμφέροντα est in uno Pal. Vulgo ταῦτα, „pro quo potius τοῦτο (τὸ παρεῖναι) et deinde ξυμφέρον exspectaremus.“ Popp.

ἀποφαίνομεν δέ] Schol. τοῦ Ἑρμοκράτους Ἀθηναίους διαβαλόντος ὡς οὐχ ὑγιῶς τοὺς μὲν ἐν Εὐβοίᾳ Χαλκιδεῖς καταδεδουλωμένους, τοῖς δὲ ἐν Σικελίᾳ ἐπαγγελλομένους ἐλευθερίαν, ὁ Ἀθηναῖος οὐκ ἀρνούμενος, ἀλλ' ὁμολογῶν, τεχνικῶς διαλύει τὸ ἐπιχείρημα. πρὸς μὲν γὰρ τὸν ἐκεῖ, φησί, πόλεμον αὐτοί τε ἀρκοῦμεν, καὶ οἱ ἐν Εὐβοίᾳ Χαλκιδεῖς, οὕτως ἡμῖν δεδουλωμένοι, ὥστε δύναμιν μὲν καὶ παρασκευὴν οὐκ ἔχειν, δι' ἧς ἐπιθήσονται ἡμῖν, χρήματα δὲ ἔχοντες εἰσφέρειν εἰς τὸν πρὸς Πελοποννησίους πόλεμον. οἱ δὲ ἐνθάδε ἐλεύθεροί τε καὶ αὐτόνομοι ὄντες, καὶ δύναμιν ἔχοντες, μάλιστα ἡμῖν εἰσὶν ὠφέλιμοι. Series sententiarum haec esse videtur: Dignos, ait, nos censemus esse imperio, quod in socios exercemus, duabus de causis, quia ut nos animum maxime strenuum in bello Persico exseruimus, ita hi in servitium regis et in damnum nostrum proni erant. Deinde ut tuti simus a Peloponneso, socios imperio coercemus. Nec verum consilium, quo id tuemur, speciosis vocabulis obtegimus, nihil nisi saluti nostrae consulentes. Qua de causa item in Siciliam venimus, cernimusque nobis et sociis nostris in Sicilia eadem conducere. Id quod intelligimus ex iis, quae Hermocrates modo nobis exprobravit, quasi Siciliam ope sociorum in servitium redacturi adessemus. Cuius licet calumniis perterriti, o Camarinaei, paulisper nutabitis, postremo tamen, quum rei gerendae tempus aderit, utilitatis studium vincet, a nobisque stabitis illius verborum obliti. Quippe nos et in Graecia imperium securitatis causa constituimus, et hic propter eandem causam cum amicis nostris statum rerum componemus, non nostrae potestatis vestram insulam facere volentes, sed ne id per Syracusanos fiat, caventes. Conf. totam orationem legati Attici inde ab 1, 73., quae argumentum praesenti oratione non diversum tractat, et maxime 75. init. coll. 5, 89.

νοεῖτε, εἰδότες τοὺς περιδεῶς ὑποπτεύοντας τι λογου μὲν ἡδονῇ τὸ παραυτίκα τερπομένους, τῇ δ' ἐγχειρήσει ὕστερον τὰ ξυμφέροντα πράσσοντας. τήν τε γὰρ ἐκεῖ ἀρχὴν εἰρήκαμεν διὰ δέος ἔχειν καὶ τὰ ἐνθάδε διὰ τὸ αὐτὸ ἥκειν μετὰ τῶν φίλων ἀσφαλῶς καταστησόμενοι, καὶ οὐ δουλωσόμενοι, μὴ παθεῖν δὲ μᾶλλον τοῦτο κωλύσοντες. ὑπολάβῃ δὲ μηδεὶς ὡς οὐδὲν προσῆκον 84
ὑμῶν κηδόμεθα, γνοὺς ὅτι σωζομένων ὑμῶν καὶ διὰ τὸ μὴ ἀσθενεῖς ὑμᾶς ὄντας ἀντέχειν Συρακοσίοις ἧσσον ἂν τούτων πεμψάντων τινὰ δύναμιν Πελοποννησίοις ἡμεῖς βλαπτοίμεθα. καὶ ἐν τούτῳ προσήκετε ἤδη ἡμῖν τὰ μέγιστα. διόπερ καὶ τοὺς Λεοντίνους εὔλογον κατοικίζειν μὴ ὑπηκόους ὥρπερ τοὺς ξυγγενεῖς αὐτῶν τοὺς ἐν Εὐβοίᾳ, ἀλλ' ὡς δυνατωτάτους, ἵνα ἐκ τῆς σφετέρας ὅμοροι ὄντες τοῖσδε ὑπὲρ ἡμῶν λυπηροὶ ὦσι. τὰ μὲν γὰρ ἐκεῖ καὶ αὐτοὶ ἀρκοῦμεν πρὸς τοὺς πολεμίους, καὶ ὁ Χαλκιδεύς, ὃν ἀλόγως ἡμᾶς φησι δουλωσαμένους τοὺς ἐνθάδε ἐλευθεροῦν, ξύμφορος ἡμῖν ἀπαράσκευος ὢν καὶ χρήματα μόνον φέρων, τὰ δὲ ἐνθάδε καὶ Λεοντῖνοι καὶ οἱ ἄλλοι φίλοι ὅτι μάλιστα αὐτονομούμενοι. ἀνδρὶ δὲ τυράννῳ ἢ πόλει ἀρ- 85
χὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ,τι ξυμφέρον οὐδ' οἰκεῖον ὅ,τι μὴ πιστόν· πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. καὶ ἡμᾶς τοῦτο ὠφελεῖ ἐνθάδε, οὐκ ἢν τοὺς φίλους κακώσωμεν, ἀλλ' ἢν οἱ ἐχθροὶ διὰ τὴν τῶν φίλων ῥώμην ἀδύνατοι ὦσιν. ἀπιστεῖν δὲ οὐ χρή. καὶ γὰρ τοῖς ἐκεῖ ξυμμάχοις ὡς ἕκαστοι χρήσιμοι ἐξηγούμεθα, Χίους μὲν καὶ Μηθυμναίους νεῶν παροχῇ αὐτονόμους, τοὺς δὲ πολλοὺς χρημάτων βιαιότερον φορᾷ, ἄλλους δὲ καὶ πάνυ ἐλευθέρως ξυμ-

84. διὰ τὸ μὴ — ὄντας] Structura duplici modo expediri potest, vel ut sit διὰ τὸ ἀντέχειν Συρακοσίοις, ὅτι οὐκ ἀσθενεῖς ἐσιε ἀντέχειν, vel ut διὰ τὸ μὴ ἀσθενεῖς ὄντας ἀντέχειν sit pro διὰ τὸ μὴ ἀσθενεῖς εἶναι ἀντέχειν, ut 5, 7. διὰ τὸ καθημένους est pro διὰ τὸ καθῆσθαι. Arn. Illud syntaxis, hoc sententia commendat. Mox ἀλόγως iunge cum ἐλευθεροῦν, auf eine unconsequente Art, auf eine Art, die sich nicht wohl rechtfertigen lässt, befreien wollen.

85. τοῖς ἐκεῖ ξυμμάχοις] Dativum servat longe maxima pars librorum, vulgo τοὺς — ξυμμάχους. Verbum ἐξηγεῖσθαι, quod duobus tantum Thucydidis locis accusativum assumsisse videtur (hic et 1, 71.), dativum pariter atque accusativum h. l. adiunctum habet, quia utroque modo verbum construi licebat. v. Matth. §. 360. Deinde omnes libri Thucydidis παροχῇ, at Suidas et Phavor. in παρακωχή, Phot. in παροκωχή legunt παρακωχῇ. „Nec displicet: Dionys. alterum tuetur. Ioseph. Antt. 17, 9, 5. ὡς ἐπεπόμφει γράμματα, συνῆγεν ἐπὶ παρακωχῇ γνωμῶν τοὺς φίλους.“ Wass. Mox supple: καὶ πρὸς τὸ ἐς Συρακουσίους δέος, ὃ λέγομεν. Dein ἐπὶ τῷ — ὑπόπτῳ est wenn sie euch durch das Mittel, uns bei euch in Verdacht zu bringen, auf ihre Seite gebracht haben. Hinc paulo post dicit ἦν ξυστῆτε πρὸς αὐτούς. Et ἄρξαι est sich die Herrschaft erwerben. Schol. καὶ βούλονται, ὑπόπτους ἡμᾶς ποιήσαντες ὑμῖν, καὶ διαβαλόντες, ὑφ' αὑτοῖς ποιήσασθαι τὴν Σικελίαν, ἤτοι βίᾳ κρατήσαντες ὑμῶν, ἢ μόνους ἀπολαβόντες, ἡμῶν ἀπράκτων ἀπελθόντων.

μαχοῦντας, καίπερ νησιώτας ὄντας καὶ εὐλήπτους, διότι ἐν χωρίοις ἐπικαίροις εἰσὶ περὶ τὴν Πελοπόννησον. ὥστε καὶ τἀνθάδε εἰκὸς πρὸς τὸ λυσιτελοῦν, καὶ ὃ λέγομεν, ἐς Συρακοσίους δέος, καθίστασθαι. ἀρχῆς γὰρ ἐφίενται ὑμῶν, καὶ βούλονται ἐπὶ τῷ ἡμετέρῳ ξυστήσαντες ὑμᾶς ὑπόπτῳ, βίᾳ ἢ καὶ κατ' ἐρημίαν, ἀπράκτων ἡμῶν ἀπελθόντων αὐτοὶ ἄρξαι τῆς Σικελίας. ἀνάγκη δέ, ἢν ξυστῆτε πρὸς αὐτούς· οὔτε γὰρ ἡμῖν ἔτι ἔσται ἰσχὺς τοσαύτη ἐς ἓν ξυστᾶσα εὐμεταχείριστος, οὔθ' οἵδ' ἀσθενεῖς ἂν ἡμῶν μὴ παρόντων πρὸς ὑμᾶς εἶεν. 36 καὶ ὅτῳ ταῦτα μὴ δοκεῖ, αὐτὸ τὸ ἔργον ἐλέγχει. τὸ γὰρ πρότερον ἡμᾶς ἐπηγάγεσθε οὐκ ἄλλον τινὰ προσείοντες φόβον ἢ εἰ περιοψόμεθα ὑμᾶς ὑπὸ Συρακοσίοις γενέσθαι, ὅτι καὶ αὐτοὶ κινδυνεύσομεν. καὶ νῦν οὐ δίκαιον, ὥπερ καὶ ἡμᾶς ἠξιοῦτε λόγῳ πείθειν, τῷ αὐτῷ ἀπιστεῖν, οὐδ' ὅτι δυνάμει μείζονι πρὸς τὴν τῶνδε ἰσχὺν πάρεσμεν ὑποπτεύεσθαι, πολὺ δὲ μᾶλλον τοῖσδε ἀπιστεῖν. ἡμεῖς μέν γε οὔτε ἐμμεῖναι δυνατοὶ μὴ μεθ' ὑμῶν, εἴ τε καὶ γενόμενοι κακοὶ κατεργασαίμεθα, ἀδύνατοι κατασχεῖν διὰ μῆκός τε πλοῦ καὶ ἀπορίᾳ φυλακῆς πόλεων μεγάλων καὶ τῇ παρασκευῇ ἠπειρωτίδων· οἵδε δὲ οὐ στρατοπέδῳ πόλει δὲ μείζονι τῆς ἡμετέρας παρουσίας ἐποικοῦντες ὑμῖν

86. *προσείοντες φόβον*] *προσείειν* dicuntur pastores, quum frondem manu quatientes, quo volunt, ducunt. Duk. Lucian. Hermot. 68. Vol. 4. p. 91. Bip. *καὶ εἴ ποτε τοιαύτην τινὰ δύναμιν καὶ τέχνην πορισάμενος ἦρεις ἐπὶ τὴν ἐξέτασιν τῶν λεγομένων· εἰ δὲ μή, ει ἴσθι, ὡς οὐδὲν κωλύσει σε τῆς ῥινὸς ἕλκεσθαι ὑφ' ἑκάστων, ἢ θαλλῷ προδειχθέντι ἀκολουθεῖν ὥσπερ τὰ πρόβατα.* Iubet Duk. adire Casaub. ad Athenae. 1, 19. p. 25. B., ubi commentator utitur loco Platonis Phaedr. c. 10., quem explicat Herm. ad Vig. p. 892., Hesychio in *προσείσας* et Lucian. l. c. „Hinc fortassis, Dukeri verba sunt, potest duci *προσείειν φόβον*, quasi dicas *metu ostenso aliquo compellere*, vel ab iis, qui ad terrorem hosti incutiendum gladios et hastas vibrant, quod *τὰ ξίφη καὶ τὰ δόραια προσείειν* dicit Aelian. V. H. 12, 23., sed pleraque alia cum *σείω* composita significationem minarum et metus habent, *φόβον ἀνασείοντες* Pollux 1, 151. *οὐ Δαρεῖον οὐδὲ Πέρσας ἐπισείων, nec Darii nec Persarum metu eos terrens* Plut. V. Them. c. 4.“ Priorem explicationem Dukeri veriorem esse, satis ostendi verbo *ἐπηγάγεσθε*, monuit Ruhnk. ad Timae. p. 137. (qui est de hac voce omnium uberrimus), unde clarum esse ait, hanc locutionis Thucydideae vim esse: *obiecto et ostentato metu, qui aliunde immineat, ad suas partes traducere.*

ἠπειρωτίδων] Schol. *καὶ οὐ δυνάμενοι φυλάττειν πόλεις μεγάλας καὶ παρασκευὴν ἠπειρωτικὴν παρεσκευασμένας, τουτέστιν ἱππεῦσι καὶ πεζῷ ἰσχυούσας, αὐτοὶ ναυτικοὶ ὄντες.* Et *τῆς ἡμετέρας παρουσίας* „est idem quod *τοῦ ἡμετέρου στρατοπέδου νῦν παρόντος*, abstracto, quod dicunt obtinente pro concreto, ut in *ξυμμαχία* c. 73.“ Arn. Ad *ὑπάρχουσαν* supple *σωτηρίαν*. Et *πολλοστὸν μόριον* est ein Bruch mit einem grossen Nenner, ac proinde pars totius alicuius exigua, ut adnotavit Arn. allato Buttm. Gr. max. §. 71. 7. adn. 5. Mox *ὅτε οὐδὲν ἔτι περανεῖ* Schol. recte exponit: *ὅτε οὐδὲν ὄφελος ἔσται βοηθείας.* Bloomf. idem profert ex Eurip. Phoen. 592. Suppl. 584. Rhes. 445. Xen. H. Gr. 9, 8. 6. Aeschin. p. 36.

ἀεί τε ἐπιβουλεύουσι καὶ ὅταν καιρὸν λάβωσιν ἑκάστου οὐ ἀνιᾶσιν· ἔδειξαν δὲ καὶ ἄλλα ἤδη καὶ τὰ ἐς Λεοντίνους· καὶ νῦν τολμῶσιν ἐπὶ τοὺς ταῦτα κωλύοντας καὶ ἀνέχοντας τὴν Σικελίαν μέχρι τοῦδε μὴ ὑπ' αὐτοὺς εἶναι παρακαλεῖν ὑμᾶς ὡς ἀναισθήτους. πολὺ δὲ ἐπὶ ἀληθεστέραν γε σωτηρίαν ἡμεῖς ἀντιπαρακαλοῦμεν, δεόμενοι τὴν ὑπάρχουσαν ἀπ' ἀλλήλων ἀμφοτέροις μὴ προδιδόναι, νομίσαι τε τοῖσδε μὲν καὶ ἄνευ ξυμμάχων ἀεὶ ἐφ' ὑμᾶς ἑτοίμην διὰ τὸ πλῆθος εἶναι ὁδόν, ὑμῖν δ' οὐ πολλάκις παρασχήσειν μετὰ τοσῆδε ἐπικουρίας ἀμύνασθαι· ἢν εἰ τῷ ὑπόπτῳ ἢ ἄπρακτον ἐάσετε ἀπελθεῖν ἢ καὶ σφαλεῖσαν, ἔτι βουλήσεσθε καὶ πολλοστὸν μόριον αὐτῆς ἰδεῖν, ὅτε οὐδὲν ἔτι περανεῖ παραγενόμενον ὑμῖν. ἀλλὰ μήτε ὑμεῖς, 37 ὦ Καμαριναῖοι, ταῖς τῶνδε διαβολαῖς ἀναπείθεσθε μήτε οἱ ἄλλοι· εἰρήκαμεν δ' ὑμῖν πᾶσαν τὴν ἀλήθειαν περὶ ὧν ὑποπτεύομεθα, καὶ ἔτι ἐν κεφαλαίοις ὑπομνήσαντες ἀξιώσομεν πείθειν. φαμὲν γὰρ ἄρχειν μὲν τῶν ἐκεῖ, ἵνα μὴ ὑπακούωμεν ἄλλου, ἐλευθεροῦν δὲ τὰ ἐνθάδε, ὅπως μὴ ὑπ' αὐτῶν βλαπτώμεθα, πολλὰ δ' ἀναγκάζεσθαι πράσσειν, διότι καὶ πολλὰ φυλασσόμεθα, ξύμμαχοι δὲ καὶ νῦν καὶ πρότερον τοῖς ἐνθάδε ὑμῶν ἀδικουμένοις οὐκ ἄκλητοι παρακληθέντες δὲ ἥκειν. καὶ ὑμεῖς μήθ' ὡς δικασταὶ γενόμενοι τῶν ἡμῖν ποιουμένων μήθ' ὡς σωφρονισταί, ὃ χαλεπὸν ἤδη, ἀποτρέπειν πειρᾶσθε, καθ' ὅσον δέ τι ὑμῖν τῆς ἡμετέρας πολυπραγμοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει, τούτῳ ἀπολαβόντες χρήσασθε, καὶ νομίσατε μὴ πάντας ἐν ἴσῳ βλάπτειν αὐτά, πολὺ δὲ πλείους τῶν Ἑλλήνων καὶ ὠφελεῖν. ἐν παντὶ γὰρ πᾶς χωρίῳ καὶ ᾧ μὴ ὑπάρχομεν

87. *πολυπραγμοσύνης*] Vocabulum et in laude ponitur et in vitio. Suidas in v. *ὁ πολυπράγμων οὐδέπω φανερὰν ἁμαρτίαν σημαίνειν δοκεῖ· εἴγε πολυπράγμων μέν ἐστιν ὁ ἐν πολλοῖς κυλιόμενος πράγμασι. δύναται δὲ τοῦτο καὶ ἀπὸ τύχης τινὶ περιγενέσθαι.* Praeco Thebanus apud Euripidem Suppl. 576. ad Theseum regem: *πράσσειν σὺ πόλλ' εἰωθας, ἥ τε σὴ πόλις.* Cui Theseus respondet: *τοίγαρ ποιοῦσα πολλὰ, πόλλ' εὐδαιμονεῖ*, ubi vid. Markl. ibique laudatos a Porsono. Convertas interdum Vielthuerei, interdum Vorwitz, de quibus largiter commentatus est Plut. in libello de *πολυπραγμοσύνῃ*. Hic Euphemus, cui scriptor haec verba mandavit, intelligit *industriam*, (Unternehmungsgeist). Negat A. Gell. N. A. 11, 16. vocabulum Graecum uno Latino reddi posse: *quum diutule tacitus in cogitando fuissem, respondi tandem, non videri mihi significari eam rem posse uno nomine: et idcirco iuncta oratione, quid vellet Graecum id verbum pararam dicere; ad multas igitur res adgressio earumque omnium rerum actio πολυπραγμοσύνη, inquam, Graece dicitur.* Atque paulo inferius ita iterum vim verbi circumscribit: *varia promiscuaque et non necessaria rerum cuiuscemodi plurimarum et cogitatio et petitio.* Paulo inferius *τὸ αὐτὸ* „plane est Latinum *idem, simul: sicubi et hoc habet sedulitas nostra, ut simul, nobis dum inservit, vobis eadem prosit.*“ Bau. Pronomen in verbis *βλάπτειν αὐτά* refer ad duo proxime praecedentia substantiva *πολυπραγμοσύνη* et *τρόπος*.

ἐν παντὶ — χωρίῳ, καὶ ᾧ] i. e. *καὶ ἐν ᾧ μὴ ὑπάρχομεν, etiam*

9'

ὅ τε οἰόμενος ἀδικήσεσθαι καὶ ὁ ἐπιβουλεύων διὰ τὸ ἑτοίμην ὑπεῖναι ἐλπίδα τῷ μὲν ἀντιτυχεῖν ἐπικουρίας ἀφ' ἡμῶν, τῷ δὲ εἰ ἥξομεν μὴ ἀδεεῖς εἶναι κινδυνεύειν, ἀμφότεροι ἀναγκάζονται ὁ μὲν ἄκων σωφρονεῖν, ὁ δ' ἀπραγμόνως σώζεσθαι. ταύτην οὖν τὴν κοινὴν τῷ τε δεομένῳ καὶ ὑμῖν νῦν παροῦσαν ἀσφάλειαν μὴ ἀπώσησθε, ἀλλ' ἐξισώσαντες τοῖς ἄλλοις μεθ' ἡμῶν τοῖς Συρακοσίοις ἀντὶ τοῦ ἀεὶ φυλάσσεσθαι αὐτοὺς καὶ ἀντεπιβουλεῦσαί ποτε ἐκ τοῦ ὁμοίου μεταλάβετε.

88 Τοιαῦτα δὲ ὁ Εὔφημος εἶπεν. οἱ δὲ Καμαριναῖοι ἐπεπόνθεσαν τοιόνδε. τοῖς μὲν Ἀθηναίοις εὖνοι ἦσαν, πλὴν καθ' ὅσον εἰ τὴν Σικελίαν ᾤοντο αὐτοὺς δουλώσεσθαι, τοῖς δὲ Συ-

ubi non versamur ita, ut statim praesto esse possimus: velut in Graecia statim praesto esse poterant, non item in Sicilia, Africa etc. Schol. *ἐν πάσῃ γὰρ γῇ, καὶ ἧς οὐκ ἄρχομεν* (hanc scripturam habet H. s. v. cum *γρ.*), *οἵ τε ἐπιβουλεύοντες διὰ τὸν ἀφ' ἡμῶν φόβον σωφρονέστεροι γίγνονται, καὶ οἱ ἐπιβουλευόμενοι σώζονται χωρὶς πόνου.* Haack. praepositionem *ἀντί* in verbo *ἀνιτυχεῖν* putat spectare ad iniuriam adversarii *compensandam* auxilio Atheniensium. Vocabulum *ἐλπίς* etiam timorem significat, siquidem universam exspectationem futuri, quare 7, 61. est *τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν*, i. e. die Erwartung der Furcht. Pluralis *ἀδεεῖς* non potest referri, nisi ad Athenienses, et *κινδυνεύειν* est ab *κινδυνεύει, verosimile est, videtur.* Sensus igitur: *hic vero exspectat, videri nos, si veniemus, non fore eos, quos non formides.* Dobr. emendat *ἀδεές*, citra necessitatem; et ita convertit, quasi in Graecis sit: *τῷ δέ, εἰ ἥξομεν, μὴ οὐκ ἀδεὲς ἡ κίνδυνον εἶναι.* Herodot. 4, 105. *κινδυνεύουσι νόητες εἶναι*, ubi v. Valck. In supplendo *ἡμᾶς* nulla difficultas est, quia non ambiguum, quo referatur *ἀδεεῖς*, ut quod singulares et praecedant et sequantur, referendi illi ad *τὸν ἐπιβουλεύοντα* et *ἐπιβουλευόμενον*. Verbum *ἀναγκάζονται* convenit tantum cum altero sententiae membro: *ὁ μὲν ἄκων σωφρονεῖν*, minus cum altero *ἀπραγμόνως σώζεσθαι*. Aut zeugma est, et posterius membrum sic explendum: *ὁ δὲ δύναται ἀπραγμόνως σώζεσθαι*, aut sic cogitandum: alterum propter imminens ab insidiante libertati suae periculum cogi *ad Athenienses confugere* et sine negotio servari. In verbis *τῷ τε δεομένῳ* traiectio particulae est; verus enim verborum ordo hic est: *τὴν κοινὴν τε τῷ δεομένῳ καὶ ὑμῖν νῦν παροῦσαν ἀσφάλειαν* etc. Propter *ἐξισώσαντες* Herm. comparat Soph. El. 1194. *μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ*, utroque enim loco hoc verbum neutralem significationem habet. *Ἴσα πράττει* apud Sophoclem Suidas v. *ἐξισοῖ* interpretatur. Schol. *ἀλλ' ἐξισωθέντες καὶ ὁμοιωθέντες τοῖς ἄλλοις ἀνθρώποις, τοῖς οὐ μόνον φυλάττεσθαι τοὺς ἀδικοῦντας ἀλλὰ καὶ ἀντεπιβουλεύειν τοῖς προεπιβουλεύουσιν εἰθισμένοις, καὶ αὐτοὶ πρὸς τοὺς Συρακουσίους μεθ' ἡμῶν στάντες τοῦ αὐτοῦ μεταλάβετε, τουτέστιν ἀντεπιβουλεύσαιτε αὐτοῖς.* Non probo hanc postremam interpretationem, quae desiderat *καὶ τοῦ ἀντεπιβουλεῦσαι.* Puto hanc vim verbi *μεταλάβετε* esse: *μεταλαβόντες ἔλεσθε.*

88. *πλὴν καθ' ὅσον εἰ*] C. Dan. *εἰς* pro *εἰ*, Lugd. *καί*. Reisk. *εἰ* deleri iubet; Haack. uncis inclusit, ex Scholio (ubi *πλὴν εἰ*) ortum ratus. Arn ita tuetur: „quidni aliquis dicat: *praeterquam quatenus forte cogitabant* (except so far as they *might think*), *periculum esse, ne Sicilia potiantur.* Hic enim est ipse sensus verborum *εἰ ᾤοντο*, quae significant non vere ita cogitasse, sed potuisse: et quatenus forte sic cogitabant, eorum erga Athenienses studium segnius fiebat." Mox

ρακοσίοις ἀεὶ κατὰ τὸ ὅμορον διάφοροι· δεδιότες δ' οὐχ ἧσσον τοὺς Συρακοσίους ἐγγὺς ὄντας μὴ καὶ ἄνευ σφῶν περιγένων-

vulgo legebatur *δοκῶσιν εἶναι*, emendavit Valck. Diatr. in Eurip. Rell. p. 77. C., ubi formulam *πολὺ, πλέον τινὶ νεῖμαι, multum, plus alicui tribuere* illustrat. Arn. comprobat ex 3, 1. init. 48. init. Pro *τὰ καθ' ἑαυτούς* alii libri *τὸ καθ' ἑαυτούς* „i. e. *pro virili* sive *omni ope*, ut hic Valla, ut in *τὸ καθ' ἐμέ* et aliis huius generis. Vulgata tamen satis defendi potest. Herodian. 3, 1. *ὁ μὲν δὴ Νίγρος οὕτως ἐξήρτυε τὰ καθ' ἑαυτὸν ἀσφαλέστατα καὶ προμηθέστατα.*" Duk. Addit Popp. 1, 82. *τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι* et Bau. respondere infra *τὰ πρὸς τοὺς Σικελούς*. Tum ad *ἀφειστήκεσαν* supple *τῶν Συρακοσίων*, quamquam Schol. *οὐ τῶν Συρακουσίων*, ait, *ἀφειστήκεσαν, ἀλλ' οἱ ἐν τοῖς πεδίοις οἰκοῦντες ἀφεστήκεσαν καὶ οὐ προσεχώρουν τοῖς Ἀθηναίοις.* Ac Bloomf. et Arn. supplent *τοῦ πολέμου*, quemadmodum 7, 7. legitur *ἀφεστήκει τοῦ πολέμου, a bello abstinuerat.* Hoc vero per verba scriptoris fieri non licet, quia sic imperfectum requiritur, *ἀφίσταντο τοῦ πολέμου, bello se non immiscebant*, et *τῶν Συρακοσίων* suppleri verba *τῶν δὲ — εὐθύς, πλὴν ὀλίγοι, μετὰ τῶν Ἀθηναίων ἦσαν*, ex adverso, ut infra videbimus, posita, postulant, et defectionem Siculorum a Syracusanis, quod hi durius imperabant, etiam in superiori bello factam esse novimus ex 3, 103., quo accedit locus 7, 58. *βαρβάρων δὲ Σικελοὶ μόνοι, ὅσοι μὴ ἀφέστασαν πρὸς τοὺς Ἀθηναίους* (socii sc. Syracusanorum erant), quae verba ne quis de Siculis liberis, qui mediterranea habitabant, accipiat, meminerit, liberos non posse dici defecisse. Et in aliis quoque partibus insulae, velut circa Gelam Siculi Atheniensibus initio belli favebant, ut apparet ex 7, 1. Nihilominus Syracusanis in fide steterunt Inessaei, Hyblaei 6, 94. et fortasse alii plures, nam probabiliter G. Canter. N. L. 8, 16. pro *οἱ πολλοί* reponendum censet *οὐ πολλοί*, nam et oppositionis ratio inter *οἱ μὲν ὑπήκοοι* et *τῶν δὲ τὴν μεσόγειαν ἐχόντων αὐτόνομοι* etc. sic postulat, et verisimile est, eos qui aliorum imperio parebant, non facile dominos mutare potuisse, eos autem, qui libertate fruebantur, multo se facilius ad quascunque vellent partes contulisse, ut Canter. monuit, et cognitum nobis est ex hoc scriptore 3, 103., Syracusanos *κατὰ κράτος* in Siculos sibi subiectos imperasse, et eo consilio agrum suum compluribus castellis et praesidiis muniverant 6, 45. Partim etiam voluntarii Siculi in fide Syracusanorum manebant, ut docent proxima verba huius loci. Serius tamen ex his sive sponte parentibus sive parere coactis Centoripes ab Atheniensibus certis conditionibus se dedere coguntur 6, 94. et una cum Alicyaeis causam Atheniensium strenue adiuvant 7, 32. Vides, quatuor praecipuas sedes Siculorum initio in fide Syracusanorum mansisse, Inessaeos, inquam, Hyblaeos, Centoripes, Alicyaeos, urbes hae omnes ad radices Aetnae sitae erant, ac primum quidem Hybla non procul Catana; Inessa, prius Aetna dicta, octoginta stadia ab Catana remota ad ascensum ipsum montis Aetnae: prope ab Inessa Centoripa sita fuerunt, v. Strab. 6. p. 412. B. p. 420. A. Alm. De situ et vel nomine Alicyaeorum dubitatur. Quum igitur praecipua in planis terrae circa Aetnam a partibus Syracusanorum fuerint, quid restat, nisi ut *οὐ πολλοί* Siculi in hoc tractu ad Athenienses defecerint? Contra *οἱ πολλοί* foret *plerique!* Serius demum plures Siculi in partes Atheniensium transierunt post victorias horum 6, 103., et partim rem Atheniensium equitibus iuverunt 6, 98. Ceterum Thucydides solet scribere *μεσόγειαν* per *ει*, non per *αι*, vid. 1, 100. 120. 2, 102. 3, 95. 7, 80. Hic tamen omnes libri habent per *αι*, praeter Mosqu., qui fert *μεσόγεαν*. vid. adn. ad 3, 95. Dein iure Bekk. desiderare videtur *αἱ οἰκήσεις*. „Ver-

ται, τό τε πρῶτον αὐτοῖς τοὺς ὀλίγους ἱππέας ἔπεμψαν καὶ τὸ λοιπὸν ἐδόκει αὐτοῖς ὑπουργεῖν μὲν τοῖς Συρακοσίοις μᾶλλον ἔργῳ ὡς ἂν δύνωνται μετριώτατα, ἐν δὲ τῷ παρόντι, ἵνα μηδὲ τοῖς Ἀθηναίοις ἔλασσον δοκῶσι νεῖμαι, ἐπειδὴ καὶ ἐπικρατέστεροι τῇ μάχῃ ἐγένοντο, λόγῳ ἀποκρίνασθαι ἴσα ἀμφοτέροις. καὶ οὕτω βουλευσάμενοι ἀπεκρίναντο, ἐπειδὴ τυγχάνει ἀμφοτέροις οὖσι ξυμμάχοις σφῶν πρὸς ἀλλήλους πόλεμος ὤν, εὔορκον δοκεῖν εἶναι σφίσιν ἐν τῷ παρόντι μηδετέροις ἀμύνειν. καὶ οἱ πρέσβεις ἑκατέρων ἀπῆλθον.

Καὶ οἱ μὲν Συρακόσιοι τὰ καθ' ἑαυτοὺς ἐξηρτύοντο ἐς τὸν πόλεμον· οἱ δ' Ἀθηναῖοι ἐν τῇ Νάξῳ ἐστρατοπεδευμένοι τὰ πρὸς τοὺς Σικελοὺς ἔπρασσον ὅπως αὐτοῖς ὡς πλεῖστοι προσχωρήσονται. καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον τῶν Σικελῶν ὑπήκοοι ὄντες τῶν Συρακοσίων οἱ πολλοὶ ἀφειστήκεσαν· τῶν δὲ τὴν μεσόγαιαν ἐχόντων αὐτόνομοι οὖσαι καὶ πρότερον ἀεὶ [αἱ] οἰκήσεις εὐθὺς πλὴν ὀλίγοι μετὰ τῶν Ἀθηναίων ἦσαν καὶ σῖτόν τε κατεκόμιζον τῷ στρατεύματι καὶ εἰσὶν οἳ καὶ χρήματα. ἐπὶ δὲ τοὺς μὴ προσχωροῦντας οἱ Ἀθηναῖοι στρατεύοντες τοὺς μὲν προσηνάγκαζον, τοὺς δὲ καὶ ὑπὸ τῶν Συρακοσίων φρουρούς τε πεμπόντων καὶ βοηθούντων ἀπεκωλύοντο. τόν τε χειμῶνα μεθορμισάμενοι ἐκ τῆς Νάξου ἐς τὴν Κατάνην καὶ τὸ στρατόπεδον ὃ κατεκαύθη ὑπὸ τῶν Συρακοσίων αὖθις ἀνορθώσαντες διεχείμαζον. καὶ ἔπεμψαν μὲν ἐς Καρχηδόνα τριήρη περὶ φιλίας, εἰ δύναιντό τι ὠφελεῖσθαι, ἔπεμψαν δὲ καὶ ἐς Τυρσηνίαν, ἔστιν ὧν πόλεων ἐπαγγελλομένων

13. τῶν ναυτῶν τῶν μέν] Sequi debebat τῶν δὲ θεραπόντων — αὐτομολούντων, sed structura variata est, ut aliis locis innumeris, v. Krueg. Comm. Thuc. c. 1. p. 263., ubi locum 8, 78. pertractat, et Matth. §. 288. extr. §. 565. 2. Mox θεράποντες sunt ὑπηρέται et ὑπηρεσία strictiori sensu i. e. ministri nautarum, v. adn. ad 6, 31. Sic θεράποντες militum sunt 4, 16. Boettiger. Exc. 2. ad Terent. Eun. p. 45. adn. negat τοὺς ξένους ἀναγκαστούς, qui h. l. sequuntur, peregrinos vi coactos esse, sed mercenarios, ideinque ex statim sequentibus apparere. Sed haec ipsa, quae statim sequuntur, demonstrant, hic peregrinos ad militiam vi adactos distingui a mercenariis. De proximis οἱ μὲν — οἱ δὲ — οἱ μὲν — οἱ δὲ v. Matth. p. 626. sq. Hi peregrini statim (εὐθύς) abierunt κατὰ τὰς πόλεις, (ein jeder in seine Heimath), at qui magna mercede conducti exercitum sequebantur, primo inducti lucro manserunt, donec res Atheniensium labebatur. Vides ex adverso poni εὐθύς et ἐπειδὴ ὁρῶσιν, et εὐθύς cum ἀποχωροῦσιν iungendum esse. Mox si προφάσει cum Arnoldo accipias sensu *occasionis*, quo apud Herodot. 4, 79. esse dicit, nullum discrimen erit inter eos, qui ἐπὶ προφάσει abeunt, et qui ὡς ἕκαστοι δύνανται. Praepositionem ἐπί plerique interpretes iungunt cum προφάσει, quam tamen iungendam puto cum αὐτομολίας, hoc sensu: alios cum aliquo praetextu castris desertis transfugisse, alios, ut cuique abeundi copia facta est, ne praetextu quidem usos abiisse. Quod discrimen quum animadvertere neglexisset, Reisk. tentavit vel λιθολογίας, vel ὑλοκοπίας, at Lindav. Spicil. p. 12. miro conatu scribit ἐπ' αὐτοτελείας προφάσει, specioso scilicet praetextu volens eos abiisse, se suis sumtibus vivere velle, et sibimet ipsos commercio victum parare. Posse tamen defendi vulgatam arbitratur, „si quis explicet eos abiisse praetextu repetendorum eorum, qui exercitum deseruissent; verum mirum fuisse, si singuli homines ex hostium praesidiis aliisque Siciliae civitatibus transfugas se repetituros professi essent, ducesque iis credidissent.“ At illud, credo, concesserint non civibus militantibus, sed peregrinis mercede conductis, exercitum deserere, quod scilicet venissent non mercede militatum, sed mercaturae causa, *bellum cauponantes, non belligerantes.* Quae brevissima profecto via hominibus fuisset, in vincula meandi. Quae occasiones, quique illi praetextus fuerint deserendorum ordinum, Plut. exponit loco ad praesentem illustrandum aptissimo Vit. Aem. P. 23. τῶν δὲ (αὐτομολούντων) ὁ μέν τις ὑπόδημα προσποιούμενος λελυμένον συνάπτειν, ὁ δὲ ἵππον ἄρδειν, ὁ δὲ ποτοῦ χρῆζειν, ὑπολειπόμενοι κατὰ μικρὸν ἀπεδίδρασκον. Qui praetextus si cui videantur tantum in exercitum sese fuga recipientem, qualis loco isto Persei regis Macedoniae exercitus erat, cadere, similes tamen praetextus multi cogitari possunt, quibus milites exercitus non se recipientis uterentur. Itaque sic converto: *alii cum praetextu aliquo, alii, prout singulis facultas obfertur, transfugiunt.* Προφάσει idem est, quod προφάσει τινί, ut 6, 8. προφάσει εὐπρεπεῖ. 79., ubi invitis libris permultis praepositionem ἐν intrudunt in verbis ὑμεῖς δ' εὐλόγῳ προφάσει etc. His adde Caes. B. G. 1, 39. *hic* (timor) *primum ortus est a tribunis militum, praefectis reliquisque, qui ex urbe amicitiae causa Caesarem secuti suum periculum miserabantur, quod non magnum in re militari usum habebant: quorum alius alia causa, quam sibi ad proficiscendum necessariam esse* (i. e. qua sibi proficiscendi necessitatem impositam esse) *diceret, petebat, ut eius voluntate discedere liceret.* Arn. ita interpretatur: *usi aliquo praetextu, cur castra sua deseruerint*, „finding some excuse for going over to the enemy i. e. usi commercio licentiori, quod intercedere solet inter procubitores duorum exercituum, qui per aliquantum temporis inter se vicinam stationem habent, eamque occasionem nacti intra hostium praesidium se conferebant, ibique remanebant.“ Quod si scriptor dicere volebat, profecto verbo ἀπέρχονται minus apto usus est, et mirum, si transfugae transfugium apud hostes excusabant. Poppo ceterum meam interpretationem probans tamen ἐπ' αὐτομολίᾳ vel αὐτομολίαις desiderat, quod sane foret et commodius grammatica ratione, et minus ambiguum. Paulo post πολλὴ ἡ Σικελία intelligendum *ampla Sicilia est*, v. Dorv. ad Charit. p. 317. Mox αὐτοί est für ihre Person (Handel treibend), et suo loco (ὑπὲρ σφῶν) mancipia imponenda navibus curantes. „Haec commixtio mercaturae et belli necessario consequebatur ex illa institutione, qua militia magis usitatas alicuius occupationes vitae interrumpebat, quam vitae genus erat, quod profiteretur. Non aliter cognoscimus ex memoria antiquiori rerum Romanarum, iacturam militum, quum Romanum praesidium Anxure subito adventu hostium opprimeretur, exiguam fuisse, *quia praeter aegros lixarum in modum omnes per agros vicinasque urbes negotiabantur*, Liv. 5, 8. At quum longa bella civilia et morum mutatio effecissent, ut militiam rite profiterentur suum peculiare vitae genus, quemadmodum fit recen-

παγὴν μακρὰν καὶ ὑδρείαν ὑπὸ τῶν ἱππέων ἀπολλυμένων· οἱ δὲ θεράποντες, ἐπειδὴ ἐς ἀντίπαλα καθεστήκαμεν, αὐτομο-

λοῦσι, καὶ οἱ ξένοι οἱ μὲν ἀναγκαστοὶ ἐρβάντες εὐθὺς κατα
τὰς πόλεις ἀποχωροῦσιν, οἱ δὲ ὑπὸ μεγάλου μισθοῦ τὸ πρῶ-
τον ἐπαρθέντες καὶ οἰόμενοι χρηματιεῖσθαι μᾶλλον ἢ μαχεῖ-
σθαι, ἐπειδὴ παρὰ γνώμην ναυτικόν τε δὴ καὶ τἆλλα ἀπὸ τῶν
πολεμίων ἀνθεστῶτα ὁρῶσιν, οἱ μὲν ἐπ' αὐτομολίας προφάσει
ἀπέρχονται, οἱ δὲ ὡς ἕκαστοι δύνανται· πολλὴ δ' ἡ Σικελία·
εἰσὶ δὲ οἳ καὶ αὐτοὶ ἐμπορευόμενοι ἀνδράποδα Ἴκκαρικὰ ἀν-
τεμβιβάσαι ὑπὲρ σφῶν πείσαντες τοὺς τριηράρχους τὴν ἀκρί-
14 βειαν τοῦ ναυτικοῦ ἀφῄρηνται. ἐπισταμένοις δ' ὑμῖν γράφω
ὅτι βραχεῖα ἀκμὴ πληρώματος καὶ ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορ-
μῶντές τε ναῦν καὶ ξυνέχοντες τὴν εἰρεσίαν. τούτων δὲ πάν-
των ἀπορώτατον τό τε μὴ οἷόν τε εἶναι ταῦτα ἐμοὶ κωλῦσαι
τῷ στρατηγῷ, χαλεπαὶ γὰρ αἱ ὑμέτεραι φύσεις ἄρξαι, καὶ ὅτι
οὐδ' ὁπόθεν ἐπιπληρωσόμεθα τὰς ναῦς ἔχομεν, ὃ τοῖς πολε-
μίοις πολλαχόθεν ὑπάρχει, ἀλλ' ἀνάγκη ἀφ' ὧν ἔχοντες ἤλθο-
μεν τά τε ὄντα καὶ ἀπαναλισκόμενα γίγνεσθαι· αἱ γὰρ νῦν
οὖσαι πόλεις ξύμμαχοι ἀδύνατοι Νάξος καὶ Κατάνη. εἰ δὲ
προσγενήσεται ἔν ἔτι τοῖς πολεμίοις, ὥστε τὰ τρέφοντα ἡμᾶς
χωρία τῆς Ἰταλίας, ὁρῶντα ἐν ᾧ τε ἐσμέν, καὶ ὑμῶν μὴ ἐπι-
βοηθούντων, πρὸς ἐκείνους χωρῆσαι, διαπολεμήσεται αὐτοῖς
ἁμαχεὶ ἐκπολιορκηθέντων ἡμῶν ὁ πόλεμος.

Τούτων ἐγὼ ἡδίω μὲν ἂν εἶχον ὑμῖν ἕτερα ἐπιστέλλειν,
οὐ μέντοι χρησιμώτερά γε, εἰ δεῖ σαφῶς ὑμᾶς εἰδότας τὰ ἐν-
θάδε βουλεύσασθαι. καὶ ἅμα τὰς φύσεις ἐπιστάμενος ὑμῶν,
βουλομένων μὲν τὰ ἥδιστα ἀκούειν, αἰτιωμένων δὲ ὕστερον,
ἤν τι ὑμῖν ἀπ' αὐτῶν μὴ ὁμοῖον ἐκβῇ, ἀσφαλέστερον ἡγησά-
15 μην τὸ ἀληθὲς δηλῶσαι. καὶ νῦν ὡς ἐφ' ἃ μὲν ἤλθομεν τὸ
πρῶτον καὶ τῶν στρατιωτῶν καὶ τῶν ἡγεμόνων ὑμῖν μὴ μεμ-

tiori aetate, Paulo apostolo dicere licuit 2 Tim. 2, 4. *οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.*" ARN. De his, qui Hyccaris capti sunt, vide 6, 62. et adn. ad Philist. fragm. 5. p. 151. coll. fragm. 43. p. 166. Timae. fragm. 26. p. 231. fragm. 72. p. 269. sq. Denique *τὴν ἀκρίβειαν* intelligo die Pünktlichkeit, Genauigkeit im Dienst, cui similis est locutio 6, 55. *ἐς δὲ τοὺς ἐπικούρους ἀκριβές.*

14. *βραχεῖα ἀκμή*] Recte Did. cum Haackio et Osiandro: que l'élite des equipages est peu nombreuse, quod ipse scriptor explicat addens *ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορμῶντες* etc. i. e. *pauci sunt nautarum, qui sciant et navis cursum incitare, et remigium moderari*, et his verbis designantur nautae strictiori sensu dicti, de quibus v. adn. ad 6, 31. Dorv. ad Charit. p 271. interpretatur: *ex statione educere*, quasi ab ὅρμος sit, quod fieri nequit. *Ξυνέχειν τὴν εἰρεσίαν* maxime *τῶν κελευστῶν* erat. Et *ἀφ' ὧν ἔχοντες* etc. est: *ἀπὸ τούτων, ἃ ἔχοντες ἤλθομεν*, sondern wir sehen uns genöthigt, bloss von dem, was wir mitgebracht haben, unseren Vorrath und Verbrauch herzunehmen i. e. unseren Vorrath zum Verbrauch, *τὰ ὄντα εἰς τὸ ἀπαναλίσκειν.* Tum *ἐκπολιορκηθέντων ἡμῶν* non figurate dictum est, sed significat proprie *nobis expugnatis.* v. adn. ad 6, 34.

πτῶν γεγενημένων οὕτω τὴν γνώμην ἔχετε· ἐπειδὴ δὲ Σικε-
λία τε ἅπασα ξυνίσταται καὶ ἐκ Πελοποννήσου ἄλλη στρατιὰ
προσδόκιμος αὐτοῖς, βουλεύεσθε ἤδη ὡς τῶν γ' ἐνθάδε μηδὲ
τοῖς παροῦσιν ἀνταρκούντων, ἀλλ' ἢ τούτους μεταπέμπειν δέον
ἢ ἄλλην στρατιὰν μὴ ἐλάσσω ἐπιπέμπειν καὶ πεζὴν καὶ ναυ-
τικήν, καὶ χρήματα μὴ ὀλίγα, ἐμοὶ δὲ διάδοχόν τινα, ὡς ἀδύ-
νατός εἰμι διὰ νόσον νεφρῖτιν παραμένειν. ἀξιῶ δ' ὑμῶν ξυγ-
γνώμης τυγχάνειν· καὶ γὰρ ὅτ' ἐρρώμην πολλὰ ἐν ἡγεμονίαις
ὑμᾶς εὖ ἐποίησα. ὅ,τι δὲ μέλλετε, ἅμα τῷ ἦρι εὐθὺς καὶ μὴ
ἐς ἀναβολὰς πράσσετε, ὡς τῶν πολεμίων τὰ μὲν ἐν Σικελίᾳ δι'
ὀλίγου πριουμένων, τὰ δ' ἐκ Πελοποννήσου σχολαίτερον μέν,
ὅμως δ', ἢν μὴ προσέχητε τὴν γνώμην, τὰ μὲν λήσουσιν ὑμᾶς,
ὥσπερ καὶ πρότερον, τὰ δὲ φθήσονται.

Ἡ μὲν τοῦ Νικίου ἐπιστολὴ τοσαῦτα ἐδήλου. οἱ δὲ Ἀθη- 16
ναῖοι ἀκούσαντες αὐτῆς τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρ-
χῆς, ἀλλ' αὐτῷ, ἕως ἂν ἕτεροι ξυνάρχοντες αἱρεθέντες ἀφί-
κωνται, τῶν αὐτοῦ ἐκεῖ δύο προσείλοντο, Μένανδρον καὶ Εὐ-
θύδημον, ὅπως μὴ μόνος ἐν ἀσθενείᾳ ταλαιπωρίῃ· στρατιὰν
δὲ ἄλλην ἐψηφίσαντο πέμπειν καὶ ναυτικὴν καὶ πεζικήν, Ἀθη-
ναίων τε ἐκ καταλόγου καὶ τῶν ξυμμάχων. καὶ ξυνάρχοντας
αὐτῷ εἵλοντο Δημοσθένην τε τὸν Ἀλκισθένους καὶ Εὐρυμέ-
δοντα τὸν Θουκλέους. καὶ τὸν μὲν Εὐρυμέδοντα εὐθὺς περὶ
ἡλίου τροπὰς τὰς χειμερινὰς ἀποπέμπουσιν ἐς τὴν Σικελίαν
μετὰ δέκα νεῶν, ἄγοντα εἴκοσι τάλαντα ἀργυρίου, καὶ ἅμα

15. *ὡς — οὕτω τὴν γνώμην ἔχετε*] i. e. *hoc persuasum habete, nec milites nec duces spernendos se exhibuisse.* Recte Arn. *μέμφομαι* intelligit to depreciate, to consider as inefficient or of no account, ut ap. Herodot. 1, 77. 7, 48. et de structura horum verborum consule Matth. p. 1123. sq. Porro difficile est ad decernendum, utrum legendum sit *ἀνταρκούντων, adversus illos, ut illis resistant*, an *αὐταρκούντων, per se ipsi, soli, suismet viribus*, non summissis auxiliis, ut Bau. interpretatur. Schol. *μηδὲ πρὸς τοὺς ἐνθάδε πολεμίους ἀντέχειν δυναμένων.* Dativus *τοῖς παροῦσι* magis cum *ἀνταρκ.* convenire visus est. Et *νεφρῖτις* renum dolor est. „Hippocr. de Intern. Affect. c. 15—18. quatuor huius morbi genera enumerat, quo qui laborant, eos dicit acri dolore affici inter vesicam exonerandam, ubi urina non redditur, quia calculus intus se opposuit. Nos dicimus Steinschmerzen. Morbus auctore Hippocrate sanatur, calculis, qui nephritin efficiunt, exsecandis." BRED. Paulo post in verbis *ὡς τῶν πολεμίων — φθήσονται* rursus structura variatur. Vid. Krueg. ad Dionys. p. 264. Formam *σχολαίτερον* Atticorum esse Duk. docuit ex Eustath. ad Hom. Od. *φ'*. p. 1905. Rom. et Etym. M. in *αἰδοιέστατος* et *γεραίτερος.*

16. *οὐ παρέλυσαν*] Suidas et Phot. *παρέλυσαν, ἀπήλλαξαν, μετέστησαν*, allatis his verbis Thucydidis. Conf. interpp. ad Herodot. 7, 38. De pleonasmo *αὐτοῦ ἐκεῖ* conf. Schaef. ad Greg. Cor. p. 873. Ilgen. ad Hom. Hymn. p. 319. et adn. ad 5, 83. Ex verbis *περὶ ἡλίου τροπὰς τὰς χειμερινάς* corrigendus Diod. 13, 8., ubi v. Wess.

εἴκοσι τάλαντα] *καὶ ἑκατόν* addunt post *εἴκοσι* H. Vall. Diod. l. c. Eurymedontem mitti facit cum talentis centum quadraginta. „Scripturam libri H. et Vallae dignam, quae recipiatur, esse censent praeter

ἀγγελοῦντα τοῖς ἐκεῖ ὅτι ἥξει βοήθεια καὶ ἐπιμέλεια αὐτῶν ἔσται. ὁ δὲ Δημοσθένης ὑπομένων παρεσκευάζετο τὸν ἔκπλουν,

alios Bred. et Bened., refragante Viro docto in Diurnis Liter. Ienens. Auctar. 1813. nr. 82., sed alterum eius argumentum nititur depravata scriptura Diodori θερινάς pro χειμερινάς, quam vel statim ibi sequentia redarguunt; alterum levissimum est. Contendit enim, summam centumviginti talentorum grandiorem esse, quum instante vere maiores copiae mittendae essent; quum tamen Thucydides manifesto dicat, Athenienses tunc quidem argentum misisse (haud dubie quod in aerario praesto erat); in posterum autem naves et milites (βοήθειαν) se missuros ostendisse. Conf. c. 26. 42. Hi enim et conscribendi et armis instruendi erant, illae remigio implendae et rebus necessariis. Atque summa viginti talentorum, quae nostrae pecuniae duodetriginta millia Ioachimiacorum (Thaler) aequant, nimis exigua fuerit pro tanto exercitu et nautico apparatu. Quare verba καὶ ἑκατόν per compendiariam scripturam obliterata et in textum restituenda censeo.“ Haack. Demosthenes quidem c. 17. init. narratur sociis non solum milites navesque imperasse, sed etiam pecunias, verum c. 20. 26. 31. 33. 35., ubi navigatio eius et collectio navium militumque refertur, et ne cap. 42. quidem, ubi adventus eius Syracusis memoratur et copiae, quas afferebat, recensentur, in enumeratione nullae pecuniae allatae inveniuntur. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 197. et C. I. Vol. 1. p. 208. ad hunc locum Thucydidis refert partem inscriptionis Gr. nr. 144. p 206. 208.:

Prytania VIII. §. 2. Ἐπὶ τῆς Ἀντιοχίδος ὀγδόης πρυτανευούσης, τριτη [καὶ δεκάτη ἡμέρᾳ τῆς πρυτανείας, Ἑλληνοταμίαις — κράι — ει Εὐωνυμεῖ καὶ ξυνάρχουσι Η.. οὗτοι δ' ἔδοσαν.....

§. 3. Ἐπὶ τῆς Ἀντιοχίδος ὀγδόης πρυτανευούσης, εἰκοσ [τῇ ἡμέρᾳ τῆς πρυτανείας, Ἑλληνοταμίαις, — κρά-τει Εὐωνυμεῖ καὶ ξυνάρχουσι, ἐς τὰ·[ς] ναῦς τὰς ἐς Σι [κελίαν.....

„Post Ἑλληνοταμίαις, ait Boeckh., excidit ἐδόθη et initium nominis ....κράτει. summa permagna est; intemeratum mansit Η, *centum talenta*; reliquae duae notae vitiatae sunt, nec possunt restitui. In extremo Σι me iudice Sicilia quaerenda est. Circa solstitium hibernum Ol. 91, 3. (414.) versus finem Dec. magna in Siciliam expeditio missa est, cui parandae ea potuerunt inservire, quae pryt. IV. in militum usum erogata sunt: solstitium hibernum enim in quintam prytaniam incidet. Expensas prytaniae VIII. §. 1. retuleris ad Pyli praesidiarios. Sed vere eius anni Ol. 91, 3. (413.) triginta naves in Peloponnesum, navesque et hoplitae atque argentum armaque et tormenta in Siciliam mittuntur (Thuc. 7, 17. 20.): in quod tempus incidit octava prytania, in qua §. 2. plus quam centum talenta simul numerata sunt, et alia pecunia in naves τὰς ἐς Σι..... quod expleo Σικελίαν. Pecunia quanta in Siciliam tum missa sit, non traditur: attamen quum Diod. Eurymedontem centum quadraginta talenta attulisse dicat, Thucydides autem eidem nonnisi viginti talenta data narret; quid obest, quominus dicamus, Demosthenem, qui Eurymedontis collega fuit, et qui vere eius anni cum magna illa expeditione in Siciliam missus est, centum viginti talenta secum apportasse? Quod satis accurate convenit expensis prytaniae VIII. §. 2.“ Mirari tamen subit, Thucydidem, scriptorem ita diligentem, minorem summam memorasse, maiorem non item. „Viginti talenta stipendio menstruo viginti navium (6, 8.) suffecissent; quum vero classis plus centum navibus consisteret, ut taceam copias terrestres, tam exigua summa non suffecisset uni hebdomadi. Praeterea vere huius anni Ol. 91, 2. (414.) legimus trecenta talenta simul in Siciliam missa esse 6, 94., ut parum verisimile sit, Niciam, quum

ὡς ἅμα τῷ ἦρι ποιησόμενος, στρατιάν τε ἐπαγγέλλων ἐς τοὺς ξυμμάχους καὶ χρήματα αὐτόθεν καὶ ναῦς καὶ ὁπλίτας ἑτοιμάζων. πέμπουσι δὲ καὶ περὶ τὴν Πελοπόννησον οἱ Ἀθηναῖοι 17
εἴκοσι ναῦς, ὅπως φυλάσσοιεν μηδένα ἀπὸ Κορίνθου καὶ τῆς Πελοποννήσου ἐς τὴν Σικελίαν περαιοῦσθαι. οἱ γὰρ Κορίνθιοι, ὡς οἵ τε πρέσβεις αὐτοῖς ἦκον καὶ τὰ ἐν τῇ Σικελίᾳ βελτίω ἤγγελλον, νομίσαντες οὐκ ἄκαιρον καὶ τὴν προτέραν πέμψιν τῶν νεῶν ποιήσασθαι, πολλῷ μᾶλλον ἐπέρρωντο, καὶ ἐν ὁλκάσι παρεσκευάζοντο αὐτοί τε ἀποστελοῦντες ὁπλίτας ἐς τὴν Σικελίαν, καὶ ἐκ τῆς ἄλλης Πελοποννήσου οἱ Λακεδαιμόνιοι τῷ αὐτῷ τρόπῳ πέμψοντες. ναῦς τε οἱ Κορίνθιοι πέντε καὶ εἴκοσιν ἐπλήρουν, ὅπως ναυμαχίας τε ἀποπειράσωσι πρὸς τὴν ἐν τῇ Ναυπάκτῳ φυλακήν, καὶ τὰς ὁλκάδας αὐτῶν ἧσσον οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι κωλύοιεν ἀπαίρειν, πρὸς τὴν σφετέραν ἀντίταξιν τῶν τριήρων τὴν φυλακὴν ποιούμενοι.

Παρεσκευάζοντο δὲ καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν οἱ 18
Λακεδαιμόνιοι, ὥσπερ τε προεδέδοκτο αὐτοῖς, καὶ τῶν Συρα-

largam summam pecuniae vehementer postulasset, exiguum subsidium viginti talentorum accepisse. Adde, quod Diod. tradit summam ab Eurymedonte advectam centum quadraginta talentorum fuisse: nec fieri potest, ut hac summa pecuniam postea cum Demosthene transmissam comprehenderit, quia rursus pecuniam memorat, ubi de altero apparatu loquitur.“ Arn., qui inscriptionem a Boeckhio huc relatam nimis incertam putat, quam ut ea pro argumento utaris, nec putat ea vulgatam scripturam h. l. defendi posse, etiamsi recte ad hanc expeditionem Siculam referatur. Argumenta eius non satis mihi valida videntur: et Diodorum quidem constat res saepe non suis temporibus ponere, et easdem res sub variis temporibus referre. Alterum argumentum Arn. cum Haackio commune habet. Tametsi cum Eurymedonte minor summa submissa esse videri possit reputantibus, praeviam illum bellicum apparatum eundemque minorem fuisse, possitque inde colligi, item minorem pecuniae summam cum minori apparatu missam esse, quum praesertim intra paucos menses venturum maius auxilium ostenderetur: quae autem cum Demosthene sunt missa, ea ultima Atheniensium virium contentione missa sunt. Non credere licet, Demosthenem cum tanto apparatu sine pecunia venisse, vel tacente Thucydide. Certe re tam incerta vulgatam intactam relinquere melius duxi.

17. ὁπλίτας ἐς τὴν Σικελίαν] Vat. H. Vulgo ἐν τῇ Σικελίᾳ. v. adn. ad 3, 71. et Matth. p. 1141. sq. Dobr. et Popp. legi voluerunt τοῖς ἐν τῇ Σικελίᾳ, ut est c. 18. vers. fin. Vulgatam Arn. Graecis imperii Byzantini tribuit, qui libros veterum vel excerpebant, vel transscribebant, et sui aevi usum in veterum scripta inferebant. Mox in verbis πρὸς τὴν σφετέραν ἀντίταξιν pronomen possessivum pro personali, σφετέραν pro σφῶν est, cuius usus plurima exempla suppeditant Krueg. ad Dionys. p. 45. sq. et Seidl. ad Eurip. El. 668. Mens Corinthiorum haec fuit, ut naves onerariae fuga in Siciliam elaberentur, dum Athenienses, qui Naupactum tenebant, animis intenti essent in pugnam cum navibus suis viginti quinque, contra Atheniensium naves oppositis, subeundam.

18. ὥσπερ — προεδέδοκτο] vid. 6, 93. Paulo inferius τὰς σπονδάς intellige τὰς τριακοντούτεις, αἳ ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν 1, 23. 115. Athenienses ad ius praebendum certe verbis se profitebantur

κοσίων καὶ Κορινθίων ἐναγόντων, ἐπειδὴ ἐπυνθάνοντο τὴν ἀπο
τῶν Ἀθηναίων βοήθειαν ἐς τὴν Σικελίαν, ὅπως δὴ ἐσβολῆς
γενομένης διακωλυθῇ. καὶ ὁ Ἀλκιβιάδης προσκείμενος ἐδίδα-
σκε τὴν Δεκέλειαν τειχίζειν καὶ μὴ ἀνιέναι τὸν πόλεμον. μά-
λιστα δὲ τοῖς Λακεδαιμονίοις ἐγεγένητό τις ῥώμη, διότι τοὺς
Ἀθηναίους ἐνόμιζον διπλοῦν τὸν πόλεμον ἔχοντας, πρός τε
σφᾶς καὶ Σικελιώτας, εὐκαθαιρετωτέρους ἔσεσθαι, καὶ ὅτι τὰς
σπονδὰς προτέρους λελυκέναι ἡγοῦντο αὐτούς· ἐν γὰρ τῷ προ-
τέρῳ πολέμῳ σφέτερον τὸ παρανόμημα μᾶλλον γενέσθαι, ὅτι
ἐς Πλάταιαν ἦλθον Θηβαῖοι ἐν σπονδαῖς, καὶ εἰρημένον ἐν
ταῖς πρότερον ξυνθήκαις ὅπλα μὴ ἐπιφέρειν, ἢν δίκας ἐθέλωσι
διδόναι, αὐτοὶ οὐχ ὑπήκουον ἐς δίκας προκαλουμένων τῶν
Ἀθηναίων. καὶ διὰ τοῦτο εἰκότως δυστυχεῖν τε ἐνόμιζον καὶ
ἐνεθυμοῦντο τήν τε περὶ Πύλον ξυμφορὰν καὶ εἴ τις ἄλλη
αὐτοῖς γένοιτο. ἐπειδὴ δὲ οἱ Ἀθηναῖοι ταῖς τριάκοντα νανσὶν
ὁρμώμενοι Ἐπιδαύρου τι καὶ Πρασιῶν καὶ ἄλλα ἐδῄωσαν καὶ
ἐκ Πύλου ἅμα ἐληστεύοντο, καὶ ὁσάκις περί του διαφοραὶ γέ-
νοιντο τῶν κατὰ τὰς σπονδὰς ἀμφισβητουμένων, ἐς δίκας προ-
καλουμένων τῶν Λακεδαιμονίων οὐκ ἤθελον ἐπιτρέπειν, τότε
δὴ οἱ Λακεδαιμόνιοι νομίσαντες τὸ παρανόμημα ὅπερ καὶ σφίσι
πρότερον ἡμάρτητο, αὖθις ἐς τοὺς Ἀθηναίους τὸ αὐτὸ περιε-
στάναι, πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον. καὶ ἐν τῷ χειμῶνι
τούτῳ σίδηρόν τε περιήγγελλον κατὰ τοὺς ξυμμάχους, καὶ
τἄλλα ἐργαλεῖα ἡτοίμαζον ἐς τὸν ἐπιτειχισμόν. καὶ τοῖς ἐν τῇ
Σικελίᾳ ἅμα ὡς ἀποπέμψοντες ἐν ταῖς ὁλκάσιν ἐπικουρίαν, αὖ-

paratos esse 1, 144. 145. Et *ἐνεθυμοῦντο* est *in memoriam revocabant, recordabantur*. Hoc ne confunde cum formula *ἐνθύμιον ποιεῖσθαι*, cuius vim exposuit Valck. Animadvv. ad Ammon. p. 76. Haec enim significat *aliquid ominosum habere, in religionem trahere*. Conf. c. 51. Duk. ad h. l. et Valck. ad Herodot. 2, 175. Deinde nonnulli libri *εἴ τις — ἐγένετο*, probante Poppone, nam vulgatam magis significare *si* sive *quoties qua alia eveniret*, quam *si qua alia evenerat* sive *evenisset*. Fallitur: nam *quoties qua alia eveniret* Graece est *εἴ τις ἄλλη γίγνοιτο*. Optativum aoristi *γένοιτο* tuentur ea, quae docet Matth. §. 524. 5. et p. 952. extr. Verba *ταῖς τριάκοντα νανσὶν* referuntur ad illam expeditionem, quae memoratur 6, 105. Articulus additus est, quia de his navibus ex praegressa narratione constat. v. Matth. §. 267. (ubi leg. 6, 43.) Bekk. in ed. stereot. edidit ex Vat. H. *ταῖς τριάκοντα νανσὶν ἐξ Ἄργους ὁρμώμενοι*, quae apud Vallam in *ex agro profecti* depravata sunt. Arn. hoc additamentum tuetur, quia res quidem non claris verbis 6, 105., quo haec referuntur, relata est, sed tamen his verbis ibi positis continetur: *ἀναχωρησάντων δὲ τῶν Ἀθηναίων ἐκ τοῦ Ἄργους*, quae indicare videntur, naves primo Athenis Argos transmissas esse, et hinc Argis ad expeditionem ad litora Laconicae processisse. Mox *ἐληστεύοντο* Popp. activo sensu accipiens, ut Athenienses subiectum sint, scripturam Vat. *ἐλήστευον* non improbat, quia medium huius verbi nusquam legatur; Arn. *ἐληστεύοντο* passivo sensu accipiens Lacedaemonios subiectum facit et comparat 5, 14. *ληστευομένης τῆς χώρας ἐκ τῆς Πύλου*.

τοί τε ἐπόριζον καὶ τοὺς ἄλλους Πελοποννησίους προσηνάγκα-
ζον. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ὄγδοον καὶ δέκατον ἔτος τῷ
πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

Τοῦ δ' ἐπιγιγνομένου ἦρος εὐθὺς ἀρχομένου πρῳαίτατα δὴ 19
οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐς τὴν Ἀττικὴν ἐξέβαλον·
ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ
πρῶτον μὲν τῆς χώρας τὰ περὶ τὸ πεδίον ἐδῄωσαν, ἔπειτα Δε-
κέλειαν ἐτείχιζον, κατὰ πόλεις διελόμενοι τὸ ἔργον. ἀπέχει δὲ

19. *Δεκέλειαν*] Non recte ad hanc communitionem Deceleae, consilio Alcibiadis factam, Dahlm. Herodot. p. 43. refert locum Herodoti 9, 73., quo Wessel. vera docere poterat. Nam eo loco historicus attingit res belli Peloponnesiaci per Archidamum gestas, quando principio eius belli Atticam incursionibus infestam habuit, de quibus agit Thuc. 2, 10. Mox *καὶ οὐ πολλῷ* Vat. H. Lugd.? I. Vulgo om. *καί*. „Quare Reisk. aut hoc aut *ἤ* insertum cupiebat. Et Valla *tantundem aut non multo plus a Boeotia*. Heilmanno autem et Bauero verba *οὐ πολλῷ πλέον* aliquantum suspecta erant, quae Haack. uncis inclusit. Et sane *μεῖον* pro *πλέον* exspectes." Popp. *Καί* pro *ἤ* post *παραπλήσιον* non potest mirum videri lectoribus Thucydidis. At Haack. quaestionem movit, perhibens Deceleam propius a Boeotia sitam fuisse, quam Athenis et Danvill. in descriptione harum regionum; itemque Od. Muell. in tabula Boeotiae pone librum de Orchomeno atque in tabula Atticae ap. Ersch. et Grub. Encyclop. Vol. 6. Deceleam prope fines Boeotiae collocant. Manso Spart. 2. p. 225. adn. Deceleam aequo spatio trium mill. (120 stad.) Athenis et Thebis remotam fuisse scribit, nescio quo auctore. Od. Muell. in v. Attica p. 225. „Decelea, ait, respondens Corocleidiae, quae nunc est, ad clivum australem Parnethis sita, Athenis centum viginti stadia remota fuit. Eius situs talis erat, ut ex altera parte Thriasius campus, ex altera Cecropius [imo Cropius v. 2, 19.] incursionibus Spartanorum pateret. Conspicua erat Athenis, sicut Acharnae sexaginta stadiis inde remotae et sitae mediterranea versus ab Aegaleo monte venientibus." Fortasse Thucydidis mens fuit, Deceleam aequo intervallo Athenis et Oropo in confiniis Boeotiae remotam fuisse, quod verum esse, ex libris eorum, qui recentius has terras adierunt, cognoscas. Viginti stadia Arn. ait prope modum aequare 23000 cubita (yards), at Gu. Gellium intervallum inter Deceleam et Athenas tantum 19000 cubitorum ponere. „Postquam praeteriimus Pentelicum ad dexteram situm, per clivum virgultis obsitum radices Parnethis ascendere coepimus. Tum, emensi 4500 cubita, post ascensum magis arduum per pinetum, ad dexteram vidimus collem rotundum, separatum et tamen quodam genere isthinc cum Parnethe monte connexum, a quo colle paulum septentriones versus fons Tatoi est. Is collis est Decelea. A vertice Deceleae latus prospectus est planitiei tum Athenarum tum Eleusinis. Castellum iacet ad fauces angustiarum, quae per Parnethem Oropum patent, sita percommode ad intercipiendum commeatum, qui ex Euboea mitteretur." Gu. Gell. Itiner. Graec. p. 106. Arn. Dodwellum Vol. 1. p. 502. erroris arguit, quod intervallum Athenarum et Deceleae ponat circiter quindecim mill. Angl. Addit, se nullam computationem distantiae inter Deceleam et Oropum ac Delium nosse, coniicere tamen, Thucydidem distantiam computare ex via, quam Oropum euntes terere solebant. „Atqui, ait, si via descripta a Gandyo, ferens Oropo Athenas communiter nunc teritur, et non illa, quae rectior trans Parnethem montem fert, non video cur dicam, rectam sed magis montanam viam antiquitus praela-

ἡ Δεκέλεια σταδίους μάλιστα τῆς τῶν Ἀθηναίων πόλεως εἴκοσι καὶ ἑκατόν, παραπλήσιον δὲ καὶ οὐ πολλῷ πλέον καὶ ἀπὸ τῆς Βοιωτίας. ἐπὶ δὲ τῷ πεδίῳ καὶ τῆς χώρας τοῖς κρατίστοις ἐς τὸ κακουργεῖν ᾠκοδομεῖτο τὸ τεῖχος, ἐπιφανὲς μέχρι τῆς τῶν Ἀθηναίων πόλεως. καὶ οἱ μὲν ἐν τῇ Ἀττικῇ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐτείχιζον· οἱ δ' ἐν τῇ Πελοποννήσῳ ἀπέστελλον περὶ τὸν αὐτὸν χρόνον ταῖς ὁλκάσι τοὺς ὁπλίτας ἐς τὴν Σικελίαν, Λακεδαιμόνιοι μὲν τῶν τε Εἱλώτων ἐπιλεξάμενοι τοὺς βελτίστους καὶ τῶν νεοδαμωδῶν, ξυναμφοτέρων ἐς ἑξακοσίους ὁπλίτας, καὶ Ἔκκριτον Σπαρτιάτην ἄρχοντα, Βοιωτοὶ δὲ τριακοσίους ὁπλίτας, ὧν ἦρχον Ξένων τε καὶ Νίκων Θηβαῖοι καὶ Ἡγήσανδρος Θεσπιεύς. οὗτοι μὲν οὖν ἐν τοῖς πρῶτοι ὁρμήσαντες ἀπὸ τοῦ Ταινάρου τῆς Λακωνικῆς ἐς τὸ πέλαγος ἀφῆκαν· μετὰ δὲ τούτους Κορίνθιοι οὐ πολλῷ ὕστερον

tam esse. Atqui praesentem viam si quis ingrediatur, edita locorum inter Parnethem et Pentelicum, ad fontes Cephisi [apud Trinemeida, v. Od. Muell. in v. Attica p. 216.] et introitum planitiei Athenarum dicuntur propemodum in media via inter Oropum et Athenas esse; et in hac via, in editis locorum modo nominatis fortasse Decelea quaerenda est." Haec sine libro Gandyi non facile intelliguntur, nec magis, qui Od. Muell. s. v. Attica p. 220. dicere potuerit, Oropum Athenis commodo itinere diurno abesse, cum tantum duae viae Oropum Athenis ferrent, altera per Deceleam 240 stadiorum (ni fallunt modo dicta), altera per Marathona, eaque vel longior. Paulo inferius leguntur hoplitae ex Helotis lecti, quod quando et qua conditione factum sit, docet Od. Muell. Dor. 2. p. 37.

ἐν τοῖς πρῶτοι] libri omnes *ἐν τοῖς πρώτοις*. Reiz. de Accent. Incl. p. 17. Wolf. de formula *ἐν τοῖς πρῶτον, πρῶτοι* apud Platonem et Thucydidem frequentissima disserens, ibidem p. 20. allato loco praesenti se ait dubitare, an locis pluribus eiusdem scriptoris, certe hoc, corrigi debeat *ἐν τοῖς πρῶτοι*, nam omnium copiarum a Peloponnesiis in Siciliam eo bello missarum primas fuisse eas, de quibus ibi Thuc. loquatur, *ἐν τοῖς ὁρμήσασι πρῶτοι ὥρμησαν*. „Lectio, addit, vulgata sententiam habet aut nullam, aut falsam. Nam sive aliquid suppleas, nempe hoc supplendum erit, *ἐν τοῖς πρώτοις ὁρμήσασιν ὥρμησαν*. Hoc aut significat *ita profecti sunt, ut qui primi*, aut *inter primos profecti sunt*. Prius est nihil, posterius falsum. Nam soli, non cum aliis traiecerunt. Sive nihil suppleas, ecquid tum significare poterit *ἐν τοῖς πρώτοις*, quod hic locum habeat ullo modo? *inter proceres? — praecipue?*" Ex plurimis locis patet, formulam *ἐν τοῖς* librariis non intellectam turbas dedisse et effecisse, ut *ἐν τοῖς πρώτοις* subinde in libris appareret pro *ἐν τοῖς πρῶτοι — πρῶται — πρῶτον*, ut 7, 27., vel aliud quid; sic pro *ἐν τοῖς* ortum est *αὐτοῖς — ἐν αὐτοῖς — ἐν αὐταῖς* 3, 17. Eadem permutatio facta est in formula *ἐν τοῖς χαλεπώτατα* 7, 71., ubi nonnulli libri depravati sunt in scripturam *ἐν τοῖς χαλεπωτάτοις*, quo non minime probatur Reiskii correctio praesentis loci. Ceterum de illa formula *ἐν τοῖς* cum superlativo v. Wolf. ad Reiz. l. c. et Herm. ad Vig. p. 787. Mox ad *ἀφῆκαν* suppleo *τὰς ναῦς*. Bau. insolentiorem dicit huius vocis usum, et coniicit *ἀπῆραν*, ut infra *ταῖς ὁλκάσιν ἀπῆραν*. Addere poterat 8, 80. *αἱ νῆες ἀπάρασαι ἐς τὸ πέλαγος*. Sed Bloomf. vulgatae exempla ex Dione Cass., Euripide, Arriano, Herodoto, Plutarcho; Arn. ex Herodot. 7, 193. afferunt. In

πεντακοσίους ὁπλίτας, τοὺς μὲν ἐξ αὐτῆς Κορίνθου, τοὺς δὲ προσμισθωσάμενοι Ἀρκάδων, καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προστάξαντες, ἀπέπεμψαν. ἀπέστειλαν δὲ καὶ Σικυώνιοι διακοσίους ὁπλίτας ὁμοῦ τοῖς Κορινθίοις, ὧν ἦρχε Σαργεὺς Σικυώνιος. αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων αἱ τοῦ χειμῶνος πληρωθεῖσαι ἀνθώρμουν ταῖς ἐν τῇ Ναυπάκτῳ εἴκοσιν Ἀττικαῖς, ἕωσπερ αὐτοῖς οὗτοι οἱ ὁπλῖται ταῖς ὁλκάσιν ἀπὸ τῆς Πελοποννήσου ἀπῆραν· οὗπερ ἕνεκα καὶ τὸ πρότερον ἐπληρώθησαν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς ὁλκάδας μᾶλλον ἢ πρὸς τὰς τριήρεις τὸν νοῦν ἔχωσιν.

Ἐν δὲ τούτῳ καὶ οἱ Ἀθηναῖοι ἅμα Δεκελείας τῷ τειχισμῷ καὶ τοῦ ἤρος εὐθὺς ἀρχομένου περὶ Πελοπόννησον ναῦς τριάκοντα ἔστειλαν καὶ Χαρικλέα τὸν Ἀπολλοδώρου ἄρχοντα, ᾧ εἴρητο καὶ ἐς Ἄργος ἀφικομένῳ κατὰ τὸ ξυμμαχικὸν παρακαλεῖν Ἀργείων τε ὁπλίτας ἐπὶ τὰς ναῦς, καὶ τὸν Δημοσθένην ἐς τὴν Σικελίαν, ὥσπερ ἔμελλον, ἀπέστελλον ἑξήκοντα μὲν ναυσὶν Ἀθηναίων καὶ πέντε Χίαις, ὁπλίταις δὲ ἐκ καταλόγου Ἀθηναίων διακοσίοις καὶ χιλίοις, καὶ νησιωτῶν ὅσοις ἑκαστα-χόθεν οἷόν τ' ἦν πλείστοις χρήσασθαι, καὶ ἐκ τῶν ἄλλων ξυμμάχων τῶν ὑπηκόων, εἴ ποθέν τι εἶχον ἐπιτήδειον ἐς τὸν πόλεμον, ξυμπορίσαντες. εἴρητο δ' αὐτῷ πρῶτον μετὰ τοῦ Χαρικλέους ἅμα περιπλέοντα ξυστρατεύεσθαι περὶ τὴν Λακωνικήν. καὶ ὁ μὲν Δημοσθένης ἐς τὴν Αἴγιναν πλεύσας τοῦ στρατεύματός τε εἴ τι ὑπελείπετο περιέμενε καὶ τὸν Χαρικλέα τοὺς Ἀργείους παραλαβεῖν.

proximis Krueg. ad Dionys. p. 290. monuit non iungi debere *προσμισθωσάμενοι καὶ προστάξαντες*, sed *ὁπλίτας καὶ ἄρχοντα*.

ἀνθώρμουν] Panormi in Achaia, ut apparet ex Polyaen. 6, 23. Bloomf.

ἕωσπερ] Refutatur hoc loco quod memini negare Elmsleium ad Oed. Col. Soph. v. 1360., usitatum Graecis fuisse *ἕωσπερ*, magis puto quod huius aliorumque locorum quorundam non recordaretur quam quod in dubium eos vocaret. Profecto causa prorsus nulla est, quamobrem *ἕως* particulae iungi *περ* non liceat, quod cum omnibus vocibus enunciationibusque relativis aut relativam notionem recipientibus potest consociari: quae eius generis non sunt, cum eis omnibus nequit. Dind. Herm. quoque ad Soph. l. c. se miraturum ait ni attendentes secus, quam Elmsl. velit, esse reperient. *Ἕωσπερ* nuper Dind. Demostheni p. 791. Reisk. ex aliquot libris reddidit, idemque sine correctione legitur p. 1257. Arn. addit Platon. Menon. p. 97. C. Popp. adiri iubet Schaef. Appar. cr. Demosth. Vol. 5. p. 369. et Xen. H. Gr. 6, 5, 12. Denique verbi *ἐπληρώθησαν* subiectum est *αἱ τριήρεις*, v. cap. 17. extr., welches auch die anfängliche Absicht ihrer Ausrüstung war.

20. *Ἀργείων τε*] Hoc *τε* non habet quo referatur; inducendum puto. Reisk.

μετὰ τοῦ Χαρικλέους ἅμα] *Ἅμα* om. Ar. Chr. Dan., haud dubie ob praecedens *μετά*. At 8, 5. *ἅμα μετ' αὐτῶν παρῆν*. Ita *σὺν — ἅμα* legimus Xen. Cyrop. 8, 8, 12. et in dubio loco 6, 1, 55. *Ἅμα σύν* Plut. Cic. 9. Cat. 43. Conf. Eurip. Ion. 718. *Ὁμοῦ-σύν* Xen. Cyr. 5, 4, 5. Popp. vid. adn. ad 1, 23. et Popp. Comm. 1. p. 200 sq.

21 Ἐν δὲ τῇ Σικελίᾳ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ ἦρος καὶ ὁ Γύλιππος ἦκεν ἐς τὰς Συρακούσας, ἄγων ἀπὸ τῶν πόλεων ὧν ἔπεισε στρατιὰν ὅσην ἑκασταχόθεν πλείστην ἐδύνατο. καὶ ξυγκαλέσας τοὺς Συρακοσίους ἔφη χρῆναι πληροῦν ναῦς ὡς δύνανται πλείστας καὶ ναυμαχίας ἀπόπειραν λαμβάνειν· ἐλπίζειν γὰρ ἀπ' αὐτοῦ τι ἔργον ἄξιον τοῦ κινδύνου ἐς τὸν πόλεμον κατεργάσασθαι. ξυνανέπειθε δὲ καὶ ὁ Ἑρμοκράτης οὐχ ἥκιστα τοῦ ταῖς ναυσὶ μὴ ἀθυμεῖν ἐπιχειρήσειν πρὸς τοὺς Ἀθηναίους, λέγων οὐδὲ ἐκείνους πάτριον τὴν ἐμπειρίαν οὐδὲ αἴδιον τῆς θαλάσσης ἔχειν, ἀλλ' ἠπειρώτας μᾶλλον τῶν Συρακοσίων ὄντας καὶ ἀναγκασθέντας ὑπὸ Μήδων ναυτικοὺς γενέσθαι. καὶ πρὸς ἄνδρας τολμηροὺς οἵους καὶ Ἀθηναίους τοὺς ἀντιτολμῶντας χαλεπωτάτους [ἂν] αὐτοῖς φαίνεσθαι· ᾧ γὰρ ἐκεῖνοι τοὺς πέλας, οὐ δυνάμει ἔστιν ὅτε προὔχοντες, τῷ δὲ θράσει ἐπιχειροῦντες καταφοβοῦσι, καὶ σφᾶς ἂν τὸ αὐτὸ ὁμοίως τοῖς ἐναντίοις ὑποσχεῖν. καὶ Συρακοσίους εὖ εἰδέναι ἔφη τῷ τολμῆσαι ἀπροσδοκήτως πρὸς τὸ Ἀθηναίων ναυτικὸν ἀντιστῆναι πλέον τι διὰ τὸ τοιοῦτον ἐκπλαγέντων αὐτῶν περιεσομένους ἢ Ἀθηναίους τῇ ἐπιστήμῃ τὴν Συρακοσίων ἀπειρίαν βλάψοντας. ἰέναι οὖν ἐκέλευεν ἐς τὴν πεῖραν τοῦ ναυτικοῦ καὶ μὴ ἀποκνεῖν. καὶ οἱ μὲν Συρακόσιοι, τοῦ τε Γυλίππου καὶ Ἑρμοκράτους καὶ εἴ του ἄλλου πειθόντων, ὥρμηντό τε ἐς τὴν
22 ναυμαχίαν καὶ τὰς ναῦς ἐπλήρουν. ὁ δὲ Γύλιππος ἐπειδὴ παρεσκευάσατο τὸ ναυτικόν, ἀγαγὼν ὑπὸ νύκτα πᾶσαν τὴν στρατιὰν τὴν πεζὴν αὐτὸς μὲν τοῖς ἐν τῷ Ἡλημμυρίῳ τείχεσι κατὰ γῆν ἔμελλε προσβαλεῖν, αἱ δὲ τριήρεις τῶν Συρακοσίων ἅμα καὶ ἀπὸ ξυνθήματος πέντε μὲν καὶ τριάκοντα ἐκ τοῦ μεγάλου

21. ἀπὸ τῶν πόλεων ὧν ἔπεισε] v. Matth. p. 883. §. 473. De verbis ὅσην — πλείστην ἐδύνατο et ὡς δύνανται πλείστας v. ibidem p. 858. Mox articulus τοῦ ante ταῖς ναυσί et sanus est, et pendet a ξυνανέπειθε, quemadmodum legimus ξυναίρεσθαι τοῦ κινδύνου, ξυμβάλλεσθαι τοῦ φόβου et sim. Tum et futurum ἐπιχειρήσειν recte habet, prorsus enim dictum est, ut 4, 9. ἐπισπάσασθαι αὐτοὺς (τὸ τεῖχος) ἠγεῖτο προθυμήσεσθαι, et 8, 2. ξυμπροθυμηθέντες ἀπαλλάξεσθαι. De accusativis οἵους καὶ Ἀθηναίους v. Matth. p. 885. s. v. οἷος. Intellige οἷοι καὶ Ἀθηναῖοί εἰσιν. Dein verba πρὸς ἄνδρας τολμηρούς pendent ab ἀντιτολμῶντας, v. Matth. p. 566. Paulo post Bekk. legit σφεῖς ἂν τὸ αὐτό, v. adn. ad 7, 34. et τὸ αὐτὸ intellige φόβον, et ὑποσχεῖν Schol. interpretatur ὑποβάλλειν. De πλέον τι v. Matth. §. 487. 4. Paulo inferius plena haec esset oratio: τοῦ τε Γυλίππου καὶ Ἑρμοκράτους πειθόντων καὶ εἴ τις ἄλλος ἔπειθε, vel καὶ εἴ του ἄλλου πείθοντος ὥρμηντο. Vid. Herm. ad Soph. Ai. 179. p. 29. med.

22. παρεσκευάσατο] Melius ex H. Gr. legitur παρεσκεύαστο. Gylippus κατὰ γῆν ἔμελλε προσβαλεῖν, quippe urbem relicturus exeundo praeter Epipolas, in plana descensurus pone τὸ διπλοῦν τεῖχος Atheniensium, Anapum traiecturus et Plemmyrium petiturus per planum soli, quod extenditur a mari ad castellum et templum Olympii, ut recte Arn.

αἱ δὲ τριήρεις — πέντε μὲν καὶ τριάκοντα] Scriptor etsi summam

λιμένος ἐπέπλεον, αἱ δὲ πέντε καὶ τεσσαράκοντα ἐκ τοῦ ἐλάσσονος, οὗ ἦν καὶ τὸ νεώριον αὐτοῖς, [καὶ] περιέπλεον βουλό-

verbis non definiit, mente tamen definitam comprehendit, quare postquam dictum numerum (35) subtraxit, articulum assumsit ad reliquum (45). Abr., ad quem Haack. inclinasse videtur, temere post αἱ δὲ τριήρεις inserendum putabat ξύμπασαι (ἅπασαι) ὀγδοήκοντα. Haack. tamen, quia codicum auctoritatem suspicioni suae videt obstare, vana interpunctione locum sublevare vult, quasi vero non plana et perspicua in promtu sit explicatio articuli, dum Baueri insistas vestigiis, qui contra Abr. optime monuit: „quodsi ex 35 et 45 octoginta collegit Abr., non video, qui colligendum reliquisse non debeat Thuc.“ Blum. Script. Schol. p. 12 sq. Conf. Krueg. ad Dionys. p. 303. in Addendis p. LXI.

τὸ νεώριον] in portu minore, at νεωσοίκους veteres in magno portu 7, 25. statuit. Consentit Diod. 14, 7., apud quem Dionysius Ol. 94, 1. (404.) ᾠκοδόμησε πολυτελῶς ὠχυρωμένην ἀκρόπολιν — καὶ συμπεριέλαβε τῷ ταύτης τείχει τὰ πρὸς τῷ μικρῷ λιμένι, τῷ Ἀκκλῳ καλουμένῳ, νεώρια. ταῦτα δ' ἑξήκοντα τριήρεις χωροῦντα πύλην εἶχε κλειομένην, δι' ἧς κατὰ μίαν τῶν νεῶν εἰσπλεῖν συνέβαινε. Ante Dionysii aetatem eiusmodi navium tecta fuerunt centum quinquaginta, quibus tunc nova centum sexaginta addita, teste Diod. 14, 42. ᾠκοδόμει δὲ καὶ νεωσοίκους πολυτελεῖς κύκλῳ τοῦ νῦν καλουμένου λιμένος, ἑκατὸν ἑξήκοντα, τοὺς πλείστους δύο ναῦς δεχομένους· καὶ τοὺς προϋπάρχοντας ἐθεράπευεν, ὄντας ἑκατὸν καὶ πεντήκοντα, ubi „haud scio, ait Wessel., an desit μεγάλου (λιμένος sc.)“ Sed magnus portus κατ' ἐξοχήν portus dicebatur, sive Συρακουσίων λιμήν, v. Dorv. ad Charit. p. 370. Siculis p. 197. Burm. Praef. ad Dorv. Sicul. p. XXI. Ern. Cl. Cic. s. v. Portus Syracusarum. Quanquam negari nequit, semel (7, 4.) portum Syracusanorum intelligi minorem, quippe eo tempore, quo magnus in potestate Atheniensium erat. Atque portum cum dicit Liv. 24, 33., portum maiorem dicit. Conf. Thuc. 7, 25. alibi. Κύκλῳ autem illo portus, si de magno quaeritur, non tantum regio Acradinae, Ortygiaeque finitima significari videtur, verum longinquior etiam Anapi. Dionysius apud Diod. 14, 13. expeditionem in Epirum atque ad templum Delphicum spoliandum parans Ol. 98, 4. (385.) σχολὴν ἄγων κατεσκεύασε νεώρια διακοσίαις τριήρεσι, καὶ τείχος περιέβαλε τῇ πόλει τηλικοῦτο τὸ μέγεθος, ὥστε τῇ πόλει γενέσθαι τὸν περίβολον μέγιστον τῶν Ἑλληνίδων πόλεων· κατεσκεύασε δὲ καὶ γυμνάσια μεγάλα παρὰ τὸν Ἄναπον ποταμόν etc. Sed de h. l. dixi in lib. de Sit. Syrac. p. 69. Apparet autem e Diodori loco supra adscripto ex 14, 42., ut adnotavit Wessel. Vol. 6. p. 359., „omni ex parte vero non consentire, quod Laz. Bayfius pertendebat, νεωσοίκους capaces singulos triremis unius, uniusque biremis et fabrorum navalium, qui eas aut exstruerent aut reficerent, fuisse, in Thes. Gron. Vol. 11. p. 624. Melius Suidas: νεώσοικοι, οἰκήματα παρὰ τῇ θαλάσσῃ οἰκοδομούμενα εἰς ὑποδοχὴν νεῶν, ὅτε μὴ θαλαττεύοιεν. Diodori verba non neglexit Scheffer. M. N. 3, 3.“ Sed ut ad caput rei perveniamus: Navalia (νεώρια) et Navium receptacula sive tecta (νεώσοικοι) differunt. vid. Schneid. Vocab. Gr. s. v. νεώσοικοι. „Νεώριον étoit dans les ports l'emplacement tout entier destiné soit à construire ou à radouber les bâtiments, soit à les recevoir, quand on les tiroit sur le rivage, pour les préserver de l'humidité. Harpocr. v. νεώρια.“ Letr. Topogr. de Syrac. p. 28. Ajoutez qu'outre l'emplacement nécessaire à un certain nombre de bâtiments le νεώριον contenoit encore les magazins de voiles, cordages, bois etc. Demosthène en fournit la preuve en plusieurs endroits, or. in Euerget. p. 1145, 4. et in Polyclet.

μενοι πρὸς τὰς ἐντὸς προσμῖξαι καὶ ἅμα ἐπιπλεῖν τῷ Πλημμυρίῳ, ὅπως οἱ Ἀθηναῖοι ἀμφοτέρωθεν θορυβῶνται. οἱ δ' Ἀθηναῖοι διὰ τάχους ἀντιπληρώσαντες ἑξήκοντα ναῦς ταῖς μὲν πέντε καὶ εἴκοσι πρὸς τὰς πέντε καὶ τριάκοντα τῶν Συρακοσίων τὰς ἐν τῷ μεγάλῳ λιμένι ἐναυμάχουν, ταῖς δ' ἐπιλοίποις ἀπήντων ἐπὶ τὰς ἐκ τοῦ νεωρίου περιπλεούσας, καὶ εὐθὺς πρὸ τοῦ στόματος τοῦ μεγάλου λιμένος ἐναυμάχουν, καὶ ἀντεῖχον ἀλλήλοις ἐπὶ πολύ, οἱ μὲν βιάσασθαι βουλόμενοι τὸν

p. 1218, 13. Cependant le *νεώριον* étoit employé dans un sens plus restreint que notre mot Arsenal. Les *νεώσοικοι* compris dans les *νεώριον* étoient des espèces de loges couvertes, où l'on faisoit entrer quelques bâtiments, peut-être les trirèmes, dont la construction ou la conservation demandoit plus d'attention et de soin, tandis que les vaisseaux marchands étoient abandonnés dans le *νεώριον* aux injures de l'air. Les squari de l'arsenal de Venisse, c'est à dire, les soixante loges, où se construisoient et radouboient les galères, doivent représenter assez exactement les *νεώσοικοι* des anciens. Id. indice s. v. *νεώριον*. Cette distinction devient surtout incontestable d'après un passage, où Demosthène in or. *π. συμμορ.* p. 184. dit, qu'il y aura trente *νεώσοικοι* dans chacun des dix *νεώρια* qu'il propose. Id. indice s. v. *νεώσοικοι*, ubi a vero abiisse Augerium Vol. 1. p. 225. arguit. A Thucydide tamen et Diodoro seorsum in magno portu *νεωσοίκους* sed illos veteres, in portu Laccio *νεώρια* memorata vidimus. Utut est, certe *νεώριον* totum, *νεώσοικος* pars erat. „Polycrates Samius uxores et liberos quorundam Samiorum, quorum fides sibi suspecta esset, *ἐς τοὺς νεωσοίκους* contrusit, vivos eos ibi combusturus una cum navium tectis et quidquid inesset, si suspiciones suae comprobarentur, apud Herodot. 3, 45. Navium tecta (boathouses) comburi possunt, non item *νεώριον* (dockyard)." Arn. Anecdd. Bekk. 1. p. 282. *Νεώσοικοι, καταγώγια ἐπὶ τῆς θαλάττης ᾠκοδομημένα εἰς ὑποδοχὴν τῶν νεῶν, ὅτε μὴ θαλαττεύοιεν· τὰ νεώρια δὲ ἡ τῶν ὅλων* (leg. *ὅρων* cum Albert. ad Hesych. Vol. 2. p. 673.) *περιβολή*. Conf. Hesych. s. v. *οὔρους*, ubi ex Photio legendum *περιορίσματα*, pro *προορίσματα*. Conf. Bast. Comm. Palaeogr. p. 929. Heeren. Ideen 2, 1. p. 258. adn. Hemsterh. ad Pollux. 9, 28. Iacobs. ad Demosth. Oratt. de rep. habitas p. 42. ed. pr. et quos veteres scriptores laudat Schoem. de Comitt. Athen. p. 317. adn. Differunt *νεώριον* et *νεώσοικοι*, differunt etiam *ἐπίνεια* et *ναύσταθμα*. Est enim *ἐπίνειον* universa urbs vel vicus, ubi naves struuntur et asservantur. Thuc. 2, 84. 1, 30. *Κυλλήνην, τὸ Ἠλείων ἐπίνειον*, ubi Schol. *ἐπίνειόν ἐστι πόλισμα παραθαλάσσιον, ἔνθα τὰ νεώρια τῶν πόλεων, ὥσπερ ὁ Πειραιεὺς τῶν Ἀθηναίων καὶ ἡ Νίσαια τῆς Μεγαρίδος. δύνασαι δὲ ἐπὶ παντὸς ἐμπορίου καὶ παραθαλασσίου* (Schaef. putat excidisse *χωρίου*) *χρήσασθαι τῷ ὀνόματι τούτῳ, ὃ νῦν οἱ πολλοὶ κατάβολον καλοῦσι*. vid. Dufresn. Gloss. med. et inf. Latin. s. v. Catabolum. At *ναύσταθμον* est statio, in qua naves tuto possunt manere. Vid. Amersfoordt. in Schaef. Appar. cr. ad Demosth. Vol. 1. p. 773., qui plura addit de navium tectis ex Valesii adnotatione ad Harpocr. in *νεώρια* et *νεώσοικοι*, ablegatque ad Bergm. ad Isocr. Areop. 27. p. 173. Idem e Thuc. 7, 25. Herodot. 6, 45. et Xen. H. Gr. 4, 4, 12. docet, tectos superne fuisse *νεωσοίκους*, quod vel sponte intelligitur ex consilio, quo aedificabantur. Nos haec nomina ita distinguimus: Schiffswerft, Schiffsdocken, Seeplatz, Ankerplatz. Mox *καί* ante *περιέπλεον* om. H. et Vall.

ἔςπλουν, οἱ δὲ κωλύειν. ἐν τούτῳ δὲ ὁ Γύλιππος τῶν ἐν τῷ 23
Πλημμυρίῳ Ἀθηναίων πρὸς τὴν θάλασσαν ἐπικαταβάντων καὶ τῇ ναυμαχίᾳ τὴν γνώμην προσεχόντων φθάναι προσπεσὼν ἅμα τῇ ἕῳ αἰφνιδίως τοῖς τείχεσι, καὶ αἱρεῖ τὸ μέγιστον πρῶτον, ἔπειτα δὲ καὶ τὰ ἐλάσσω δύο, οὐχ ὑπομεινάντων τῶν φυλάκων, ὡς εἶδον τὸ μέγιστον ῥᾳδίως ληφθέν. καὶ ἐκ μὲν τοῦ πρώτου ἁλόντος χαλεπῶς οἱ ἄνθρωποι, ὅσοι καὶ ἐς τὰ πλοῖα καὶ ὁλκάδα τινὰ κατέφυγον, ἐς τὸ στρατόπεδον ἐξεκομίζοντο· τῶν γὰρ Συρακοσίων ταῖς ἐν τῷ μεγάλῳ λιμένι ναυσὶ κρατούντων τῇ ναυμαχίᾳ ὑπὸ τριήρους μιᾶς καὶ εὖ πλεούσης ἐπεδιώκοντο· ἐπειδὴ δὲ τὰ δύο τειχίσματα ἡλίσκετο, ἐν τούτῳ καὶ οἱ Συρακόσιοι ἐτύγχανον ἤδη νικῶμενοι, καὶ οἱ ἐξ αὐτῶν φεύγοντες ῥᾷον παρέπλευσαν. αἱ γὰρ τῶν Συρακοσίων αἱ πρὸ τοῦ στόματος νῆες ναυμαχοῦσαι, βιασάμεναι τὰς τῶν Ἀθηναίων ναῦς οὐδενὶ κόσμῳ ἐξέπλεον, καὶ ταραχθεῖσαι περὶ ἀλλήλας παρέδοσαν τὴν νίκην τοῖς Ἀθηναίοις. ταύτας τε γὰρ ἔτρεψαν καὶ ὑφ' ὧν τὸ πρῶτον ἐνικῶντο ἐν τῷ λιμένι. καὶ ἕνδεκα μὲν ναῦς τῶν Συρακοσίων κατέδυσαν, καὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων ἀπέκτειναν, πλὴν ὅσον ἐκ τριῶν νεῶν οὓς ἐζώγρησαν· τῶν δὲ σφετέρων τρεῖς νῆες διεφθάρησαν. τὰ δὲ ναυάγια ἀνελκύσαντες τῶν Συρακοσίων, καὶ τροπαῖον ἐν τῷ νησιδίῳ στήσαντες τῷ πρὸ τοῦ Πλημμυρίου, ἀνεχώρησαν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

Οἱ δὲ Συρακόσιοι κατὰ μὲν τὴν ναυμαχίαν οὕτως ἐπεπρά- 24
γεσαν, τὰ δ' ἐν τῷ Πλημμυρίῳ τείχη εἶχον, καὶ τροπαῖα ἔστησαν αὐτῶν τρία. καὶ τὸ μὲν ἕτερον τοῖν δυοῖν τειχοῖν τοῖν ὕστερον ληφθέντοιν κατέβαλον, τὰ δὲ δύο ἐπισκευάσαντες ἐφρούρουν. ἄνθρωποι δ' ἐν τῶν τειχῶν τῇ ἁλώσει ἀπέθανον καὶ ἐζωγρήθησαν πολλοί, καὶ χρήματα πολλὰ τὰ ξύμπαντα

23. *ἐς τὸ στρατόπεδον ἐξεκομίζοντο*] i. e. in castra deferebantur, quae Athenienses habebant in duplici muro inde a *κρημνῷ* ad mare, ubi pars exercitus stationem habebat, ut apparet ex cap. 11. *καὶ τὰ τείχη ἐν οἷσπερ νῦν ἐσμέν*, et hunc murum demum cap. 60. deserunt. Ut vero exercitus in Plemmyrio stationem habens iunctus maneret cum exercitu in duplici muro collocato, in recessu (*μυχῷ*) portus magni prope Dasconem castra navalia (*τὸ στρατόπεδον* c. 53. bis.) remanserant, neque enim omnes naves inde ad Plemmyrium transvectas esse, docent c. 4. *καὶ τὰ πλοῖα ἤδη ἐκεῖ τὰ μεγάλα ὥρμει καὶ αἱ ταχεῖαι νῆες* (ubi v. adn.), et totum c. 53. Ad ea igitur castra navalia isti profugi a Plemmyrio proxime aufugiebant, et inde, si vellent, in murum duplicem. Paulo inferius pro *ἕνδεκα* Vall. *decem* habet. Dein *πλὴν ὅσον* etc. est *πλὴν ὅσοι ἦσαν ἐν τρισὶ ναυσὶν, ἐξ ὧν τοὺς ἀνθρώπους ἐζώγρησαν*. Porro Wass. *τὸ νησίδιον* intelligit Ortygiam; imo altera duarum parvarum insularum intelligenda est sitarum in portu et ad ostium portus, de quibus dixi in lib. de Sit. Syrac. p. 77 sq. et in adn. ad 6, 66. Arn. unam tantum agnoscit, et dicit nudum scopulum esse. Conf. descriptionem huius proelii navalis apud Diod. 13, 9.

24. *τὰ ξύμπαντα*] i. e. in Allen. v. Herm. ad Vig. p. 727. Krueg. ad Dionys. p. 314. Mox *ἅτε γὰρ ταμιείῳ* edidit Bekk. ex H., non

ἐάλω· ὥστε γὰρ ταμιείῳ χρωμένων τῶν Ἀθηναίων τοῖς τείχεσι πολλὰ μὲν ἐμπόρων χρήματα καὶ σῖτος ἐνῆν, πολλὰ δὲ καὶ τριηράρχων, ἐπεὶ καὶ ἱστία τεσσαράκοντα τριήρων καὶ τἆλλα σκεύη ἐγκατελήφθη, καὶ τριήρεις ἀνειλκυσμέναι τρεῖς. μέγιστον δὲ καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἡ τοῦ Πλημμυρίου λῆψις· οὐ γὰρ ἔτι οὐδ' οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων· οἱ γὰρ Συρακόσιοι ναυσὶν αὐτόθι ἐφορμοῦντες ἐκώλυον, καὶ διὰ μάχης ἤδη ἐγίγνοντο αἱ ἐκομιδαί· ἔς τε τὰ ἄλλα κατάπληξιν παρέσχε καὶ ἀθυμίαν τῷ στρατεύματι.

25 Μετὰ δὲ τοῦτο ναῦς τε ἐκπέμπουσι δώδεκα οἱ Συρακόσιοι καὶ Ἀγάθαρχον ἐπ' αὐτῶν Συρακόσιον ἄρχοντα. καὶ αὐτῶν μία μὲν ἐς Πελοπόννησον ᾤχετο, πρέσβεις ἄγουσα οἵπερ τὰ σφέτερα φράσωσιν ὅτι ἐν ἐλπίσιν εἰσὶ καὶ τὸν ἐκεῖ πόλεμον ἔτι μᾶλλον ἐποτρύνωσι γίγνεσθαι· αἱ δὲ ἕνδεκα νῆες πρὸς τὴν Ἰταλίαν ἔπλευσαν, πυνθανόμεναι πλοῖα τοῖς Ἀθηναίοις γέμοντα χρημάτων προσπλεῖν. καὶ τῶν τε πλοίων ἐπιτυχοῦσαι τὰ πολλὰ διέφθειραν καὶ ξύλα ναυπηγήσιμα ἐν τῇ Καυλωνιάτιδι κατέκαυσαν, ἃ τοῖς Ἀθηναίοις ἑτοῖμα ἦν. ἔς τε Λοκροὺς μετὰ ταῦτα ἦλθον, καὶ ὁρμουσῶν αὐτῶν κατέπλευσε μία τῶν ὁλκάδων τῶν ἀπὸ Πελοποννήσου ἄγουσα Θεσπιέων ὁπλίτας. καὶ ἀναλαβόντες αὐτοὺς οἱ Συρακόσιοι ἐπὶ τὰς ναῦς παρέπλεον ἐπ' οἶκου. φυλάξαντες δ' αὐτοὺς οἱ Ἀθηναῖοι εἴκοσι νανσὶ πρὸς τοῖς Μεγάροις, μίαν μὲν ναῦν λαμβάνουσιν αὐτοῖς ἀνδράσι, τὰς δ' ἄλλας οὐκ ἠδυνήθησαν, ἀλλ' ἀποφεύγουσιν ἐς τὰς Συρακούσας. ἐγένετο δὲ καὶ περὶ τῶν σταυρῶν ἀκροβολισμὸς ἐν τῷ λιμένι, οὓς οἱ Συρακόσιοι πρὸ τῶν παλαιῶν νεωσοίκων κατέπηξαν ἐν τῇ θαλάσσῃ, ὅπως αὐτοῖς αἱ νῆες ἐντὸς ὁρμοῖεν καὶ οἱ Ἀθηναῖοι ἐπιπλέοντες μὴ βλάπτοιεν ἐμ-

improbante Popp., probante Matth. p. 1287. init. Lobeck. ad Phryn. p. 427. usum particulae ὥστε pro ὡς apud Atticos tribus tantum locis probatorum scriptorum comprobare potuit, praesenti loco Thucydidis, Isocrat. Paneg. 47. p. 73., quem Popp. ex Spohnii adnotatione monet aliter, quam vulgo fit, interpretandum esse, et Arist. Eccl. 783., quem Matth. l. c. dubium reddit. De verbis ἐν τοῖς πρῶτον v. Matth. §. 290. Mox Popponi locutio οἱ ἔσπλοι τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων offensioni est, quum *subvectio commeatus non potuit tuto intrare portum* dictum sit pro commeatu ipso seu navibus commeatum advehentibus, et dicit melius molestum τῆς ἐπαγωγῆς plane deesse. In G. adnotatum est ταῖς ἐπαγωγαῖς γρ.

25. οἵπερ τὰ σφέτερα] Vat. H. ὅπως τὰ σφέτερα, v. Matth. p. 900., qui ὅπως damnat, at Herm. Opuscc. Vol. 4. p. 130. vel propter additum περ pronomen illud ferri posse negat, et ὅπως legi vult. Conf. eundem ad Soph. Oed. C. 190. De verbis πυνθανόμεναι προσπλεῖν v. Matth. p. 1079. init., de ὅπως — ὁρμοῖεν ibidem p. 996. 4. Paulo superius ad verba γέμοντα χρημάτων Schol. recte adnotavit: καὶ ἐπὶ τῶν τυχόντων πραγμάτων τὰ χρήματα λαμβάνεται, καὶ οὐχ, ὥσπερ νῦν ἀδοκίμως ἐπὶ χρυσοῦ καὶ πολυτίμων εἰδῶν.

βάλλοντες. προσαγαγόντες γὰρ ναῦν μυριοφόρον αὐτοῖς οἱ Ἀθηναῖοι, πύργους τε ξυλίνους ἔχουσαν καὶ παραφράγματα,

ναῦν μυριοφόρον] Pollux 4, 165. μυριαμφόρος, ὡς Θουκυδίδης. Schol. μεγάλην, δυναμένην δέξασθαι μυρίον φόρτον, quale navigium Philist. fragm. 56. p. 174. βουβάριν dixit, ni fallit criticorum coniectura. Apud Pollucem alio loco (1, 82.) extat forma μυριοφόρος ναῦς, cum hoc additamento: τὸ δὲ μυριαγωγὸς, εὐτελές, ubi interpretes de sensu disceptant, alii ad amphoras, alii ad talenta (ut etiam Arn. ex Thuc. 4, 118., unde apparere dicit, navem 500 talentorum ponderis perexiguam habitam esse, et ex Herodot. 1, 194. 2, 96., unde ναῦν μυριοφόρον interpretatur *navem decies mille talentorum onus vehentem*), alii ad alios modulos numerum myriadis referentes. Forma μυριαγωγός utitur Strab. 3. p. 226. A. Alm., ubi v. Casaub. De aestimanda magnitudine navium onerariarum dixit Salmas. Obss. ad Ius A. et R. p. 734., docens frumentariarum magnitudinem modiatione, vinariarum itemque frumentariarum amphoris aestimari solitam esse. Apud Suidam in πλάτη memoratur navis μυριοφόρος πύργοις τε καὶ παραφράγμασι παντοίοις instructa, opinor e praesente loco. Prudenter Heilm. egit, interpretatus: ein Schiff von erstem Range (conf. Salmas.), quamquam praestabat von erster Grösse, quoniam ille terminus in navibus longis technicus est. Apud Pollucem 4, 165. ante Seberum legebatur μυριαφόρος, is ex libris scriptis Pollucis μυριοφόρος lectum volebat, quia sic sit apud Thucydidem et Heliodorum. Kuhn. apud Pollucem posuit μυριαμφόρος. Heilm. et praesenti loco Thuc. et ap. Pollucem l. c. putabat olim μυριάμφορον (accentu in tertia a fine) lectum esse, ductum illud ab ἀμφορεύς, *amphora*. Sed formam μυριοφόρος in multis praeterea multorum scriptorum locis reperit Lobeck. ad Phryn. p. 662., quibus Arn. addit Strab. 17, 1, 26. p. 805., at formam μυριαφόρος cum ἱεραφόρος congruere docet. Bred. non mutata apud Thucydidem vulgata μυριοφόρος eundem in vocabulo sensum inesse putat, quem in forma μυριαμφόρος. Amphoram dicit aequare, secundum Festum [p. 133. Lind.], Romanorum quadrantal i. e. vas pedis quadrati sive ex omni latere quadratum; quatenus autem pondus amphorae significatur, quae navi imponitur, non vas intelligitur, sed quantum pondo habet materia in amphora condi solita; quae materia quum vinum esse soleret, si vera sunt a Festo tradita, pondus amphorae Bred. colligit fuisse octoginta pondo, ut navis μυριοφόρος octingenties mille pondo vexerit. Certe significari addit navem non longam, non usui bellico primitus paratam. Amphoram Graecam (ἀμφορέα, κάδον, κεράμιον) Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 107. dicit aptatam fuisse capiendo metretae Attico: aequabat autem metretes $33\frac{9}{113}$ quartarios Berolinenses. Lobeckii de h. l. sententia haec est: „Mihi, qui ναῦν μυριοφόρον interpretantur *decem millia hominum ferentem*, non reputare videntur, quid Amphitritae humeri valeant, quid ferre recusent. Tantam multitudinem ne illa quidem tulit Ptolemaei Philopatoris moles, ad usum prorsus immobilis. Itaque praestat navem intelligi decem millium amphorarum, qualem Graeci μυριαμφόρον dicebant, Arist. Pac. 521., ut minorem δεκαμφόρον. Et hoc mihi illa vetus Pollucis scriptura μυριαφόρος significare videtur, si lineolam directam, quae literae *α* superposita *μ* indicat, reduxeris. Neque fide abhorret, librarios vulgatiori nomini μυριοφόρος adsuetos hoc etiam Thucydidi impertiisse.“ Mox libri inter ἀκάτων et ἀκατίων variant, utrumque Thucydideum esse Popp. monet, sed ἀκάτων aptius putat, propterea quod parvis naviculis hic nullus usus sit. Ἀκατίων etiam Thom. M. tuetur. Hic enim p. 931. ita scribit: ὥνευον ἀντὶ τοῦ ἐκίνουν καὶ περιῆγον, ἀπὸ τῶν τοὺς μυλῶνας

ἔκ τε τῶν ἀκάτων ὤνευον ἀναδούμενοι τοὺς σταυροὺς καὶ ἀνέκλων, καὶ κατακολυμβῶντες ἐξέπριον. οἱ δὲ Συρακόσιοι ἀπὸ τῶν νεωρίκων ἔβαλλον· οἱ δ' ἐκ τῆς ὁλκάδος ἀντέβαλλον· καὶ τέλος τοὺς πολλοὺς τῶν σταυρῶν ἀνεῖλον οἱ Ἀθηναῖοι. χαλεπωτάτη δ' ἦν τῆς σταυρώσεως ἡ κρύφιος· ἦσαν γὰρ τῶν σταυρῶν οὓς οὐχ ὑπερέχοντας τῆς θαλάσσης κατέπηξαν, ὥστε δεινὸν ἦν προσπλεῦσαι, μὴ οὐ προιδών τις ὥσπερ περὶ ἕρμα περιβάλῃ τὴν ναῦν. ἀλλὰ καὶ τούτους κολυμβηταὶ δυόμενοι ἐξέπριον μισθοῦ. ὅμως δ' αὖθις οἱ Συρακόσιοι ἐσταύρωσαν. πολλὰ δὲ καὶ ἄλλα πρὸς ἀλλήλους οἷον εἰκὸς τῶν στρατοπέδων ἐγγὺς ὄντων καὶ ἀντιτεταγμένων ἐμηχανῶντο καὶ ἀκροβολισμοῖς καὶ πείραις παντοίαις ἐχρῶντο. ἔπεμψαν δὲ καὶ ἐς τὰς πόλεις πρέσβεις οἱ Συρακόσιοι Κορινθίων καὶ Ἀμπρακιωτῶν καὶ Λακεδαιμονίων, ἀγγέλλοντας τήν τε τοῦ Πλημμυρίου λῆψιν καὶ τῆς ναυμαχίας πέρι ὡς οὐ τῇ τῶν πολεμίων ἰσχύι μᾶλλον ἢ τῇ σφετέρᾳ ταραχῇ ἡσσηθεῖεν, τά τε ἄλλα αὖ δηλώσοντας ὅτι ἐν ἐλπίσιν εἰσί, καὶ ἀξιώσοντας ξυμβοηθεῖν ἐπ' αὐτοὺς καὶ νανσὶ καὶ πεζῷ, ὡς καὶ τῶν Ἀθηναίων προσδοκίμων ὄντων ἄλλῃ στρατιᾷ, καὶ ἦν φθάσωσιν αὐτοὶ πρότερον

κινούντων ὄνων. Θουκ. ἐν τῇ ἕκτῃ· ἔκ τε τῶν ἀκάτων ὤνευον, ἀναδούμενοι τοὺς σταυρούς.“ Principium glossae transscripsit Phavorin., eandemque totam repetit Suidas haud paucis aliter explicatis: *ὄνος*, ait, *τοῦ μύλωνος τὸ κινούμενον, καὶ αἱ τοιαῦται μηχαναὶ ὄνοι, suculae* Latinis, ut Duk. adnotavit citato Is. Vossio ad Catull. p. 326. Communis Grammaticis fons fuit Ael. Dionys. apud Eustath. in Hom. Il. λ'. p. 862. Rom. Schol. *ὄνος ἐστὶ μηχανὴ ἐπ' ἄκρων τῶν ἀκατίων πηγνυμένη, ἀφ' ἧς περιβάλλοντες βρόχους τοὺς σταυροὺς ῥᾳδίως ἐκ τοῦ βυθοῦ ἀνέσπων. ἐστὶ γὰρ ἡ μηχανὴ ἐπὶ τοσοῦτον βεβαιοτάτη, ὥστε καὶ σαγήνην βαρεῖαν ὑπὸ δύο ἀνδρῶν ἀπόνως ἕλκεσθαι. καλοῦσι δὲ τὴν μηχανὴν οἱ τοὺς χαμαιλίχοντας ἕλκοντες ἁλιεῖς ἠλακάτην. ἐῤῥωμενέστερον δὲ πρὸς τὴν ἀνέλκυσιν καθίσταται, ὅταν καὶ δίκρουν ξύλον πρὸ αὐτῆς τιθείη· ἐπ' εὐθείας γὰρ ἡ ἀντίσπασις τῶν ἀνελκομένων γίγνεται.* Vocem *χαμαιλίχοντες* explicat Toup. Emendd. in Suidam Vol. 1. p. 452. Oxon. Tum *ἀνέκλων* „est *sursum attollendo convellebant et educebant.* Sic Thuc. 2, 76. et alii apud Lipsium Poliorc. 5, 8. *ἀνακλᾶν* machinam muro immissam dicunt eos, qui laqueis iniectis eam attollunt et avertunt. Et in aliis generibus loquendi non *frangendi*, sed *inflectendi* et *in altum tollendi* significationem habet.“ Duk. adde Appian. B. Mithr. c. 74. Dion. Cass. 66, 4. Et *μισθοῦ* intellige für einen Preis, für Lohn, v. Matth. p. 678., tum *ἐς τὰς πόλεις* est: in urbes sociorum in Sicilia. Fuerunt legati e numero Corinthiorum, Ambraciotarum et Lacedaemoniorum, ut maiorem fidem et auctoritatem legatio apud exteras civitates haberet. Nam legatos in urbes Corinthiorum, Ambraciotarum et Lacedaemoniorum missos esse, propterea cogitare non licet, quod huius ipsius capitis initio narravit modo in Peloponnesum legationem abiisse, tum ex cap. 32. luculenter apparet, legationem, in qua hic sumus, ad urbes Siciliae profectam esse. Porro *αὖ* in *αὖ δηλώσοντας* ad verba *οἵπερ φράσωσιν ὅτι ἐν ἐλπίσιν εἰσί* respicere, adnotavit Popp., etsi ibi de legatis in Peloponnesum missis agitur. Mox *ἐπ' αὐτούς* refero ad verba *τῶν πολεμίων*. De constructione verborum *ὡς διαπολεμησόμενον* vide Matth. p. 1112 sq. 1121 sq.

διαφθείραντες τὸ παρὸν στράτευμα αὐτῶν, διαπολεμησόμενον. καὶ οἱ μὲν ἐν τῇ Σικελίᾳ ταῦτα ἔπρασσον.

Ὁ δὲ Δημοσθένης, ἐπεὶ ξυνελέγη αὐτῷ τὸ στράτευμα ὃ 26
ἔδει ἔχοντα ἐς τὴν Σικελίαν βοηθεῖν, ἄρας ἐκ τῆς Αἰγίνης καὶ πλεύσας πρὸς τὴν Πελοπόννησον τῷ τε Χαρικλεῖ καὶ ταῖς τριάκοντα νανσὶ τῶν Ἀθηναίων ξυμμίσγει, καὶ παραλαβόντες τῶν Ἀργείων ὁπλίτας ἐπὶ τὰς ναῦς ἔπλεον ἐς τὴν Λακωνικήν, καὶ πρῶτον μὲν τῆς Ἐπιδαύρου τι τῆς Λιμηρᾶς ἐδῄωσαν, ἔπειτα σχόντες ἐς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς, ἔνθα τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστι, τῆς τε γῆς ἔστιν ἃ ἐδῄωσαν, καὶ ἐτείχισαν ἰσθμῷδές τι χωρίον, ἵνα δὴ οἵ τε Εἵλωτες τῶν Λακεδαιμονίων αὐτόσε αὐτομολῶσι καὶ ἅμα λῃσταὶ ἐξ αὐτοῦ ὥσπερ ἐκ τῆς Πύλου ἁρπαγὴν ποιῶνται. καὶ ὁ μὲν Δημοσθένης εὐθὺς ἐπειδὴ ξυγκατέλαβε τὸ χωρίον παρέπλει ἐπὶ τῆς Κερκύρας, ὅπως καὶ τῶν ἐκεῖθεν ξυμμάχων παραλαβὼν τὸν ἐς τὴν Σικελίαν πλοῦν ὅτι τάχιστα ποιῆται· ὁ δὲ Χαρικλῆς περιμείνας ἕως τὸ χωρίον ἐξετείχισε, καὶ καταλιπὼν φυλακὴν αὐτοῦ, ἀπεκομίζετο καὶ αὐτὸς ὕστερον ταῖς τριάκοντα νανσὶν ἐπ' οἶκον, καὶ οἱ Ἀργεῖοι ἅμα.

Ἀφίκοντο δὲ καὶ Θρᾳκῶν τῶν μαχαιροφόρων τοῦ Διακοῦ 27
γένους ἐς τὰς Ἀθήνας πελτασταὶ ἐν τῷ αὐτῷ θέρει τούτῳ τρια-

26. *Κυθήρων*] Scriptor addidit *τῆς Λακωνικῆς*, quia eiusdem nominis urbs in Cypro quoque erat. Illud *ἰσθμῷδες χωρίον* Mans. Spart. 2. p. 229. adn. c. intelligit linguam terrae, quae promontorio Onugnatho terminabatur et nunc insula facta Cervi appellatur. Conf. ibid. 1, 2. p. 15. Verbum *ξυγκατέλαβε* Schol. interpretatur *συμπεριέγραψε τὸ μέγεθος (τοῦ τείχους) καὶ μικρὰν ἀνάτασιν ἐκ τῆς οἰκοδομίας προσδέδωκεν*, quam interpretationem amplexus Did. convertit: il traça les dimensions que devait avoir le mur, et en jeta pour ainsi dire les fondements, quod confirmari ait verbis statim sequentibus: *ὁ δὲ Χαρικλῆς περιμείνας ἕως τὸ χωρίον ἐξετείχισε*, quasi dixisset: murus ille, a Demosthene inchoatus, a Charicle perfectus est. Verum qui *τὸ τεῖχος ἐτείχισεν*, idem *ἐκτειχίσαι* dici poterat, et sensus, quem Did. et Schol. volunt, requirit, ut mihi quidem videtur, verbum *ξυμπεριέλαβε*. Itaque cum Bauero converto *cepit, occupavit cum illo*. Statim *παρέπλει* habet H., dubium num etiam K. In Vat. est *ἐπιπαρέπλει*, vulgo *ἐπέπλει*, quod displicet, nam potius aggressionem hostilem significat; alterum aptissimum ad navigationem litora legentem, qualis haec Demosthenis fuit. Arn. convertit *sailed on* towards Corcyra, provocans ad 1, 51., addens genitivo *ἐπὶ τῆς Κερκύρας* cursum navium, non hostilem animum significari.

27. *τοῦ Διακοῦ γένους*] Schol. *Δῖοι Θρᾳκῶν γένος, ὡς αὐτὸς ἐν τῇ δευτέρᾳ* (cap. 96.). Mox *δέ* in *ὕστερον δέ* praegresso participio *τειχισθεῖσα* abesse debebat, at v. Herm. ad Soph. El. 1059. Buttm. ad Demosth. or. Mid. Exc. 12. p. 149. Matth. p. 1246. fin. et adn. ad 1, 67. Dein *ἀπὸ τῶν πόλεων* habent Vat. H., in vulgata „*ὑπὸ τῶν πόλεων* pertinet ad *ἐφῳκεῖτο*, et *φρουραῖς* est dativus instrumentalis, quo recte refertur participium *ἐπιούσαις*, licet remotior sit genitivo *τῶν πόλεων*.“ Haack. Cum hac ratione melius convenit vulgata *ἐπιουσῶν*, quam ex libris quamplurimis et optimis cum editoribus nu-

κόσιοι καὶ χίλιοι, οὓς ἔδει τῷ Δημοσθένει ἐς τὴν Σικελίαν ξυμπλεῖν. οἱ δ' Ἀθηναῖοι, ὡς ὕστερον ἦκον, διενοοῦντο αὐτοὺς πάλιν ὅθεν ἦλθον ἐς Θράκην ἀποπέμπειν. τὸ γὰρ ἔχειν πρὸς τὸν ἐκ τῆς Δεκελείας πόλεμον αὐτοὺς πολυτελὲς ἐφαίνετο· δραχμὴν γὰρ τῆς ἡμέρας ἕκαστος ἐλάμβανεν. ἐπειδὴ γὰρ ἡ Δεκέλεια τὸ μὲν πρῶτον ὑπὸ πάσης τῆς στρατιᾶς ἐν τῷ θέρει τούτῳ τειχισθεῖσα, ὕστερον δὲ φρουραῖς ἀπὸ τῶν πόλεων κατὰ διαδοχὴν χρόνου ἐπιούσαις τῇ χώρᾳ ἐπῳκεῖτο, πολλὰ ἔβλαπτε τοὺς Ἀθηναίους, καὶ ἐν τοῖς πρώτοις χρημάτων τ' ὀλέθρῳ καὶ ἀνθρώπων φθορᾷ ἐκάκωσε τὰ πράγματα. πρότερον μὲν γὰρ βραχεῖαι γιγνόμεναι αἱ ἐσβολαὶ τὸν ἄλλον χρόνον τῆς γῆς ἀπολαύειν οὐκ ἐκώλυον· τότε δὲ ξυνεχῶς ἐπι-

perrimis mutavi in dativum *ἐπιούσαις*. Qui et ipse *ὑπό* et *ἐπιουσῶν* servat, Did. locum intelligit, quasi scriptum sit *ἐπειδὴ γὰρ ἡ Δεκ. ἐν τῷ θέρει τούτῳ τειχισθεῖσα τὸ μὲν πρῶτον ὑπὸ πάσης τῆς στρατιᾶς, ὕστερον δὲ φρουραῖς — ἐπῳκεῖτο*, id quod collocatio verborum non patitur. Nihilominus *ὑπὸ πάσης τῆς στρατιᾶς* simul ad *ἐπῳκεῖτο* refertur, sicut ad *τειχισθεῖσα*. Mox *ἐν τοῖς πρώτοις* dedi relicta coniectura Bekkeri *πρῶτον*, quia hic sensus non esse potest *omnium primum*, sed *inprimis*, ut Popp. monuit. Et *ἀνθρώπων φθορᾷ* de iactura mancipiorum Duk. intelligit. Heilm. accipit, tum mores, tum opes Atheniensium attrita esse. Ac mores quidem servorum corruptos esse, ait a scriptore ipso paulo post memorari; corpora autem et opes quomodo attrita sint, addit scriptorem referre cap. proxime insequente. „Totam notionem, ait, reddas sic: sie wurden sehr mitgenommen.“ De servis ad lasciviam corruptis v. Arist. Nub. 6. 7. Alio loco (2, 47.) *φθορὰν ἀνθρώπων* scriptor dicit damna ab Atheniensibus facta per pestilentiam. De particulis *ὁτὲ μὲν — ὁτὲ δέ* v. Herm. ad Vig. p. 792. Levesqu. existimat, scriptorem varios gradus malorum, quae Atheniensibus perferenda erant, describere; primum molestiam creasse praesidium illud perpetuum (*ξυνεχῶς ἐπικαθημένων*); auctam eam esse per copias, quae numero plures, quam praesidium irruperunt (*πλεόνων ἐπιόντων*); magis etiam per copias, quae aequali praesidiariis numero accesserunt (*τῆς ἴσης φρουρᾶς*); has enim necessario irruptionem fecisse in agros, eosque spoliasse. Convertit igitur mais à présent, que les ennemis restoient constamment dans le fort; que quelquefois il en venoit plus, qu'il n'en pouvoit contenir; qu'il arrivoit même, que des troupes aussi nombreuses, que celles qu'il renfermoit, étoient obligés de courir la campagne et de vivre de butin etc. Verum hic sensus, qui postulat *ἀνθρώπων τῇ φρουρᾷ ἰσαριθμῶν καταθεόντων*, qui ex verbis *τῆς ἴσης φρουρᾶς* efficietur? Simplicius est, cum Abreschio *τὴν ἴσην φρουράν* intelligere *praesidium ordinarium, solitum*, atque cum Scholiasta *τὴν τεταγμένην*, quod praesidium *ἐξ ἀνάγκης* i. e. *victus necessarii parandi causa* Atticam infestabat; ad quod praesidium subinde ex Lacedaemone et sociorum terris maior numerus accedebat: nec probabile est, e longinquiore Laconica terrisve sociorum commeatum subvectum esse. Statim *οὐκ ἐκ παρέργου* est *non obiter, non sine cura extrave ordinem, quasi ludendo et praeter difficilius ac serium negotium*, ut explicat Dorv. ad Charit. p. 554. Propter incredibilem numerum servorum transfugarum v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 39. coll. Lipsio ad Tacit. 3. Annal. 53. Mox Vat. *τὸ πολὺ μέρος* pro *πολύ*, sufficit, opinor, magna pars, nec cogitare licet, plerosque *χειροτέχνας* fuisse.

καθημένων, καὶ ὁτὲ μὲν καὶ πλεόνων ἐπιόντων, ὁτὲ δ' ἐξ ἀνάγκης τῆς ἴσης φρουρᾶς καταθεούσης τε τὴν χώραν καὶ λῃστείας ποιουμένης, βασιλέως τε παρόντος τοῦ τῶν Λακεδαιμονίων Ἄγιδος, ὃς οὐκ ἐκ παρέργου τὸν πόλεμον ἐποιεῖτο, μεγάλα οἱ Ἀθηναῖοι ἐβλάπτοντο. τῆς τε γὰρ χώρας ἁπάσης ἐστέρηντο, καὶ ἀνδραπόδων πλέον ἢ δύο μυριάδες ηὐτομολήκεσαν, καὶ τούτων πολὺ μέρος χειροτέχναι, πρόβατά τε πάντα ἀπολώλει καὶ ὑποζύγια· ἵπποι τε, ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων πρός τε τὴν Δεκέλειαν καταδρομὰς ποιουμένων καὶ κατὰ τὴν χώραν φυλασσόντων, οἱ μὲν ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες, οἱ δ' ἐτιτρώσκοντο. ἥ τε τῶν ἐπιτηδείων παρακομιδὴ ἐκ τῆς Εὐβοίας, πρότερον 23
ἐκ τοῦ Ὠρωποῦ κατὰ γῆν διὰ τῆς Δεκελείας θᾶσσον οὖσα, περὶ Σούνιον κατὰ θάλασσαν πολυτελὴς ἐγίγνετο· τῶν τε πάντων ὁμοίως ἐπακτῶν ἐδεῖτο ἡ πόλις, καὶ ἀντὶ τοῦ πόλις εἶναι φρούριον κατέστη. πρὸς γὰρ τῇ ἐπάλξει τὴν μὲν ἡμέραν κατὰ διαδοχὴν οἱ Ἀθηναῖοι φυλάσσοντες, τὴν δὲ νύκτα καὶ ξύμπαντες, πλὴν τῶν ἱππέων, οἱ μὲν ἔφ' ὅπλοις ποιούμενοι, οἱ δ' ἐπὶ τοῦ τείχους, καὶ θέρους καὶ χειμῶνος ἐταλαιπωροῦντο. μάλιστα δ' αὐτοὺς ἐπίεζεν ὅτι δύο πολέμους ἅμα εἶχον, καὶ ἐς φιλονεικίαν καθέστασαν τοιαύτην ἣν πρὶν γενέσθαι ἠπίστησεν ἄν τις ἀκούσας. τὸ γὰρ αὐτοὺς πολιορκουμένους ἐπιτειχισμῷ ὑπὸ Πελοποννησίων μηδ' ὡς ἀποστῆναι ἐκ Σικελίας, ἀλλὰ

28. *κατὰ γῆν*] dedi ex I. Vulgata *κατὰ γῆς* quid sit docet Blomf. ad Aesch. Pers. 633., quam Arn. ita accipit, quasi *ἄνωθεν* scriptum sit, at hoc et *κατὰ γῆς* toto coelo differunt. Mox ad *ποιούμενοι* repete *φυλακήν* ex praegresso *φυλάσσοντες*.

τὸ γὰρ αὐτοὺς — μηδ' ὡς ἀποστῆναι] Schol. supplet *ἠπίστησεν ἄν τις ἀκούσας*. „Nonnunquam in enunciatione a coniunctione *γάρ* incipiente est participium, nullo verbo finito suffultum, ut adeo hoc ex praecedentibus supplendum sit. Thuc. 1, 25. *οὔ τε γὰρ ἐν πανηγύρεσι* etc. Supple *παρημέλουν, negligebant enim revera Corinthios, quod neque darent* etc. Herodot. 1, 182. *Λακεδαιμόνιοι δὲ τὰ ἐναντία τούτου κομῶν*, sc. *ἔθεντο νόμον*. Unde apparet, male Hermannum ad Vig. p. 776. apud Xen. de Venat. 5, 32. in verbis *καταβάλλων γὰρ καὶ παραβάλλων — ἀπερειδόμενος* (sc. *τοῦτο ποιεῖ*, quamvis locus etiam aliter explicari possit) illud *γάρ*, Stephano obsecutum eiicere. Sic infinitivo cum accusativo participii fulcrum ex praecedentibus quaerendum apud Thucydidem *τὸ γὰρ αὐτοὺς μηδ' ὡς ἀποστῆναι* etc., ubi malim supplere *ἠπίστησεν ἄν τις*, quam cum Corae apud Levesquium *οὐχὶ θαυμαστόν;* etsi haec quidem ellipsis in philosopho, oratore, etiam in dialogis (dubito num in historico satis), frequens sit. v. Valck. ad Eurip. Phoen. p. 572. Wyttenb. ad Plut. de S. N. V. p. 46. Nonnunquam ad sensum potius praecedentium, quam ad verbum ipsum respiciunt, ut Thuc. 6, 24. *καὶ ἔρως ἐνέπεσε* etc., quasi praecessisset *ἐπεθύμουν ἐκπλεῦσαι.*“ Matth. ad Hom. H. Apoll. 157. p. 28. Conf. de praesenti loco eundem in Gr. p. 1093., ubi compara locum Platonis, et p. 1306. Verborum *οὐχὶ ἄπιστόν ἐστι; οὐ δεινόν; οὐκ ἀφόρητον;* et similium ellipsis est apud Arist. Plut. 593. Nub. 267. Ran. 753. Av. 5. 7. 533. Lucian. D. D. 15. init., ubi v. Popp. Adde Matth.

ἐκεῖ Συρακούσας τῷ αὐτῷ τρόπῳ ἀντιπολιορκεῖν, πόλιν οὐδὲν ἐλάσσω αὐτήν γε καθ' αὑτὴν τῶν Ἀθηναίων, καὶ τὸν παράλογον τοσοῦτον ποιῆσαι τοῖς Ἕλλησι τῆς δυνάμεως καὶ τόλμης, (ὅσον κατ' ἀρχὰς τοῦ πολέμου οἱ μὲν ἐνιαυτόν, οἱ δὲ δύο, οἱ δὲ τριῶν γε ἐτῶν, οὐδεὶς πλείω χρόνον, ἐνόμιζον περιοίσειν αὐτούς, εἰ οἱ Πελοποννήσιοι ἐσβάλοιεν ἐς τὴν χώραν·) ὥστε ἔτει ἑπτακαιδεκάτῳ μετὰ τὴν πρώτην ἐσβολὴν ἦλθον ἐς Σικελίαν, ἤδη τῷ πολέμῳ κατὰ πάντα τετρυχωμένοι, καὶ πόλεμον οὐδὲν ἐλάσσω προσανείλοντο τοῦ πρότερον ὑπάρχοντος ἐκ Πελοποννήσου. δι' ἃ καὶ τότε ὑπό τε τῆς Δεκελείας πολλὰ βλαπτούσης καὶ τῶν ἄλλων ἀναλωμάτων μεγάλων προσπιπτόντων ἀδύνατοι ἐγένοντο τοῖς χρήμασι. καὶ τὴν εἰκοστὴν ὑπὸ τοῦτον τὸν χρόνον τῶν κατὰ θάλασσαν ἀντὶ τοῦ φόρου τοῖς ὑπηκόοις ἐποίησαν, πλείω νομίζοντες ἂν σφίσι χρήματα οὕτω προσιέναι, αἱ μὲν γὰρ δαπάναι οὐχ ὁμοίως καὶ πρὶν ἀλλὰ πολλῷ μείζους καθέστασαν, ὅσῳ καὶ μείζων ὁ πόλεμος ἦν· αἱ δὲ πρόσοδοι ἀπώλλυντο.

29 Τοὺς οὖν Θρᾷκας τοὺς τῷ Δημοσθένει ὑστερήσαντας διὰ τὴν παροῦσαν ἀπορίαν τῶν χρημάτων οὐ βουλόμενοι δαπανᾶν

p. 1080. §. 544. et quos citavit ibidem sub lit. c. Illa ἠπίστησεν ἄν τις repetita orationem languidam et enervem reddidissent. Paulo inferius multi libri habent αὐτήν γε καθ' αὑτὴν τῶν Ἀθηναίων, vulgo τῶν Ἀθηνῶν. Vat. τῆς Ἀθηναίων. „Urbs *non minor Atheniensibus* tam Graece, quam Latine recte dicitur pro *non minor urbe Atheniensium*, atque hoc modo si scripsit Thuc., quomodo in aliis τῶν Ἀθηνῶν, in aliis τῆς Ἀθηναίων corrigi potuerit, facile apparet.“ Popp. Licet etiam supplere τῶν Ἀθηναίων πόλεως.

ὅσον κατ' ἀρχάς] i. e. *quatenus ab initio belli* etc. His verbis explicatur praecedens vox παράλογον. Verbum περιοίσειν Phot. Suid. et Phavor. exponunt per περιέσεσθαι καὶ ἀνθέξειν. Suidae glossa alieno loco repetitur s. v. ψᾶν. Vox ὥστε redit ad praecedens τοσοῦτον et explicat magnitudinem τοῦ παραλόγου. Quod ut magis pateret, parenthesis signa cum Heilmanno circa verba ὅσον — χώραν posui. Non igitur opus est coniectura Reiskii, οἱ δέ legentis pro ὥστε et Ἀθηναῖοι intelligentis. Quamquam auctori licebat etiam sic scribere: ὅσον κατ' ἀρχὰς μὲν τοῦ πολέμου — ἐς τὴν χώραν, ἔτει δὲ ἑπτακαιδεκάτῳ etc. sensu prorsus eodem. Et τὴν εἰκοστήν Athenienses imperare coeperunt: tributum ergo, quod inde ab Aristide socii pependerant, non iam pependerunt. Vicesima ista mercium, quae mari importabantur, exportabanturve in civitatibus sociorum, qui Atheniensium imperio parebant, sicut alia publica, locabatur: eius redemtores appellabantur εἰκοσιολόγοι. Vicesimae pensionem usque ad finem belli Pelop. permansisse, ex Aristophane colligere licet. Vid. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 348. Wachsm. Antt. Gr. 2, 1. p. 143, 122.

29. τῷ Δημ. ὑστερήσαντας] i. e. *qui sero veniebant Demostheni* sive: non ita mature, ut ei utiles esse possent. Si scripsisset τοῦ Δημοσθένους, sensus alius esset: non assequebantur Demosthenem, Athenas post eius discessum veniebant. v. Lobeck. ad Phryn. p. 237. Arn. Mox οὐ μεγάλη Vat. H. Vulgo οὐ deest. Recte libri illi, quum rationes hic reddantur, cur urbs tam facile capi potuerit. Quod autem Popp. ait, idem convenientius esse naturae huius oppidi, quod Strab.

εὐθὺς ἀπέπεμπον, προστάξαντες κομίσαι αὐτοὺς Διιτρέφει, καὶ εἰπόντες ἅμα ἐν τῷ παράπλῳ, ἐπορεύοντο γὰρ δι' Εὐρίπου, καὶ τοὺς πολεμίους ἤν τι δύνηται ἀπ' αὐτῶν βλάψαι. ὁ δὲ ἐς τὴν Τάναγραν ἀπεβίβασεν αὐτοὺς καὶ ἁρπαγήν τινα ἐποιήσατο διὰ τάχους, καὶ ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀφ' ἑσπέρας διέπλευσε τὸν Εὔριπον, καὶ ἀποβιβάσας ἐς τὴν Βοιωτίαν ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν. καὶ τὴν μὲν νύκτα λαθὼν πρὸς τῷ Ἑρμαίῳ ηὐλίσατο· ἀπέχει δὲ τῆς Μυκαλησσοῦ ἑκκαίδεκα μάλιστα σταδίους· ἅμα δὲ τῇ ἡμέρᾳ τῇ πόλει προσέκειτο οὖσῃ οὐ μεγάλῃ, καὶ αἱρεῖ, ἀφυλάκτοις τε ἐπιπεσὼν καὶ ἀπροσδοκήτοις μὴ ἄν ποτέ τινα σφίσιν ἀπὸ θαλάσσης τοσοῦτον ἐπαναβάντα ἐπιθέσθαι, τοῦ τείχους ἀσθενοῦς ὄντος καὶ ἔστιν ᾗ καὶ πεπτωκότος, τοῦ δὲ βραχέος ᾠκοδομημένου, καὶ πυλῶν ἅμα διὰ τὴν ἄδειαν ἀνεῳγμένων. ἐσπεσόντες δὲ οἱ Θρᾷκες ἐς τὴν Μυκαλησσὸν τάς τε οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν, καὶ τοὺς ἀνθρώπους ἐφόνευον φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ πάντας ἓξῆς, ὅτῳ ἐντύχοιεν, καὶ παῖδας καὶ γυναῖκας κτείνοντες, καὶ προσέτι καὶ ὑποζύγια καὶ ὅσα ἄλλα ἔμψυχα ἴδοιεν. τὸ γὰρ γένος τὸ τῶν Θρᾳκῶν, ὁμοῖα τοῖς μάλιστα τοῦ βαρβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστι. καὶ τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη καὶ ἰδέα πᾶσα καθεστήκει ὀλέθρου, καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων, ὅπερ μέγιστον ἦν αὐτόθι καὶ ἄρτι ἔτυχον οἱ παῖδες ἐξεληλυθότες, κατέκοψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει πάσῃ οὐδεμιᾶς ἧσσον μᾶλλον

9. p. 619. A. Alm. vocet κώμην τῆς Ταναγρικῆς, vere Did. oblocutus est, inde nihil colligi posse de magnitudine urbis illius, quia Strabo p. 617. D. clare profitetur, urbes Boeotiae, et vel Thebas suo tempore vix pagorum memorabilium formam retinuisse, exceptis Tanagra et Thespiis, et p. 629. B. addit, Thespias et Tanagram solas omnium Boeoticarum urbium constare, ceterarum rudera et nomina superesse. Mycalessum tamen non magnam urbem fuisse, inde Arn. effici putat, quod eius parva mentio fiat in memoria rerum Graecarum, et cap. 30. extr. verba ὡς ἐπὶ μεγέθει commodissime de urbis ambitu intelliguntur, ubi vide quae adnotavi. At Did. his repugnare dicit verba huius cap. καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων, ὅπερ μέγιστον ἦν αὐτόθι, neque enim parvae urbi ludum esse potuisse permagnum. Hoc argumentum debilius videtur, quam ut reliqua infirmentur: potuit ludus Mycalessi pueris ex vicinia venientibus tam frequens fieri, forte magistro solertiori Mycalessi vivente. Porro recte Schol. τὸ ἑξῆς, καὶ ἀπροσδοκήτοις, τοῦ τείχους ἀσθενοῦς ὄντος. Nam inde a verbis τοῦ τείχους ἀσθενοῦς ὄντος indicia enumerantur, unde perspiciatur, Mycalessensibus Thracas supervenisse necopinatis. De verbis ὅτῳ ἐντύχοιεν v. Matth. p. 1024. Mox Ar. habet ὁμοῖα τοῖς φονικοῖς δηλονότι μάλιστα, ex interpretatione. Vid. Hemsterh. ad Lucian. Somn. 2. Vol. 1. p. 170. Bip. Statim de ἐν ᾧ, zu einer Zeit, wenn sive in einem Falle, da etc. v. Matth. p. 1138. §. 577. init. Ad καὶ ἄρτι ἔτυχον supple ἐς αὐτό i. e. καὶ ἐς ὃ ἄρτι ἔτυχον οἱ παῖδες ἐξεληλυθότες. Sic 2, 4. ἐσπίπτουσιν ἐς οἴκημα μέγα, ὃ ἦν τοῦ τείχους, καὶ αἱ πλησίον θύραι ἀνεῳγμέναι ἔτυχον αὐτοῦ. vid. Herm. ad Vig. p. 708. et adn. ad 8, 73.

30 ἑτέρας ἀδόκητός τε ἐπέπεσεν αὕτη καὶ δεινή. οἱ δὲ Θηβαῖοι αἰσθόμενοι ἐβοήθουν, καὶ καταλαβόντες προκεχωρηκότας ἤδη τοὺς Θρᾷκας οὐ πολὺ τήν τε λείαν ἀφείλοντο καὶ αὐτοὺς φοβήσαντες καταδιώκουσιν ἐπὶ τὸν Εὔριπον καὶ τὴν θάλασσαν, οὗ αὐτοῖς τὰ πλοῖα ἃ ἤγαγεν ὥρμει. καὶ ἀποκτείνουσιν αὐτῶν ἐν τῇ ἐσβάσει τοὺς πλείστους, οὔτε ἐπισταμένους νεῖν, τῶν τε ἐν τοῖς πλοίοις, ὡς ἑώρων τὰ ἐν τῇ γῇ, ὁρμισάντων ἔξω τοξεύματος τὰ πλοῖα, ἐπεὶ ἔν γε τῇ ἄλλῃ ἀναχωρήσει οὐκ ἀτό-

μᾶλλον ἑτέρας] μᾶλλον om. Mosqu. Ar. Chr. Dan. Heilm. legi posse coniicit οὐδεμιᾶς ἧσσον, μᾶλλον δὲ ἑτέρας ἀδόκητος, et ἧσσον profecto habent Marc. Cass. T. (Cantabr. Arnoldi) E., sed magis ei placet delere verba: μᾶλλον ἑτέρας, quum praesertim, quae sic restet formula, huic scriptori tam frequens sit, velut paucis abhinc versibus: πάθει οὐδενὸς ἧσσον ὀλοφύρασθαι ἀξίῳ et infr. c. 71. extr. ἥν τε ἐν τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. Nam quod Duk. et Blomf. ad Aesch. VII. c. Theb. 670. dicunt, μᾶλλον comparativo ex abundantia adiectum esse, atque id saepe fieri, verum est docetque Matth. §. 458. et de Latinis quoque Meinek. Cur. Menandr. fasc. 1. p. 43., sed μᾶλλον contrario quidem sui adiici nequit. Et quid, quaeso, ἧσσων μᾶλλον significet, nisi aut nihil, aut *potius minor*? Quare si vulgata retinetur, sic intelligenda erit: οὐδεμιᾶς ἧσσων, et μᾶλλον ἑτέρας, quasi adiecta his particula δέ.

30. τοὺς πλείστους] Recte ait Haack. tres quasi scenas actionis fuisse, in quibus Thraces iacturas fecerunt, in urbe, in receptu, denique in conscendendo naves, et Thucydidem significare, ex his tribus in conscensione navium damnum Thracum maximum fuisse. Arn. comparat 4, 44. κατὰ τὸ δεξιὸν κέρας οἱ πλεῖστοι ἀπέθανον αὐτῶν. Statim pro ὁρμισάντων H. (sed s. v. γρ. ὁρμισάντων) et Schol. et marg. Steph. habent ἀνορμισάντων i. e. *navibus remotius collocatis*, quod verbum non legi apud Thucydidem, sed tamen apud eius imitatorem Dionem Cass. Popp. adnotavit.

ἔξω τοξεύματος] H. (in quo s. v. γρ. τοῦ ζεύγματος) Gr. Vall. (qui *extra ictum sagittarum* interpretatur), eadem scriptura in Lugd. cum γρ. adnotata. Tus. τοῦ τοξεύματος. Vulgo τοῦ ζεύγματος, sed γ in m. rec. man. illatum. Converte aus der Schiffsweite heraus. Vulgata, quam pessime intellexit Duk. de ponte cogitans vel aggere, quo Boeotiae Euboea iuncta esset (nam pons ille serius demum exstructus est, ut ex Diod. 13, 47. docet Arn.) hoc sonat: weiter hinaus, als die Schiffstreppe langte (et ne hoc quidem, quia eam ἀποβάθραν Graeci dicunt, et non ζεῦγμα), ut scilicet profugi illi naves escendere non possent. Si cogites, consilium eorum, qui in navibus erant, non aliud esse potuisse, nisi ut tela Thebanorum evitarent, propter quod ipsum naves remotius a litore in ancoris collocasse putandi sunt, non evitasse autem eos tela, navibus tantum extra ἀποβάθρας longitudinem in altum eductis; non improbabis, opinor, duorum librorum auctoritatem praelatam. Nam quod hanc scripturam faciliorem intellectu dicunt esse, quam quae recipi debeat, velim edoceri, quid in vulgata difficile sit aut exquisitum, quare altera posthabenda sit. Sin dicas, Thracas satis habuisse navibus extra scalae iuncturam remotis, ne scilicet hostes naves conscenderent, quaero, quid lucrati essent, periculo ab hostibus imminenti vel sic obnoxii, neque ideo suis vel minimum hostium e manibus ereptis? Sagittis autem rem gestam esse, docet Pausan. 1, 23, 2. 4. Quomodo Thracum qui ab hoste superstites fuerunt, postremo in naves a litore remotas pervenerint, non liquet ex narratione.

πως οἱ Θρᾷκες πρὸς τὸ τῶν Θηβαίων ἱππικόν, ὅπερ πρῶτον προσέκειτο, προεκθέοντες καὶ ξυστρεφόμενοι ἐν ἐπιχωρίῳ τάξει τὴν φυλακὴν ἐποιοῦντο, καὶ ὀλίγοι αὐτῶν ἐν τούτῳ διεφθάρησαν. μέρος δέ τι καὶ ἐν τῇ πόλει αὐτῇ δι' ἁρπαγὴν ἐγκαταληφθὲν ἀπώλετο. οἱ δὲ ξύμπαντες τῶν Θρακῶν πεντήκοντα καὶ διακόσιοι ἀπὸ τριακοσίων καὶ χιλίων ἀπέθανον. διέφθειραν δὲ καὶ τῶν Θηβαίων καὶ τῶν ἄλλων οἱ ξυνεβοήθησαν ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας ὁμοῦ, καὶ Θηβαίων τῶν βοιωταρχῶν Σκιρφώνδαν· τῶν δὲ Μυκαλησσίων μέρος τι ἀπαναλώθη. τὰ μὲν κατὰ τὴν Μυκαλησσὸν πάθει χρησαμένων οὐδενὸς ὡς ἐπὶ μεγέθει τῶν κατὰ τὸν πόλεμον ἧσσον ὀλοφύρασθαι ἀξίῳ τοιαῦτα ξυνέβη.

31 Ὁ δὲ Δημοσθένης τότε ἀποπλέων ἐπὶ τῆς Κερκύρας μετὰ τὴν ἐκ τῆς Λακωνικῆς τείχισιν, ὁλκάδα ὁρμοῦσαν ἐν Φειᾷ τῇ

Labis originem Arn. monstravit, docens vulgatam in libris haesisse eo facilius, quo aetate imperii Byzantini Euripus ponte iunctus fuit, qui vocabatur ζεῦγμα teste, quem Bloomf. citavit, Procopio de Aedificiis p. 36, 32., et librarii aut non curantes aut ignorantes tempus, quo ille pons primum aedificatus est, facile sibi persuadebant, Thucydidem de eo praesenti loco loqui. Denique, ut Bloomf. animadvertit, apud Herodian. 8, 4, 17. est μείναντες ἔξω τοξεύματος, ubi in quibusdam edd. vett. idem error ἔξω τοῦ ζεύγματος obtinere dicitur. Mox libri variant inter ἐγκαταλειφθέν et ἐγκαταληφθέν. Illud ita sonat, quasi ii, qui in urbe remanebant, ab iis, qui non remanebant, direptionis continuandae causa consulto relicti essent, cum modo tardius sequuturi essent (zurückblieben i. e. Graece ὑποκατελείφθησαν) maiori quam reliqui praedae cupidine retenti, neque dum satiati. At ἐγκαταληφθέν est, ut recte Bau., *deprehensi, oppressi*, quia praedae immorabantur, idque ad h. l. aptissimum. Paulo inferius μέρος τι ἀπαναλώθη non potest aliud significare, quam *insigniter magna pars* absumta est, sive a proportion or substantial part of the whole, so large a part as sensibly to affect the whole, ut Arn. ad 1, 13. explicat. Idemque sensus subesse ei videtur in verbis 4, 30. ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο i. e., ait, mainly (hauptsächlich), in a great degree. Schol. ἤτοι παῖδες μὲν πολλοί, τῶν ἀνδρῶν δὲ μέρος τι, ἢ μέρος τι ἀντὶ τοῦ τὸ μέρος.

ὡς ἐπὶ μεγέθει] sc. et urbis et calamitatis, wenn man das Verhältniss des Verlustes zur Stadt in ihrem beiderseitigen Umfange betrachtet, da der Umfang der Stadt sehr gering, die Zahl der Umgekommenen sehr gross war. Stragis immanitatem extollit Pausan. 1, 23, 3.

31. ἐπὶ τῆς Κερκύρας] Vat. Mosqu. Vall. *in Corcyram traiiciens*. Vulgo ἐκ. Nondum Corcyram Demosthenem pervenisse inde apparet, quod tunc demum Pheam, in Zacynthum, Cephalleniam et Acarnaniam devenit, quare in itinere Corcyram versus suscepto adhuc versari cogitandus est. Verba τὴν ἐκ τῆς Λακωνικῆς τείχισιν Arn. interpretatur *post communitionem factam a latere Laconicae*, on the side of Laconia, auf der Seite nach Laconica, comparans haec cum verbis τὸ ἐκ τοῦ ἰσθμοῦ τεῖχος, *muri pars spectans isthmum* 1, 64. et τὸ ἐξ Ἐπιδαύρου τεῖχος ἐκλιπεῖν 5, 80., quod explicat *castellum spectans Epidaurum*. At circummunitio in ipsa Laconia exstructa, qualis quae h. l. memoratur, non potest a latere Laconiae sive ita, ut Laconiam spectet,

Ἠλείων, ἐν ᾗ οἱ Κορίνθιοι ὁπλῖται ἐς τὴν Σικελίαν ἔμελλον περαιοῦσθαι, αὐτὴν μὲν διαφθείρει· οἱ δ' ἄνδρες ἀποφυγόντες ὕστερον λαβόντες ἄλλην ἔπλεον. καὶ μετὰ τοῦτο ἀφικόμενος ὁ Δημοσθένης ἐς τὴν Ζάκυνθον καὶ Κεφαλληνίαν, ὁπλίτας τε παρέλαβε καὶ ἐκ τῆς Ναυπάκτου τῶν Μεσσηνίων μετεπέμψατο. καὶ ἐς τὴν ἀντιπέρας ἤπειρον τῆς Ἀκαρνανίας διέβη, ἐς Ἀλυζίαν τε καὶ Ἀνακτόριον, ὃ αὐτοὶ εἶχον. ὄντι δ' αὐτῷ περὶ ταῦτα ὁ Εὐρυμέδων ἀπαντᾷ ἐκ τῆς Σικελίας ἀποπλέων, ὃς τότε τοῦ χειμῶνος τὰ χρήματα ἄγων τῇ στρατιᾷ ἀπεπέμφθη, καὶ ἀγγέλλει τά τε ἄλλα καὶ ὅτι πύθοιτο κατὰ πλοῦν ἤδη ὢν τὸ Ἱλλυμμύριον ὑπὸ τῶν Συρακοσίων ἁλωκός. ἀφικνεῖται δὲ καὶ Κόνων παρ' αὐτούς, ὃς ἦρχε Ναυπάκτου, ἀγγέλλων ὅτι αἱ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων αἱ σφίσιν ἀνθορμοῦσαι οὔτε καταλύουσι τὸν πόλεμον ναυμαχεῖν τε μέλλουσι· πέμπειν οὖν ἐκέλευεν αὐτοὺς ναῦς, ὡς οὐχ ἱκανὰς οὔσας δυοῖν δεούσας εἴκοσι τὰς ἑαυτῶν πρὸς τὰς ἐκείνων πέντε καὶ εἴκοσι

aedificata esse dici. Rectius h. l. explicat Matth. p. 1193., docens hic solennem permutationem praepositionum sessionis et motus obtinere. Phea in Elide cava erat, quondam ab Epeis habitata, quorum ditionis hoc promontorium terminus australis fuisse videtur. v. Thuc. 2, 25. Strab. 8. p. 343. A. Od. Muell. Orchom. p. 361. Post τῇ Ἠλείων vulgo legebatur λαβών, quod cum alii libri omittant, aliis εὑρών praebentibus (Valla *nactus*), Critici glossematis damnarunt. „Λαβών cur invitis libris scriptis retineatur, nulla causa est. Videtur intrusum ab iis, qui putabant ita postulare sequens αὐτήν. Sed satis cohaeret oratio eo demto, hoc modo: ὁλκάδα — αὐτὴν μὲν διαφθείρει, οἱ δὲ ἄνδρες." Duk. Ad ὃ αὐτοὶ εἶχον Schol. sc., ait, οἱ Ἀθηναῖοι. v. Thuc. 4, 49. 5, 30. et de Alyzia v. Strab. 10. p. 705. A., qui docet urbem Acarnaniae esse et a mari quindecim stadiis distare, ibique portum esse Herculi sacrum. Et ὃς τότε τοῦ χειμῶνος etc. est *qui illo tempore, quod supra dixi, hieme* etc. Dixerat autem c. 16. Sic 1, 101. est *insigni illo, omnibusque noto tempore.* Vid. Wolf. ad Demosth. Lept. p. 264. ed. pr.

ὡς οὐχ ἱκανὰς οὔσας δυοῖν δεούσας εἴκοσι τὰς ἑαυτῶν] Ita h. l. constitui cum nuperrimis editoribus; vulgo ἱκανοὺς ὄντας δυοῖν δεούσαις εἴκοσιν ταῖς, quod recte se habet, si ὡς οὐχ ἱκανοὺς ὄντας dictum accipias pro ὡς οὐχ ἱκανῶν σφῶν ὄντων. Verumtamen propter defectum subiecti istum scripturam alteram praetuli, quam meliores libri suppeditant. Sic non fit per praecedens αὐτούς, ut oratio ambigua sit. Accusativi absoluti cum ὡς iuncti exempla suppeditant Buttm. Gr. med. §. 145. 6. adn. 5. p. 413. (ed. 13.) Matth. §. 568. 3. Actt. Philol. Monacc. Vol. 2. p. 332. Cur de numero viginti navium duae desint, non liquet. Supra c. 17. Athenienses scripsit viginti naves contra Peloponnesum misisse, neque ibi aut Cononis aut Naupacti mentio. Cap. 19. viginti naves ad Naupactum in statione esse referuntur (eumque solennem numerum Naupacti fuisse Arn. docet ex 2, 69. 80.), quibus hic demum Cononem praefuisse addit. Quare auctorem Heilm. negligentiae insimulat. Addit Arn.: „Nunc ergo illae naves narrantur octodecim fuisse, duabus causa nobis incognita vel perditis vel alio missis. Demosthenes huic numero addit decem, et Diphilum apparet posthac Athenis cum quinque navibus missum esse, ut toti praeesset: nam invenimus c. 34. summam navium fuisse tunc triginta trium et

ναυμαχεῖν. τῷ μὲν οὖν Κόνωνι δέκα ναῦς ὁ Δημοσθένης καὶ ὁ Εὐρυμέδων τὰς ἄριστα σφίσι πλεούσας ἀφ' ὧν αὐτοὶ εἶχον ξυμπέμπουσι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ· αὐτοὶ δὲ τὰ περὶ τῆς στρατιᾶς τὸν ξύλλογον ἡτοιμάζοντο, Εὐρυμέδων μὲν ἐς τὴν Κέρκυραν πλεύσας καὶ πεντεκαίδεκά τε ναῦς πληροῦν κελεύσας αὐτούς καὶ ὁπλίτας καταλεγόμενος· ξυνῆρχε γὰρ ἤδη Δημοσθένει, ἀποτραπόμενος, ὥσπερ καὶ ἠρέθη· Δημοσθένης δ' ἐκ τῶν περὶ τὴν Ἀκαρνανίαν χωρίων σφενδονήτας τε καὶ ἀκοντιστὰς ξυναγείρων.

Οἱ δ' ἐκ τῶν Συρακουσῶν τότε μετὰ τὴν τοῦ Πλημμυ- 32
ρίου ἅλωσιν πρέσβεις οἰχόμενοι ἐς τὰς πόλεις, ἐπειδὴ ἔπεισάν τε καὶ ξυναγείραντες ἔμελλον ἄξειν τὸν στρατόν, ὁ Νικίας προπυθόμενος πέμπει ἐς τῶν Σικελῶν τοὺς τὴν δίοδον ἔχοντας καὶ [σφίσι] ξυμμάχους, Κεντόριπάς τε καὶ Ἀλικυαίους καὶ ἄλλους, ὅπως μὴ διαφήσουσι τοὺς πολεμίους, ἀλλὰ ξυστραφέν-

Diphilum, non Cononem, iis praefuisse." Idem monet, τραπόμενος significare, Eurymedontem, qui Athenas ex Sicilia veniens peteret, in via reversum iterum Siciliam petiisse, ut quo collega Demosthenis legatus esset, vid. supr. c. 16.

32. ἐς τὰς πόλεις] Selinus et Himera maxime significantur, quarum urbium militibus quum via australis litoris per fines Agrigentinorum interdicta esset, non licebat aliter nisi per interiora insulae agmen ducere. Arn. Mox Κεντόριπας Cluver. mutatum vult in *Κεντοριπίνους*, quemadmodum apud Diodorum, et Ciceronem atque in nummo Parutae esse monuerunt Wass. et Popp. 1, 2. p. 540. Et de ipso nomine urbis Κεντόριπα 6, 94. dubitatur, utrum accusativus singularis sit, quemadmodum apud Diodorum, an pluralis, quemadmodum apud Strabonem, nam apud Ptolemaeum Κεντούριπαι est, apud Melam Centuripinum, apud Silium It. Centuripe: nunc Centorbe audire a Wassio in adnotatione valde incondita dicitur. Alicyaei, qui paulo post nominantur, toti incerti sunt. „Est quidem in Sicilia urbs Halicyae, sed ea sita inter Segestam, Entellam et Lilybaeum, ubi nunc Salemi, ut ex Steph. et Diod. docuit Cluver. De hac itaque apud Thucydidem cogitare vetat loci ratio. Nisi igitur cum Fazello statuere volumus, geminam fuisse urbem Alicyas, earumque alteram sitam fuisse circa Aetnam et Centoripa, nihil aliud restat quam ut nomen corruptum iudicemus et Cluverii sententiam amplectamur." Popp. Cluver. p. 309. 314. censet Ἀγυριναίους scribendum esse. „Notissimum oppidum Agyrium, nunc San Filippo d'Argirone, haud procul a Centuripis, natus illic Diodorus." Huds. vid. Kephalid. Vol. 1. p. 309. Addit Arn.: „Apparet viam, per quam socii Syracusanorum incedebant, per planitiem Catanae patuisse, editiora terrae fortasse prope Ennam superasse et hinc descendisse per unam vallium, quae ad litus exitum habent inter Syracusas et Catanam."

διαφήσουσι] Nonnulli libri ἀφήσουσι, vulgo διαφήσωσι. Dobr. et Bekk. διαφήσουσι. Zonaras: διαφήσειε, διαφορήσετε, διαπέμψετε. Glossa desumta est ex Arist. Av. 193., ubi v. Schol. coll. Buttm. Gr. max. 2, 1. p. 251. Arn. adnotavit, εἰσφορήσεσθαι sensu *admittendi in urbem* esse apud Demosth. de Cherson. p. 93. Reisk., διαφήσουσι autem bis apud eundem (c. Aristocr. p. 677. 679.) sensu *dimittendi exercitum.* Διαφήσουσι Popp. damnat, quod Thuc. verbo φρεῖν eiusque compositis alibi non utatur. At ne διαφήσουσι quidem suspicione ca-

τες κωλύσουσι διελθεῖν· ἄλλη γὰρ αὐτοὺς οὐδὲ πειράσειν· Ἀκραγαντῖνοι γὰρ οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν. πορευομένων δ' ἤδη τῶν Σικελιωτῶν οἱ Σικελοὶ καθάπερ ἐδέοντο οἱ Ἀθηναῖοι ἐνέδραν τινὰ [τριχῇ] ποιησάμενοι, ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι διέφθειραν ἐς ὀκτακοσίους μάλιστα, καὶ τοὺς πρέσβεις πλὴν ἑνὸς τοῦ Κορινθίου πάντας· οὗτος δὲ τοὺς διαφυγόντας ἐς πεντακοσίους καὶ χιλίους ἐκόμισεν
33 ἐς τὰς Συρακούσας. καὶ περὶ τὰς αὐτὰς ἡμέρας καὶ οἱ Καμαριναῖοι ἀφικνοῦνται αὐτοῖς βοηθοῦντες, πεντακόσιοι μὲν ὁπλῖται, τριακόσιοι δὲ ἀκοντισταὶ καὶ τοξόται τριακόσιοι. ἔπεμψαν δὲ καὶ οἱ Γελῷοι ναυτικόν τε ἐς πέντε ναῦς καὶ ἀκοντιστὰς τετρακοσίους καὶ ἱππέας διακοσίους. σχεδὸν γάρ τι ἤδη πᾶσα ἡ Σικελία, πλὴν Ἀκραγαντίνων, οὗτοι δ' οὐδὲ μεθ' ἑτέρων ἦσαν, οἱ δ' ἄλλοι ἐπὶ τοὺς Ἀθηναίους μετὰ τῶν Συρακοσίων οἱ πρότερον περιορώμενοι ξυστάντες ἐβοήθουν. καὶ οἱ μὲν Συρακόσιοι, ὡς αὐτοῖς τὸ ἐν τοῖς Σικελοῖς πάθος ἐγένετο, ἐπέσχον τὸ εὐθέως τοῖς Ἀθηναίοις ἐπιχειρεῖν· ὁ δὲ Δημοσθένης καὶ Εὐρυμέδων, ἑτοίμης ἤδη τῆς στρατιᾶς οὔσης ἐκ τῆς Κερκύρας καὶ ἀπὸ τῆς ἠπείρου, ἐπεραιώθησαν ξυμπάσῃ τῇ στρατιᾷ τὸν Ἰόνιον ἐπ' ἄκραν Ἰαπυγίαν· καὶ ὁρμηθέντες αὐτόθεν κατίσχουσιν ἐς τὰς Χοιράδας νήσους Ἰαπυγίας, καὶ ἀκοντιστάς τέ τινας τῶν Ἰαπύγων πεντήκοντα καὶ ἑκατὸν τοῦ Μεσσαπίου ἔθνους ἀναβιβάζονται ἐπὶ τὰς ναῦς, καὶ τῷ Ἄρτᾳ, ὅσπερ καὶ τοὺς ἀκοντιστὰς δυνάστης ὢν πα-

ret, quod Popp. quoque affirmat sensum *dimittendi* habere, velut exercitum apud Xenophontem, et conferri iubet Thom. M. p. 222. Quare quum nonnulli libri *ἀφήσουσι* dent, *διαφήσουσι* ex commixtis scripturis *ἀφήσουσι* et *διήσουσι* ortum et *διήσουσι* verum putat. Mox de discrimine *Σικελιωτῶν* et *Σικελῶν* v. Thom. M. p. 792. Schol. ad Thuc. 5, 5. Mazocch. ad Tabul. Heracl. 15. nr. 16—36. nr. 58. et inprimis Mans. Spart. 2. p. 437 sqq. Tum *τριχῇ* om. multi libri et Thom. M. l. c.

33. *σχεδὸν γάρ τι*] Sic scripsi ex libris quamplurimis et optimis. Vulgo *σχεδὸν γάρ τοι*. Hoc loco si legas *τοι*, iungenda erunt verba *γάρ — τοι, nam omnino*. Vid. Herm. ad Vig. p. 829. Verum praestat iungere *σχεδόν τι*. Frequentem admodum Atticis formulam esse docent Schaef. ad Dionys. Hal. de C. V. p. 177. et Matth. §. 487. 4. Paulo post subiectum *πᾶσα ἡ Σικελία* post parenthesin alia forma, verbis *οἱ δ' ἄλλοι*, repetitur. Conf. adn. ad 1, 18. Mox dedi *ἐπέσχον τὸ εὐθέως* ex Cass. (qui sic habet a rec. man.) cod. Bas. Gr. T. (Cantabr. Arnoldi) pro vulgata *ἐπέσχοντο εὐθέως*, quia medium hoc sensu apud Thucydidem nusquam legitur, ut Duk. et Popp. docuerunt. Mox Choerades duae parvae insulae sunt, sitae ante portum Tarenti, altera circuitum circiter quatuor, altera circiter duorum mill. habens, auctore Salis-Marschlinsio apud Popp. 1, 2. p. 548. adn., qui addit alteram Stam Pelagiam, alteram St. Andream dici, et recta via circiter tria mill. ab urbe Tarento distare. „Orgiazzi in Tabula Italiae appellat insulas St. Petri et St. Pauli.“ Arn.

τῷ Ἄρτᾳ] Hesych. *Ἄρτας, μέγας καὶ λαμπρός, Θουκυδίδης*. Lexicogr. in mente habuit hunc regem ex Demetrio Comico, a quo apud

ρέσχεν αὐτοῖς, ἀνανεωσάμενοί τινα παλαιὰν φιλίαν, ἀφικνοῦνται ἐς Μεταπόντιον τῆς Ἰταλίας. καὶ τοὺς Μεταποντίους πείσαντες κατὰ τὸ ξυμμαχικὸν ἀκοντιστάς τε ξυμπέμπειν τριακοσίους καὶ τριήρεις δύο, καὶ ἀναλαβόντες ταῦτα, παρέπλευσαν ἐς Θουρίαν, καὶ καταλαμβάνουσι νεωστὶ στάσει τοὺς τῶν Ἀθηναίων ἐναντίους ἐκπεπτωκότας· καὶ βουλόμενοι τὴν στρατιὰν αὐτόθι πᾶσαν ἀθροίσαντες εἴ τις ὑπελέλειπτο ἐξετάσαι, καὶ τοὺς Θουρίους πεῖσαι σφίσι ξυστρατεύειν τε ὡς προθυμότατα, καὶ ἐπειδήπερ ἐν τούτῳ τύχης εἰσί, τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους τοῖς Ἀθηναίοις νομίζειν, περιέμενον ἐν τῇ Θουρίᾳ καὶ ἔπρασσον ταῦτα.

Οἱ δὲ Πελοποννήσιοι περὶ τὸν αὐτὸν χρόνον τοῦτον οἱ ἐν 34
ταῖς πέντε καὶ εἴκοσι ναυσίν, οἵπερ τῶν ὁλκάδων ἕνεκα τῆς ἐς Σικελίαν κομιδῆς ἀνθώρμουν πρὸς τὰς ἐν Ναυπάκτῳ ναῦς, παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίᾳ καὶ προσπληρώσαντες ἔτι ναῦς, ὥστε ὀλίγῳ ἐλάσσους εἶναι αὐτοῖς τῶν Ἀττικῶν νεῶν, ὁρμίζονται κατὰ Ἐρινεὸν τῆς Ἀχαΐας ἐν τῇ Ῥυπικῇ. καὶ αὐτοῖς τοῦ χωρίου μηνοειδοῦς ὄντος ἐφ' ᾧ ὥρμουν, ὁ μὲν πεζὸς ἑκατέρωθεν προσβεβοηθηκότες, τῶν τε Κορινθίων καὶ τῶν αὐτόθεν ξυμμάχων, ἐπὶ ταῖς ἀνεχούσαις ἄκραις παρετέτακτο, αἱ δὲ νῆες τὸ μεταξὺ εἶχον ἐμφράξασαι· ἦρχε δὲ τοῦ ναυτι-

Athenae. 3. p. 108. F. *μέγας καὶ λαμπρός* dicitur, et simul ex praesenti loco Thucydidis. Athenaeus eum dicit regem Messapiorum in Iapygia fuisse et super eo commentarium Polemonis extitisse. Mox de Italia, in qua scriptor Metapontium situm fuisse dicit, quamque ab Iapygia discernit, adi Niebuhr. H. R. Vol. 1. p. 26. ed. pr.

34. *τῶν αὐτόθεν ξυμμάχων*] Achaeos dicit, qui iam omnes in partes Lacedaemoniorum transierant, vid. 2, 9. Arn. Paulo inferius *τὰς παρεξειρεσίας* Schol. ita explicat: *παρεξειρεσία ἐστὶ τὸ κατὰ τὴν πρώραν πρὸ τῶν κωπῶν· ὡς ἂν εἴποι τις τὸ παρὲξ τῆς εἰρεσίας*. Plenius Huds. ex Scheffero M. N. 1, 6. p. 51.: „Est spatium in puppi aut prora remis vacuum.“ Porro Schol. ad *ἐπωτίδας* haec adnotavit: *ἐπωτίδες εἰσὶ τὰ ἑκατέρωθεν πρώρης ἐξέχοντα ξύλα*. Male idem ad c. 36. *τὰ ἑκατέρωθεν τῆς νηὸς πρὸς τῇ πρύμνῃ ἐξέχοντα*. „Les epotides (parotides a un sens different) étoient dans les vaisseaux de guerre des anciens deux solives, plus ou moins saillantes, plus ou moins larges, qui s'avançoient de chaque coté de la proue. Du milieu de ces epotides partoit l'éperon, en Grec *ἔμβολον*, et en latin *rostrum*, dont l'extremité étoit garnie de fer ou de cuivre. Scheff. M. N. 2, 5. p. 124. Pline H. N. 7, 57. attribue l'invention des epotides à un pirate d'Etrurie nommé Pisaeus. C'est vraisemblablement d'après ce *rostrum*, qui signifie un bec, et qu'on pourroit regarder comme une sorte de nez ou de museau, que ceux qui lui ajoutèrent les deux solives latérales, ont été portés à leur donner, par suite de la même métaphore le nom d'epotides, qui cependant signifieroit couvre-oreilles plutôt qu'oreilles.“ Interpp. ad Strab. 3. p. 138. Vol. 1. p. 385. vers. Gall. Strabo eo loco (p. 201. B. Alm.) promontorium quoddam Hispaniae ab Artemidoro cum navigio comparatum esse narrat: ad illud prope tres exiguas insulas iacuisse, quarum una rostri vicem gesserit, reliquae *ἐπωτίδων* navis a prora prominentium. Arn. adire iubet Appian. Syr. 27. B. C. 5, 119. Dion. Cass. 49, 3.

κοῦ Πολυάνθης Κορίνθιος. οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Ναυπάκτου τριάκοντα ναυσὶ καὶ τρισίν, ἦρχε δὲ αὐτῶν Δίφιλος, ἐπέπλευσαν αὐτοῖς. καὶ οἱ Κορίνθιοι τὸ μὲν πρῶτον ἡσύχαζον, ἔπειτα ἀρθέντος αὐτοῖς τοῦ σημείου, ἐπεὶ καιρὸς ἐδόκει εἶναι, ὥρμησαν ἐπὶ τοὺς Ἀθηναίους καὶ ἐναυμάχουν. καὶ χρόνον ἀντεῖχον πολὺν ἀλλήλοις. καὶ τῶν μὲν Κορινθίων τρεῖς νῆες διαφθείρονται, τῶν δὲ Ἀθηναίων κατέδυ μὲν οὐδεμία ἁπλῶς, ἑπτὰ δέ τινες ἄπλοι ἐγένοντο, ἀντίπρωροι ἐμβαλλόμεναι καὶ ἀναῤῥαγεῖσαι τὰς παρεξειρεσίας ὑπὸ τῶν Κορινθίων νεῶν ἐπ' αὐτὸ τοῦτο παχυτέρας τὰς ἐπωτίδας ἐχουσῶν. ναυμαχήσαντες δὲ ἀντίπαλα μὲν καὶ ὡς αὐτοὺς ἑκατέρους ἀξιοῦν νικᾶν, ὅμως δὲ τῶν ναυαγίων κρατησάντων τῶν Ἀθηναίων διά τε τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν ἐς τὸ πέλαγος καὶ διὰ τὴν τῶν Κορινθίων οὐκέτι ἐπαναγωγὴν διεκρίθησαν ἀπ' ἀλλήλων, καὶ δίωξις οὐδεμία ἐγένετο, οὐδ' ἄνδρες οὐδετέρων ἑάλωσαν· οἱ μὲν γὰρ Κορίνθιοι καὶ Πελοποννήσιοι πρὸς τῇ γῇ ναυμαχοῦντες ῥᾳδίως διεσώζοντο, τῶν δὲ Ἀθηναίων οὐδεμία κατέδυ ναῦς. ἀποπλευσάντων δὲ τῶν Ἀθηναίων ἐς τὴν Ναύπακτον οἱ Κορίνθιοι εὐθὺς τροπαῖον ἔστησαν ὡς νικῶντες, ὅτι πλείους τῶν ἐναντίων ναῦς ἄπλους ἐποίησαν, καὶ νομίσαντες δι' αὐτὸ οὐχ ἡσσᾶσθαι δι' ὅπερ οὐδ' οἱ ἕτεροι νικᾶν· οἵ τε γὰρ Κορίνθιοι ἡγήσαντο κρατεῖν, εἰ μὴ καὶ πολὺ ἐκρατοῦντο, οἵ τ' Ἀθηναῖοι ἐνόμιζον ἡσσᾶσθαι, ὅτι οὐ πολὺ ἐνίκων. ἀποπλευσάντων δὲ τῶν Πελοποννησίων καὶ τοῦ πεζοῦ διαλυθέντος οἱ Ἀθηναῖοι ἔστησαν τροπαῖον καὶ αὐτοὶ ἐν τῇ Ἀχαΐᾳ ὡς νικήσαντες ἀπέχον τοῦ Ἐρινεοῦ, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, ὡς εἴκοσι σταδίους. καὶ ἡ μὲν ναυμαχία οὕτως ἐτελεύτα.

53 Ὁ δὲ Δημοσθένης καὶ Εὐρυμέδων, ἐπειδὴ ξυστρατεύειν αὐτοῖς οἱ Θούριοι παρεσκευάσθησαν ἑπτακοσίοις μὲν ὁπλίτας, τριακοσίοις δὲ ἀκοντισταῖς, τὰς μὲν ναῦς παραπλεῖν ἐκέλευον

ὡς αὐτοὺς ἑκατέρους] Ubi ὥστε vel ὡς cum Infinitivo ponitur, participium vel appositum aliud subiecti sui casum modo sequitur, modo non sequitur, velut 1, 91. ὅτι ἡ πόλις τετείχισται ἤδη, ὥστε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας potest etim ἱκανὴν εἶναι ferri. Sic 1, 12. ἡ Ἑλλὰς — μετανίστατο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι Aug. Reg. (G.) H. Gr. [It. Vat. Pal.] ἡσυχάσασαν praebent. Lobeck. ad Phryn. p. 750. not., ubi plura exempla congessit, et praeterea docuit, propriam hanc esse constructionem distributivis sententiis, velut Xen. H. Gr. 2, 1, 26. οἱ δὲ ἀπιέναι αὐτὸν ἐκέλευον, αὐτοὺς γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον. Unde fortassis excusari poterit σφᾶς in 6, 49., quod Bekk. in σφεῖς mutavit, quia ibi statim sequitur πλεῖστοι, quod ad idem subiectum refertur. Talis tamen ratio non locum habet in 7, 21., ubi itidem σφᾶς in σφεῖς idem mutatum vult, et ubi nulla distributio fit. Mox optimi libri pro ῥᾳδίως διεσώζοντο habent καὶ διεσώζ., quod Popp. interpretatur *etiam* i. e. *eam ipsam ob causam*, quia prope terram dimicabant, id est ergo *facile* servabantur. Alii libri et edd. habent ῥᾳδίως διεσ. Bekkeri opinio est, librarios καί dedisse pro ῥᾴω vel ῥᾷον, et addit sic 8, 89. legi ῥᾷον τὰ ἀποβαίνοντα, at in Aug. esse ῥᾳ.

ἐπὶ τῆς Κροτωνιάτιδος, αὐτοὶ δὲ τὸν πεζὸν πάντα ἐξετάσαντες πρῶτον ἐπὶ τῷ Συβάρει ποταμῷ ἦγον διὰ τῆς Θουριάδος γῆς. καὶ ὡς ἐγένοντο ἐπὶ τῷ Τλίᾳ ποταμῷ, καὶ αὐτοῖς οἱ Κροτωνῖαται προσπέμψαντες εἶπον οὐκ ἂν σφίσι βουλομένοις εἶναι διὰ τῆς γῆς σφῶν τὸν στρατὸν ἰέναι, ἐπικαταβάντες ηὐλίσαντο πρὸς τὴν θάλασσαν καὶ τὴν ἐκβολὴν τοῦ Τλίου· καὶ αἱ νῆες αὐτοῖς ἐς τὸ αὐτὸ ἀπήντων. τῇ δ' ὑστεραίᾳ ἀναβιβασάμενοι παρέπλεον, ἔχοντες πρὸς ταῖς πόλεσι πλὴν Λοκρῶν, ἕως ἀφίκοντο ἐπὶ Πέτραν τῆς Ῥηγίνης.

Οἱ δὲ Συρακόσιοι ἐν τούτῳ πυνθανόμενοι αὐτῶν τὸν ἐπί- 56
πλουν αὖθις ταῖς ναυσὶν ἀποπειρᾶσαι ἐβούλοντο καὶ τῇ ἄλλῃ παρασκευῇ τοῦ πεζοῦ, ἥνπερ ἐπ' αὐτὸ τοῦτο πρὶν ἐλθεῖν αὐτοὺς φθάσαι βουλόμενοι ξυνέλεγον. παρεσκευάσαντο δὲ τό τε ἄλλο ναυτικὸν ὡς ἐκ τῆς προτέρας ναυμαχίας τι πλέον ἐνείδον σχήσοντες, καὶ τὰς πρώρας τῶν νεῶν ξυντεμόντες ἐς ἔλασσον στεριφωτέρας ἐποίησαν, καὶ τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς πρώ-

35. *βουλομένοις εἶναι*] v. Valck. ad Herodot. 1, 90.

36. *στεριφωτέρας ἐποίησαν*] Auctorem huius consilii Diod. 13, 10. tradit Aristonem Corinthium fuisse, quod probabile fit ex c. 39. Heilm. insbesondere hatten sie die Vordertheile an den Schiffen kürzer und eben dadurch fester und dauerhafter gemacht; an diese Vordertheile hatten sie ferner dicke Sturmbalken befestigt, und diese wieder durch einen in- und auswärts sechs Ellen langen Widerhalt mit den Wänden des Schiffes verbunden. Atque hoc ita factum esse intelligit, ut fulcra ista per prorae parietem in navem immitterentur, ibique ad pilam in angulum concurrerent, cuius anguli quae eminebant extra navem crura alligabantur ad epotidas, ab utroque latere prorae in obliquum prominentes, in fronte autem angularem in formam et ipsas concurrentes: quo facto opus erat, ut *ἀντήρισι* epotidibus pro fulcris essent. Longitudinem autem istorum fulcrorum statuit intus fuisse senorum cubitorum (nostrae mensurae novenorum pedum), totidemque extra navem. Iunxit igitur *ὡς ἐπὶ ἕξ πήχεις ἐντός τε καὶ ἔξωθεν*. At Dobr. iungit *ὑπέτειναν ἐντός τε καὶ ἔξωθεν*, nam ita convertit: they supported these cheeks (*ἐπωτίδας*) by a set of spars (*ἀντήρισας*) that went from the cheeks to the ship's side, both inside and outside the ship. Ita oratio ambigua fit, utrum sena cubita illa computanda sint a prora, an ab interiori extremitate epotidum, quum ex ratione Heilmanni, quae collocatione verborum iuvatur, nulla dubitatio esse possit, senorum cubitorum et intra et extra parietes navis longitudinem *ἀντηρίδων* fuisse. Conf. Scheffer. M. N. 2, 5. p. 128. Mox *ταῖς ἐμβολαῖς* significatur concursus navium adversus, quem Popp. 1. 2. p. 64. plerumque *προσβολήν* dici (ut 7, 70.) perhibet; nam *ἐμβολήν* plerumque irruptionem in latera esse, ut 2, 89. *ἐπιπλεῖν ἐς ἐμβολήν*, interdum tamen quemvis impetum significare, ut paulo superius: *διὰ τὸ μὴ ἀντιπρώροις μᾶλλον ἢ ἐκ περίπλου ταῖς ἐμβολαῖς χρῆσθαι*. Paulo post retineo vulgatam *παρέχοντες*, quod servant omnes libri, praeter Vat. et H., qui habet s. v. cum *γρ.*, etenim vulgatam agnoscas apud Diod. 13, 10. in narratione harum earundem rerum: *αἱ δὲ τῶν Συρακουσίων τὸν περὶ τὴν πρώραν τόπον ἰσχυρὸν ἔχουσαι καὶ ταπεινὸν, κατὰ τὰς τῶν ἐμβόλων δόσεις μιᾷ πολλάκις πληγῇ κατέδυσαν τὰς τῶν Ἀθηναίων τριήρεις*, quo loco Haack. Did. et Arn. ac Dobr. recte usi videntur ad tuendum *παρέχοντες*, quod comparari licet cum locutione vulgari links und rechts

ραις παχείας, καὶ ἀντήριδας ἀπ' αὐτῶν ὑπέτειναν πρὸς τοὺς τοίχους ὡς ἐπὶ ἓξ πήχεις ἐντός τε καὶ ἔξωθεν· ᾧπερ τρόπῳ καὶ οἱ Κορίνθιοι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ ναῦς ἐπισκευασάμενοι πρώραθεν ἐναυμάχουν. ἐνόμισαν γὰρ οἱ Συρακόσιοι πρὸς τὰς τῶν Ἀθηναίων ναῦς οὐχ ὁμοίως ἀντινεναυπηγημένας, ἀλλὰ λεπτὰ τὰ πρώραθεν ἐχούσας διὰ τὸ μὴ ἀντιπρώροις μᾶλλον αὐτοὺς ἢ ἐκ περίπλου ταῖς ἐμβολαῖς χρῆσθαι, οὐκ ἔλασσον σχήσειν, καὶ τὴν ἐν τῷ μεγάλῳ λιμένι ναυμαχίαν, οὐκ ἐν πολλῷ πολλαῖς ναυσὶν οὖσαν, πρὸς ἑαυτῶν ἔσεσθαι· ἀντίπρωροι γὰρ ταῖς ἐμβολαῖς χρώμενοι ἀναῤῥήξειν τὰ πρώραθεν αὐτοῖς, στερίφοις καὶ παχέσι πρὸς κοίλα καὶ ἀσθενῆ παρέχοντες τοῖς ἐμβόλοις. τοῖς δὲ Ἀθηναίοις οὐκ ἔσεσθαι σφῶν ἐν στενοχωρίᾳ οὔτε περίπλουν οὔτε διέκπλουν, ᾧπερ τῆς τέχνης μάλιστα

austheilen. Suppleo *πληγάς*, nec dubito, serius ocius hunc usum verbi ellipticum exemplis apud veteres repertis comprobatum iri.

ᾧπερ τῆς τέχνης] i. e. auf welches Manoeuvre ihrer Tactik sie am meisten vertrauten. vid. Matth. p. 628. Mox *τὸ διεκπλεῖν*, ut Scholiastae Suidaeque verbis utar, est *τὸ τεμόντα τὴν τάξιν τῶν ἐναντίων εἰς τοὐπίσω* (in terga hostilium navium) *γενέσθαι*. v. Schweigh. Lexic. Polyb. p. 158. Mox libri variant inter *ξυγκρούσει* et *ξυγκροῦσαι*, ubi dativus hanc structuram admittit: *τῇ τε τὸ ἀντίπρωρον ξυγκρούσει πρότερον ἀμαθίᾳ τῶν κυβερνητῶν δοκούσῃ εἶναι*, ut *τὸ ἀντίπρωρον* cum Poppone adverbialiter intelligas, verum *τό* sic melius abesset, ut disci potest ex Matth. §. 446. 7., quem ipse Popp. attulit, quare Reisk. *ἐς τὸ ἀντίπρωρον* coniecit. Altera ratio hunc locum expediendi haec est, ut dicas *τὸ ἀντίπρωρον* pendere ex substantivo *ξυγκρούσει*, quia *ξυγκρούειν* cum eodem casu construatur, cuius structurae exempla sunt apud Buttm. Gr. med. §. 130. adn. 3. (ed. 13.) At *τὸ ἀντίπρωρον ξυγκρούειν* pro *τὰς πρώρας ξυγκρούειν* vix recte dicatur. Quare servo vulgatam *ξυγκροῦσαι* coll. 7, 67. *τῆς δοκήσεως προσγεγενημένης αὐτῷ τὸ κρατίστους εἶναι*, ubi v. adn., ut sensus sit: und so wollten sie eben das, was man vorhin als eine Ungeschicklichkeit der Seeleute angesehen, *insofern sie nehmlich* mit dem Vorderschiff gerade auf den Feind losgingen, jetzt als ihren Hauptvortheil brauchen. Quae sequuntur paulo inferius *ἐς ὀλίγον καὶ αὐτό* etc. ita suppleo: *ἐς ὀλίγον ὄν τὸ καὶ αὐτὸ τὸ στρατόπεδον τὸ ἑαυτῶν*, hoc enim dicere videtur, Atheniensibus, si a Syracusanis reprimerentur, non fore facultatem retrocedendi prora hostibus obversa alio, nisi ad terram, eamque exiguo intervallo distantem, *et in exiguum litoris spatium, quantum quidem castris ipsorum obtineatur*: nam ceteram litoris partem hostes occupasse, quare Nicias cap. 62. extr. dicit: *ἐς τοῦτο γὰρ δὴ ἠναγκάσμεθα ὥστε πεζομαχεῖν ἀπὸ τῶν νεῶν, καὶ τὸ μήτε αὐτοὺς ἀνακρούεσθαι μήτ' ἐκείνους ἐᾶν ὠφέλιμον φαίνεται, ἄλλως τε καὶ τῆς γῆς πλὴν ὅσον ἂν ὁ πεζὸς ἡμῶν ἐπέχῃ πολεμίας οὔσης. Ἀνάκρουσιν* Zonaras in v. ita explicat: *ἀνακρούσασθαι, ἐπὶ ναυμαχίας τὸ συμβάλλειν καὶ πάλιν ἀναδύεσθαι*. Pollux 1, 125. *καὶ τὸ μὲν εἰς ἐμβολὴν* (um einen Anlauf zu nehmen) *ὑπαγαγεῖν εἰς τοὐπίσω τὴν ναῦν, ἀνακρούσασθαι, τὸ δὲ εἰς φυγήν, πρύμναν κρούσασθαι*. Idem poetice Eurip. Androm. 1097. effert per *χωρεῖν πρύμναν*, ubi Schol. *χωρεῖ πρύμναν, εἰς τοὐπίσω ἀνεπόδισεν μὴ δοὺς τὰ νῶτα, ἀλλὰ πρὸς τοὺς ἐναντίους ὁρῶν. τοῦτο δὲ καὶ Θουκυδίδης φησὶ πρύμναν ἀνακρούοντες, ὅταν μὴ μεταβαλόμενοι φεύγωσιν, ἀλλ' ἀντίοι ὄντες ἀναχωρήσωσιν.* Latini *navem remis*

ἐπίστευον· αὐτοὶ γαρ κατὰ τὸ δυνατὸν τὸ μὲν οὐ δώσειν, διεκπλεῖν, τὸ δὲ τὴν στενοχωρίαν κωλύσειν ὥστε μὴ περιπλεῖν. τῇ τε πρότερον ἀμαθίᾳ τῶν κυβερνητῶν δοκούσῃ εἶναι, τὸ ἀντίπρωρον ξυγκροῦσαι, μάλιστ' ἂν αὐτοὶ χρήσασθαι· πλεῖστον γὰρ ἐν αὐτῷ σχήσειν· τὴν γὰρ ἀνάκρουσιν οὐκ ἔσεσθαι τοῖς Ἀθηναίοις ἐξωθουμένοις ἄλλοσε ἢ ἐς τὴν γῆν, καὶ ταύτην δι' ὀλίγου καὶ ἐς ὀλίγον, κατ' αὐτὸ τὸ στρατόπεδον τὸ ἑαυτῶν· τοῦ δ' ἄλλου λιμένος αὐτοὶ κρατήσειν, καὶ ξυμφερομένους αὐτούς, ἤν πη βιάζωνται, ἐς ὀλίγον τε καὶ πάντας ἐς τὸ αὐτό, προσπίπτοντας ἀλλήλοις ταράξεσθαι· ὅπερ καὶ ἔβλαπτε μάλιστα τοὺς Ἀθηναίους ἐν ἁπάσαις ταῖς ναυμαχίαις, οὐκ οὔσης αὐτοῖς ἐς πάντα τὸν λιμένα τῆς ἀνακρούσεως, ὥσπερ τοῖς Συρακοσίοις· περιπλεῦσαι δὲ ἐς τὴν εὐρυχωρίαν, σφῶν ἐχόντων τὴν ἐπίπλευσιν ἀπὸ τοῦ πελάγους τε καὶ ἀνάκρουσιν, οὐ δυνήσεσθαι αὐτούς, ἄλλως τε καὶ τοῦ Ἡλημμυρίου πολεμίου τε αὐτοῖς ἐσομένου καὶ τοῦ στόματος οὐ μεγάλου ὄντος τοῦ λιμένος.

Τοιαῦτα οἱ Συρακόσιοι πρὸς τὴν ἑαυτῶν ἐπιστήμην τε 37
καὶ δύναμιν ἐπινοήσαντες, καὶ ἅμα τεθαρσηκότες μᾶλλον ἤδη ἀπὸ τῆς προτέρας ναυμαχίας, ἐπεχείρουν τῷ τε πεζῷ ἅμα καὶ ταῖς ναυσί. καὶ τὸν μὲν πεζὸν ὀλίγῳ πρότερον τὸν ἐκ τῆς πόλεως, Γύλιππος προεξαγαγὼν προσῆγε τῷ τείχει τῶν Ἀθηναίων, καθ' ὅσον πρὸς τὴν πόλιν αὐτοῦ ἑώρα· καὶ οἱ ἀπὸ τοῦ Ὀλυμπιείου, οἵ τε ὁπλῖται ὅσοι ἐκεῖ ἦσαν καὶ οἱ ἱππῆς καὶ ἡ γυμνητεία τῶν Συρακοσίων ἐκ τοῦ ἐπὶ θάτερα προσῄει τῷ τείχει· αἱ δὲ νῆες μετὰ τοῦτο εὐθὺς ἐξέπλεον τῶν Συρακοσίων καὶ ξυμμάχων. καὶ οἱ Ἀθηναῖοι τὸ πρῶτον αὐτοὺς οἰόμενοι τῷ πεζῷ μόνῳ πειράσειν, ὁρῶντες δὲ καὶ τὰς ναῦς ἐπιφερομένας ἄφνω, ἐθορυβοῦντο, καὶ οἱ μὲν ἐπὶ τὰ τείχη καὶ

inhibere, sive ut Schweigh. apud Herodot. 6, 115. convertit: *in puppim remigare*, sive ut Larcher ibidem: ils se retirèrent sans revirer de bord. Suidas cum respectu ad Herodot. 8. 84. *ἐπὶ πρύμνην ὑπεχώρουν, ἀνεκρούοντο, καὶ ὤκελλον τὰς ναῦς, κατὰ πρύμναν ὑπεχώρουν οὐχὶ ἐπιστραφέντες, καὶ ἐξέκλιναν τῶν πολεμίων τὰς ἐπιούσας ναῦς*, ubi v. Valck. Bloomf. ad Thuc. 1, 50. adnotavit, hunc morem remigandi etiamnunc in Oriente usitatum esse, docens id verbis Symesii Travels to Ava p. 500. in collectione Pinkertonii Vol. 9.: the Birman rowers are expert in rowing the ships backward, and impel the vessel with stern foremost. This is their mode of retreat. v. adn. ad 1, 50.

37. *πρὸς τὴν ἑαυτῶν ἐπιστήμην*] i. e. *consilia capientes pro cognitione rei navalis et facultate sua*. Nam *τὸ ἀντίπρωρον ξυγκροῦσαι* ignorantium res nauticas videbatur, at Syracusanis proderat, quibus ratio ab Atheniensibus despecta commodissima esset. Arn. Mox *αὐτοῦ* traiectum est: intellige *καθ' ὅσον τοῦ τείχους*. Et *γυμνητείαν* explicat Hesych. *γυμνῆτες, οἱ μὴ ἔχοντες ὅπλα. οἱ δὲ τοὺς σφενδονήτας, οἱ δὲ τοὺς γυμνοὺς μαχομένους*. v. Kuster ad Suidam s. v. et interpp. Hesychii. Procul dubio *ψιλοί* sive leviter armati milites sunt.

ἐπὶ τὰ τείχη] sc. *ἀναβάντες*, auf die Brustwehren, *ἐπάλξεις*. v. Matth. p. 1169. et conf. adn. ad 3, 22. Denique *ἀντανῆγον — ναυσί*

πρὸ τῶν τειχῶν τοῖς προσιοῦσιν ἀντιπαρετάσσοντο, οἱ δὲ προς τοὺς ἀπὸ τοῦ Ὀλυμπιείου καὶ τῶν ἔξω κατὰ τάχος χωροῦντας ἱππέας τε πολλοὺς καὶ ἀκοντιστὰς ἀντεπεξῆεσαν, ἄλλοι δὲ τὰς ναῦς ἐπλήρουν, καὶ ἅμα ἐπὶ τὸν αἰγιαλὸν παρεβοήθουν, καὶ ἐπειδὴ πλήρεις ἦσαν, ἀνταν̃γον πέντε καὶ ἑβδομήκοντα ναῦς·
38 καὶ τῶν Συρακοσίων ἦσαν ὀγδοήκοντα μάλιστα. τῆς δὲ ἡμέρας ἐπὶ πολὺ προσπλέοντες καὶ ἀνακρουόμενοι καὶ πειράσαντες ἀλλήλων, καὶ οὐδέτεροι δυνάμενοι ἄξιόν τι λόγου παραλαβεῖν, εἰ μὴ ναῦν μίαν ἢ δύο τῶν Ἀθηναίων οἱ Συρακόσιοι καταδύσαντες, διεκρίθησαν· καὶ ὁ πεζὸς ἅμα ἀπὸ τῶν τειχῶν ἀπῆλθε. τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακόσιοι ἡσύχαζον, οὐδὲν δηλοῦντες ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν· ὁ δὲ Νικίας ἰδὼν ἀντίπαλα τὰ τῆς ναυμαχίας γενόμενα, καὶ ἐλπίζων αὐτοὺς αὖθις ἐπιχειρήσειν, τούς τε τριηράρχους ἠνάγκαζεν ἐπισκευάζειν τὰς ναῦς, εἴ τίς τι ἐπεπονήκει, καὶ ὁλκάδας προώρμισε πρὸ τοῦ σφετέρου στανρώματος, ὃ αὐτοῖς πρὸ τῶν νεῶν ἀντὶ λιμένος κληστοῦ ἐν τῇ θαλάσσῃ ἐπεπήγει. διαλειπούσας δὲ τὰς ὁλκάδας ὅσον δύο πλέθρα ἀπ' ἀλλήλων κατέστησεν, ὅπως εἴ τις βιάζοιτο ναῦς, εἴη κατάφευξις ἀσφαλὴς καὶ πάλιν καθ' ἡσυχίαν ἔκπλους. παρασκευαζόμενοι δὲ ταῦτα ὅλην τὴν ἡμέραν διετέλεσαν οἱ Ἀθηναῖοι μέχρι νυκτός.
39 Τῇ δ' ὑστεραίᾳ οἱ Συρακόσιοι τῆς μὲν ὥρας πρῳαίτερον, τῇ δὲ ἐπιχειρήσει τῇ αὐτῇ τοῦ τε πεζοῦ καὶ τοῦ ναυτικοῦ προσέμισγον τοῖς Ἀθηναίοις, καὶ ἀντικαταστάντες ταῖς ναυσὶ τὸν αὐτὸν τρόπον αὖθις ἐπὶ πολὺ διῆγον τῆς ἡμέρας πειρώ-

praefert Bekk., pro ναῦς, et quidem „ἀνταν̃γειν in activo praeter praesentem locum et 7, 52. non reperitur apud Thuc. nisi 8, 38. 83., ubi casus deest.“ Popp. At Arn. ἀνάγειν ναῦς affert ex Thuc. 8, 95. Herodot. 7, 100. 8, 57. 70. 76. 79. etc.

38. καὶ πειράσαντες] Genus traiectionis rei, vid. adn. ad 1, 61. Formula εἰ μή notionem particulae πλήν induit, et propterea cum participio καταδύσαντες iuncta est, v. adn. ad 5, 47. Proxima sic resolve: ὁποῖόν τι ἔσται τὸ μέλλον, ὃ ποιήσουσιν. v. Matth. p. 883. init. Mox διαλειπούσας habent Schol. et Steph. 2. Vulgo διαλιπούσας, quod sententia non fert. Dein duo πλέθρα sunt: πλέθρον erat spatium centum pedum; sesquipedalis erat πῆχυς, ὀργυιά autem sex pedum; sexcentorum pedum erat stadium: octo stadia paululo excedunt mille passus Romanos sive quadrantem milliarii Geogr. sive Germ., ut 45 stadia exaequent mill. Germ. Vide Fr. Chr. Matth. De Mensuris et Pondd. Rom. et Gr. (Francof. 1818.) p. 7. conf. Leak. Athen. p. 382. adn. vers. Germ. Puto autem has naves onerarias hoc intervallo positas fuisse ante introitum castrorum alteram post, non juxta alteram. Super binas quasque enim harum navium trabes tendebantur delphinophorae claudendi aditus in portum causa. Vid. c. 41. n. l. ab init. De παρασκευαζόμενοι διετέλεσαν v. Matth. p. 952. vers. fin. et p. 1107. adn. Denique ὅλην τὴν ἡμέραν multi libri, vulgo τήν abest. Ὅλην ἡμέραν est einen ganzen Tag; ὅλην τὴν ἡμέραν, den genannten, bestimmten, bekannten Tag ganz; τὴν ὅλην ἡμέραν significat unter zwei oder mehreren Tagen den ganzen. Vid. adn. ad 1, 30.

μενοι ἀλλήλων, πρὶν δὴ Ἀρίστων ὁ Πυῤῥίχου Κορίνθιος, ἄριστος ὢν κυβερνήτης τῶν μετὰ Συρακοσίων, πείθει τοὺς σφετέρους τοῦ ναυτικοῦ ἄρχοντας, πέμψαντας ὡς τοὺς ἐν τῇ πόλει ἐπιμελομένους, κελεύειν ὅτι τάχιστα τὴν ἀγορὰν τῶν πωλουμένων παρὰ τὴν θάλασσαν μεταστῆσαι κομίσαντας, καὶ ὅσα τις ἔχει ἐδώδιμα, πάντας ἐκεῖσε φέροντας ἀναγκάσαι πωλεῖν, ὅπως αὐτοῖς ἐκβιβάσαντες τοὺς ναύτας εὐθὺς παρὰ τὰς ναῦς ἀριστοποιήσονται, καὶ δι' ὀλίγου αὖθις καὶ αὐθημερὸν ἀπροσδοκήτοις τοῖς Ἀθηναίοις ἐπιχειρῶσι. καὶ οἱ μὲν πεισθέντες 10
ἔπεμψαν ἄγγελον, καὶ ἡ ἀγορὰ παρεσκευάσθη, καὶ οἱ Συρα-

39. διῆγον — πειρώμενοι] v. Matth. p. 1082. §. 552. De strategemate Aristonis Wass. confert Polyaen. 5, 13. „Ἀγοραί historicis Graecis sunt species annonariae; apud Xen. Anab. 5, 10, 8. τὴν ἀγορὰν εἴσω ἀνασκευάζειν minus recte convertunt eruditi: *forum ad urbem transferunt*, nam vult auctor, annonae omnes species intra moenia esse comportatas, quod solet fieri in adventu hostis aut metu obsidionis. Hic igitur ἀγοραί simpliciter est *annona*. Polybio et passim Graecis historicis ἀγορά et ἀγοραί dicuntur non quaevis annona, sed ea, quae venum est exposita; ἀγοράζειν enim est *vendere*, ἀγορά *res, quae venditur*, item *forum* aut *mercatus*, proprie *commeatus*. In eodem libro Xenophontis leges: ἀγοραὶ παντόθεν ἀφικνοῦνται ἐκ τῶν Ἑλληνίδων πόλεων. Thuc. dixit τὴν ἀγορὰν τῶν πωλουμένων, *annonam propolarum* sive *promercalem*: deinde addit: καὶ ὅσα τις ἔχει ἐδώδιμα, significans de esculentis proprie ἀγοράν intelligi. Iul. Frontinus Graecos imitatus *commercium* ita accipit 7, 5. Magis etiam ad Graecum verbum ἀγορά accedit vox *mercatus*, quae pro annona usurpatur a posterioribus Latinis scriptoribus. *Mercatum conferre* in Append. Ottonis Frisingensis, plane quod Thucydidi, Xenophonti, aliis, ἀγορὰν παρέχειν. Sic Graeca historia vetus αἰτεῖν ἀγοράν et ἀγορᾷ δέχεσθαι. In sexto Thucydidis c. 44. humanitatis, quae erga exercitum praestatur, hi quasi gradus ponuntur: δέχεσθαι ὕδατι καὶ ὅρμῳ, *facere potestatem applicandi ad litus et aquandi*, δέχεσθαι ἄστει, *intra muros admittere*, et δέχεσθαι ἀγορᾷ, *res ad victum necessarias venum exponere extra urbem.*“ Casaub. ad Polyb. Vol. 1. p. 836. Ern. Mox de participio κομίσαντας per quandam redundantiam posito v. Krueg. ad Dionys. p. 290. Dein ὅπως αὐτοῖς plurimi optimique libri, vulgo αὐτούς. Dativus si recte habet, referendus est ad τοὺς ἐν τῇ πόλει ἐπιμελομένους. Commodius esset αὐτοῦ, *ibi*, quod Aem. Port. coniecit. Statim de verbis παρὰ τὰς ναῦς v. Matth. p. 1173. Et ἀριστοποιήσονται „proprie magis ad milites refertur, quam ad duces, tametsi ad hos relatum videtur, quia hi quasi instar militum, quibus praesunt, nominantur. Conf. 8. 95. ὁ γὰρ Ἀγησανδρίδας ἀριστοποιησάμενος ἀνήγαγε τὰς ναῦς.“ Arn. Vat. ἄριστον ποιήσονται, ex corr. ut vulgo. Sic ἰδιοποιεῖν et ἴδιον ποιεῖν dicitur et in similibus eodem modo. Id vero „tenendum in universum est, quae seorsum dixerint veteres, ea pleraque recentiores in unum conflasse, et, ut quisque studiosissime orationem a similitudine vulgaris et quotidiani sermonis avocare quaesierit, ita saepissime vocabulorum coniunctorum compagem solvisse atque in artus suos distinxisse. — Ex eo ad multos alios locos diiudicandos nota quaedam ducitur veri falsique, pro ingenio et aetate scribentium, obscurior, expressiorve.“ Lobeck. ad Phryn. p. 200. Itaque in Thucydide ut vetustiori scriptore praesentis verbi probare videtur solutam formam, ac profecto c. 40. legitur ἄριστον ἐποιοῦντο, at 4, 103. in δειπνοποιησάμενος soli Reg. (G.) D. dissentiunt.

κόσιοι ἐξαίφνης πρύμναν κρουσάμενοι πάλιν πρὸς τὴν πόλιν ἔπλευσαν, καὶ εὐθὺς ἐκβάντες αὐτοῦ ἄριστον ἐποιοῦντο· οἱ δ' Ἀθηναῖοι νομίσαντες αὐτοὺς ὡς ἡσσημένους σφῶν πρὸς τὴν πόλιν ἀνακρούσασθαι, καθ' ἡσυχίαν ἐκβάντες τά τε ἄλλα διεπράσσοντο καὶ τὰ ἀμφὶ τὸ ἄριστον, ὡς τῆς γε ἡμέρας ταύτης οὐκέτι οἰόμενοι ἂν ναυμαχῆσαι. ἐξαίφνης δὲ οἱ Συρακόσιοι πληρώσαντες τὰς ναῦς ἐπέπλεον αὖθις· οἱ δὲ διὰ πολλοῦ θορύβου, καὶ ἅσιτοι οἱ πλείους, οὐδενὶ κόσμῳ ἐσβάντες μόλις ποτὲ ἀντανήγοντο. καὶ χρόνον μέν τινα ἀπέσχοντο ἀλλήλων φυλασσόμενοι· ἔπειτα οὐκ ἐδόκει τοῖς Ἀθηναίοις ὑπὸ σφῶν αὐτῶν διαμέλλοντας κόπῳ ἁλίσκεσθαι, ἀλλ' ἐπιχειρεῖν ὅτι τάχιστα, καὶ ἐπιφερόμενοι ἐκ παρακελεύσεως ἐναυμάχουν. οἱ δὲ Συρακόσιοι δεξάμενοι καὶ ταῖς [τε] ναυσὶν ἀντιπρώροις χρώμενοι ὥσπερ διενοήθησαν τῶν ἐμβολῶν τῇ παρασκευῇ ἀνερρήγνυσαν τὰς τῶν Ἀθηναίων ναῦς ἐπὶ πολὺ τῆς παρεξειρεσίας, καὶ οἱ ἀπὸ τῶν καταστρωμάτων αὐτοῖς ἀκοντίζοντες μεγάλα ἔβλαπτον τοὺς Ἀθηναίους, πολὺ δ' ἔτι μείζω οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες τῶν Συρακοσίων, καὶ ἐς τε τοὺς ταρσοὺς ὑποπίπτοντες τῶν πολεμίων νεῶν καὶ ἐς τὰ πλάγια
41 παραπλέοντες, καὶ ἐξ αὐτῶν ἐς τοὺς ναύτας ἀκοντίζοντες. τέλος δὲ τούτῳ τῷ τρόπῳ κατὰ κράτος ναυμαχοῦντες οἱ Συρακόσιοι ἐνίκησαν, καὶ οἱ Ἀθηναῖοι τραπόμενοι διὰ τῶν ὁλκάδων τὴν κατάφευξιν ἐποιοῦντο ἐς τὸν ἑαυτῶν ὅρμον· αἱ δὲ τῶν Συρακοσίων νῆες μέχρι μὲν τῶν ὁλκάδων ἐπεδίωκον· ἔπειτα αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἕρπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἡρμέναι ἐκώλυον. δύο δὲ νῆες τῶν Συρα-

40. *ὑπὸ σφῶν αὐτῶν*] Antecedit vulgo *αὐτοῦ*, quod om. multi libri, Arn. tuetur, ut contrarie positum sequenti *ἐπιχειρεῖν*, hoc sensu: Athenienses noluerunt diutius *ibi cunctati* se ipsi lassitudine conficere, sed *progressi* ad pugnandum decertare. Conferre iubet 5, 83. Vulgo in uncis post *δεξάμενοι* legitur *ἠμύνοντο*, quod optimorum librorum auctoritate omisi. Et *τε* post *καὶ ταῖς* complures om. Vid. adn. ad 1, 9. Tum *ἐμβολῶν*, pro quo alii volunt *ἐμβόλων*, Popp. tuetur, affirmans *ἐμβολή* quoque pro *ἔμβολον* dici, idque ex 2, 76. extr. certissime apparere, et provocans ad Dorv. ad Charit. p. 626. ac Schn. ad Xen. H. Gr. 7, 5, 23. et in Lex. Gr. De *λεπτοῖς πλοίοις* v. adn. ad 2, 83. Et *τοὺς ταρσούς* intellige non solum extremitates remorum, quae mari immerguntur, sed saepe pro totis remis *et omni remigio* (the whole *broadside* of oars Arn.) accipitur. v. Dorv. ad Charit. p. 262. Arn. confert Polyb. 16, 3, 12. *ἀπέβαλε τὸν δεξιὸν ταρσὸν τῆς νεώς* et cum reliqua narratione huius loci Dion. Cass. 50. p. 439. Leoncl., ubi nautae Octavii in pugna ad Actium narrantur liburnis alta propugnacula navium Antonii adgredi, *ἔς τε τοὺς ταρσοὺς τῶν νεῶν ὑποπίπτοντες καὶ τὰς κώπας συναράσσοντες*. Et propter verba *ἐς τοὺς ναύτας ἀκοντίζοντες* monet, foramina, per quae remi extarent, satis ampla fuisse, per quae tela immissa remiges vulnerarent, idque apparere ex Herodot. 5, 33., ubi homo vinctus narratur ita per tale foramen traiectus esse, ut capite extrorsum emineret, corpore intus in navem porrecto.

41. *δελφινοφόροι*] Suidas *Δελφίς, πρὸς ναυμαχίαν πολεμιστήριον*

κοσίων ἐπαιρόμεναι τῇ νίκῃ προσέμιξαν αὐτῶν ἐγγὺς καὶ διεφθάρησαν, καὶ ἡ ἑτέρα αὐτοῖς ἀνδράσιν ἑάλω. καταδύσαντες δ' οἱ Συρακόσιοι τῶν Ἀθηναίων ἑπτὰ ναῦς καὶ κατατραυματίσαντες πολλάς, ἄνδρας τε τοὺς μὲν ζωγρήσαντες τοὺς δὲ ἀποκτείναντες, ἀπεχώρησαν, καὶ τροπαῖά τε ἀμφοτέρων τῶν ναυμαχιῶν ἔστησαν, καὶ τὴν ἐλπίδα ἤδη ἔχυρὰν εἶχον ταῖς μὲν ναυσὶ καὶ πολὺ κρείσσους εἶναι, ἐδόκουν δὲ καὶ τὸν πεζὸν χειρώσεσθαι. καὶ οἱ μὲν ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα παρεσκευάζοντο αὖθις. ἐν τούτῳ δὲ Δημοσθένης καὶ Εὐρυμέδων
42 *ἔχοντες τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν παραγίγνονται, ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα μάλιστα ξὺν ταῖς ξενικαῖς καὶ ὁπλίτας περὶ πεντακισχιλίους ἑαυτῶν τε καὶ τῶν ξυμμάχων, ἀκοντιστάς τε βαρβάρους καὶ Ἕλληνας οὐκ ὀλίγους καὶ σφενδονήτας καὶ τοξότας καὶ τὴν ἄλλην παρασκευὴν ἱκανήν. καὶ τοῖς μὲν Συρακοσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν τῷ αὐτίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μηδὲν ἔσται σφίσι τοῦ ἀπαλλαγῆναι τοῦ κιν-*

ὄργανον, ὅθεν καὶ δελφινοφόρον ναῦν Θουκ. ἐν τῇ ζ' φησίν etc. Plumbeam fuisse machinam docet Thom. M. p. 204. *δελφὶς οὐ μόνον τὸ ζῷον, ἀλλὰ καὶ μολίβδινόν τι ὄργανον ναυμαχουσῶν νεῶν, ὅθεν καὶ Θουκ.* etc. Locum bis memorat etiam Phavorin. in *Δελφίς* et *Δελφινοφόρος*, adde Moer. in *Δελφίς*, Alb. ad Hesych. s. eadem v. Schol. Thucydidis ex Pherecrate (unde etiam Schol. Arist. Equ. 759. habet, et hic quidem nominato auctore poeta): *ἐκ τῶν κεραιῶν δελφῖνες ἦσαν ἠρτημένοι μολίβδινοι, ὥστε ἐμβάλλεσθαι ταῖς προσπλεούσαις πολεμίαις ναυσίν, οἷον ἐμπίπτοντες αὐταῖς διέκοπτον τοὖδαφος αὐτῶν καὶ κατέδυον.* De huius Pherecratis Comici *Agriis* (sic enim scribendum, non *Ἀγροῖς*, ut est ap. Schol. Arist.) post Heinrichium Demonstr. loci Platonici e Protag. (Kilon. 1813.) egit Meinek. in Comm. Miscl. fasc. 1. (Hal. 1822.) inde ab initio, ubi p. 17. poetae versus in hunc modum restituit: *ὁ δὲ δὴ δελφὶς ἐστι μολιβδοῦς δελφινοφόρος τε κεραία· διακόψει γοῦν τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων.* In descriptione huius machinae, de qua Duk. adire iubet Salmas. ad Solin. p. 402. Trai. et Eustath. in Hom. Il. *φ'*. p. 1221., et usus bellici eius quasdam difficultates inesse vidit Heilm. p. 955. Conf. Mans. Spart. 2. p. 234. not. h. Quod Heilm. monet, *κεραίας* non posse intelligi navium antemnas, sed gravioris molis trabes, certissimum esse videtur.

42. *ναῦς — τρεῖς καὶ ἑβδομήκοντα*] Demosthenes Athenis navigaverat cum navibus sexaginta quinque c. 20., decem naves de suis Cononi Naupactum miserat c. 31., posthac ad eius numerum navium accessit una Eurymedontis c. 31., accesserunt denique quindecim naves Corcyraeorum ibidem et duae Metapontiorum c. 33. I. e. 65 — 10 + 1 + 15 + 2 = 73. Arn. Mox cum verbis *πέρας τοῦ ἀπαλλαγῆναι* Popp. confert Homericum *τέλος θανάτοιο*, at huius sensus est *finis, quam mors affert*. De loco praesenti v. Matth. p. 651. et 1062. init. Mox nominativo *ὁρῶντες* structura ad sensum facta est, quasi praecessisset *οὐκ ὀλίγον κατεπλάγησαν*. Vid. Matth. p. 1095. Paulo inferius ad *οὐδὲ παθεῖν* repete *νομίσας*, in *νομίζειν* autem simul notio verbi *δεῖν* inest, quemadmodum in *ἡγέομαι*, de quo v. adn. ad 2, 42. Quare non opus est, aut supplere *δεῖν* cum Poppone 1, 1. p. 288. aut cum Matthiaeo p. 896. sq. praecedentia *οἷόν τε εἶναι* explicare per müssen. De verbis *μάλιστα δεινότατος* v. ibidem p. 860. init.

δύνου, ὁρῶντες οὔτε διὰ τὴν Δεκέλειαν τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον καὶ παραπλήσιον τῷ προτέρῳ ἐπεληλυθότα, τήν τε τῶν Ἀθηναίων δύναμιν πανταχόσε πολλὴν φαινομένην· τῷ δὲ προτέρῳ στρατεύματι τῶν Ἀθηναίων ὡς ἐκ κακῶν ῥώμη τις ἐγεγένητο. ὁ δὲ Δημοσθένης ἰδὰν ὡς εἶχε τὰ πράγματα, καὶ νομίσας οὐχ οἷόν τε εἶναι διατρίβειν, οὐδὲ παθεῖν ὅπερ ὁ Νικίας ἔπαθεν· ἀφικόμενος γὰρ τὸ πρῶτον ὁ Νικίας φοβερὸς ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς Συρακούσαις ἀλλ' ἐν Κατάνῃ διεχείμαζεν, ὑπερώφθη τε καὶ ἔφθασεν αὐτὸν ἐκ τῆς Πελοποννήσου στρατιᾷ ὁ Γύλιππος ἀφικόμενος, ἣν οὐδ' ἂν μετέπεμψαν οἱ Συρακόσιοι, εἰ ἐκεῖνος εὐθὺς ἐπέκειτο· ἱκανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι ἅμα τ' ἂν ἔμαθον ἥσσους ὄντες καὶ ἀποτετειχισμένοι ἂν ἦσαν, ὥστε μηδ' εἰ μετέπεμψαν ἔτι ὁμοίως ἂν αὐτοὺς ὠφελεῖν· ταῦτα οὖν ἀνασκοπῶν ὁ Δημοσθένης καὶ γιγνώσκων ὅτι καὶ αὐτὸς ἐν τῷ παρόντι τῇ πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατός ἐστι τοῖς ἐναντίοις, ἐβούλετο ὅτι τάχος ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει. καὶ ὁρῶν τὸ παρατείχισμα τῶν Συρακοσίων, ᾧ ἐκώλυσαν περιτειχίσαι σφᾶς τοὺς Ἀθηναίους, ἁπλοῦν τε ὂν καὶ εἰ ἐπικρατήσειέ τις τῶν τε Ἐπιπολῶν τῆς ἀναβάσεως καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥαδίως ἂν αὐτὸ ληφθέν, οὐδὲ γὰρ ὑπομεῖναι ἂν σφᾶς οὐδένα, ἡπείγετο ἐπιθέσθαι τῇ πείρᾳ. καὶ οἱ ξυντομωτάτην ἠγεῖτο διαπολέμησιν· ἢ γὰρ κατορθώσας ἕξειν Συρακούσας ἢ ἀπάξειν τὴν στρατιὰν καὶ οὐ τρίψεσθαι ἄλλως Ἀθηναίους τε τοὺς ξυστρατευομένους καὶ τὴν ξύμπασαν πόλιν.
43 πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακοσίων ἔτεμνον οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον καὶ τῷ στρατεύματι ἐπεκράτουν ὥσπερ τὸ πρῶτον τῷ τε πεζῷ καὶ ταῖς ναυσίν· οὐδὲ γὰρ καθ' ἕτερα οἱ Συρακόσιοι ἀντεπεξῆσαν ὅτι μὴ τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ἀπὸ τοῦ Ὀλυμπιείου· ἔπειτα μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειρᾶσαι τοῦ παρατειχίσματος. ὡς δὲ αὐτῷ προσαγαγόντι κατεκαύθησάν τε ὑπὸ τῶν ἐναντίων ἀπὸ τοῦ τείχους ἀμυνομένων αἱ μηχαναί, καὶ τῇ ἄλλῃ στρατιᾷ πολλαχῇ προσβάλλοντες ἀπεκρούοντο, οὐκέτι ἐδόκει διατρίβειν, ἀλλὰ πείσας τόν τε Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας, ὡς ἐπενόει, καὶ τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο. καὶ ἡμέρας μὲν ἀδύνατα ἐδόκει εἶναι λαθεῖν προς-

καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου] Did. intelligit castra, quae Athenienses habuissent in Epipolis ante expugnatum a Gylippo Labdalum. Iam *διπλοῦν τεῖχος* quidem, quod erat *περὶ τὸν κρημνόν*, Athenienses reliquisse, postquam hostes murum simplicem ultra communitionem suam perduxerant, ex h. l. apparet: Athenienses enim non opus habuissent per Euryelum noctu escendere, si etiamtum castra duplicis muri in Epipolis habuissent; at deorsum ad mare usque quod muri pertinebant, nondum reliquerant, et relinquunt demum c. 60. Praeterea castra in Epipolis fuerant Labdalum et muri pars Trogilum versus perfecta, quam praesidium habuisse consentaneum est, et si quid castrorum habuerant in apertis ante muros obsidionales et in intervallis eorum. De verbis *ῥᾳδίως ἂν αὐτὸ ληφθέν* v. Matth. p. 1197.

43. *οὐδὲ γὰρ καθ' ἕτερα*] i. e. *κατ' οὐδέτερα γάρ*. v. Krueg. ad Dionys. p. 168. Vulgo *ἑκάτερα*, at v. adn. ad cap. 59. Mox vulgo legebatur *ἀποτειχίσματος*, emendatum est ex libris optimis. Nam vocabula *ἀποτείχισμα* et *παρατείχισμα* diligenter ab hoc scriptore distinguuntur. Illo vocabulo constanter murus Atheniensium obsidionalis, hoc autem murus transversus Syracusanorum designatur. Et Thucydidem in hac diligentia imitatur Lucian. de Conscr. Hist. c. 38. Vol. 4. p.

202. Bip. *ῥᾷστον ἦν ἐνὶ καλάμῳ λεπτῷ τὸν Θουκυδίδην ἀνατρίψαι μὲν τὸ ἐν Ἐπιπολαῖς παρατείχισμα — καὶ τὸν κατάρατον Γύλιππον διαπεῖραι μεταξὺ ἀποτειχίζοντα καὶ ἀποταφρεύοντα τὰς ὁδούς* sc. quum Athenienses fuga Syracusis abirent. v. Letr. Topogr. de Syrac. p. 111. Tum *ἀπὸ πρώτου ὕπνου* est *post primum somnum* sive *post primam quietem*, quam Bloomf. ad Thuc. 2, 2. ait competere aestate quidem cum prima, hieme cum altera vigilia. Conf. Matth. p. 1129. med. Iam Demosthenes *ἐχώρει πρὸς τὰς Ἐπιπολάς* procul dubio inde a regione Anapi et magni portus per angusta iugi contermini fastigio Epipolarum, quod iugum connectit Epipolas cum interioribus terrae. Primo impetu cepit *τὸ τείχισμα ὃ ἦν αὐτόθι τῶν Συρακοσίων*, quod cum Arnoldo puto fuisse in summo editissimoque clivo Epipolarum non longe a Labdalo, ubi Athenienses prius castellum exstruxerant, imo ad summum angulum Labdali hoc *τείχισμα* angustum aditum clausisse videtur, si (ut suspicor) Labdalum nomen fuit continuationis collium Mongibellisi et del Buffalaro, speciem literae *Λ* ab imis urbis intuentibus referentis. Statim de verbis *ἃ ἦν — τρία* v. Matth. p. 830. §. 443. extr. Verba *ἐν προτειχίσμασιν* om. Cass. Aug. Ven. Laur. Pal. It. Reg. (G.) Marc. G. Lugd. cod. Bas. T. (i. e. Cantabr. Arn.) D. I. E. Mosqu. m. Ar. Chr. Dan. Vall., at non ita multo post Syracusani, socii et Gylippus *ἐβοήθουν ἐκ τῶν προτειχισμάτων*, ubi pluralis demonstrat recte hic legi *ἐν προτειχίσμασιν*, nam praeter haec tria tantum *προτείχισμα* circum Temenitem erat. Recte autem Arn. (ut ex tota narratione huius nocturni proelii luculenter apparet), haec terna castra ait exstructa fuisse sub ipsis muris urbis i. e. partim Temenitis, partim Acradinae; ego indicanda curavi ad portas moenium, satis habens in Tyca ea fuisse significare et in medio relinquens, utrum iis ipsis locis fuerint, quibus posui. Prius erravi cum Letronnio Topogr. de Syrac. p. 112. ea terna castra ponens in clivo Epipolarum subter Labdalo, et delens verba *ἐν προτειχίσμασιν*, de quo errore docte exposuit Did. Vol. 3. p. 429. sq. Vol. 4. p. 372. sqq., verissime monens, prima castra a scriptore dici Syracusanorum fuisse, altera Siceliotarum, tertia sociorum, quibuscum recte convenire verba infra posita *ἐβοήθουν ἐκ τῶν προτειχισμάτων οἱ Συρακόσιοι* (conf. *ἐν μὲν τῶν Συρακοσίων*), *καὶ οἱ ξύμμαχοι* (conf. *ἐν δὲ τῶν ξυμμάχων*) *καὶ ὁ Γύλιππος καὶ οἱ μετ' αὐτοῦ* (conf. *ἐν δὲ τῶν ἄλλων Σικελιωτῶν*, de quibus v. cap. 21. 32. 33.). Porro procubitores Syracusanorum, qui *τὸ τείχισμα* apud Euryelum custodiebant, narrantur partim ab Atheniensibus occisi esse, partim ad castra illa terna confugisse, sed priusquam eo venerunt *τοῖς ἑξακοσίοις τῶν Συρακοσίων, οἳ καὶ πρῶτοι καιὰ τοῦτο τὸ μέρος τῶν Ἐπιπολῶν* (per quod profugis transeundum erat) *φύλακες ἦσαν*, adventum hostium et captum murum nunciarunt. Hi trecenti non alii esse videntur, quam quibus Diomilus Andrius 6, 96. praefuerat, eosque Arn. probabiliter paulo altius in clivo Epipolarum collocatos fuisse existimat, fortasse ad terminum muri simplicis Syracusanorum.

ελθόντας τε καὶ ἀναβάντας, παραγγείλας δὲ πένθ' ἡμερῶν σιτία καὶ τοὺς λιθολόγους καὶ τέκτονας πάντας λαβὼν καὶ ἄλλην παρασκευὴν τοξευμάτων τε καὶ ὅσα ἔδει ἦν κρατῶσι τειχίζοντας ἔχειν, αὐτὸς μὲν ἀπὸ πρώτου ὕπνου καὶ Εὐρυμέδων καὶ Μένανδρος ἀναλαβὼν τὴν πᾶσαν στρατιὰν ἐχώρει πρὸς τὰς Ἐπιπολάς· Νικίας δὲ ἐν τοῖς τείχεσιν ὑπελέλειπτο. καὶ ἐπειδὴ ἐγένοντο πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον, ἥπερ καὶ ἡ προτέρα στρατιὰ τὸ πρῶτον ἀνέβη, λανθάνουσί τε τοὺς φύλακας τῶν Συρακοσίων καὶ προσβάντες τὸ τείχισμα ὃ ἦν αὐτόθι τῶν Συρακοσίων αἱροῦσι, καὶ ἄνδρας τῶν φυλάκων ἀποκτείνουσιν· οἱ δὲ πλείους διαφυγόντες εὐθὺς πρὸς τὰ στρατόπεδα, ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν τρία ἐν προτειχίσμασιν, ἓν μὲν τῶν Συρακοσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν, ἓν δὲ τῶν ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον, καὶ τοῖς ἑξακοσίοις τῶν Συρακοσίων, οἳ καὶ πρῶτοι κατὰ τοῦτο τὸ μέρος τῶν Ἐπιπολῶν φύλακες ἦσαν, ἔφραζον. οἱ δ' ἐβοήθουν τ' εὐθύς, καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ οἱ Ἀθηναῖοι ἐντυχόντες ἀμυνομένους προθύμως ἔτρεψαν. καὶ αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ πρόσθεν, ὅπως τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι ὧν ἕνεκα ἦλθον μὴ βραδεῖς γένωνται· ἄλλοι δὲ τὸ ἀπὸ τῆς πρώτης παρατείχισμα τῶν Συρακοσίων οὐχ ὑπομενόντων τῶν φυλάκων ἥρουν τε καὶ τὰς ἐπάλξεις ἀπέσυρον. οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι καὶ ὁ Γύλιππος καὶ οἱ μετ' αὐτοῦ ἐβοήθουν ἐκ τῶν προτειχισμάτων, καὶ ἀδοκήτου τοῦ τολμήματος ἐν νυκτὶ σφίσι γενομένου προσέβαλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι, καὶ βιασθέντες ὑπ' αὐτῶν τὸ πρῶτον ὑπεχώρησαν. προϊόντων δὲ τῶν Ἀθηναίων ἐν ἀταξίᾳ μᾶλλον ἤδη ὡς κεκρατηκότων, καὶ βουλομένων διὰ παντὸς τοῦ μήπω μεμαχημένου τῶν ἐναντίων ὡς τάχιστα διελθεῖν, ἵνα μὴ ἀνέντων σφῶν τῆς ἐφόδου αὖθις ξυστραφῶσιν, οἱ Βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον, καὶ προσβαλόντες ἔτρεψάν τε καὶ ἐς φυγὴν κατέστησαν. 44 καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο οἱ

ὅπως — μὴ βραδεῖς γένωνται] i. e. *ut praesenti ardore conata perficiendi* (usi) *ne remitterent.* Genitivum τοῦ περαίνεσθαι iunge cum ὁρμῇ, secundum Matth. p. 651. 1061. sq. Repressis sexcentis lectis militibus Atheniensium alii statim ἐς τὸ πρόσθεν progrediebantur i. e. relicto ad latus muro simplici procedebant, alii τὸ ἀπὸ τῆς πρώτης παρατείχισμα ἤρουν i. e. ἀπὸ τῆς πρώτης (ὁρμῆς) τὸ ἐντὸς τῆς πρώτης ὁρμῆς κείμενον παρατείχισμα ἤρουν, quasi scripsisset τὸ ἀπὸ τῆς πρώτης ὁρμῆς ἀλώσιμον παρατείχισμα ἤρουν, et inter se contrarie ponuntur ἐς τὸ πρόσθεν et ἀπὸ τῆς πρώτης. Schol. Lugd. supplet τὸ ἀπὸ τῆς πρώτης πόλεως παρατείχισμα, quae foret ellipsis prorsus insolita. De verbis ἀνέντων — τῆς ἐφόδου v. Matth. p. 646.

44. Nocturnae huius pugnae mentionem fecit Hermog. Progymn. in Bibl. Gott. lit. et art. Fasc. 9. p. 15., ubi editores falso pugnam Plataeensium et Thebanorum 3, 20. rhetori in mente fuisse adnotaverunt. Neque enim ipse scriptor alterum nocturnum certamen in hoc bello a magnis exercitibus commissum esse concedit, ubi dicit ἐν δὲ νυκτομαχίᾳ, ἣ μόνη δὴ στρατοπέδων μεγάλων ἐν τῷδε τῷ πολέμῳ ἐγένετο.

Ἀθηναῖοι, ἦν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν οὐδ' ἀφ' ἑτέρων ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη. ἐν μὲν γὰρ ἡμέρᾳ σαφέστερα μέν, ὅμως δὲ οὐδὲ ταῦτα οἱ παραγενόμενοι πάντα πλὴν τὸ καθ' ἑαυτὸν ἕκαστος μόλις οἶδεν· ἐν δὲ νυκτομαχίᾳ, ἣ μόνη δὴ στρατοπέδων μεγάλων ἐν τῷδε τῷ πολέμῳ ἐγένετο, πῶς ἄν τις σαφῶς τι ᾔδει; ἦν μέν γὰρ σελήνη λαμπρά, ἑώρων δὲ οὕτως ἀλλήλους ὡς ἐν σελήνῃ εἰκὸς τὴν μὲν ὄψιν τοῦ σώματος προορᾶν, τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. ὁπλῖται δὲ ἀμφοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέφοντο. καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δὲ ἔτι τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι ἐχώρουν. πολὺ δὲ καὶ τοῦ ἄλλου στρατεύματος αὐτοῖς τὸ μὲν ἄρτι ἀναβεβήκει, τὸ δ' ἔτι προσανήει, ὥστ' οὐκ ἠπίσταντο πρὸς ὅ, τι χρὴ χωρῆσαι. ἤδη γὰρ τὰ πρόσθεν τῆς τροπῆς γεγενημένης ἐτετάρακτο πάντα καὶ χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι. οἵ τε γὰρ Συρακόσιοι καὶ οἱ ξύμμαχοι κρατοῦντες παρεκελεύοντό τε κραυγῇ οὐκ ὀλίγῃ χρώμενοι, ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι, καὶ ἅμα τοὺς προσφερομένους ἐδέχοντο· οἵ τε Ἀθηναῖοι ἐζήτουν τε σφᾶς αὐτοὺς καὶ πᾶν τὸ ἐναντίον, καὶ εἰ φίλιον εἴη τῶν ἤδη πάλιν φευγόντων, πολέμιον ἐνόμιζον, καὶ τοῖς ἐρωτήμασι τοῦ ξυνθή-

Accusativum ἦν in ἦν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν Arn. inde putat ortum, quod scriptori primo in mente fuerit scribere ὅτῳ τρόπῳ ξυνηνέχθη sc. ἡ ταραχή et deinde inserto ἕκαστα structuram a grammatica ratione recessisse. Paulo inferius libri variant inter ᾔδει et εἰδείη i. e. *qui noverit quis*, quod ferrem, si supra scriptum esset ἐκ δὲ νυκτομαχίας. Alterum est *qui novisset quis*, apte ad hunc locum. Dein sequi debebat προορῶντες — ἀπιστούμενοι. Sed structura pendet ab sententiola in medio posita: ὡς ἐν σελήνῃ εἰκός. v. Matth. p. 1059. 2. Ad ἀναβεβήκει — προσανήει cogita κατὰ τὸν Εὐρύηλον. Ad ὥστ' οὐκ ἠπίσταντο cogita οἱ ἔτι προσανιόντες, nam quae *in fronte* eorum, qui προσανήεσαν et ἄρτι ἀναβεβήκεσαν erant, (τὰ πρόσθεν) *fuga* per Boeotos primum *facta omnia perturbata erant.* De formula ἀδύνατον ὄν v. Matth. p. 1112. Et πᾶν τὸ ἐναντίον est *quidquid obviam veniebat*, sive „*in quemcunque incidebant facie ad se conversum.*“ ARN. Genitivos τῶν ἤδη πάλιν φευγόντων non (ut Matth. p. 832. 5.) pendere puto ab φίλιον, neque a πᾶν τὸ ἐναντίον, sed ab εἴη, hoc sensu: *quidquid sibi adversum veniebat, etiamsi amicum erat* (et) *ex eorum numero, qui iam retro fugiebant, Athenienses pro hostibus habuerunt.* Verba τῶν ἤδη πάλιν φευγόντων proinde nihil aliud sunt nisi epexegesis vocis φίλιον. Retro autem fugiebant ii, quos Boeoti primi in fugam coniecerant, et eosdem scriptor intelligit, ubi scriptum est: τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο et ἤδη γὰρ τὰ πρόσθεν, τῆς τροπῆς γεγενημένης etc.

τοῖς ἐρωτήμασι] Tacit. 3. Hist. 22. *crebris interrogationibus notum pugnae signum.* Habet quae huc pertinent Lips. de M. R. 4. ult. DUK. De verbis εἰ ἐντύχοιεν v. Matth. p. 1019. 5. Schol. τὸ ἐξῆς, ὥστε, εἰ μέν τισιν ἐντύχοιεν τῶν πολεμίων κρείσσους ὄντες, διέφυγον αὐτοὺς οἱ πολέμιοι. Recte, opinor. In διέφυγον subiectum subito mutatur, *si quibus obviam veniebant fortiores hostibus, hostes evaserunt, quippe* Atheniensium *tesseram cognitam habentes.* „Consentaneum est, qui validiores erant, eos ab invalidioribus signum pugnae petiisse, et propterea verba εἰ αὐτοὶ μὴ ὑποκρίνοιντο eundem sensum habent ac si

ματος πυκνοῖς χρώμενοι διὰ τὸ μὴ εἶναι ἄλλῳ τῳ γνωρίσαι, σφίσι τε αὐτοῖς θόρυβον πολὺν παρεῖχον ἅμα πάντες ἐρωτῶντες, καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν· τὸ δ' ἐκείνων οὐχ ὁμοίως ἠπίσταντο, διὰ τὸ κρατοῦντας αὐτοὺς καὶ μὴ διεσπασμένους ἧσσον ἀγνοεῖσθαι, ὥστ' εἰ μὲν ἐντύχοιέν τισι κρείσσους ὄντες τῶν πολεμίων, διέφευγον αὐτοὺς ἅτε ἐκείνων ἐπιστάμενοι τὸ ξύνθημα, εἰ δ' αὐτοὶ μὴ ὑποκρίνοιντο, διεφθείροντο. μέγιστον δὲ καὶ οὐχ ἥκιστα ἔβλαψεν ὁ παιωνισμός· ἀπὸ γὰρ ἀμφοτέρων παραπλήσιος ὢν ἀπορίαν παρεῖχεν. οἵ τε γὰρ Ἀργεῖοι καὶ οἱ Κερκυραῖοι καὶ ὅσον Δωρικὸν μετ' Ἀθηναίων ἦν, ὁπότε παιωνίσειαν, φόβον παρεῖχε τοῖς Ἀθηναίοις, οἵ τε πολέμιοι ὁμοίως. ὥστε τέλος ξυμπεσόντες

scripsisset εἰ δ' ἧσσους ὄντες ἐντύχοιέν τισι τῶν πολεμίων." ARN. Pro ἐπισταμένοι pauci libri ἐπισταμένων, male, iudice Popp., quum ἐκείνων ad Athenienses spectet. Marg. 2. Steph. et Tus. ἐπισάντων, quam scripturam etiam Schol. memorat, hoc, opinor sensu, ut sit pro δηλωσάντων. At tum certe ἐπιστησάντων opus erat. Nec mihi notum, ubi σύνθημα ἐπίστασθαι dicatur; solenne est εἰπεῖν — δηλοῦν — παραδιδόναι — παρέχεσθαι σύνθημα, docet Casaub. ad Aeneam Tact. c. 24. init. p. 202. Orell. Ad εἰ δ' αὐτοί intellige *Ἀθηναῖοι πολεμίων τισὶν οὖσι κρείσσοσιν ἐντυχόντες* etc., *sin ipsi Athenienses hostium parti, quae ipsis validior esset, obviam facti, tesseram rogati non redderent.* Pro ὑποκρίνοιντο Aug. ἀποκρίνοιντο. Vat. post lacunam κρίνοιντο. Vulgatam iam Eustathius in Hom. Od. 2. p. 1437. Rom. noverat, ita scribens: τὸ δὲ μνησιῆρες ὑποκρίνονται, ἀντὶ τοῦ ἀποκρίνονται Ἰωνικῶς καθὰ καὶ ἐν Ἰλιάδι. καὶ ὑποκριτὴς φασὶν ἐντεῦθεν, ὁ ἀποκρινόμενος τῷ χορῷ. λέγει δὲ καὶ Ἡρόδοτος· „οἱ μὲν ταῦτα ὑποκρινόμενοι ἀπηλλάσσοντο." δοκεῖ δὲ καὶ Ἀττικὴ ἡ λέξις εἶναι· φησὶ γοῦν Θουκυδίδης· „οὐδέν (sic pro μή praesentis loci, ut Suidas, Phot., Phavorin) ὑπεκρίνοντο." Nam quamquam verba non sunt tota eadem, ex hoc tamen loco testimonium desumtum esse colligas ex Suida, qui inter alia s. v. ἀποκρίνεσθαι haec habet: Θουκυδίδης ζ· „εἰ δ' οὐδὲν ὑποκρίνοιντο, διεφθείροντο." καὶ οἱ Ἴωνες οὕτως. Ἡρόδοτος etc. Puncto enim distinguendum esse post διεφθείροντο, tum ex Thucydidis loco, tum Eustathii apparet. Atque cum ea interpunctione, qua adscripsi, totum locum Suidae habent editiones Photii. Conf. Apollon. Lexic. Hom. p. 676. At Etym. M. in ὑποκρίνονται Thucydidis tantum testimonium, non item verba affert. Apud Phavorinum, qui Eustathium transscripsit, legitur: φησὶ γοῦν Θουκυδίδης· „οὐδὲν ὑπεκρίνοντο." His testimoniis et libris Thucydidis obsecutus vulgatam restitui. Mox οὐχ ἥκιστα alio modo idem significat, quod μέγιστον, v. Matth. §. 463. „Paeanismus in pugna omnibus, qui essent eiusdem stirpis Graecis unus idemque fuit, diversus diversis stirpibus. Velut omnibus Doribus, ut Spartanis, Argivis, Corinthiis, Syracusanis idem paean fuit." OD. MUELL. Dor. 1. p. 299., colligens id ex h. l. coll. 4, 43. Mox ῥιπτοῦντες Vat. H. cod. Bas. Gr., quod magis placet Popponi coll. Herm. ad Soph. Ai. 235. et Buttm. Indic. Verb. Et τὴν ἀπὸ τῶν Ἐπιπολῶν πάλιν κατάβασιν auctor intelligit reditum et descensionem ab Euryelo retro ad litus portus magni et plana terrae circa Anapum. Tum εἰσὶν οἵ rarius dictum, quam ἔστιν οἵ. Vid. Matth. p. 903. adn. 1. Sequitur οἱ ἱππῆς Συρακοσίων sc. profecti Olympio, ubi stationem habebant, ut novimus ex cap. 37.

αὐτοῖς κατὰ πολλὰ τοῦ στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλοις καὶ πολῖται πολίταις, οὐ μόνον ἐς φόβον κατέστησαν, ἀλλὰ καὶ ἐς χεῖρας ἀλλήλοις ἐλθόντες μόλις ἀπελύοντο. καὶ διωκόμενοι κατά τε τῶν κρημνῶν οἱ πολλοὶ ῥίπτοντες ἑαυτοὺς ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν πάλιν καταβάσεως, καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν οἱ σωζόμενοι ἄνωθεν καταβαῖεν, πολλοὶ αὐτῶν καὶ ὅσοι ἦσαν τῶν προτέρων στρατιωτῶν, ἐμπειρίᾳ μᾶλλον τῆς χώρας ἐς τὸ στρατόπεδον διεφύγγανον, οἱ δὲ ὕστερον ἥκοντες εἰσὶν οἳ διαμαρτόντες τῶν ὁδῶν κατὰ τὴν χώραν ἐπλανήθησαν· οὓς, ἐπειδὴ ἡμέρα ἐγένετο, οἱ ἱππῆς τῶν Συρακοσίων περιελάσαντες διέφθειραν.

Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακόσιοι δύο τροπαῖα ἔστησαν, 45
ἔπί τε ταῖς Ἐπιπολαῖς ᾗ ἡ πρόσβασις καὶ κατὰ τὸ χωρίον ᾗ οἱ Βοιωτοὶ πρῶτοι ἀντέστησαν· οἱ δ' Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἐκομίσαντο. ἀπέθανον δὲ οὐκ ὀλίγοι αὐτῶν τε καὶ τῶν ξυμμάχων, ὅπλα μέντοι ἔτι πλείω ἢ κατὰ τοὺς νεκροὺς ἐλήφθη· οἱ γὰρ κατὰ τῶν κρημνῶν βιασθέντες ἄλλεσθαι ψιλοὶ ἄνευ τῶν ἀσπίδων οἱ μὲν ἀπώλλυντο, οἱ δ' ἐσώθησαν.

Μετὰ δὲ τοῦτο οἱ μὲν Συρακόσιοι ὡς ἐπὶ ἀπροσδοκήτῳ 46
εὐπραγίᾳ πάλιν αὖ ἀναῤῥωσθέντες, ὥσπερ καὶ πρότερον, ἐς μὲν Ἀκράγαντα στασιάζοντα πεντεκαίδεκα ναυσὶ Σικανὸν ἀπέστειλαν, ὅπως ὑπαγάγοιτο τὴν πόλιν εἰ δύναιτο· Γύλιππος δὲ κατὰ γῆν ἐς τὴν ἄλλην Σικελίαν ᾤχετο αὖθις, ἄξων στρατιὰν ἔτι, ὡς ἐν ἐλπίδι ὢν καὶ τὰ τείχη τῶν Ἀθηναίων αἱρήσειν βίᾳ, ἐπειδὴ τὰ ἐν ταῖς Ἐπιπολαῖς οὕτω ξυνέβη. οἱ δὲ 47
τῶν Ἀθηναίων στρατηγοὶ ἐν τούτῳ ἐβουλεύοντο πρός τε τὴν γεγενημένην ξυμφορὰν καὶ πρὸς τὴν παροῦσαν ἐν τῷ στρατο-

45. ᾗ ἡ πρόσβασις] i. e. κατὰ τὸν Εὐρύηλον. Vid. adn. ad 6, 66. Mox ὅπλα accipe scuta, ut docent Duk. ad h. l. et interpp. ad Herodot. 9, 62. De formula comparationis πλείω ᾗ κατά v. Matth. p. 843. Quia scutis relictis desiliebant, dicuntur ψιλοί, *nudi* Latine dicas.

46. ὅπως ὑπαγάγοιτο] i. e. *ut urbem in partes suas traheret et induceret ad auxilium mittendum.* Conf. Xen. Anab. 2, 4, 3. ἡμᾶς ὑπάγεται μένειν. Demosth. de Cherson. p. 105, 7. Reisk. Θηβαίους νῦν ὑπάγεται, ubi Reisk. verbum bene explicat: *perducere veluti vitulum ostensa fronde.* ARN.

47. πρὸς — τὴν ξυμφοράν] v. Matth. p. 1182. et ibidem §. 548. 1. de verbis ἑώρων οὐ κατορθοῦντες, et p. 1301. init. de verbis τά τε ἄλλα ὅτι ἀνέλπιστα — ἐφαίνετο. Etenim post τῆς ὥρας οὔσης sequi debebat καὶ τοῦ χωρίου ὄντος, et praeterea inter se referuntur νόσῳ τε ἐπιέζοντο et τά τε ἄλλα ὅτι, pro quo dicere poterat vel ὅτι νόσῳ τε ἐπιέζοντο — τά τε ἄλλα ὅτι vel νόσῳ τε γὰρ ἐπιέζοντο, τά τε ἄλλα ἀνέλπιστα αὐτοῖς ἐφάνη. Popp. deleri vult ὅτι, Reisk. scribi ὅτι ἀνελπισιότατα. Unus Ven. om. ὅτι, ceteri omnes servant. Proxima sic habent: ἀλλ' ἅπερ καὶ διενοήθη, ὅτε ἐς τὰς Ἐπιπολὰς διεκινδύνευσε, (ταῦτα), ἐπειδὴ ἔσφαλτο, ἐψηφίζειο, ἐξιέναι. Notum in vulgus est,

πέδῳ κατὰ πάντα ἀῤῥωστίαν. τοῖς τε γὰρ ἐπιχειρήμασιν ἑώρων οὐ κατορθοῦντες καὶ τοὺς στρατιώτας ἀχθομένους τῇ μονῇ. νόσῳ τε γὰρ ἐπιέζοντο κατ' ἀμφότερα, τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μάλιστα, καὶ τὸ χωρίον ἅμα ἐν ᾧ ἐστρατοπεδεύοντο ἑλῶδες καὶ χαλεπὸν ἦν· τά τε ἄλλα ὅτι ἀνέλπιστα αὐτοῖς ἐφαίνετο. τῷ οὖν Δημοσθένει οὐκ ἐδόκει ἔτι χρῆναι μένειν, ἀλλ' ἅπερ καὶ διανοηθεὶς ἐς τὰς Ἐπιπολὰς διακινδυνεῦσαι, ἐπειδὴ ἔσφαλτο, ἐξιέναι ἐψηφίζετο καὶ μὴ διατρίβειν, ἕως ἔτι τὸ πέλαγος οἷόν τε περαιοῦσθαι, καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν. καὶ τῇ πόλει ὠφελιμώτερον ἔφη εἶναι πρὸς τοὺς ἐν τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον ποιεῖσθαι ἢ Συρακοσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι χειρώσασθαι· οὐδ' αὖ ἄλλως χρήματα πολλὰ δαπανῶντας εἰκὸς εἶναι προσκαθῆσθαι. 48 καὶ ὁ μὲν Δημοσθένης τοιαῦτα ἐγίγνωσκεν· ὁ δὲ Νικίας ἐνόμιζε μὲν καὶ αὐτὸς πόνηρα σφῶν τὰ πράγματα εἶναι, τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀποδεικνύναι, οὐδ' ἐμφανῶς σφᾶς ψηφιζομένους μετὰ πολλῶν τὴν ἀναχώρησιν τοῖς πολε-

etiam post relativa in oratione obliqua infinitivum sequi. Vid. Matth. §. 538. Ita hic *διακινδυνεῦσαι* est pro *διεκινδύνευσεν* in oratione directa, quae erat vulgata, donec ex bonis libris infinitivus receptus est. Verba *ταῖς γοῦν ἐπελθούσαις ναυσί* intellige: *certe navibus, quibus Demosthenes advectus erat.* Genitivus *τοῦ στρατεύματος* partitivus est, pendens ex *ταῖς ναυσί*. Proxima expressit Iustin. 4, 5. *esse domi graviora et forsitan infeliciora bella, in quae servare hos urbis apparatus oporteat.*

48. *ψηφιζομένους — καταγγέλτους γίγνεσθαι*] Participium pro infinitivo *ψηφίζεσθαι*. v. Matth. p. 1091. sq. Hinc verbis *λαθεῖν γὰρ ἄν — ποιοῦντες* transitus fit ab accusativo *καταγγέλτους* ad nominativum *ποιοῦντες*, quia subiectum primarii verbi certe ex parte infinitivi subiectum continet. Et *τὸ δέ τι καί* est *partim etiam.* Conf. 1, 107. et Krueg. ad Dionys. p. 87. Noli cum Dukero putare, pleonasmum in pronomine *αὐτῶν* inesse. Structura haec est: *ἀπὸ τούτων, ἃ αὐτῶν ἠσθάνετο* etc., ubi *αὐτῶν* pendet ab *ἅ*. v. Matth. §. 317. Ad *θαλασσοκρατούντων* cogita *σφῶν*, vid. ibidem p. 1096. Conf. 5, 33. Mox sententia per *γάρ* incipiens ex usu Graecorum praemissa, pro *καί τι καὶ βουλόμενον ἐν ταῖς Συρακούσαις τὰ πράγματα ἐνδοῦναι τοῖς Ἀθηναίοις (ἦν γὰρ ἐκεῖ) ἐπεκηρυκεύετο πρὸς αὐτόν*. v. adn. ad 1, 72. et Matth. p. 1242. 1295. sq. De *τι βουλόμενον* vid. ibidem p. 832. fin. Et *ἐπεκηρυκεύετο* hic per *κατάχρησιν* dici de nunciis per privatos clanculum missis, quod per *διαγγέλους* fit infr. c. 73., post Portum monuit Duk. Qua significatione verbo item paulo post c. 49. Thuc. utitur. Docet idem, alioqui *ἐπικηρυκεύεσθαι* dici, qui nomine publico *κήρυκας* et legatos mittant. Vid. Ammon. p. 56. ibique Valck. p. 80. Animadversionum, Suidam in *ἐπικηρυκεύεται*, et Harpocr. in *ἐπικηρυκεία*, Wolf. ad Demosth. Lept. p. 275. ed. pr. Tum *ἐπ' ἀμφότερα ἔχων* est *utroque inclinans.* Mox in *σφῶν αὐτῶν* posterius pronomen Bekk. in ed. stereot. seclusit. Tuetur Krueg. ad Dionys. p. 340. locis 1, 128. 8, 65. et aliis. Arnoldo *σφῶν αὐτῶν* significare videtur non exercitum in Sicilia, sed Athenienses, qui sententias domi laturi erant, nec Thucydidis hanc mentem esse posse, eos sententiam de se ipsis laturos esse. Quare Bekkeri iudicium

μίοις καταγέλτους γίγνεσθαι· λαθεῖν γὰρ ἄν, ὁπότε βούλοιντο, τοῦτο ποιοῦντες πολλῷ ἧσσον. τὸ δέ τι καὶ τὰ τῶν πολεμίων, ἀφ' ὧν ἐπὶ πλέον ἢ οἱ ἄλλοι ἠσθάνετο αὐτῶν, ἐλπίδος τι ἔτι παρεῖχε πονηρότερα τῶν σφετέρων ἔσεσθαι, ἢν καρτερῶσι προσκαθήμενοι· χρημάτων γὰρ ἀπορίᾳ αὐτοὺς ἐκπυργώσειν, ἄλλως τε καὶ ἐπὶ πλέον ἤδη ταῖς ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων. καὶ ἦν γάρ τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι, ἐπεκηρυκεύετο ὡς αὐτὸν καὶ οὐκ εἴα ἀπανίστασθαι. ἃ ἐπιστάμενος τῷ μὲν ἔργῳ ἔτι ἐπ' ἀμφότερα ἔχων καὶ διασκοπῶν ἀνεῖχε. τῷ δ' ἐμφανεῖ τότε λόγῳ οὐκ ἔφη ἀπάξειν τὴν στρατιάν. εὖ γὰρ εἰδέναι ὅτι Ἀθηναῖοι σφῶν ταῦτα οὐκ ἀποδέξονται ὥστε μὴ αὐτῶν ψηφισαμένων ἀπελθεῖν. καὶ γὰρ οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαί τε περὶ σφῶν αὐτῶν καὶ τὰ πράγματα ὥσπερ καὶ αὐτοὶ ὁρῶντας καὶ οὐκ ἄλλων ἐπιτιμήσει ἀκούσαντας γνώσεσθαι, ἀλλ' ἐξ ὧν ἄν τις εὖ λέγων διαβάλλοι, ἐκ τούτων αὐτοὺς πείσεσθαι. τῶν τε παρόντων στρατιωτῶν πολλοὺς καὶ τοὺς πλείους ἔφη, οἳ νῦν βοῶσιν ὡς ἐν δεινοῖς ὄντες, ἐκεῖσε ἀφικομένους τἀναντία βοήσεσθαι ὡς ὑπὸ χρημάτων καταπρο-

sequitur. Sensus est: „qui iudicaturi de nobis sunt, non illi sunt, qui iidem etiam rerum visarum notitia utantur, nec calumniis modo aures praebeant.“ Bau. Et *ἐξ ὧν ἄν τις διαβάλλοι* dictum pro *ἐκ διαβολῶν*, v. Matth. p. 901. adn. 2. et de optativo *διαβάλλοι* ibidem p. 1026. 2., de verbis *ὑπὸ χρημάτων* ibidem p. 1185. Dein *ἰδίᾳ* est für seine Person: Nicias dicit periculo ab hostibus se malle privatim exponere, quam irae Atheniensium communiter cum collegis in imperio. Paulo inferius verbum *ὅμως* „pertinet ad sententiam supplendam: *etsi ipsorum res infirmae et afflictae sint.*“ Haack. Mox vulgo *ἅμα* [*ἄλλα*] *ἀναλίσκοντας* legebatur, sed *ἄλλα* omittunt libri optimi. Nihil frequentius confusis *ἅμα* et *ἄλλα*. Vid. interpp. ad Greg. Cor. p. 724. Equidem ex usu Thucydideo malim *ἐν περιπολίοις ἄλλα ἀναλ.* Tum Schol. Cass. habet *σημείωσαι βόσκοντας*. Etenim *βόσκειν* Grammatici tradunt proprie de pecoribus dici. „Ita Schol. Arist. ad Equ. 256. et ex eo Suidas in *οὓς ἐγώ*. Tamen etiam de hominibus usurpatur, sed saepe cum contemtu quodam et cum contumelia, ut significet eos pecoribus similes et abiectissimos esse. Eustath. ad Hom. Od. *λ'*. 363. *καλῶς*, inquit, *τὸ βόσκει, ὡς τῶν τοιούτων ἀνδρῶν ἀλογίστως ζώντων κατά τινα βοσκήματα.* Et Schol. Aristoph. l. c., ubi Cleon ad iudices dicit: *οὓς ἐγὼ βόσκω*, adnotat: *πικρῶς ὡς θρέμμασιν αὐτοῖς κέχρηται ἀλόγοις.* Nec minus contumeliose in eadem fabula v. 1255. Agoracritum de se dicentem: *ἐν τῇ ἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην* perstringit Comicus. Adde Hom. Od. *ρ'*, 228. et *σ'*, 363. Interdum tamen nihil in hac voce contumeliae est, ut apud Homerum Od. *ξ'*, 325. *τ'*. 294. et H. Apoll. 59.“ Duk. Denique in verbis *χρήμασιν ὡς πολὺ κρείσσους εἰσί* Vat. H. Ar. Chr. habent *ὤν*. Gr. Schol. in cap. et marg. Steph. *ᾧ*, quod Popp. et Bekk. probant, ille comparans 1, 80. *ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ πολλῷ ἔτι πλέον τούτου ἐλλείπομεν*, coll. Matth. §. 439. I. in marg. *οἷς*, quod Coraes ad Plut. Vol. 3. p. 421. probat. Vulgatam Bened. tuetur comma transponens ante *χρήμασιν*. Arn. *εἰσὶ* abesse vult, hoc sensu: *neque pecunia, ut qua longe superiores sint, victos abire.* Verum quid tandum interest, utrum *εἰσί* relinquas, an cogitatione suppleas.

δόντες οἱ στρατηγοὶ ἀπῆλθον. οὔκουν βούλεσθαι αὐτός γε ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις ἐπ' αἰσχρᾷ τε αἰτίᾳ καὶ ἀδίκως ὑπ' Ἀθηναίων ἀπολέσθαι μᾶλλον ἢ ὑπὸ τῶν πολεμίων, εἰ δεῖ, κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ. τά τε Συρακοσίων ἔφη ὅμως ἔτι ἥσσω τῶν σφετέρων εἶναι· χρήμασι γὰρ αὐτοὺς ξενοτροφοῦντας καὶ ἐν περιπολίοις ἅμα ἀναλίσκοντας, καὶ ναυτικὸν πολὺ ἔτι ἐνιαυτὸν ἤδη βόσκοντας, τὰ μὲν ἀπορεῖν, τὰ δ' ἔτι ἀμηχανήσειν· δισχίλια γὰρ τάλαντα ἤδη ἀναλωκέναι καὶ ἔτι πολλὰ προσοφείλειν, ἥν τε καὶ ὁτιοῦν ἐκλίπωσι τῆς νῦν παρασκευῆς τῷ μὴ διδόναι τροφήν, φθερεῖσθαι αὐτῶν τὰ πράγματα, ἐπικουρικὰ μᾶλλον ἢ δι' ἀνάγκης ὥσπερ τὰ σφέτερα ὄντα. τρίβειν οὖν ἔφη χρῆναι προσκαθημένους, καὶ μὴ χρήμασιν, ὡς πολὺ κρείσσους εἰσί, νικηθέντας ἀπιέναι.

49 Ὁ μὲν Νικίας τοσαῦτα λέγων ἰσχυρίζετο, αἰσθόμενος τὰ ἐν ταῖς Συρακούσαις ἀκριβῶς, καὶ τὴν τῶν χρημάτων ἀπορίαν, καὶ ὅτι ἦν αὐτόθι που τὸ βουλόμενον τοῖς Ἀθηναίοις γίγνεσθαι τὰ πράγματα, καὶ ἐπικηρυκευόμενον πρὸς αὐτὸν ὥστε μὴ ἀπανίστασθαι, καὶ ἅμα ταῖς γοῦν ναυσὶν ἢ πρότερον θαρσήσει κρατηθείς. ὁ δὲ Δημοσθένης περὶ μὲν τοῦ προσκα-

49. *αὐτόθι που*] Omittunt quidem nonnulli libri *που*, verum equidem sanum puto significans *ibi alicubi* i. e. inter quosdam homines, quos Nicias non nominabat. Articulus in *τὸ βουλόμενον* refertur ad verba cap. 48. *ἦν γάρ τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι*, ut Popp. adnotavit.

ταῖς — ναυσὶ ἢ πρότερον θαρσήσει κρατηθείς] Vat. H. *ταῖς γοῦν ναυσὶ θαρρῶν ἢ πρότερον ἐθάρσησε κρατηθείς*. Hanc scripturam exprimit Valla: *super haec fretus classe (tunc) magis quam antea, quum victus est.* Sed ea aperte correctio est. Matth. §. 359. adn. 1. ἤ pendere facit ex comparativo, quem ad sensum inesse dicit in *κρατηθείς*, ut eadem sententia efficiatur, quasi auctor dedisset *μᾶλλον θαρσῶν ταῖς ναυσὶν ἢ πρότερον*. Idemque expressit Heilm.: theils weil er von dem Vertrauen auf die Schiffe mehr als je zuvor eingenommen war, sed *μᾶλλον* supplet ante *ἢ πρότερον* et dativum *ναυσὶν* ex *θαρσήσει* pendere facit, quia cum eodem casu verbum *θαρσεῖν* iungatur. Atqui valde dubium est, num quod omissi *μᾶλλον* exemplum ex Andocide protulerunt ad Vig. p. 416. V., probet omitti posse. (Nam in *λυσιτελεῖν* vis comparativi inest, et de *βούλομαι* ἤ, quod ibidem, nota ex Buttmanni lexilogo res est.) Certe in alia opinione ibidem est Herm. p. 884., quem confer in Comment. de Ellips. et Pleonasm. p. 184. Ex comparativo aliquo proxime posito *μᾶλλον* arcessendum est in exemplo Taciti 1. Annal. 17. (ubi vis adverbii *magis* latet in *augebatur*) et ea, quae afferuntur ad Vig. p. 409., vel corrupta (ut Arist. Vesp. 1262.) vel ex scriptoribus labentis Graecitatis petita sunt. Neque *μᾶλλον* omissum est, si quando positivus cum particula ἤ (*quam*) pro comparativo legitur, velut loco Plautino, quem attulit Boeckh. Nott. crit. ad Pind. p. 351. et Taciti 4. Annal. 61. et locis apud Matth. §. 457. adn. 1. Vide Herm. ad Vig. l. c. Nec omissionem particulae *magis* probant exempla allata ab Ern. in Clav. Cic. et a Gesnero Thes. L. L. s. v. *magis*. Adde Herm. ad Soph. Tr. 1016. *Μᾶλλον* omissum esse a Thucydide 3, 23. opinio est Scholiastae, Bloomfieldii et Arnoldi, at v. adnot. Locis denique Thucydideis, ubi ante ὅσῳ comparativus *μᾶλλον* deesse videtur, vel in

θῆσθαι οὐδ' ὁπωσοῦν ἐνεδέχετο· εἰ δὲ δεῖ μὴ ἀπάγειν τὴν στρατιὰν ἄνευ Ἀθηναίων ψηφίσματος, ἀλλὰ τρίβειν αὐτούς, ἔφη χρῆναι ἢ ἐς τὴν Θάψον ἀναστάντας τοῦτο ποιεῖν ἢ ἐς τὴν Κατάνην, ὅθεν τῷ τε πεζῷ ἐπὶ πολλὰ τῆς χώρας ἐπιόντες θρέψονται πορθοῦντες τὰ τῶν πολεμίων, καὶ ἐκείνους βλάψουσι, ταῖς τε ναυσὶν ἐν πελάγει καὶ οὐκ ἐν στενοχωρίᾳ, ἢ πρὸς τῶν πολεμίων μᾶλλόν ἐστι, τοὺς ἀγῶνας ποιήσονται, ἀλλ' ἐν εὐρυχωρίᾳ, ἐν ᾗ τά τε τῆς ἐμπειρίας χρήσιμα σφῶν ἔσται, καὶ ἀναχωρήσεις καὶ ἐπίπλους οὐκ ἐκ βραχέος καὶ περιγραπτοῦ ὁρμώμενοί τε καὶ καταίροντες ἕξουσι. τό τε ξύμπαν εἰπεῖν, οὐδενὶ τρόπῳ οἱ ἔφη ἀρέσκειν ἐν τῷ αὐτῷ ἔτι μένειν, ἀλλ' ὅτι τάχιστα ἤδη καὶ μὴ μέλλειν ἐξανίστασθαι. καὶ ὁ Εὐρυμέδων αὐτῷ ταῦτα ξυνηγόρευεν. ἀντιλέγοντος δὲ τοῦ Νι-

praegresso comparativo latet, ut 6, 89. vel ipsa forma dativi ὅσῳ eius vis proditur, ut 6, 11. 92. Nec tamen desunt exempla, ubi difficilius est, omissum *μᾶλλον* excusare. Vid. Herm. ad Soph. Ai. 945. Boeckh. Nott. cr. ad Pind. l. c. Iacobs. ad Anthol. Gr. 2, 1. p. 111. Dubia igitur certe est Heilmanni ratio, verum etiam Matthiaei explicatio habet, quo displiceat. Si enim *κρατηθείς* pro vi comparativi, quae in hoc verbo inesse dicitur, exponas per *ἐχόμενος μᾶλλον* vel simile quid, sensus postulat: *καὶ ἅμα ταῖς γοῦν ναυσὶ θαρσήσει μᾶλλον ἐχόμενος* (magis fiducia navium captus) *ἢ οὐ — θαρσήσει* (quam scilicet diffidentia). Nam relatio comparationis non fit a fiducia ad tempus (ad *πρότερον*), sed ad id, quod praeter fiduciam in animum Niciae vim habere potuit. Quare puto, parva mutatione scribendum esse: *καὶ ἅμα ταῖς γοῦν ναυσὶν ἢ πρότερον θαρσήσει κρατηθείς*, und auf die Flotte wenigstens beseelte ihn noch eben so viel Zuversicht als vorher. Hoc est, nondum postrema clade pugnae navalis (cap. 39—41.) ita animo fractus erat, ut salutem in navibus positam desperaret, aut sese si omnia destituissent iis abire posse diffideret post nova subsidia a Demosthene nuper adducta, v. cap. 47. *ἕως ἔτι οἷόν τε τοῦ στρατεύματος ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν*. c. 48. *ἐπὶ πλέον ἤδη ταῖς ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων*, adde cap. 42. extr. At „unum, inquit, obstiterit, neque id leve, quod non reperiatur antea nimis navibus Nicias fisus fuisse!“ Tametsi quid aliud dicunt verba cap. 4. *προσεῖχέ τε ἤδη μᾶλλον τῷ κατὰ θάλασσαν πολέμῳ, ὁρῶν τὰ ἐκ τῆς γῆς σφίσιν, ἐπειδὴ Γύλιππος ἦκεν, ἀνελπιστότερα ὄντα?* Quod autem Popp. repugnat, ita non tam ἤ, quam cum Reiskio *τῇ* Thucydidi scribendum fuisse, id mihi quidem minus verum videtur: quidni enim dicas: *ταῖς ναυσὶ θαρσήσει κρατηθείς, ἢ πρότερον (ἐκρατήθη)? Κρατυνθείς* coniecerunt Reisk. et Bau., in quod eadem reprehensio cadere videtur, atque in explicationem Matthiaei, quia hoc significaret: ***magis firmatus, quam non firmatus***, et non: ***magis firmatus, quam antea.***

ἀπὸ τοῦ καταστρώματος idem est, quod *τοὺς ἐπὶ τῷ καταστρώματι ἀπ' αὐτοῦ ἀπαρ.* Et genitivum *τῶν ναυτιῶν* post *ἧσσον* resolve in *ἢ τοῖς ναύταις*, v. Matth. p. 849. §. 454. Porro *βελτίω* et *πλείους* non sunt epitheta, sed praedicati loco, v. ibidem p. 563. Mox ad *τὴν ἡδονὴν ἐνθυμεῖσθαι* Schol. adnotavit: *ἡδονὴν λέγει, ἣν ἐπιφέρει, ἐπὶ τῷ θαυμάζεσθαί τε καὶ τὴν Ἑλλάδα καὶ κατὰ τὸ ὠφελεῖσθαι, ἐν τε τῷ μὴ ἀδικεῖσθαι αὐτοὶ, καὶ ἐν τῷ φοβεροὶ τοῖς ὑπηκόοις φαίνεσθαι.* Idem ad *τέως Ἀθηναῖοι νομιζόμενοι* haec: *τοὺς μετοίκους λέγει*, de quo hominum genere v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 39. 48. 154. 279. 280. 285 sq. Qua conditione, quoque iure fuerint, et quae munia obierint, idem ibidem docet p. 154. et Vol. 2. p. 75. Cui adde Schoem. de Comit. Ath. p. 81. F. Boeckh. C. I. 1. p. 305. C. Fr. Herm. Antt. Gr. §. 115. 116. Wachsm. Antt. Gr. 1, 1. p. 250. De muniis eorum vide ibidem 1, 2. p. 44. init. 2, 1. p. 137. 138. Hi inquilini *ἰσοτελεῖς* dicebantur, quum populi beneficio pari fere cum civibus iure fruebantur. Itaque inquilini percussor non minori poena affectus est, quam qui civem interfecerat, ut docet Meier. de Bon. Damn. p. 23. Nec vero *ἰσοτελεῖς* omnes inquilini erant, sed tantum qui *μετοικίῳ* sive annuo inquilinorum tributo soluti idem atque cives munium onus praestabant, atque eodem cum civibus adscriptitiis iure ac conditione erant. Conf. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 77. Hos inquilinos scriptor dicit ex imperio Atheniensium non minus utilitatis, quam ipsos cives cepisse, timore autem apud socios et securitate ab iniuriis iis adeo multo praestitisse. Etenim inquilini maxime mercaturam faciebant, nec tamen Niciae dicere licebat, plus utilitatis per mercaturam eos ex imperio suo hausisse, quam ipsos Athenienses, quum *μετοικίου*, portoriorum, variorumque vectigalium nomine, quae inquilini pendebant, tam grandis pecunia reditibus civitatis accederet, ac mercaturam etiam sine imperio Atheniensium exercere possent: maiori autem per timorem sociorum securitate frui ideo videri poterant, „quia maxima pars nautarum in classibus Atheniensium ex *μετοίκοις* constabat, quo timendi fiebant apud civitates Atheniensibus parentes, quas classes Atheniensium aggredi poterant. Eadem de causa Athenis maiori patrocinio utebantur, quam alioqui eius ordinis homines in ceteris partibus Graeciae. Conf. 1, 121. 143. init. et Xen. de R. A. 1, 10 sqq." Arn. Nec tamen intelligo, quo iure idem addat, inquilinos vel civibus meliori conditione fuisse, quum iuribus civium publicis carerent, eademque atque illi munia, et praeterea quaedam alia, eaque minime honesta una cum uxoribus et liberis obire tenerentur. Recte Bau. affirmavit, *ὑμῶν* pertinere ad *οἵ, qui vestrum* etc. Popponem, qui *ἡμῶν* (ex E.) praefert, intelligens *non ex nobis orti, non cognatione nobiscum coniuncti* refellit cap. 64. init. *τούς τε Ἀθηναίους ὑμῶν — ὑπομιμνήσκω* i. e. *οἳ δὲ ὑμῶν Ἀθηναῖοί ἐστε, τούτους* etc. Ceterum de gloria imperii Atheniensium v. Krueg. Vit. Thuc. p. 38. In proximis *δικαίως* ita intelligo: *ὥστε οὕτω δίκαιοί ἐστε, ὥστε νῦν μὴ καταπροδιδόναι αὐτήν*, adverbio, ut solet, vicem totius enunciati gerente, de quo usu loquendi dictum est ad 4, 86. Denique *ἑτέρας εὐτυχούσης ᾠμης* dictum est pro *ἑτέρων εὐτ. ᾠ.* Saepe enim possessiva pronomina pro personalibus usurpata reperias, ut ap. Soph. Oed. T. 338. *τὴν σὴν δ' ὁμοῦ ναίουσαν οὐ κατεῖδες* etc. Vid. omnino Krueg. ad Dionys. p. 45 sq.

δὲ ναύταις παραινῶ, καὶ ἐν τῷ αὐτῷ τῷδε καὶ δέομαι, μὴ ἐκπεπλῆχθαί τι ταῖς ξυμφοραῖς ἄγαν, τήν τε παρασκευὴν ἀπὸ τῶν καταστρωμάτων βελτίω νῦν ἔχοντας καὶ τὰς ναῦς πλείους, ἐκείνην τε τὴν ἡδονὴν ἐνθυμεῖσθαι ὡς ἀξία ἐστὶ διασώσασθαι, οἳ τέως Ἀθηναῖοι νομιζόμενοι καὶ μὴ ὄντες ὑμῶν τῆς τε φωνῆς τῇ ἐπιστήμῃ καὶ τῶν τρόπων τῇ μιμήσει ἐθαυμάζεσθε κατὰ τὴν Ἑλλάδα, καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας οὐκ ἔλασσον κατὰ τὸ ὠφελεῖσθαι, ἔς τε τὸ φοβερὸν τοῖς ὑπηκόοις καὶ τὸ μὴ ἀδικεῖσθαι πολὺ πλεῖον μετείχετε. ὥστε κοινωνοὶ μόνοι ἐλευθέρως ἡμῖν τῆς ἀρχῆς ὄντες δικαίως αὐτὴν νῦν μὴ καταπροδίδοτε, καταφρονήσαντες δὲ Κορινθίων τε, οὓς πολλάκις νενικήκατε, καὶ Σικελιωτῶν, ὧν οὐδ' ἀντιστῆναι οὐδεὶς ἕως ἤκμαζε τὸ ναυτικὸν ἡμῖν ἠξίωσεν, ἀμύνασθε αὐτούς καὶ δείξατε ὅτι καὶ μετὰ ἀσθενείας καὶ ξυμφορῶν ἡ ὑμετέρα ἐπιστήμη
64 κρείσσων ἐστὶν ἑτέρας εὐτυχούσης ῥώμης. τούς τε Ἀθηναίους ὑμῶν πάλιν αὖ καὶ τάδε ὑπομιμνήσκω ὅτι οὔτε ναῦς ἐν τοῖς νεωροίκοις ἄλλας ὁμοίας ταῖσδε οὔτε ὁπλιτῶν ἡλικίαν ὑπελίπετε, εἴ τε ξυμβήσεταί τι ἄλλο ἢ τὸ κρατεῖν ὑμῖν, τούς τε ἐνθάδε πολεμίους εὐθὺς ἐπ' ἐκεῖνα πλευσουμένους καὶ τοὺς ἐκεῖ ὑπολοίπους ἡμῶν ἀδυνάτους ἐσομένους τούς τε αὐτοῦ καὶ τοὺς ἐπελθόντας ἀμύνασθαι. καὶ οἱ μὲν ἂν ὑπὸ Συρακοσίοις εὐθὺς γίγνοισθε, οἷς αὐτοὶ ἴστε οἷα γνώμῃ ἐπήλθετε, οἱ δ' ἐκεῖ ὑπὸ Λακεδαιμονίοις. ὥστε ἐν ἑνὶ τῷδε ὑπὲρ ἀμφοτέρων ἀγῶνι καθεστῶτες καρτερήσατε, εἴπερ ποτέ, καὶ ἐνθυμεῖσθε καθ' ἑκάστους τε καὶ ξύμπαντες ὅτι οἱ ἐν ταῖς ναυσὶν ὑμῶν νῦν ἐσόμενοι καὶ πεζοὶ τοῖς Ἀθηναίοις εἰσὶ καὶ νῆες καὶ ἡ ὑπόλοιπος πόλις καὶ το μέγα ὄνομα τῶν Ἀθηνῶν, περὶ ὧν εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ, οὐκ ἂν ἐν ἄλλῳ μᾶλλον καιρῷ ἀποδειξάμενος αὐτός τε αὐτῷ ὠφέλιμος γένοιτο καὶ τοῖς ξύμπασι σωτήριος.

65 Ὁ μὲν Νικίας τοσαῦτα παρακελευσάμενος εὐθὺς ἐκέλευε πληροῦν τὰς ναῦς. τῷ δὲ Γυλίππῳ καὶ τοῖς Συρακοσίοις παρῆν μὲν αἰσθάνεσθαι, ὁρῶσι καὶ αὐτὴν τὴν παρασκευήν, ὅτι ναυμαχήσουσιν οἱ Ἀθηναῖοι, προηγγέλθη δὲ αὐτοῖς καὶ ἡ ἐπιβολὴ τῶν σιδηρῶν χειρῶν. καὶ πρός τε τἆλλα ἐξηρτύσαντο

64. *τάδε ὑπομνήσκω*] v. Matth. p. 772. s. v. *ἀναμνᾶν*.

εἴ τε ξυμβήσεταί τι ἄλλο] Quod lingua efferre, animus cogitare refugit, — — *ἄλλο* saepe *κακόν*. Schol. Thuc. 7, 64. Casaub. ad Strab. 1, 3. D. Heins. ad Hesiod. *ἔργ.* 344. Dorv. ad Charit. p. 444. Schol. *εὐφημότατα ἠνίξατο τὴν ἧτταν*. Adde Valck. ad Herodot. 3, 62. Mox *πλευσουμένους — ἐσομένους* sunt participia pro infinitivis. v. Matth. p. 1123. imit. Deinde *ὑπὲρ ἀμφοτέρων* cum Schol. intellige *ὑπέρ τε τῆς ἐνταῦθα δουλείας ὑμῶν καὶ τῆς ἐκεῖ τῶν ἄλλων Ἀθηναίων*.

65. *ἡ ἐπιβολή*] Cave convertas *iniectio*, nam significat *consilium* (Anschlag). *Ἐπιβολήν* et *ἐπιβουλήν* ab hoc scriptore promiscue usurpari, certissime apparet ex 3, 45., ubi (si meliores libros sequaris) scriptor *ἐπιβολήν* idem nominat, quod paulo ante eodem capite dixe-

ὡς ἕκαστα καὶ πρὸς τοῦτο· τὰς γὰρ πρώρας καὶ τῆς νεὼς ἄνω ἐπὶ πολὺ κατεβύρσωσαν, ὅπως ἂν ἀπολισθάνοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπιβαλλομένη. καὶ ἐπειδὴ πάντα ἑτοῖμα ἦν, παρεκελεύσαντο ἐκείνοις οἵ τε στρατηγοὶ καὶ Γύλιππος καὶ ἔλεξαν τοιάδε.

66 Ὅτι μὲν καλὰ τὰ προειργασμένα καὶ ὑπὲρ καλῶν τῶν μελλόντων ὁ ἀγὼν ἔσται, ὦ Συρακόσιοι καὶ ξύμμαχοι, οἵ τε πολλοὶ δοκεῖτε ἡμῖν εἰδέναι· οὐδὲ γὰρ ἂν οὕτως αὐτῶν προθύμως ἀντελάβεσθε· καὶ εἴ τις μὴ ἐπὶ ὅσον δεῖ ἤσθηται, σημανοῦμεν. Ἀθηναίους γὰρ ἐς τὴν χώραν τήνδε ἐλθόντας πρῶτον μὲν ἐπὶ τῆς Σικελίας καταδουλώσει, ἔπειτ' εἰ κατορθώσειαν, καὶ τῆς Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος, καὶ ἀρχὴν τὴν ἤδη μεγίστην τῶν τε πρὶν Ἑλλήνων καὶ τῶν νῦν κεκτημένους, πρῶτοι ἀνθρώπων ὑποστάντες τῷ ναυτικῷ, ᾧπερ πάντα κατέσχον, τὰς μὲν νενικήκατε ἤδη ναυμαχίας, τὴν δ' ἐκ τοῦ εἰκότος νῦν νικήσετε. ἄνδρες γὰρ ἐπειδὰν ᾧ ἀξιοῦσι προὔχειν κολουθῶσι, τό γ' ὑπόλοιπον αὐτῶν τῆς δόξης ἀσθενέστερον αὐτὸ ἑαυτοῦ ἐστιν ἢ εἰ μηδ' ᾠήθησαν τὸ πρῶτον, καὶ τῷ παρ' ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι καὶ παρὰ ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν· ὃ νῦν Ἀθηναίους εἰκὸς πεπονθέναι. ἡμῶν δὲ τό τε ὑπάρχον πρότερον, ᾧπερ καὶ ἀνεπι-67 στήμονες ἔτι ὄντες ἀπετολμήσαμεν, βεβαιότερον νῦν, καὶ τῆς δοκήσεως προσγεγενημένης αὐτῷ, τὸ κρατίστους εἶναι εἰ τοὺς κρατίστους ἐνικήσαμεν, διπλασία ἑκάστου ἡ ἐλπίς. τὰ δὲ πολλὰ πρὸς τὰς ἐπιχειρήσεις ἡ μεγίστη ἐλπὶς μεγίστην καὶ τὴν

rat *ἐπιβούλευμα*. Mox iunge *τῆς νεὼς ἐπὶ πολύ* i. e. *πολὺ μέρος τῆς νεώς*. Verba *ὅπως ἂν ἀπολισθάνοι* explicat Matth. p. 1002 sq. adn. 2.

66. *ἀσθενέστερον αὐτὸ ἑαυτοῦ — ἤ*] v. ibidem p. 848. §. 452. Mox *τῷ παρ' ἐλπίδα* (supple *ἀποβάντι*) est durch die Nichterfüllung der Hoffnung, ut 4, 63. *τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω*. Genitivus *τοῦ αὐχήματος* (der Hoffnung, Erwartung ihres Stolzes) pendere videtur ab *ἐλπίδα*; sin cum *σφαλλόμενοι* iungas, et concinnitas orationis deletur, ut Arn. adnotavit (nam respondent inter se *ἐλπίδα τοῦ αὐχήματος* et *ἰσχὺν τῆς δυνάμεως*), et *αὐχήματος* sic deberet significare *rei, qua gloriantur* vel *rei, quam superbi affectant*. Hoc modo accepit Heilm.: und wem einmal in einer Sache, worauf er sich am meisten eingebildet, seine Hoffnung fehlschlägt, der strengt sich nachher nicht einmal so viel an, als es ihm seine wirklichen Kräfte noch verstatteten, qui tamen prorsus praeter necessitatem *τῷ* in *τῳ* mutatum vult.

67. *τὰ δὲ πολλὰ — ἡ μεγίστη ἐλπίς*] Ex iudicio Popponis recte *καί*, quod deest in nonnullis libris, ante *τῆς δοκήσεως* omittitur. Nam verba *τῆς δοκήσεως — ἐνικήσαμεν* ait significare debere causam, cur prior Syracusanorum audacia posthac etiam validior facta sit, alioqui enim hanc causam prorsus non memoratam esse. Non puto equidem. Nonne eadem causa commemoratur his verbis: *καὶ διπλασία ἑκάστου ἡ ἐλπίς*, quibus vis verborum *βεβαιότερον τὸ ὑπάρχον πρότερον* nihil nisi alio modo repetitur? Pergit Poppo: quodsi *καί* recte absit, „*βεβαιότερον* per *βεβαιότερον ὄν* sive *ὑπάρχον* (quorum participiorum illud facile excidere potuerit, hoc autem ex praecedentibus suppleri pos-

προθυμίαν παρέχεται. τά τε τῆς ἀντιμιμήσεως αὐτῶν τῆς παρασκευῆς ἡμῶν τῷ μὲν ἡμετέρῳ τρόπῳ ξυνήθη τέ ἐστι καὶ

sit), interpretandum et τὸ ὑπάρχον πρότερον aut cum διπλασία ἐλπίς (ut ἐλπίς praedicatum sit subiecti τὸ ὑπάρχον et ἡ ante ἐλπίς omittatur) aut cum μεγίστην καὶ τὴν προθυμίαν παρέχεται (omissis verbis τὰ δὲ πολλὰ — μεγίστη ἐλπίς) iungendum est.“ Posterius negat sine magna audacia fieri posse, quamquam desint in plerisque libris verba τὰ δὲ πολλὰ — ἐλπίς. „Sed primum, addit, bis usurpatum nomen ἐλπίς facile efficere potuit, ut librarii verba in medio posita omitterent; deinde etiamsi quis hoc ob tot librorum diversarum classium consensum non verisimile iudicat, tamen etiam deletis his verbis τὸ ὑπάρχον cum παρέχεται cohaerere non potuerit, nisi ante διπλασία vel ὕθεν vel similis vox additur, quod non permittit crisis circumspecta.“ Equidem verba illa, quamquam a Cass. Aug. Pal. It. G. Marc. Cl. Ven. Laur. E. Mosqu. K. m. Ar. Chr. neglecta (sed Aug. et Lugd. ea supplent in marg.), teneo mordicitus manibusque ambabus: nihil enim continent, nisi et sententia et verbis hoc scriptore dignissima. Causae omissionis multae cogitari possunt, nulla pro certa affirmari. „Nos, addit, τὸ ὑπάρχον subiectum praedicati διπλασία ἐλπίς esse iudicamus, et, ut hoc fieri possit, articulum ἡ post ἑκάστου, si verba τὰ δὲ πολλὰ — ἐλπίς spuria putantur, tanquam pronomen relativum ἥ post ἐλπίς transponimus (διπλασία ἑκάστου ἐλπὶς, ἥ μεγίστην καὶ τὴν προθυμίαν παρέχεται); sin minus, delemus.“ Optio igitur datur, sed utrum praestet vel necessarium sit, non docetur, et pro sententia plana ac pulchre conformata, quae in libris multis est, offertur nec tam integra a sententiis, nec tota in ullo libro reperta. Illum enim articulum ἡ omnes agnoscunt, pronomen ἥ nullus. Nihil certi colligas ex vaga Vallae interpretatione huius loci: *Et vobis* (ὑμῶν legit cum plerisque libris), *qui quum adhuc imperiti essetis, tamen obsistere ausi estis, nunc validioribus effectis, accedente persuasione vestrae strenuitatis eximiae, quod strenuissimos superastis, duplex alesse singulis spes debet.* Verbis τὸ κρατίστους εἶναι similia sunt haec: 3, 82. ἀσφάλεια τὸ ἐπιβουλεύσασθαι ἀποτροπῆς πρόφασις εὔλογος. 7, 36. τῇ πρότερον ἁμαρτίᾳ δοκούσῃ εἶναι τὸ ἀντίπρωρον ξυγκρούσαι. 8, 87. ὡς καταβοῆς ἕνεκα τῆς ἐς Λακεδαίμονα τὸ λέγεσθαι, ὡς οὐκ ἀδικεῖ etc. Infinitivus cum articulo τό his locis omnibus reddi potest per *quod attinet ad id, quod* etc. sive *in sofern*, velut *in sofern* wir die besten seyen — man sagen könnte — man hin und her überlegen wollte — man mit dem Vorderschiffe zusammenstiess etc. Conf. Matth. p. 568. §. 280.

τά τε τῆς ἀντιμιμήσεως] Schol. μιμούμενοι ἡμᾶς, φησὶν, οἱ Ἀθηναῖοι πολλοὺς ὁπλίτας ἐπεβίβασαν ἐπὶ τὰ καταστρώματα, ὅπερ ἡμῖν μὲν σύνηθές ἐστι καὶ διὰ τοῦτο οὐκ ἀνάρμοστον, ἐκείνοις δὲ ἐναντίον διὰ τὰ ἐπιφερόμενα. Mox vulgo legebatur πρὸς τὴν ἑκάστην (sc. ἀντιμίμησιν), at recte interpretes animadverterunt, τὴν ἑκάστην non magis ferri posse, quam τὴν ταύτην subaudito aliquo substantivo, quia τήν ad substantivum pertineat, et dici quidem possit ἕκαστος ὁ ὁπλίτης et ὁ ὁπλίτης ἕκαστος, sed non item ὁ ἕκαστος ὁπλίτης. Vid. Matth. p. 548. 5. Delevi igitur articulum, qui deest in libris nonnullis, et praeterea cum Bekkero ed. stereot. ex Vat. recepi neutrum ἕκαστον. Paulo inferius καθεζομένους non tam sessionem significare videtur, quam statum immobilem militum in tabulatis idoneo spatio carentium. De verbis ἐν σφίσιν αὐτοῖς v. Matth. p. 1139. et de ἐν τῷ αὐτῶν τρόπῳ ibidem p. 1140. Dein solennius erat dicere ῥᾷσται βλάπτεσθαι, v. ibidem p. 1050. med. Et ἀφ' ὧν etc. est pro ἀπ' ἐκείνων, ἃ ἡμῖν παρεσκεύασται, vid. ibidem p. 884. adn. 1.

οὐκ ἀνάρμοστοι πρὸς ἕκαστον αὐτῶν ἐσόμεθα· οἱ δ', ἐπειδὰν πολλοὶ μὲν ὁπλῖται ἐπὶ τῶν καταστρωμάτων παρὰ τὸ καθεστηκὸς ὦσι, πολλοὶ δὲ καὶ ἀκοντισταὶ χερσαῖοι ὡς εἰπεῖν Ἀκαρνᾶνές τε καὶ ἄλλοι ἐπὶ ναῦς ἀναβάντες, οἳ οὐδ' ὅπως καθεζομένους χρὴ τὸ βέλος ἀφεῖναι εὑρήσουσι, πῶς οὐ σφαλοῦσί τε τὰς ναῦς καὶ ἐν σφίσιν αὐτοῖς πάντες, οὐκ ἐν τῷ αὐτῶν τρόπῳ κινούμενοι, ταράξονται; ἐπεὶ καὶ τῷ πλήθει τῶν νεῶν οὐκ ὠφελήσονται, εἴ τις καὶ τόδε ὑμῶν, ὅτι οὐκ ἴσαις ναυμαχήσει πεφόβηται· ἐν ὀλίγῳ γὰρ πολλαὶ ἀργότεραι μὲν ἐς τὸ ὁρᾶν τι ὧν βούλονται ἔσονται, ῥᾷσται δὲ ἐς τὸ βλάπτεσθαι ἀφ' ὧν ἡμῖν παρεσκεύασται. τὸ δ' ἀληθέστατον γνῶτε, ἐξ ὧν ἡμεῖς οἰόμεθα σαφῶς πεπύσθαι· ὑπερβαλλόντων γὰρ αὐτοῖς τῶν κακῶν καὶ βιαζόμενοι ὑπὸ τῆς παρούσης ἀπορίας ἐς ἀπόνοιαν καθεστήκασιν οὐ παρασκευῆς πίστει μᾶλλον ἢ τύχης ἀποκινδυνεύσει οὕτως ὅπως δύνανται, ἵν' ἢ βιασάμενοι ἐκπλεύσωσιν ἢ κατὰ γῆν μετὰ τοῦτο τὴν ἀποχώρησιν ποιῶνται, ὡς τῶν γε παρόντων οὐκ ἂν πράξοντες χεῖρον. πρὸς οὖν ἀτα- 68
ξίαν τε τοιαύτην καὶ τύχην ἀνδρῶν ἑαυτὴν παραδεδωκυῖαν πολεμιωτάτων, ὀργῇ προσμίξωμεν, καὶ νομίσωμεν ἅμα μὲν νο-

οὐ παρασκευῆς — ἢ τύχης ἀποκινδυνεύσει] Schol. οὐ τῇ παρασκευῇ δηλονότι πιστεύοντες, ἀλλὰ διακινδυνεῦσαι σπεύδοντες, ἐπὶ τῇ τύχῃ τὸ μέλλον ποιοῦνται. „Suspicor, Scholiasten legisse ἀποκινδυνεῦσαι. Hoc multo clariorem reddit sententiam, et oratio aperte in hunc modum procedit: ἐς ἀπόνοιαν καθεστήκασιν ἀποκινδυνεῦσαι οὕτως, ὅπως δύνανται, οὐ μᾶλλον πίστει παρασκευῆς ἢ τύχης i. e. *eo dementiae venerunt*, ut non male Acacius, *ut non tam apparatu suo, quam incerta fortunae alea confisi periculum, quocunque modo possint, facere velint.* Duk. Si reputes, in ἐς ἀπόνοιαν καθεστήκασιν non alium sensum esse, nisi *decertare volunt pugna decretoria*, ‚vulgatam fortasse se recte habere existimabis.

68. ὀργῇ προσμίξωμεν] Liv. 21, 41. *Itaque vos ego, milites, non eo solum animo, quo adversus alios hostes soletis, pugnare velim, sed cum indignatione quadam atque ira.* Mox verbis καὶ νομίσωμεν etc. duo dicit, et *legitimum* esse adversarios ulcisci, et *suavissimum* vindictam sumere saevissimam ab acerrimis hostibus. Structuram ita puto expediendam esse: καὶ νομίσωμεν, ἅμα μὲν νομιμώτατον εἶναι πρὸς τοὺς ἐναντίους, τὸ δικαιῶσαι, ὡς ἐπὶ τιμωρίᾳ τοῦ προσπεσόντος, ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον, ἅμα δὲ καὶ ἐχθροὺς ἀμύνασθαι ἐγγενησόμενον (i. e. ἐγγενήσεσθαι v. Matth. p. 1302. §. 632.) ἡμῖν, τὸ λεγόμενόν που ἡδιστον εἶναι. Nam καί cum I. et Valla melius omittitur. Priorem partem sententiae in hunc quoque modum licebat efferre: καὶ νομίσωμεν, ἅμα μὲν νομιμώτατα πρᾶξαι, οἳ ἂν — δικαιώσωσιν ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον. Utraque structura in unum conflata scripsit νομιμώτατον εἶναι, οἳ ἂν δικαιώσωσιν etc., de qua commixtione locutionum v. adn. ad 2, 44. et Matth. p. 1303. „Verba ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον bis cogitanda sunt; nam et νομιμώτατον εἶναι et δικαιώσωσιν postulat, ea secum iungi.“ Id. p. 1306. init. Heilm.: lasset uns bedenken, dass man theils an einem Feind, gegen den man sich als einen Angreifer zu wehren hat, höchst rechtmässiger Weise allen seinen Muth zu kühlen suchen könne, und dass wir andern Theils wirklich die schönste Gelegenheit vor uns haben,

μιμωτατον εἶναι πρὸς τοὺς ἐναντίους, οἳ ἄν, ὡς ἐπὶ τιμωρίᾳ τοῦ προσπεσόντος, δικαιώσωσιν ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον, ἅμα δὲ ἐχθροὺς ἀμύνασθαι ἐγγενησόμενον ἡμῖν, [καὶ] τὸ λεγόμενόν που ἥδιστον εἶναι. ὡς δὲ ἐχθροὶ καὶ ἐχθιστοι πάντες ἴστε, οἵ γε ἐπὶ τὴν ἡμετέραν ἦλθον δουλωσόμενοι, ἐν ᾧ, εἰ κατώρθωσαν, ἀνδράσι μὲν ἂν τἄλγιστα προσέθεσαν, παισὶ δὲ καὶ γυναιξὶ τὰ ἀπρεπέστατα, πόλει δὲ τῇ πάσῃ τὴν αἰσχίστην ἐπίκλησιν. ἀνθ' ὧν μὴ μαλακισθῆναί τινα πρέπει μηδὲ τὸ ἀκινδύνως ἀπελθεῖν αὐτοὺς κέρδος νομίσαι. τοῦτο μὲν γὰρ καὶ ἐὰν κρατήσωσιν, ὁμοίως δράσουσι· τὸ δὲ πραξάντων ἐκ τοῦ εἰκότος ἃ βουλόμεθα τούσδε τε κολασθῆναι καὶ τῇ πάσῃ Σικελίᾳ καρπουμένῃ καὶ πρὶν ἐλευθερίαν βεβαιοτέραν παραδοῦναι, καλὸς ὁ ἀγών. καὶ κινδύνων οὗτοι σπανιώτατοι οἳ ἂν ἐλάχιστα ἐκ τοῦ σφαλῆναι βλάπτοντες πλεῖστα διὰ τὸ εὐτυχῆσαι ὠφελῶσιν.

69 Καὶ οἱ μὲν τῶν Συρακοσίων στρατηγοὶ καὶ Γύλιππος τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις στρατιώταις παρακελευσάμενοι ἀντεπλήρουν τὰς ναῦς εὐθὺς ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο. ὁ δὲ Νικίας ὑπὸ τῶν παρόντων ἐκπεπληγμένος καὶ ὁρῶν οἷος ὁ κίνδυνος καὶ ὡς ἐγγὺς ἤδη ἦν, ἐπειδὴ καὶ ὅσον οὐκ ἔμελλον ἀνάγεσθαι, καὶ νομίσας, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσι, πάντα τε ἔρχῳ ἔτι σφίσιν ἐνδεᾶ εἶναι καὶ λόγῳ αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων καὶ αὐτοὺς

uns an einem verhassten Feind zu rächen, welches, einem gemeinen Sprichwort zufolge, die angenehmste Sache von der Welt ist. Ad *ὡς δὲ ἐχθροὶ καὶ ἔχθιστοι* v. Matth. p. 1258. d. Ad *τὸ δὲ πραξάντων* supple *ἡμῶν*. Solennior scribendi ratio haec erat: *τὸ δὲ πράξαντας ἡμᾶς ἐκ τοῦ εἰκότος ἃ βουλόμεθα, τούσδε τε κολάσαι καὶ τῇ πάσῃ Σικελίᾳ — ἐλευθερίαν βεβαιοτέραν παραδοῦναι* etc. Ubi *ἐλευθερίαν* cogitatione bis ponendum esse, monuit Matth. p. 1306. init.

69. Pugnae navalis descriptionem, quae hic incipit, imitatus est Dio Cass. 49, 7. et paene ad verbum expressit cap. 9.

ἐπειδὴ καὶ τοὺς Ἀθ. ᾐσθάνοντο] supple *πληροῦντας τὰς ναῦς*. Post *καὶ νομίσας* sequi debebat *πάντα — ἔτι οἱ ἐνδεᾶ εἶναι καὶ λόγῳ αὐτῷ οὔπω ἱκανὰ εἰρῆσθαι*, sed plurales posuit respectu interpositae sententiae: *ὅπερ πάσχουσιν* etc. Vide porro, quae de h. l. monuit Matth. p. 1278.

πατρόθεν — ἐπονομάζων] Vide quae de hoc genere loquendi scripserunt interpretes Aeliani, Kuhn. et Perizon. ad V. H. 6, 2. Duk. Praeiit Hom. Il. 10, 68. *πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον*, ubi Heyn. „id enim, ait, benevolentiam declarare putabatur. Causae tamen plures esse potuere, ut discerneretur alter ab altero, etiam honoris causa, quum pater esset clarus.“ Adde ut ei, quem appellaret, is qui appellabat, blandiretur, quum se duci aliqua re honesta ille innotuisse putaret. Vid. Wachsm. Antt. Gr. 1, 1. p. 320. nr. 10. „*Πατρόθεν ἐπονομάζειν* idem est, quod aliquem cognomine appellare, ut distinguatur ille per familiam et ipsa appellandi ratione moneatur honorum, qui ei sustinendi essent. Nam patris nomen filii cognomen erat ut in nominibus Normannorum Fitzgerald, Fitzwilliam i. e. filius

ὀνομαστὶ καὶ φυλήν, ἀξιῶν τό τε καθ' ἑαυτόν, ᾧ ὑπῆρχε λαμπρότητός τι, μὴ προδιδόναι τινά, καὶ τὰς πατρικὰς ἀρετάς, ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι, μὴ ἀφανίζειν, πατρίδος τε τῆς ἐλευθερωτάτης ὑπομιμνήσκων καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας, ἄλλα τε λέγων ὅσα ἐν τῷ

Geraldi, Guilielmi etc., et cognomen tanto aptius erat distinguendae familiae, quod filius natu maximus plerumque nomen avi accipiebat, quo factum est, ut duo nomina quasi hereditate proderentur in descendentium marium progenie cuiusque familiae, quae duo nomina in decursu aetatum alterius nomina et cognomina erant. Talia erant nomina Calliae et Hipponici — Cimonis et Miltiadis — Niciae et Nicerati — Alcibiadis et Cliniae, quae reperiuntur in horum quorumque familiis per alternas aetates.“ Arn. Verborum *ὧν ἐπιφανεῖς* etc. haec structura est: *ἐκείνους, ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι*, sicut paulo ante *ἐκεῖνον, ᾧ ὑπῆρχε* etc. Propter verba *ἀνεπιτάκτου ἐξουσίας* dignus est, qui conferatur Pericles in or. funebri 2, 37.

ἄλλα τε λέγων ὅσα] Schol. hyperbaton in hac sententia inesse dicit. *συντακτέον δέ*, ait, *τῷ παραπλήσια, ἵνα ᾖ τὸ ἑξῆς· ἄλλα τε λέγων — οἷα ἄνθρωποι εἴποιεν ἄν, καὶ παραπλήσια*. Sane hunc ordinem verborum desideres: *ἄλλα τε λέγων, ὅσα ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι εἴποιεν ἄν, καὶ ὑπὲρ ἁπάντων παραπλήσια ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, οὐ πρὸς τὸ δοκεῖν τινι ἀρχαιολογεῖν φυλαξάμενοι, ἀλλ' ἐπὶ τῇ παρούσῃ — ἐπιβοῶνται*, vel potius *ἐπιβοώμενοι*. Ut nunc sunt verba, mihi *καί*, quod est ante *ὑπέρ*, alio sensu dictum videtur, ut vel *καίπερ* pro *καί* corrigendum, vel *καί* certe eodem sensu accipiendum putem. Erit autem tum interpretatio talis: alia praeterea commemorabat, quaecunque homines in huiusmodi temporis articulo constituti dicere solent, non caventes, ne res omnibus pridem decantatas et obsoletas repetere videantur, quamquam illa omni occasione de uxoribus et liberis et diis patriis proferri solita repetunt, sed quae in praesenti pavore utilia dictu putantes alta voce pronunciant. *Καί* sensu *quamvis* participiis saepe iungitur, ut docet Vig. p. 525. ibique Herm. p. 837, 322. Matth. §. 566. Hic cum *προφερόμενα* iungitur, ut *παραπλήσια* sit loco adverbii *παραπλησίως* accipiendum. At syllaba *περ* facile excidere potuit propter statim sequens vocabulum *ὑπέρ*. „Querelam autem de insuavi sono syllabarum *περ* vel solus accentus tollit.“ Buttm. ad Demosth. or. Mid. p. 26. adn. 4. Et *ὑπὲρ ἁπάντων παραπλήσια* sunt *loci communes* (Gemeinplätze). Arn.: things that are brought forward in nearly the same strain to serve on all occasions, ubi „*ὑπέρ*, ait, non significat simpliciter *circa*, sed *circa* et *pro* i. e. quae inserviant alicui rei defendendae, patrocinentur.“ Denique *ἀλλά* referri apparet ad negationem *οὐ* in *οὐ φυλαξάμενοι*. De sententia conf. Liv. 33, 3. *multa iam saepe memorata de maiorum virtutibus, simul de militari laude Macedonum quum disseruisset, ad ea quae tum maxime animos terrebant, quibusque erigi ad aliquam spem poterant, venit.* Ipsum praesentem locum expressit Heliod. Aethiop. 1. p. 53, 21. Bourd., Thyamidem piratam ita loquentem faciens: *συστρατιῶται, προτρέπειν μὲν ὑμᾶς οὐκ οἶδ' ὅ, τι δεῖ διὰ πλειόνων, αὐτούς τε ὑπομνήσεως οὐδὲν δεομένους, ἀλλὰ βίον ἀεὶ τὸν πόλεμον ἡγουμένους, καὶ ἄλλως τῆς ἀπροσδοκήτου τῶν ἐναντίων ἐφόδου τὸ παρέλκον τῶν λόγων ἀποτεμνομένης· ὧν γὰρ ἐν ἔργοις οἱ πολέμιοι, τούτοις μὴ διὰ τῶν ὁμοίων σὺν τάχει τὴν ἄμυναν ἐπάγειν, παντάπασίν ἐστι τοῦ προσήκοντος ὑστερούντων· εἰδότες οὖν ὡς οὐχ ὑπὲρ γυναικῶν ἐστι καὶ παίδων ὁ λόγος (ὃ δὴ πολλοῖς*

τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι οὐ πρὸς τὸ δοκεῖν τινι ἀρχαιολογεῖν φυλαξάμενοι εἴποιεν ἄν, καὶ ὑπὲρ ἁπάντων παραπλήσια ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, ἀλλ' ἐπὶ τῇ παρούσῃ ἐκπλήξει ὠφέλιμα νομίζοντες ἐπιβοῶνται. καὶ ὁ μὲν οὐχ ἱκανὰ μᾶλλον ἢ ἀναγκαῖα νομίσας παρηνῆσθαι, ἀποχωρήσας ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν καὶ παρέταξεν ὡς ἐπὶ πλεῖστον ἐδύνατο, ὅπως ὅτι μεγίστη τοῖς ἐν ταῖς ναυσὶν ὠφέλεια ἐς τὸ θαρσεῖν γίγνοιτο. ὁ δὲ Δημοσθένης καὶ Μένανδρος καὶ Εὐθύδημος, οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων στρατηγοὶ ἐπέβησαν, ἅραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου εὐθὺς ἔπλεον πρὸς τὸ ζεῦγμα τοῦ λιμένος [καὶ τὸν παραλειφθέντα διέκπλουν,] βουλόμενοι βιάσασθαι ἐς
70 τὸ ἔξω. προεξαναγόμενοι δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι

εἰς τὸ παροξῦναι καὶ μόνον πρὸς μάχην ἤρκεσε· ταυτὶ γὰρ ἡμῖν ἐλάττονος λόγου) etc. Paulo inferius ζεῦγμα intellige opus Syracusanorum, quo fauces magni portus clauserunt τριήρεσι πλαγίαις (v. adn. ad 4, 8.) καὶ πλοίοις καὶ ἀκάτοις cap. 59., ut Duk. adnotavit, addens instar pontis navalis fuisse, quem Graeci ζεῦγμα appellant. Vide quem idem citat, Lips. 2. Poliorcet. ult., Phot. Etym. M. p. 409, 51. Phavor. v. ζεῦγμα, οὐ τὸ σχοινίον, ἀλλ' ἡ ἐζευγμένη σχεδία ἐν ποταμῷ ἢ θαλάττῃ, et utitur praesenti loco. Verba καὶ τὸν παραλειφθέντα διέκπλουν non debent aliud significare velle, quam relictum in faucibus exitum, sic vero περιλειφθέντα cum Bekkero scribendum esset, nam παραλείπειν est *praetermittere*. Et partem faucium non clausam esse per se improbabile est, nec supra c. 59. memoratum, et apparet ex cap. proximo, nullum exitum tum relictum, sed totum ostium catenis clausum fuisse. Dixerit aliquis καταληφθέντα verum esse, quia Valla convertit: *fauces portus praeoccupatas praeclusasque.* Verum obstat vocabulum διέκπλουν, quod semper ab hoc scriptore de quadam ratione navibus pugnandi, nunquam de enavigatione dicitur. Quare cum Poppone consentio, haec verba interpretibus deberi.

70. προεξαναγόμενοι] Sic recte e Dionysio p. 875. editum est, libri Thucydidis habent προεξαγαγόμενοι, „quod dicitur de peditatu 7, 6. 37. 8, 28., non item προεξάγεσθαι de navibus." KRUEG. ad Dionys. p. 138. Sensus hic debet esse *prius* (quam Athenienses) *a litore provecti*. Paulo post alii libri habent παραβοηθοῖ, alii παραβοηθεῖ, apud Dionysium est παρεβοήθει, plurimi habent παραβοηθῇ, quod est in omnibus edd., „nec morandi sunt libri ii, qui optativum exhibent, quem aliquis ob praegressum προεπίπτοιεν substituit. Conf. 3, 22. ὅπως ᾖ — μὴ βοηθοῖεν. 6, 96. ὅπως εἶησαν — παραγίγνωνται." KRUEG. l. c. v. adn. ad 3, 22. Arnoldo absurdum videtur, Syracusanos naves suas circa litus magni portus collocasse, eo consilio, ut se copiae terrestres adiuvarent, quum nihil antea de his dictum sit, imo modo dictum sit, consilium eorum hoc fuisse, ut undique uno tempore Athenienses adgrederentur. Mihi nihil absurdi in hac re apparet, neque igitur παρεβοήθει, scripturam unius Dionysii, auctoritati librorum Thucydidis praefero. Mox ἐπειδὴ δ' οἱ ἄλλοι Ἀθηναῖοι fere omnes libri exhibent, quum c. 69. extr. universa classis Atheniensium adversus claustra portus profecta tradatur, quare Haack. non iniuria vocem ἄλλοι damnat, cui tamen Krueg. Graecismum ignotum fuisse dicit, cuius exempla habeat Thuc. 4, 118. 7, 61. Intelligit illum Graecismum, ex quo οἱ ἄλλοι Ἀθηναῖοι accipiendum foret pro οἱ ἄλλοι, Ἀθηναῖοι

ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν καὶ πρότερον, κατά τε τὸν ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα, ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις, καὶ ὁ πεζὸς αὐτοῖς ἅμα παραβοηθῇ ᾗπερ καὶ αἱ νῆες κατίσχοιεν. ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακοσίοις Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. ἐπειδὴ δ' οἱ Ἀθηναῖοι προσέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ ἐπειρῶντο λύειν τὰς κλῄσεις· μετὰ δὲ τοῦτο πανταχόθεν σφίσι τῶν Συρακοσίων καὶ ξυμμάχων ἐπιφερομένων οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἡ ναυμαχία ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο, καὶ ἦν καρτερὰ καὶ οἵα οὐχ ἑτέρα τῶν προτέρων. πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν ὁπότε κελευσθείη ἐγίγνετο, πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους· οἵ τε ἐπιβάται ἐθεράπευον, ὅτε προσπέσοι ναῦς νηί, μὴ λείπεσθαι

ὄντες. Quod vel ideo hic non locum habet, quia ἕτεροι dicendum sic fuisset, quoniam de duobus exercitibus, Sysacusanorum et Atheniensium, loquitur. Praestat ἄλλοι quocunque tandem modo natum delere, quam sententiam tam insulsam tolerare: *appropinquarunt faucibus magni portus alii quoque adversarii, qui erant Athenienses*, quasi non constet, hos Syracusanorum adversarios fuisse. De verbo προσέμισγον v. Matth. p. 933. 1. Mox naturalis ordo verborum hic esset τῶν νεῶν (τῶν) πρὸς αὐτῷ τεταγμένων, v. Krueg. l. c. Popp. 1, 1. p. 299 sq. Dein in verbis σφίσι τῶν Συρακοσίων — ἐπιφερομένων pronomine σφίσι pro αὐτοῖς usus est, nulla tamen obscuritate et structura magis ad sensum facta, quam severius ad grammaticam rationem exacta. Posuit enim σφίσι, quasi orationem sic continuare voluisset: οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐναυμάχησαν. Paulo post vulgo πρότερον legitur, at προτέρων melior pars librorum tuetur, et locus 6, 75. κατὰ τὴν προτέραν φιλίαν, quo exemplo Poppo ait sententiam Hermanni ad 6, 9. memoratam refutari. In verbis πολλὴ δὲ ἡ ἀντιτέχνησις etc. articulus ideo positus est, quia haec sententia est contracta ex his: πολλὴ δὲ ἡ ἀντιτέχνησις ἦν τῶν κυβερνητῶν, ἣ πρὸς ἀλλήλους ἐγίγνετο. Fallitur Krueg. de Authent. Anab. p. 43. De formula αὐτὸς ἕκαστος v. Matth. p. 868 sq., de βραχὺ γὰρ ἀπέλιπον ibidem p. 595. init. Ad verba τὰς ἀνακρούσεις καὶ διέκπλους Reisk. ad Dionys. p. 876. dixerat, aut utrobique articulos omittendos esse, aut utrobique addendos. Falli eum docet Krueg. ex 1, 143. 7, 71. init. et aliquot locis Platonis. „Et ἔμβολή hic est impetus navis rostro factus ex praeceptis artis bellicae navalis, προσβολὴ latiorem sensum habens significat navem cum nave collidentem sive casu sive consilio, sive rostro, sive latere adversus latus." ARN. In verbis διὰ τὸ φεύγειν ἢ ἄλλη ἐπιπλέουσα mutatur structura, nam post infinitivum oratio ita continuari debebat: διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπιπλεῖν. v. Matth. p. 1300., quem v. etiam p. 1194. init. de verbis οἱ ἀπὸ τῶν κατασιρωμάτων et p. 734. a. de verbis ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν et p. 922. de perfecto ἐμβεβλῆσθαι. Paulo inferius nominativus participii ἐπιβοῶντες ex structura ad sensum facta positus est, quasi antea dixisset πολλὰ ἑκατέρων οἱ κελευσταὶ παρεκελεύοντο. Conf. Matth. p. 1095. adn. 3.

τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης· πᾶς τέ τις ἐν ᾧ προσετέτακτο αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι. ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν, πλεῖσται γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι· αἱ μὲν ἐμβολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους ὀλίγαι ἐγίγνοντο, αἱ δὲ προσβολαί, ὡς τύχοι ναῦς νηὶ προσπεσοῦσα ἢ διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότερα ἦσαν. καὶ ὅσον μὲν χρόνον προσφέροιτο ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμίξειαν, οἱ ἐπιβάται ἐς χεῖρας ἰόντες ἐπειρῶντο ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν. ξυνετύγχανέ τε πολλαχοῦ διὰ τὴν στενοχωρίαν τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ μίαν καὶ ἔστιν ᾗ καὶ πλείους ναῦς κατ' ἀνάγκην ξυνηρτῆσθαι, καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακὴν τῶν δ' ἐπιβουλήν, μὴ καθ' ἓν ἕκαστον κατὰ πολλὰ δὲ πανταχόθεν, περιεστάναι, καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν [τῶν] νεῶν ξυμπιπτουσῶν ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ φθέγγοιντο παρέχειν. πολλὴ γὰρ δὴ ἡ παρακέλευσις καὶ βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσταῖς κατά τε τὴν τέχνην καὶ πρὸς τὴν αὐτίκα φιλονεικίαν ἐγίγνετο, τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες, καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας νῦν, εἴ ποτε καὶ αὖθις, προθύμως ἀντιλαβέσθαι, τοῖς δὲ Συρακοσίοις καὶ ξυμμάχοις καλὸν εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν καὶ τὴν οἰκείαν ἑκάστους πατρίδα νικήσαντας ἐπαυξῆσαι. καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῶεν μὴ κατ' ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες ὀνομαστὶ τὸν τριήραρχον ἠρώτων, οἱ μὲν Ἀθηναῖοι εἰ τὴν πολεμιωτάτην γῆν οἰκειοτέραν ἤδη τῆς οὐ δι' ὀλίγου πόνου κεκτημένης Θαλάσσης ἡγούμενοι ὑποχωροῦσιν, οἱ δὲ Συρακόσιοι εἰ οὓς σαφῶς ἴσασι προθυμουμένους Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας φεύγουσιν.

71 ὅ τε ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων ἰσορρόπου τῆς ναυμαχίας

οὐ δι' ὀλίγου πόνου] πόνου accessit ex Vat., ex scholiis et Dionysii cod. Dudith. Conf. 2, 36. 62. Bekk. Schol. in explicatione μετὰ πόνου habet. Obloquitur Popp.: „at formulam δι' ὀλίγου modo loci (2, 89. 3, 21. al.) modo (ut hic et 2, 85. 4, 95. 1, 77.) temporis spatium designantem Thuc. amat, et quamquam Athenienses alibi se non sine labore et periculis imperium sibi peperisse dicunt, hic ubi positum ἤδη de tempore agi docet, melius id iam per satis longum tempus se tenere gloriabuntur.“ Temporis notio non tollitur, si legitur δι' ὀλίγου πόνου, ac licet saepe illo sensu δι' ὀλίγου Thuc. dixerit, tamen hoc loco πόνου recte additum esse, auctoritas multiplex a Bekkero allata suadet, ad quam accedit Valla: *mare non exiguo labore obtentum.* De passivo sensu participii κεκτημένης v. Matth. p. 931. vers. fin., quem vide etiam p. 1118. (s. v. Ursache) de verbis ἡγούμενοι ὑποχωροῦσιν et conf. imitationem Diodori 13, 17.

71. ὅ τε ἐκ τῆς γῆς πεζός] v. Matth. p. 1194.

καθεστηκυίας πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι. πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ὅ τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικώς, καὶ διὰ τὸ

ξύστασιν τῆς γνώμης] ξύντασιν legisse videtur Schol., cuius haec verba sunt: ἀντὶ τοῦ ἰσχυρῶς ἠγωνίων καὶ τὰς διανοίας συνετέταντο. Inest in verbis ξύντασις — ἔκτασις notio cruciatus, ut docent interpretes ad Soph. Oed. T. 153. et de hominibus pavida exspectatione suspensis usitata sunt. v. Schaef. ad Dionys. de C. V. p. 190. Verum vulgatam tuentur satis Dionys. Hal., omnes libri Thucydidis et adnotata a Kruegero ad Dionys. p. 142.: „praestat vulgatum; melius cum ἀγῶνα congruit ξύστασιν, quod et ipsum a pugna translatum est. Apposite Schneid. in Lex. s. v. ex Plutarcho affert ὅταν μάλιστα σύστασιν ὁ ἀγὼν ἔχῃ.“ Stallb. quoque ad Plat. Phileb. p. 101. §. 142. ξύστασιν tuetur. Et σύστασιν τῆς γνώμης apud Themistium or. 13. p. 178. B. se reperisse Abr. refert. Quod vero gravissimum est, Dio Cass. 49, 9., ubi plurima ex h. l. ad verbum desumsit, συστάσει τῆς γνώμης apud Themistium or. 13. p. 178. B. se reperisse Abr. refert. Quod vero gravissimum est, Dio Cass. 49, 9., ubi plurima ex h. l. ad verbum desumsit, συστάσει τῆς γνώμης et ipse exhibet. Alia vocis exempla Bloomf. attulit. Reddas Seelenkampf, nisi hac voce restrictiori sensu uteremur. Doederl. Lat. Synon. Vol. 4. p. 417. interpretatur Herzensangst coll. Herodot. 7, 170. Eurip. Hippol. 983., sed aliunde derivat, non a pugna. Plut. de Gloria Ath. p. 618. Steph. (p. 347. B. Wech. p. 367. Reisk.) corrupte ξύνταξιν habet, de qua confusione verborum dixerunt Bentl. ad Callim. Fragmm. n. 233. et Dorv. ad Charit. p. 594. Plutarchi locus, in quantum huc pertinet, ita legendus videtur: καὶ πάλιν ὁ ἐν τοῖς Σικελικοῖς ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας, ἅλαστον ἀγῶνα καὶ σύστασιν τῆς γνώμης ἔχων διὰ τὸ ἀκρίτως συνεχὲς τῆς ἁμίλλης, καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς συναπονεύων μεσταὶ τῇ διαθέσει καὶ τῇ διαυπώσει τῶν γινομένων γραφικῆς ἐναργείας ἐστί. Ad verba ἀνακειμένων ἐς τὰς ναῦς vid. Matth. §. 578. a.

καὶ διὰ τὸ [ἀγχώμαλον] ἀνώμαλον] Iacobs in Attica p. 202. ed. tert. et Bened. ἀνώμαλον cogitatione bis ponunt, referuntque ad inaequalitatem certaminis et inaequalem de litore adspectum. Valla interpretatur: *et propter inaequalitatem loci etiam inaequaliter proelium ex terra spectare cogebantur.* Sed inaequalitatem adspectus ipse scriptor in sequentibus declarat, unde nata sit, scilicet quod non omnia omnes in pugna eadem fieri videbant, sed eius rei non causa erat inaequalitas loci sive soli, ubi adstabant: imo quia varie collocati per latum maris aequor prospiciebant, alios alia spectasse consentaneum est. Nec vero διὰ τό cum Reizio de Incl. Accent. p. 9. Wolf. et Hermanno ad Vig. p. 700, 9. explicandum est per διὰ τοῦτο, quam viam etiam Aem. Port. ingressus erat. Aspera enim fit et abrupta oratio, si ita cum illis distinguas: καὶ διὰ τό· ἀνώμαλον καί etc., nec eo, quod adspectus pugnae inaequalis erat, timor auctus est. Adde quod Thucydides vix τό pro τοῦτο eo loco positurus fuisset, ubi propter viciniam adiectivi ἀνώμαλον nemo legentium aliter accipere posset, nisi vi communi, ut esset iungendum τὸ ἀνώμαλον, non διὰ τό. Atque omnibus fere locis, ubi τό illa pronominis τοῦτο vice fungitur, correlativae particulae μέν — δέ simul extant, vel alius articuli et pronominis permutatorum usus obtinet non Thucydidi ille proprius, sed probato cuique

ἀγχώμαλον] ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν. δι' ὀλίγου γὰρ οὔσης τῆς Θέας καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πη τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἂν καὶ πρὸς

scriptori solennis, qui fere ad certas quasdam formulas restringitur, ut exempla docent ab Hermanno l. c. allata. In eandem sententiam disputat Krueg. ad Dionys. p. 143. Nec vero Scholiastae assentior ita interpretanti: *καὶ διὰ τὸ, ἐν ναυσὶ μόναις δηλονότι πάσας τὰς ἐλπίδας ἔχειν, ἀνωμάλως ἐκ τῆς γῆς ἐθεῶντο τὴν ναυμαχίαν*, nam ea causa inaequalis adspectus non esse poterat. Si enim lentis animis spectassent, ac si non tota salus eorum in navibus posita fuisset, num minus inaequalem adspectum pugnae habituri fuissent? Propter eandem causam ne Bekkeri quidem ceteroqui facilis correctio probari potest, legentis *καὶ δι' αὐτὸ ἀνώμαλον* etc., quamquam ea firmatur a Ven. et corr. Cl. Taceo de Kaltwasseri interpretatione in Praef. Iacobsii ad Attica, de coniectura Kruegeri legentis *ἄνω μᾶλλον* pro *ἀνώμαλον*, Dobrei legentis *διότι* pro *διὰ τό*, et aliorum vel *ἠναγκάζοντο* delentium, vel *ἀναγκάζεσθαι* legentium. Nec verum est, Thucydidem dixisse, *propter inaequalitatem* pugnae inaequalem de litore aspectum fuisse, imo *propterea quod pugna anceps diu fuit*, et pugna et adspectus inaequales fuerunt, et auctoris verba puto fuisse: *καὶ διὰ τὸ ἀγχώμαλον ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν*. Similitudo vocabulorum iuxta se positorum effecit, ut alterum per librarios excideret.

ἀνεθάρσησαν — ἄν] Matth. p. 1005 sq. hic pro aoristo imperfectum desiderat. At vero sequitur imperfectum *ἐτρέποντο*, et cum particula *ἄν*, quae fortius quam imperfectum repetitam actionem significat, ipso docente p. 1198. a. etiam aoristus iungitur. „Olim viri docti plerumque *ἄν* mutabant in *αὖ*, maxime Brunck. in Tragicis, quem v. ad Eurip. Hecub. 732., ubi Herm. recte *ἄλγος ἂν προσθείμεθ' ἄν*. Phoen. 412. *ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν*, ubi non solum Brunck., sed etiam Valck. posuit *οὐκ εἶχον αὖ*. At Porson. veram lectionem *ἄν* restituit.“ Haack. adde Matth. Miscc. Philol. 2, 1. p. 48. Herm. ad Vig. p. 825. Opuscc. Vol. 3. p. 241. Buttm. Gr. §. 139. adn. 5. (ed. 13.) Thiersch. Gr. p. 440. 5. De verbis *ἀπὸ τῶν ὁρωμένων* v. Matth. p. 1130. Pro *διὰ τὸ ἀκριτως ξυνεχές* exspectes *διὰ τὸ ξυνεχῶς ἄκριτον*, verum nihil refert, utrum dicas wegen der Fortdauer ohne Entscheidung (*ἀκρίτως*), an: wegen der fortdauernden Unentschiedenheit. Proxima Schol. ita interpretatur: *συνεξομοιοῦντες τὰ σώματα τῇ περὶ τῶν γιγνομένων προσδοκίᾳ, ἀλένευον τῷ σώματι τῇδε κἀκεῖσε*. „Latine converterim: *ipsis corporibus, prout animus propendebat, timefacti connitebantur*. Sensum bene exposuit Schol.“ Kistem. Heilm.: noch Andere, welche nach einem Ort hinsahen, wo das Gefecht auf beiden Seiten gleich war, waren, *weil die Kämpfenden einander so nahe auf dem Leibe waren, dass man nichts mehr unterscheiden konnte* (v. paulo superius) am übelsten daran, und drückten *selbst in den unsteten Bewegungen ihres Körpers* (imo zugleich mit ihrem Körper durch entsprechende Bewegungen — *ξυναπονεύοντες* — v. Matth. §. 405. adn. 3.) *die Furcht aus*, die ihre Gemüther beunruhigte (imo voll Furcht aus, *wie es die Kämpfenden machen sollten*, *ἴσα τῇ δόξῃ*). De formula *ἐν τοῖς χαλεπώτατα* v. Herm. ad Vig. p. 787. Matth. §. 290. Buttm. Gr. §. 150. p. 447. (ed. 13.) Verba *παρ' ὀλίγον* etc. Heilm. reddit: sie fanden sich beständig bald nahe an ihrer Rettung, bald am Rande des Verderbens. Imo *sie glaubten* beständig bald nahe an ihrer Rettung,

ἀνάκλησιν Θεῶν μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας ἐτρέποντο· οἱ δ' ἐπὶ τὸ ἡσσώμενον βλέψαντες ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο καὶ ἀπὸ τῶν ὁρωμένων τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο. ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες ἐν τοῖς χαλεπώτατα διῆγον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον ἢ ἀπώλλυντο. ἦν τε ἐν τῷ αὐτῷ στρατεύματι τῶν Ἀθηναίων, ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμός, βοή, νικῶντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον, πρίν γε δὴ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας ἔτρεψάν τε τοὺς Ἀθηναίους καὶ ἐπικείμενοι λαμπρῶς πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι κατεδίωκον ἐς τὴν γῆν. τότε δὲ ὁ μὲν ναυτικὸς στρατός, ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἑάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ στρατόπεδον· ὁ δὲ πεζὸς οὐκέτι διαφόρως, ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς οἰμωγῇ τε καὶ στόνῳ πάντες δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δὲ πρὸς τὸ λοιπὸν τοῦ τείχους ἐς φυλακήν, ἄλλοι δὲ καὶ οἱ πλεῖστοι ἤδη περὶ σφᾶς αὐτοὺς καὶ ὅπη σωθήσονται διεσκόπουν. ἦν τε ἐν

bald nahehin verloren zu seyn. v. Matth. p. 1174. Praesenti loco firmatur explicatio, quam adscivi verborum 3, 40. *καὶ διόλλυνται τὸν κίνδυνον ὑφορώμενοι τοῦ ὑπολειπομένου ἐχθροῦ*, sie glauben zu vergehen, dass sie fürchten sollen etc. „Vide quam veram ac variam rei imaginem quam paucis proponat auctor. Qui eum imitati sunt (nam liceat et mihi similem locum, aliorum interpretum delicias, semel adferre), in hac descriptione copiosiores fuerunt, ex Latinis Sallust. B. I. c. 60. *niti corporibus et huc illuc quasi vitabundi aut iacientes tela* (*ἴσα τῇ δόξῃ*) *agitare*. Ex Teutonicis Schiller. Gesch. des Abf. der Ver. Niederl. Vol. 1. p. 413., quem nescio an luxuriatum suo more dicam: Hier ein schmerzhaftes eiteles Bestreben, den Sinkenden zu halten, den Fliehenden zum Stehen zu bringen; dort eine gleich vergebliche Begier, ihn einzuholen, ihn aufzureiben, ihn zu vertilgen. Bei dem lebendigsten Antheil diese Unmöglichkeit, ihn zu äussern; diese Ohnmacht bei der heftigsten Leidenschaft, diese Entfernung und diese Gegenwart: es war ein fürchterlicher Zustand.“ Kistem. In ed. Vienn. Vol. 12. p. 141. hic locus paulo aliter legitur. Adde Liv. 1, 25. „Conf. de h. l. Quintil. Declam. 9. p. 197.“ Abr. Mox sequitur *ἄλλα ὅσα* sine copula: similia attulit Krueg. ad Dionys. p. 145. De *δυσανασχετοῦντες* cum accusativo v. Matth. p. 757. vers. fin. Mox *καί* ante *ὅπη σωθήσονται* a Valla omissum deleri vult Krueg. l. c. Popp. confert 1, 52. *τοῦ οἴκαδε πλοῦ διεσκόπουν ὅπη κομισθήσονται*. Dein de *καί* post *παραπλήσια* agit Heind. ad Plat. Theaet. p. 321. et Duk. confert 3, 14. 5, 112. 7, 28., ähnliches geschah ihnen nun, *wie* sie selbst bereitet hatten bei Pylos. De forma plusquamperfecti *πεπόνθεσαν* adi Matth. §. 165. 2. et *προσαπώλλυντο αὐταῖς* est idem quod *προσαπ. πρὸς αὐταῖς* sc. *ταῖς ναυσί*, nebst den Schiffen, ne cum Arnoldo *αὐτοῖς* velis. De verbis *οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες* v. Matth. p. 1193.

τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. παραπλήσιά τε πεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Ἰύλῳ· διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις προσαπώλλυντο αὐταῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες, καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παρὰ λόγον γίγνηται.

72 Γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τροπαῖον ἔστησαν. οἱ δ' Ἀθηναῖοι ὑπὸ μεγέθους τῶν παρόντων κακῶν νεκρῶν μὲν πέρι ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν. Δημοσθένης δὲ Νικίᾳ προσελθὼν γνώμην ἐποιεῖτο πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν βιάσασθαι ἢν δύνωνται ἅμα ἕω τὸν ἔκπλουν, λέγων ὅτι πλείους ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις· ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα. καὶ ξυγχωροῦντος Νικίου τῇ γνώμῃ καὶ βουλομένων πληροῦν αὐτῶν οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν διὰ τὸ καταπεπλῆχθαι τῇ ἥσσῃ καὶ μὴ
73 ἂν ἔτι οἴεσθαι κρατῆσαι. καὶ οἱ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον. Ἑρμοκράτης δὲ ὁ Συρακόσιος ὑπονοήσας αὐτῶν τὴν διάνοιαν, καὶ νομίσας δεινὸν εἶναι εἰ τοσαύτη στρατιὰ κατὰ γῆν ὑποχωρήσασα καὶ καθεζομένη ποι τῆς Σικελίας βουλήσεται αὖθις σφίσι τὸν πόλεμον ποιεῖσθαι, ἐσηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν ὡς οὐ χρεὼν ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιιδεῖν, λέγων ταῦτα ἃ καὶ αὐτῷ ἐδόκει, ἀλλὰ ἐξελθόντας ἤδη πάντας Συρακοσίους καὶ τοὺς ξυμμάχους τάς τε ὁδοὺς ἀποικοδομῆσαι καὶ τὰ στενόπορα

72. De numero navium utrimque amissarum v. Diod. 13, 17. ibique Wessel.

73. *ἐσηγεῖται*] In hoc verbo fere omnes libri consentiunt: vulgo *ἐφηγεῖται*, quod huc non pertinet, nam forense vocabulum est, de quo agunt scriptores iuris Attici, et in his Meier. et Schoem. d. Att. Proz. p. 246. Tum *ἐλθών* „hic significat actionis et animi promptitudinem, ut *statim, e vestigio eo delatus* sit.“ Dorv. ad Charit. p. 379 sq. Conf. Matth. p. 1102. adn. 1.

ἃ καὶ αὐτῷ ἐδόκει] Lugd. D. I. *καὶ ἅ*. Cass. Aug. Pal. It. Reg. (G.) Marc. m. marg. Steph. *καὶ ἃ καί*. Valla *commemorans haec et alia, quae ipsi videbantur*, quem Popp. suspicatur legisse *καὶ ἄλλα ἅ*. Bau. coniecit *αὐτοῖς* sc. *τοῖς ἐν τέλει οὖσι*, Dobr. *ἃ καὶ Γυλίππῳ ἐδόκει*. Arn. existimat, Hermocratem de receptu Atheniensium loquutum esse, non ut de re per nuncios cognita, sed a se coniecta, conferens 1, 22. ubi *ὡς ἐμοὶ ἐδόκει* contrarie positum sit verbis *ἀκριβείᾳ ἐπεξελθών*. Hoc firmatur verbis in principio huius cap. *ὑπονοήσας αὐτῶν τὴν διάνοιαν*. De verbis *ἀπὸ ναυμαχίας* v. Matth. p. 669. adn. 1. et de *ὑπὸ τοῦ περιχαροῦς τῆς νίκης* ibidem p. 686. init. et de *πρὸς πόσιν τεθράφθαι* ibidem p. 1057., denique de *σφῶν πεῖθεσθαι* p. 676. 4. Adde p. 580. adn. 6. de verbis *καὶ οἱ μὲν — καὶ οἱ*.

τῶν χωρίων προφθάσαντας φυλάσσειν. οἱ δὲ ξυνεγίγνωσκον μὲν καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα ἐκείνου, καὶ ἐδόκει ποιητέα εἶναι, τοὺς δὲ ἀνθρώπους ἅρτι ἀσμένους ἀπὸ ναυμαχίας τε μεγάλης ἀναπεπαυμένους, καὶ ἅμα ἑορτῆς οὔσης, ἔτυχε γὰρ αὐτοῖς Ἡρακλεῖ ταύτην τὴν ἡμέραν θυσία οὖσα, οὐ δοκεῖν ἂν ῥᾳδίως ἐθελῆσαι ὑπακοῦσαι· ὑπὸ γὰρ τοῦ περιχαροῦς τῆς νίκης πρὸς πόσιν τετράφθαι τοὺς πολλοὺς ἐν τῇ ἑορτῇ, καὶ πάντα μᾶλλον ἐλπίζειν ἂν σφῶν πείθεσθαι αὐτοὺς ἢ ὅπλα λαβόντας ἐν τῷ παρόντι ἐξελθεῖν. ὡς δὲ τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα καὶ οὐκέτι ἔπειθεν αὐτοὺς ὁ Ἑρμοκράτης, αὐτὸς ἐπὶ τούτοις τάδε μηχανᾶται. δεδιὼς μὴ οἱ Ἀθηναῖοι καθ' ἡσυχίαν προφθάσωσιν ἐν τῇ νυκτὶ διελθόντες τὰ χαλεπώτατα τῶν χωρίων, πέμπει τῶν ἑταίρων τινὰς τῶν ἑαυτοῦ μετὰ ἱππέων πρὸς τὸ τῶν Ἀθηναίων στρατόπεδον ἡνίκα ξυνεσκόταζεν· οἳ προσελάσαντες ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι, καὶ ἀνακαλεσάμενοί τινας ὡς ὄντες τῶν Ἀθηναίων ἐπιτήδειοι, ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι τῶν ἔνδοθεν, ἐκέλευον φράζειν Νικίᾳ μὴ ἀπάγειν τῆς νυκτὸς τὸ στράτευμα, ὡς Συρακοσίων τὰς ὁδοὺς φυλασσόντων, ἀλλὰ καθ' ἡσυχίαν τῆς ἡμέρας παρασκευασάμενον ἀποχωρεῖν. καὶ οἱ μὲν εἰπόντες ἀπῆλθον, καὶ οἱ ἀκούσαντες διήγγειλαν τοῖς στρατηγοῖς τῶν Ἀθηναίων· οἱ δὲ πρὸς τὸ ἄγγελμα ἐπέσχον τὴν νύκτα, νομίσαντες οὐκ 74
ἀπάτην εἶναι. καὶ ἐπειδὴ καὶ ὡς οὐκ εὐθὺς ὥρμησαν, ἔδοξεν αὐτοῖς καὶ τὴν ἐπιοῦσαν ἡμέραν περιμεῖναι, ὅπως ξυσκευάσαντο ὡς ἐκ τῶν δυνατῶν οἱ στρατιῶται ὅτι χρησιμώτατα, καὶ τὰ μὲν ἄλλα πάντα καταλιπεῖν, ἀναλαβόντες δὲ αὐτὰ ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν ὑπῆρχεν ἐπιτήδεια ἀφορμᾶσθαι. Συρακόσιοι δὲ καὶ Γύλιππος τῷ μὲν πεζῷ προεξελθόντες τάς τε ὁδοὺς τὰς κατὰ τὴν χώραν ἦ εἰκὸς ἦν τοὺς Ἀθηναίους ἰέναι ἀπεφράγνυσαν, καὶ τῶν ῥείθρων καὶ ποταμῶν τὰς διαβάσεις ἐφύλασσον, καὶ ἐς ὑποδοχὴν τοῦ στρατεύματος ὡς κωλύσοντες ᾗ ἐδόκει ἐτάσσοντο· ταῖς δὲ ναυσὶ προσπλεύσαντες τὰς ναῦς τῶν Ἀθηναίων ἀπὸ τοῦ αἰγιαλοῦ ἀφεῖλκον. ἐνέπρησαν δέ τινας ὀλίγας, ὥσπερ διενοήθησαν, αὐτοὶ οἱ Ἀθηναῖοι· τὰς δ' ἄλλας καθ' ἡσυχίαν οὐδενὸς κωλύοντος ὡς ἑκάστην ποι ἐκπεπτωκυῖαν ἀναδησάμενοι ἐκόμιζον ἐς τὴν πόλιν.

Μετὰ δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημο- 75
σθένει ἱκανῶς παρεσκευάσθαι, καὶ ἡ ἀνάστασις ἤδη τοῦ στρα-

74. *ἀναλαβόντες*] Alii libri *ἀναλαβόντας*. Nominativum si praeferas, structura erit ad sensum facta, quasi praecessisset *ἐβούλοντο* vel simile quid. Conf. 7, 70. Sin vulgata retinetur, usitata Graecis structura est, qui post dativum sententiae primariae accusativum participii in sententia inde pendente ponunt. v. Matth. p. 1054. adn. Conf. 5, 79. init. 7, 57. 80. Mox *αὐτά* est *sola*. Deinde *ἀφεῖλκον* est *abstrahere incipiebant* sive *conabantur*, ut Popp. adnotavit.

75. *παρεσκευάσθαι*] v. Matth. p. 596. adn. 2., et ibidem §. 298. de verbis *δεινὸν ἦν οὐ καθ' ἓν μόνον*.

τεύματος τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀνεχώρουν, καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες· ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι. τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τις ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου καθίστατο, καὶ οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι. πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι, εἴ τινά πού τις ἴδοι ἢ ἑταίρων ἢ οἰκείων, τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι καὶ ἐπακολουθοῦντες ἐς ὅσον δύναιντο, εἴ τῳ δὲ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι· ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε καὶ μείζω ἢ κατὰ δάκρυα τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μὴ πάθωσι. κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευ-

οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς] Mosqu. οἰμωγῶν. Sensus horum verborum a mente et consilio scriptoris prorsus alienus est. Mon male Mosqu. pluralem praebere videtur; solent enim vocabula luctum significantia tum a poetis tum a prosae orationis scriptoribus plurali numero efferri, at librarii saepe pro plurali numero singularem exhibent. v. Held. in Actt. Philol. Monac. Vol. 2. p. 23. 331. Praesente loco pro ὀλίγων Heilm. coniecerat λυγρῶν, quae est vox poetarum, alii aliter. Videri possit ὀλολυγῶν interpretamentum vocabuli οἰμωγῶν fuisse, et in ordinem a margine irrepsisse et in ὀλίγων deinde abiisse. Similis est glossa Hesychii: οἰμωγαί· θρῆνοι, ὀδυρμοὶ, στεναγμοί. Possit aliquis coniicere οὐκ ἄνευ ὀλολυγίων ἐπιθειασμῶν, ut est apud Eustath. de Ism. 10. p. 393. ἐκώκυσεν ὀλολύγιον, verum hoc adiectivum non alibi apud Thucydidem ac ne reliquos quidem vetustissimos scriptores reperitur. Simile tamen et non ita rarum est διολύγιος, de quo v. Dorv. ad Charit. p. 368. „Quum aut μετά pro ἄνευ aut, ut alii voluerunt, πολλῶν pro ὀλίγων sit scribendum, non alienum est horum duorum inter se permutatorum aliud exemplum afferre, quo minus violenta videatur correctio in utroque. Xenophontis Ephes. p. 68. Loc. καὶ οἱ μὲν ἀνύσαντες ἡμέρας οὐκ ὀλίγας τὸν πλοῦν Locella delebat οὐκ, ego πολλαῖς scripserim ut p. 111. διανύσας τὸν πλοῦν οὐ πολλαῖς ἡμέραις.“ Dind. Ἐπιθειασμοί sunt deorum imprecationes et obsecrationes, de quibus v. Dorv. l. c. p. 490. Suidas ἐπιθειασμοὶ, πρὸς θεὸν ἱκεσίαι, et post aliud testimonium haec ipsa verba non nominato auctore adiicit: οὐκ ἄνευ ὀλίγων ἐπιθ. — ἀπολειπόμενοι, τουτέστι θείων ἐπικλήσεων. Thucydidem exemplum talis imprecationis 2, 74. dare, adnotavit Did. De formula comparandi μείζω ἢ κατὰ δάκρυα vid. Valck. ad Herodot. 3, 14. Matth. §. 449. De verbis οὐδὲν — ἄλλο ἤ — ἐῴκεσαν agit idem p. 1308. §. 635.

πόλει ἐκπεπολιορκημένῃ] Heyn. ad Il. Vol. 8. p. 331. confert Hom. Il. 22, 410. Locus praesens ob oculos versatus est Nicolao Damasc. in narrandis rebus Croesi, regis Lydiae p. 52 — 69. Orell., de quo loco v. Creuz. Fragm. Ant. Hist. Gr. p. 200. Eadem similitudine ad describendum vehementem luctum utuntur Cic. 4. Verr. 23., auctor ad Herenn. 4, 39. Quintil. I. O. 8, 3, 67. Virg. 4. Aen. 669. v. Macrob. Saturn. 4, 6. Dorv. confert Charitonem p. 12, 1. et alios, quibus adde Arrian. in lexic. St. German. Bastii ad Greg. Cor. p. 58. Ovid. Met. 12, 225. et quos Bloomf. attulit. Mox ὅμως est adstructum participio ἔχουσα, ad τὸ μετὰ πολλῶν supple μετασχεῖν τῶν κακῶν. Vide Matth. p. 569. et haec verba in appositione verborum τινα κοὐφισιν sunt. Pro καὶ ἡ ἰσομοιρία, *malorum communio*, Dobr. legi vult ἰσομοιρίᾳ, ac sane articulus in his verbis a libris quamplurimis abest. Proxima ita intellige: ὅτι ἀπὸ τοιαύτης λαμπρότητος ἐς τοιαύτην τελευτήν etc. Vid. Matth. §. 480. adn. 3. et adn. ad 2, 41. „Huc faciunt, quae adnotavit Casaub. ad Theophr. Char. c. 8. περὶ λογοποιίας, ubi dicit, Graecis de maxima mutatione fortunae usitatam esse formulam ἐξ οἵων εἰς οἷα.“ Duk. Verba ἀπὸ οἵας — ἀφῖκτο Suidas in αὔχημα habet, non nominato auctore. De ἀφῖκτο v. Matth. p. 596. adn. 2. Dein vulgo τῷ Ἑλληνικῷ στρατεύματι legitur, unde Popp. fecit τῳ, demto accentu, at articulum sublatum iam Schol. voluerat. Propter τῳ nomini suo antecedens Popp. confert c. 77. Denique ἐπιφημίσμασιν *ominibus* interpretatur Ruhnk. ad Vellei. Pat. 2, 46. „Hesych. fortassis ad h. l. respiciens exponit οἰωνίσμασιν.“ Duk.

76. ὡς ἐκ τῶν ὑπαρχόντων] v. Matth. p. 1283. Verba ἔτι μᾶλλον referuntur ad c. 60. 69.

γούσῃ, καὶ ταύτῃ οὐ μικρᾷ· μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. καὶ τούτων οἵ τε ἄλλοι πάντες ἔφερον ὅ,τι τις ἐδύνατο ἕκαστος χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππῆς παρὰ τὸ εἰωθὸς αὐτοὶ τὰ σφέτερα αὐτῶν σιτία ὑπὸ τοῖς ὅπλοις, οἱ μὲν ἀπορίᾳ ἀκολούθων, οἱ δὲ ἀπιστίᾳ· ἀπηυτομολήκεσαν γὰρ πάλαι τε καὶ οἱ πλεῖστοι παραχρῆμα. ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά· σῖτος γὰρ οὐκέτι ἦν ἐν τῷ στρατοπέδῳ. καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἡ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κούφισιν, οὐδ' ὡς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο, ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφικτο. μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς ἀντὶ μὲν τοῦ ἄλλους δουλωσομένους ἥκειν αὐτοὺς τοῦτο μᾶλλον δεδιότας μὴ πάθωσι ξυνέβη ἀπιέναι, ἀντὶ δ' εὐχῆς τε καὶ παιάνων, μεθ' ὧν ἐξέπλευσον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶσθαι, πεζούς τε ἀντὶ ναυβατῶν πορευομένους καὶ ὁπλιτικῷ προσέχοντας μᾶλλον ἢ ναυτικῷ. ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου πάντα ταῦτα αὐτοῖς οἷα τε ἐφαίνετο.

Ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν καὶ ἐν μεγάλῃ 76
μεταβολῇ ὄν, ἐπιπαριὼν ὡς ἐκ τῶν ὑπαρχόντων ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο, βοῇ τε χρώμενος ἔτι μᾶλλον ἑκάστοις καθ' οὓς γίγνοιτο ὑπὸ προθυμίας, καὶ βουλόμενος ὡς ἐπὶ πλεῖστον γεγωνίσκων ὠφελεῖν. Ἔτι καὶ ἐκ τῶν παρόντων, ὦ Ἀθηναῖοι 77

καὶ ξύμμαχοι, ἐλπίδα χρὴ ἔχειν· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν· μηδὲ καταμέμψασθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε ταῖς ξυμφοραῖς μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθείαις. κἀγώ τοι οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων, ἀλλ' ὁρᾶτε δὴ ὡς διάκειμαι ὑπὸ τῆς νόσου, οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστερός του εἶναι κατὰ τὸν ἴδιον βίον καὶ ἐς τἆλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιήτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια καὶ ἀνεπίφθονα· ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θρασεῖα τοῦ μέλλοντος, αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὴ φοβοῦσι. τάχα δ' ἂν καὶ λωφήσειαν· ἱκανὰ γὰρ τοῖς τε πολεμίοις εὐτύχηται, καὶ εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν, ἀποχρώντως ἤδη τετιμωρήμεθα. ἦλθον γάρ που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους, καὶ ἀνθρώπεια δράσαντες ἀνεκτὰ ἔπαθον. καὶ ἡμᾶς εἰκὸς νῦν τά τε ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἠπιώτερα ἕξειν· οἴκτου γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου· καὶ ὁρῶντες ὑμᾶς αὐτοὺς οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυντεταγμένοι χωρεῖτε μὴ καταπέπληχθε ἄγαν, λογίζεσθε δὲ ὅτι αὐτοί τε πόλις εὐθὺς ἐστε ὅποι ἂν καθέζησθε, καὶ ἄλλη οὐδεμία ὑμᾶς τῶν ἐν Σικελίᾳ οὔτ' ἂν ἐπιόντας δέξαιτο ῥᾳδίως οὔτ' ἂν ἱδρυθέντας που ἐξαναστήσειε. τὴν δὲ πορείαν ὥςτ' ἀσφαλῆ καὶ εὔτακτον εἶναι αὐτοὶ φυλάξατε, μὴ ἄλλο τι ἡγησάμενος ἕκαστος ἢ ἐν ᾧ ἂν ἀναγκασθῇ χωρίῳ μάχεσθαι, τοῦτο καὶ πατρίδα καὶ τεῖχος κρατήσας ἕξειν. σπουδὴ δὲ ὁμοίως καὶ νύκτα

77. *ἐκ δεινοτέρων ἢ τοιῶνδε*] v. ibidem p. 841. 1. a. p. 844 sq. et ibidem p. 1226. de ratione verborum *μηδὲ καταμέμψασθαι — μήτε* — *μήτε* et de *καταμέμψασθαι ὑμᾶς* p. 705. adn. 1. De differentia verborum *ξυμφοραῖς* et *κακοπαθείαις* dixi in adn. ad 1, 69. De verbis *ἀλλ' ὁρᾶτε δή* v. Matth. p. 1239. fin. et de *τοῖς φαυλοτάτοις* ibidem p. 706. 1.

πολλὰ — ἐς θεούς] Non raro sacrificia et alia merita diis quasi exprobrabant. Dorv. ad Charit. p. 492. Ad *ἐλπὶς ὅμως* cogita *καίπερ ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωρούμενος*. Hunc locum explicat Matth. p. 1265. s. v. *ὅμως*, ubi conf. §. 566. Mox *θρασεῖα* Thom. M. p. 436. explicat per *ὁμολογουμένη καὶ ἀναμφίβολος*. Ad *οὐ κατ' ἀξίαν δή* Schol. suppletur *ἀλλὰ μειζόνως δηλονότι*. De *εὐτύχηται* v. Matth. p. 596. adn. 2. Propter verba *εἴ τῳ θεῶν ἐπίφθονοι* adi Valck. ad Herodot. 3, 40. p. 43. Schw. De verbis *ἀπὸ τοῦ θεοῦ* agit Matth. p. 1129., de *μὴ ἄλλο τι ἡγησάμενος* idem p. 602. adn. Mox pro *εἰρημένον* Reisk. coniecit *ἐς εἰρημένον*. In vulgata suppleo *ἐστί*, nam pro casu absoluto habere, minus huic loco convenire videtur: sic tamen Arn. directions having been given to them, both to meet us and bring a supply of provisions. Mox Did. Vol. 4. p. 378. et 412. cum Reiskio legit *καὶ σιτία ἅμα*. De verbis *ἀναγκαῖον ὄν* v. Matth. p. 1076. 3. Dein *ἄνδρες γὰρ πόλις* etc. sententia est multum celebrata a veteribus. Alcaeus ex emendatione Welckeri in Iahn. Annal. 1830 fasc. 1. p. 47. *ἄνδρες γὰρ πόλεως πύργος Ἀρήιος*. Adde Soph. Oed. T. 56., ibique Scholl., Plut. V. Themist. 11. Conf. Thuc. 1, 143. extr. Valck. Diatr. in fragmm. Eurip. p. 217. Blomf. ad Aesch. Pers. Gloss. v. 355. Schaef. Appar. cr. Demosth. Vol. 3. p. 11.

καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ. τὰ γὰρ ἐπιτήδεια βραχέα ἔχομεν· καὶ ἦν ἀντιλαβώμεθά του φιλίου χωρίου τῶν Σικελῶν, οὗτοι γὰρ ἡμῖν διὰ τὸ Συρακοσίων δέος ἔτι βέβαιοί εἰσι, ἤδη νομίζετε ἐν τῷ ἐχυρῷ εἶναι. προπέπεμπται δ' ὡς αὐτοὺς καὶ ἀπαντᾶν εἰρημένον καὶ σιτία ἄλλα κομίζειν. τὸ δὲ ξύμπαν γνῶτε, ὦ ἄνδρες στρατιῶται, ἀναγκαῖόν τε ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι, ὡς μὴ ὄντος χωρίου ἐγγὺς ὅποι ἂν μαλακισθέντες σωθείητε, καὶ ἦν νῦν διαφύγητε τοὺς πολεμίους, οἵ τε ἄλλοι τευξόμενοι ὧν ἐπιθυμεῖτέ που ἐπιδεῖν, καὶ οἱ Ἀθηναῖοι τὴν μεγάλην δύναμιν τῆς πόλεως καίπερ πεπτωκυῖαν ἐπανορθώσοντες· ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη οὐδὲ νῆες ἀνδρῶν κεναί.

Ὁ μὲν Νικίας τοιάδε παρακελευόμενος ἅμα ἐπῄει τὸ στρά- 78
τευμα, καὶ εἴ πῃ ὁρῴη διεσπασμένον καὶ μὴ ἐν τάξει χωροῦν,

78. Atheniensibus ita fractis per pugnas navales, ut fiduciam magis in militibus terrestribus ponerent, quam in nautis, et consilio capto terra abeundi, decretum est, ut in terram Siculorum, in interioribus insulae sitam perveniendi periculum fieret. Non accurate fines Graecorum et Siculorum definiri possunt, nec quantum intervallum inter Syracusas et proximum locum Siculum fuerit, cognitum est. Verum superiores partes omnium vallium paulo reductiorum sine dubio extra fines Graecorum erant; itidemque res se habuit in valle Anapi. Proinde Atheniensium primum consilium fuit ascendendi per huius vallis australe brachium sive deverticulum, unde exituri erant apud loca editiora non procul a fonte Cacyparis: id brachium Syracusis in interiora insulae reducitur propemodum recta occasum versus. Primo die receptus Athenienses iter faciebant non totorum quatuor mill. Angl. et dimidii, quia perpetuo ab equitibus leviterque armatis militibus Syracusanorum vexabantur. Traiecerunt primo Anapum paulo supra ostium Cyanae et pernoctabant in colle quodam, quae videtur pars fuisse iugi superne plani, quod dividit duo brachia vallis Anapi. Altera die paulo supra duo mill. in summo iugo progressi descenderunt in vallem, quod nominavi australe brachium vallis Anapi. Per hanc vallem nullus rivus perennis fluit, sed torrentes, et hi, praeterquam post imbres, tam pauperes aquae, ut eam aridum solum multo ante absorbeat, quam ad mare devenit. Superius vel hi torrentes rariores et aqua egeniores fiunt, donec prorsus cessant, neque quidquam aridius extat, quam edita planities calcaria, quae per tota illa altiora loca extenditur. Itaque Athenienses totam illam diem commorabantur eo loco, ubi primum in vallem descenderant, ut sibi aquam compararent et cibos e domibus ibi disiectis. Hae causae fuisse videntur, cur tam mature subsisterent et agmen altera die non longius ducerent: at tertii diei iter incerti animorum et timidi fecisse videntur. Hostes versabantur in difficili parte viae obstruenda, per quam Athenienses ire coacti erant: vel minimi temporis dispendium periculosum erat: tametsi vel locum, ubi opus parabatur, non assecuti Athenienses per adsultantes leviter armatos hostium milites ita affligebantur, ut desperationis pleni reverterentur et noctem eodem loco transigerent, quem mane reliquerant. Quarto die nihilominus mature proficiscebantur animis confirmati obstacula itineris fortiter superare. Agmen proinde ad eum locum vertebant, quem hostes occupaverant. Erat id angustum dorsum, ad quod via e valle erigebatur, et utrimque arduo et praecipite torrentis alveo

ξυνάγων καὶ καθιστάς, καὶ ὁ Δημοσθένης οὐδὲν ἧσσον τοῖς καθ' ἑαυτὸν τοιαῦτά τε καὶ παραπλήσια λέγων. τὸ δὲ ἐχώρει

conclusum. Ibi Syracusani peditatum collocaverant per naturam soli ita compressum, ut multi post singulos singuli adstare cogerentur. Ex ea statione, ad quam aditus tam difficilis esset, missilia in capita Atheniensium ad expugnandum transitum adgredientium desuper emittebant. Post irritos conatus Athenienses omni spe abiecta retrogressi in valle subsistebant; at hostes quiescere eos non passi et natura soli usi partem copiarum mittebant, ut murum transversum per angustam partem vallis exstruerent, inferius eo loco, quo Athenienses substiterant, quo a receptu intercluderentur. Athenienses autem disiectis militibus ad hoc opus perficiendum missis, ne idem periculum denuo incurrerent, se receperunt infra angustam partem vallis ad eum locum, ubi exitus est in campum oram maris versus: ibi pernoctaverunt, firmi animis tertium receptum proxime insequenti die periclitari. At conatus quinti diei non minus vani fuere, quam diebus superioribus. Apparet, Athenienses rursus ascensum per vallem aggressos ita a Syracusanis acceptos esse, ut ne introitum quidem eius pertingerent, ut minus unum mill. progressi ab loco, ubi mane fuerant, agmen sustinerent pernoctatum, campo nondum eluctati. Iam perspicuum erat, fieri prorsus non posse, ut ascensu vallis inde ab urbe Syracusanorum facto in terram Siculorum pervenirent: duces igitur decreverunt alia via receptum instituere et in interiora penetrare per vallem Cacyparis, quae finem habet ad litus maris sex s. septem milliaribus ad austrum ab Anapo. Quem conatum ut perficerent itinere diurno hostes praeverti studebant nocte discedendo et versus mare recedendo usque dum viam Syracusis Helorum ferentem attingebant. Quo facto hanc viam sequi litus legentes cogitabant, donec ad Cacyparim perveniebant, ubi dextrorsum conversi in interiora promovere parabant. Quamquam lassi et vires exhausti milites nocte moverunt, relictis crebris ignibus decipiendorum hostium causa, et agmine per subitum terrorem turbato, tamen illucescente die Helorinam viam ingressi ad ripam Cacyparis pervenerunt. Ibi partem Syracusanorum invenerunt opus exstruentem, quo traiectus eius fluvii obstrueretur; verum his cito disiectis sine mora traiiciebant. Verumtamen non conversi dextrorsum, ut statuerant, versus interiora, a ducibus itineris sibi persuaderi passi sunt, ut paulo ulterius viam litus legentem sequerentur, donec attingerent vallem (vel potius cavum alvei) Erinei. Quibus rationibus ad hoc inducti sint, ignotum est; certe Athenienses fatigati et fame laborantes receptum in campo continuabant festinantes Erineum pertingere. Itaque inter Cacyparim et Erineum duae sectiones exercitus Atheniensium inter se separatae sunt. Demosthenes Niciam intervallo quinque mill. et dimidii insequens prior ab equitibus Syracusanorum oppressus et subsistens, ut pugnae copiam faceret, hostiumque nonnullis eum praetervectis, illico circumventus est. Athenienses turbati compellebantur in locum quodammodo ei similem, in quo exercitus Corinthiorum prius prope Megaram periit (Thuc. 1, 106.). Locus erat spisse oleis obsitus et arte muro inclusus, ad utrumque latus via procurrente. Hic Athenienses undique hostium missilibus verberati sunt, donec tandem sub vesperem sexto receptus die tota sectio sexies mille hominum armis ferendis idoneorum armis depositis captiva Syracusas abducta est. Interea Nicias cum suo exercitu ad Erineum pervenerat, eoque traiecto in colle ad australem eius oram consederat. At postero mane, die receptus septimo, et ipse hostibus supervenientibus, ut se dederet provocatus est. Conditiones tamen latas nondum animum inducere poterat ut acciperet, et militibus

ἐν πλαισίῳ τεταγμένον, πρῶτον μὲν ἡγούμενον τὸ Νικίου, ἐφεπόμενον δὲ τὸ Δημοσθένους· τοὺς δὲ σκευοφόρους καὶ τὸν πλεῖστον ὄχλον ἐντὸς εἶχον οἱ ὁπλῖται. καὶ ἐπειδή [τε] ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ' αὐτῷ παρατεταγμένους τῶν Συρακοσίων καὶ ξυμμάχων, καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες τοῦ πόρου ἐχώρουν ἐς τὸ πρόσθεν· οἱ δὲ Συρακόσιοι παριππεύοντές τε προσέκειντο καὶ ἐσακοντίζοντες οἱ ψιλοί. καὶ ταύτῃ μὲν τῇ ἡμέρα προελθόντες σταδίους ὡς τεσσαράκοντα ηὐλίσαντο πρὸς λόφῳ τινὶ οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ πρωὶ ἐπορεύοντο καὶ προῆλθον ὡς εἴκοσι σταδίους, καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τε τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον, ὠκεῖτο γὰρ ὁ χῶρος, καὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν· ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια, ᾗ ἔμελλον ἰέναι, οὐκ ἄφθονον ἦν. οἱ δὲ Συρακόσιοι ἐν τούτῳ προελθόντες τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον· ἦν

post iter continuum propemodum bidui et noctis omnino quiete indigentibus omni generi vexationum per adsultantes hostes eo die non movens loco obnoxius fuit, cogitans receptum continuare appetente nocte. Accedebat penuria commeatus: milites animis viribusque defecerant. Instituerant agmen in tenebris latentes, quum paean repente a vicinis hostibus cani coeptus nunciavit propositum eorum patefactum esse. Prorsus animis fracti per ingentes calamitates, quas subierant, Athenienses rursus armis depositis in castris manserunt ad lucem usque. Octava dies tandem finem certaminum adduxit. Cum prima luce Athenienses moverunt, sed non iam cogitantes per vallem Erinei mediterranea versus converti: imo litus legere pergebant proxime vallem Assinari petentes. Id natura melius munimentum adversus hostes erat, dummodo iis contingeret eum traiicere antequam hostes superveniebant, et flumen amni similius, quam Erineus, largius aquam offerre videbatur ipso hoc sero anni tempore. Athenienses pervenerunt ad hoc flumen, sed transire non valuerunt. Oppressi et circumventi ab hostibus, proculcati inter se, telis obruti, postremo trucidati in congressu graviter armatorum perierunt in valle Assinari. ARN.

πρῶτον μὲν ἡγούμενον] Haec addidi ex Vat. et marg. It. BEKK. Idemque in marg. habent D. et K. teste Did. Haec quum ex sequente *ἐφεπόμενον δέ* subaudiri possint, et a Valla, alibi Vaticani sectatore, non agnoscantur, Popponi ab interpretibus videntur profecta. „Male enim, ait, Bau. Demosthenis agmen *οὐκ ἐν πλαισίῳ ἐφέπεσθαι* coniicit, sed *πλαίσιον* ea ipsa re effectum est, quod Niciae agmen praecessit, Demosthenis subsecutum est. Conf. Diod. 13, 18." Mox particulam in *καὶ ἐπειδή τε* Haack. refert ad *οἱ δὲ Συρακόσιοι*, „non solum, ait, in transitu Anapi in Syracusanos inciderunt, sed etiam ulterius progredientibus iidem Syracusani instabant." Popponi haec explicatio iure non probatur. Ad *ἄπεδον* pertinent hae glossae: Zonaras *ἄπεδα, τὰ ἰσόπεδα*. Anecdd. Bekk. 1. p. 419. Bachm. 1. p. 115, 20. *ἄπεδον, τὸ ἰσόπεδον καὶ τὸ ὁμαλόν. Θουκ. τὰ ἰσόπεδα*. Adde Phavorin. Etym. M. p. 125, 20. v. Tittm. Proleg. ad Zonar. p. XVIII. et Thom. M. p. 85. Ad proxima *ἐπὶ πολλὰ στάδια* pertinet glossa Photii: *στάδια καὶ σταδίους, ἑκατέρως λέγουσιν. ὁ Θουκ. δὲ σταδίους ὡς ἐπὶ τὸ πᾶν, ἅπαξ δὲ μόνον στάδια εἴρηκεν ἐν ζ'· „ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια μέλλων ἰέναι."* v. Lobeck. ad Phryn. p. 762.

δὲ λόφος καρτερὸς καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης, ἐκαλεῖτο δὲ Ἀκραῖον λέπας. τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προήεσαν, καὶ οἱ τῶν Συρακοσίων καὶ ξυμμάχων αὐτοὺς ἱππῆς καὶ ἀκοντισταὶ ὄντες πολλοὶ ἑκάτεροι ἐκώλυον, καὶ ἐσηκόντιζόν τε καὶ παρίππευον. καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι, ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον· καὶ τὰ ἐπιτήδεια οὐκέτι ὁμοίως εἶχον. οὐ γὰρ ἔτι ἀποχωρεῖν οἷόν τ' ἦν
79 ὑπὸ τῶν ἱππέων. πρωὶ δὲ ἄραντες ἐπορεύοντο αὖθις, καὶ ἐβιάσαντο πρὸς τὸν λόφον ἐλθεῖν τὸν ἀποτετειχισμένον, καὶ εὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀποτειχίσματος τὴν πεζὴν στρατιὰν παρατεταγμένην οὐκ ἐπ' ὀλίγων ἀσπίδων· στενὸν γὰρ ἦν τὸ χωρίον. καὶ προσβαλόντες οἱ Ἀθηναῖοι ἐτειχομάχουν, καὶ βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος, διεκνοῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν, καὶ οὐ δυνάμενοι βιάσασθαι ἀνεχώρουν πάλιν καὶ ἀνεπαύοντο. ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γενόμεναι καὶ ὕδωρ, οἷα τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ γίγνεσθαι· ἀφ' ὧν οἱ Ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν, καὶ ἐνόμιζον ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ καὶ ταῦτα

Ἀκραῖον λέπας] i. e. *summa rupes*. Hanc ultra Euryelum occasum versus solstitialem ponit Dorv. Sicul. p. 187. secutus Cluverium S. A. p. 172. Conf. Mans. Spart. 2. p. 451. Eam vulgo nunc incolis Crimiti dici addit Dorv., apud Piantam in tabula est sub nr. 67. cum hac adnotatione: Monte Climiti, oggi vien detto il Monte. Kephalides Vol. 2. p. 44. sic scribit: „Pone locum dictum Belvedere orientem et mare versus iugum montis satis altum protenditur, quem plerique, et in his Cluverius, Fazellus et alii Crimiti, rustici nullo proprio nomine, sed Monte del Bosco appellant; montem, qui vere Crimiti dicitur, affirmabant nobis audientibus, haud paulo ulterius pone montem del Bosco situm esse.“ Ipse collis, qui Ἀκραῖον λέπας appellabatur, scilicet non definiri potest; at tabula demonstrabit, colles huius generis plures apparere ascendentibus vallem Anapi. Tenendum est, Atheniensibus voluntatem fuisse quam longissime penetrare in mediterranea, ut terram Siculorum intrarent. Hoc primo conati sunt ascendendo unam vallium coniunctarum cum valle Anapi: at non valentes vi progredi ab hac parte, ad litus redierunt, ingressuri viam litus legentem per humilia terrae prope mare, usque dum pervenirent in alteram vallem, per quam rursus in mediterranea converterentur, iterum tentantes penetrare in terram Siculorum sibi amicorum. ARN.

79. ἐβιάζοντο ἐλθεῖν] i. e. sie suchten mit Gewalt zu gelangen. v. Dorv. ad Charit. p. 268. Et οὐκ ἐπ' ὀλίγων ἀσπίδων est nicht wenig Mann tief aufgestellt; angustiam loci ipse dicit non passam esse aciem εἰς μῆκος instrui. Tum διεκνοῦντο Schol. explicat per ἐξικνοῦντο βάλλοντες.

φιλεῖ γίγνεσθαι] Nemo hic miratus est, Athenienses, qui plures iam annos in Sicilia consumserant, in re tam solenni etiam magis deposuisse animos. Procul dubio excidit ante vocem φιλεῖ vocula οὐ. In re enim solita non poterant queri, suam in perniciem omnia ista simul fieri, ut mox subiicitur. LIND. Spicil. p. 13. Fallitur; vid. adn. ad 6, 70. Mox vocula αὖ respicitur ad c. 78. vers. fin. Et εἰ ἐπίοιεν est idem, quod ὁπότε ἐπίοιεν, ut docent Elmsl. ad Eurip. Med. 1185. Matth. p. 1005., quem vid. p. 1023. de verbis εἴ πως φοβήσειαν.

πάντα γίγνεσθαι. ἀναπαυομένων δὲ αὐτῶν ὁ Γύλιππος καὶ οἱ Συρακόσιοι πέμπουσι μέρος τι τῆς στρατιᾶς ἀποτειχιοῦντας αὖ ἐκ τοῦ ὄπισθεν αὐτοὺς ᾗ προεληλύθεσαν· ἀντιπέμψαντες δὲ κἀκεῖνοι σφῶν αὐτῶν τινας διεκώλυσαν. καὶ μετὰ ταῦτα πάσῃ τῇ στρατιᾷ ἀναχωρήσαντες πρὸς τὸ πεδίον μᾶλλον οἱ Ἀθηναῖοι ηὐλίσαντο. τῇ δ' ὑστεραίᾳ προυχώρουν, καὶ οἱ Συρακόσιοι προσέβαλλόν τε πανταχῇ αὐτοῖς κύκλῳ καὶ πολλοὺς κατετραυμάτιζον, καὶ εἰ μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ὑπεχώρουν, εἰ δ' ἀναχωροῖεν, ἐπέκειντο, καὶ μάλιστα τοῖς ὑστάτοις προσπίπτοντες, εἴ πως κατὰ βραχὺ τρεψάμενοι πᾶν τὸ στράτευμα φοβήσειαν. καὶ ἐπὶ πολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ Ἀθηναῖοι, ἔπειτα προελθόντες πέντε ἢ ἓξ σταδίους ἀνεπαύοντο ἐν τῷ πεδίῳ· ἀνεχώρησαν δὲ καὶ οἱ Συρακόσιοι ἀπ' αὐτῶν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

Τῆς δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, ἐπειδὴ 80
κακῶς σφίσι τὸ στράτευμα εἶχε τῶν ἐπιτηδείων πάντων ἀπορία ἤδη, καὶ κατατετραυματισμένοι ἦσαν πολλοὶ ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις, πυρὰ καύσαντες ὡς πλεῖστα ἀπάγειν τὴν στρατιάν, μηκέτι τὴν αὐτὴν ὁδὸν ᾗ διενοήθησαν, ἀλλὰ τοὐναντίον ἢ οἱ Συρακόσιοι ἐτήρουν, πρὸς τὴν θάλασσαν. ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας τὸ πρὸς Καμάριναν καὶ Γέλαν καὶ τὰς ταύτῃ πόλεις καὶ Ἑλληνίδας καὶ βαρβάρους. καύσαντες οὖν πυρὰ πολλὰ ἐχώρουν ἐν τῇ νυκτί. καὶ αὐτοῖς, οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν, ἐμπίπτει ταραχή· καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ ἡγεῖτο, ξυνέμενέ τε καὶ προὔλαβε πολλῷ, τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ πλέον, ἀπεσπάσθη τε καὶ ἀτακτότερον ἐχώρει. ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται ὅμως πρὸς τὴν θάλασσαν, καὶ ἐσβάντες ἐς τὴν ὁδὸν τὴν Ἑλωρινὴν καλουμένην ἐπορεύοντο, ὅπως ἐπειδὴ γένοιντο ἐπὶ τῷ ποταμῷ τῷ Κακυπάρει, παρὰ τὸν ποταμὸν ἴοιεν ἄνω διὰ μεσογείας· ἤλπιζον γὰρ καὶ τοὺς Σικελοὺς ταύτῃ οὓς μετέπεμψαν ἀπαντήσεσθαι. ἐπειδὴ δ' ἐγένοντο ἐπὶ τῷ ποταμῷ, εὗρον καὶ ἐνταῦθα φυλακήν τινα τῶν Συρακοσίων ἀποτειχίζουσάν τε καὶ ἀποσταυροῦ-

80. φόβοι — ἐγγίγνεσθαι] Haec verba epexegesis sunt verborum οἷον φιλεῖ. Vid. adn. ad 4, 125. De terrore panico agit Valck. ad Herodot. 4, 203. Mox ἀπό ante πολεμίων cum Reiskio et Poppone deletum malis. Dein vulgo legebatur τὸ ἥμισυ μάλιστα καὶ τὸ πλέον, articulum om. Vat. Converte sicher die Hälfte oder mehr. Vid. adn. ad 1, 22. Cacyparis, si Cluverio S. A. p. 183. fides, nunc Casibili dicitur. Erineum Cluver. putat Miranda appellari; secundum Piantam fiume d'Arola est. Verum his duobus nominibus unum idemque flumen appellatur.

σαν τὸν πόρον. καὶ βιασάμενοι αὐτὴν διέβησάν τε τὸν ποταμὸν καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμὸν τὸν Ἐρινεόν· ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον.

81 Ἐν τούτῳ δ' οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, ὡς ἥ τε ἡμέρα ἐγένετο καὶ ἔγνωσαν τοὺς Ἀθηναίους ἀπεληλυθότας, ἐν αἰτίᾳ τε οἱ πολλοὶ τὸν Γύλιππον εἶχον ἑκόντα ἀφεῖναι τοὺς Ἀθηναίους, καὶ κατὰ τάχος διώκοντες, ᾗ οὐ χαλεπῶς ἠσθάνοντο κεχωρηκότας, καταλαμβάνουσι περὶ ἄριστον ὥραν. καὶ ὡς προξέμιξαν τοῖς μετὰ τοῦ Δημοσθένους, ὑστέροις τε οὖσι καὶ σχολαίτερον καὶ ἀτακτότερον χωροῦσιν, ὡς τῆς νυκτὸς τότε ξυνεταράχθησαν, εὐθὺς προσπεσόντες ἐμάχοντο· καὶ οἱ ἱππῆς τῶν Συρακοσίων ἐκυκλοῦντό τε ῥᾷον αὐτοὺς δίχα δὴ ὄντας, καὶ ξυνῆγον ἐς ταὐτό. τὸ δὲ Νικίου στράτευμα ἀπεῖχεν ἐν τῷ πρόσθεν καὶ πεντήκοντα σταδίους· θᾶσσόν τε γὰρ

ταύτῃ — ἐκέλευον] i. e. certiores facti, hostem iam ad Cacyparim advenisse, et suum adscensum per vallem probabile esse per hostes impeditum iri, ad aliam vallem, Erinei, progressi sunt, quum duces itineris eos docerent fieri posse, ut per hanc adscendentes in mediterranea penetrare, ibique, ut sperabant, hostem praeverti possent. ARN.

81. καὶ πεντήκοντα] Vulgo ἑκατὸν καὶ πεντήκοντα, sed ἑκατόν om. Cass. Aug. Cl. Ven. Laur. Pal. It. Reg. (G.) Marc. Lugd. E. Mosq. K. m. „Narratur quidem cap. antec., Demosthenem cum dimidia fere copiarum parte nimis distractum fuisse a Nicia. Neque facile tamen una illa nocte, qua castra movere coeperunt, tanto statim intervallo a se invicem separari poterant, ut iam sequenti die centum et quinquaginta stadiorum spatio Nicias antecederet. Nimium quantum iam Demosthenes in itinere unius noctis moratus esse videbatur, quum iam quinquaginta stadiorum spatio Nicias, cum eodem una ex castris profectus, distaret. Quod Thucydides copula *καί* indicare voluit: *Niciae exercitus quinquaginta adeo stadiis iam praecesserat.* Sed eadem copula *καί* fortasse falsae scripturae ἑκατόν adiiciendae occasionem dedit, quia numerum ante *καί* librarii deesse putabant.“ BENED. Did. contra vulgatam ita tuetur: „Editores numerum centum quinquaginta nimium putarunt; ego vulgatam retinui his rationibus inductus: legimus exercitum Niciae incessisse magno intervallo ante Demosthenem, καὶ προὔλαβε πολλῷ cap. 80. Dein Thuc., quasi dubitationes de numero ἑκατὸν καὶ πεντήκοντα σταδίους diluere volens, rationem reddit verbis statim sequentibus: θᾶσσόν τε γὰρ ὁ Νικίας ἦγε, et addit νομίζων σωτηρίαν τὸ ὑποχωρεῖν ὡς τάχιστα, dum exercitus Demosthenis sine ordine progrederetur καὶ οὐ προὐχώρει μᾶλλον ἢ ἐς μάχην ξυνετάσσετο cap. 81. His expositis consentaneum videbitur, exercitum Niciae intervallo centum quinquaginta stadiorum ab exercitu Demosthenis abfuisse. Plut. Vit. Philopoem. c. 18. refert Philopoemenem iter amplius quadringentorum stadiorum uno die emensum esse i. e. paulo amplius septendecim mill. (lieues). Post rapidum iter Niciae intervallum centum quinquaginta stadiorum, quod paulo excedit numerum sex mill. (lieues) et dimidii (sive 15000 toises) non nimium apparebit reputantibus, iter a Nicia continuatum esse per totam noctem auctumnalem (cap. 79.) et postero mane usque ad horam prandii (περὶ ἄριστον ὥραν), quo temporis articulo Syracusani exercitum Demosthenis assequuti sunt.“ Demosthenes cum hoste confligere coepit inter Cacyparim et Erineum; hi fluvii distabant inter se sex millia passuum (3 lieues), teste Cluver. S. A. p. 183. Non poterat ergo Nicias Demosthenem centum quinquaginta stadiis praevertisse, poterat quinquaginta. Alioqui Nicias necesse est, ultra Erineum progressus esset; at constat eum ad ipsam ripam Erinei in colle consedisse. Θᾶσσόν τε γάρ positum est sine sequente *καί*, de quo usu dictum est ad 4, 52. Conf. Matth. p. 1279. Hic tamen sunt, qui τε referant ad sequentia ὁ δὲ Δημοσθένης, ut inter se respondeant τε — δέ, v. Herm. ad Vig. p. 836. Conf. adn. ad 1, 11. De verbis τὸ ὑπομένειν — καὶ μάχεσθαι v. Matth. p. 1063. init. et ibidem §. 545. de formula ἑκόντας εἶναι. Pro ἀνειληθέντες Lobeck. ad Phryn. p. 29. legi vult συνειληθέντες, quia ἀνειλεῖν idem sit quod ἐξελίσσειν. Contra ea Arn. affert locum Arrian. Al. M. 4, 5, 13. οἱ δὲ τοὺς διαβαίνοντας ἀντιμέτωποι ταχθέντες ἀνείλουν εἰς τὸν ποταμόν, ubi ἀνειλεῖν dicit respondere voci Gallicae refouler, itidemque hic esse *turbate repressi.*

ἔς τι χωρίον] Hunc locum Plut. V. Nic. c. 27. Πολυζήλειον αὐλήν vocat. Paulo post αὐτῇ τῇ ἡμέρᾳ vulgo legitur, Valla *hoc ipso die*, et ταύτῃ est in Vat. „Series narrationis haec est: die illucescente ambo exercitus Atheniensium pervenerunt ad viam litus legentem, quam ingressi veniebant ad rivum Cacyparim. Transitu per vim parato versus Erineum processerunt. At ibi postremo separati sunt: nam sectio Demosthenis oppressa est per hostes paulo ante meridiem, quo tempore Nicias iam quinquaginta stadiorum intervallo eum praecesserat, et illa per totum diem cum hoste digladiata sub vesperem se dedidit. Demosthenes igitur nunquam ad Erineum pervenit, sed in itinere a Cacypari ad Erineum interceptus est, ut apparet ex c. 80. διέβησαν τὸν ποταμὸν (Cacyparim) καὶ ἐχώρουν πρὸς τὸν Ἐρινεόν. At Nicias profecto ad Erineum pervenit (ἀφικνοῦνται), dum Demosthenes cum hostibus confligebat in tergis eius intervallo quinquaginta sexagintave stadiorum, quo facto agmen sustinebat, itinere per maiorem partem diei et per partem noctis quoque praecedentis continuato.“ ARN.

ὁ Νικίας ἦγε, νομίζων οὐ τὸ ὑπομένειν ἐν τῷ τοιούτῳ ἑκόντας εἶναι καὶ μάχεσθαι σωτηρίαν, ἀλλὰ τὸ ὡς τάχιστα ὑποχωρεῖν, τοσαῦτα μαχομένους ὅσα ἀναγκάζονται. ὁ δὲ Δημοσθένης ἐτύγχανέ τε τὰ πλείω ἐν πόνῳ ξυνεχεστέρῳ ὢν διὰ τὸ ὑστέρῳ ἀναχωροῦντι αὐτῷ πρώτῳ ἐπικεῖσθαι τοὺς πολεμίους, καὶ τότε γνοὺς τοὺς Συρακοσίους διώκοντας οὐ προὐχώρει μᾶλλον ἢ ἐς μάχην ξυνετάσσετο, ἕως ἐνδιατρίβων κυκλοῦταί τε ὑπ' αὐτῶν, καὶ ἐν πολλῷ θορύβῳ αὐτός τε καὶ οἱ μετ' αὐτοῦ Ἀθηναῖοι ἦσαν· ἀνειληθέντες γὰρ ἔς τι χωρίον, ᾧ κύκλῳ μὲν τειχίον περιῆν, ὁδὸς δὲ ἔνθεν τε καὶ ἔνθεν, ἐλάας δὲ οὐκ ὀλίγας εἶχεν, ἐβάλλοντο περισταδόν. τοιαύτῃσι δὲ προσβολαῖς καὶ οὐ ξυσταδὸν μάχαις οἱ Συρακόσιοι εἰκότως ἐχρῶντο· τὸ γὰρ ἀποκινδυνεύειν πρὸς ἀνθρώπους ἀπονενοημένους οὐ πρὸς ἐκείνων μᾶλλον ἦν ἔτι ἢ πρὸς τῶν Ἀθηναίων, καὶ ἅμα φειδώ τέ τις ἐγίγνετο ἐπ' εὐπραγίᾳ ἤδη σαφεῖ μὴ προαναλωθῆναί τῳ, καὶ ἐνόμιζον καὶ ὡς ταύτῃ τῇ ἰδέᾳ καταδαμασάμενοι λήψεσθαι αὐτούς. ἐπειδὴ γοῦν δι' ἡμέρας βάλλοντες πανταχόθεν 82
τοὺς Ἀθηναίους καὶ ξυμμάχους ἑώρων ἤδη τεταλαιπωρημένους τοῖς τε τραύμασι καὶ τῇ ἄλλῃ κακώσει, κήρυγμα ποιοῦνται Γύλιππος καὶ Συρακόσιοι καὶ οἱ ξύμμαχοι πρῶτον μὲν τῶν νησιωτῶν εἴ τις βούλεται ἐπ' ἐλευθερίᾳ ὡς σφᾶς ἀπιέναι· καὶ

ἀπεχώρησάν τινες πόλεις οὐ πολλαί. ἔπειτα δ' ὕστερον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας τοὺς μετὰ Δημοσθένους ὁμολογία γίγνεται ὥστε ὅπλα τε παραδοῦναι καὶ μὴ ἀποθανεῖν μηδένα μήτε βιαίως μήτε δεσμοῖς μήτε τῆς ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης. καὶ παρέδοσαν οἱ πάντες σφᾶς αὐτοὺς ἑξακισχίλιοι, καὶ τὸ ἀργύριον ὃ εἶχον ἅπαν κατέθεσαν ἐσβαλόντες ἐς ἀσπίδας ὑπτίας, καὶ ἐνέπλησαν ἀσπίδας τέσσαρας. καὶ τούτους μὲν εὐθὺς ἀπεκόμιζον ἐς τὴν πόλιν. Νικίας δὲ καὶ οἱ μετ' αὐτοῦ ἀφικνοῦνται ταύτῃ τῇ ἡμέρᾳ ἐπὶ τὸν ποταμὸν τὸν Ἐρινεόν, καὶ διαβὰς πρὸς μετέωρόν τι καθῖσε τὴν στρατιάν.

83 Οἱ δὲ Συρακόσιοι τῇ ὑστεραίᾳ καταλαβόντες αὐτὸν ἔλεγον ὅτι οἱ μετὰ Δημοσθένους παραδεδώκοιεν σφᾶς αὐτούς, κελεύοντες κἀκεῖνον τὸ αὐτὸ δρᾶν· ὁ δ' ἀπιστῶν σπένδεται ἱππέα πέμψαι σκεψόμενον. ὡς δ' οἰχόμενος ἀπήγγειλε πάλιν παραδεδωκότας, ἐπικηρυκεύεται Γυλίππῳ καὶ Συρακοσίοις εἶναι ἑτοῖμος ὑπὲρ Ἀθηναίων ξυμβῆναι ὅσα ἀνάλωσαν χρήματα Συρακόσιοι ἐς τὸν πόλεμον ταῦτα ἀποδοῦναι, ὥστε τὴν μετ' αὐτοῦ στρατιὰν ἀφεῖναι αὐτούς· μέχρι οὗ δ' ἂν τὰ χρήματα ἀποδοθῇ, ἄνδρας δώσειν Ἀθηναίων ὁμήρους, ἕνα κατὰ τάλαντον. οἱ δὲ Συρακόσιοι καὶ Γύλιππος οὐ προσεδέχοντο τοὺς λόγους, ἀλλὰ προσπεσόντες καὶ περιστάντες πανταχόθεν ἔβαλλον καὶ τούτους μέχρι ὀψέ. εἶχον δὲ καὶ οὗτοι πονήρως σίτου τε καὶ τῶν ἐπιτηδείων ἀπορίᾳ. ὅμως δὲ τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχάζον ἔμελλον πορεύεσθαι. καὶ ἀναλαμβάνουσί τε τὰ ὅπλα, καὶ οἱ Συρακόσιοι αἰσθάνονται καὶ ἐπαιώνισαν. γνόντες δὲ οἱ Ἀθηναῖοι ὅτι οὐ λανθάνουσι, κατέθεντο πάλιν πλὴν τριακοσίων μάλιστα ἀνδρῶν· οὗτοι δὲ διὰ τῶν φυλάκων βιασάμενοι ἐχώ-
84 ρουν τῆς νυκτὸς ᾗ ἐδύναντο. Νικίας δὲ ἐπειδὴ ἡμέρα ἐγένετο ἦγε τὴν στρατιάν· οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον πανταχόθεν βάλλοντές τε καὶ κατακοντίζοντες. καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμόν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου, οἰόμενοι ῥᾷόν τι σφίσιν ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμόν, ἅμα δὲ ὑπὸ τῆς ταλαιπωρίας καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. ὡς δὲ γίγνονται ἐπ' αὐτῷ, ἐπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι, ἀλλὰ πᾶς τέ τις διαβῆ-

83. ἕνα κατὰ τάλαντον] Vid. adn. ad 3, 70. init. et Dorv. ad Charit. p. 286. Mox vulgo erat καὶ τῶν ἄλλων ἐπιτηδείων, sed ἄλλων plurimi praestantissimique libri reiiciunt, quanquam ad sententiam necessarium esse vere mihi Did. perhibere videtur. De iunctione temporum αἰσθάνονται et ἐπαιώνισαν v. Matth. p. 956. 1.

84. Ἀσσίναρον] Hunc Cluver. dicit nunc Falconara appellari, at Smyth. eum appellat Asinaro et dicit eum exire in mare prope Ballatam di Noto, quae est parva statio navium prope prominentiam terrae, clare expressam in tabula Siciliae, quam edidit societas vulgandis utilibus cognitionibus instituta (the Useful Knowledge society). Ripae huius fluminis altae et praecipites sunt. ARN. Vol. 3. p. 536.

ναι αὐτὸς πρῶτος βουλόμενος καὶ οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη τὴν διάβασιν ἐποίουν· ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν ἐπέπιπτόν τε ἀλλήλοις καὶ κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κατέῤῥεον. ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακόσιοι, ἦν δὲ κρημνῶδες, ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους καὶ ἐν κοίλῳ ὄντι τῷ ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους. οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαξον. καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο, ἀλλ' οὐδὲν ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ πηλῷ ἡματωμένον καὶ περιμάχητον ἦν τοῖς πολλοῖς. τέλος δὲ νεκρῶν τε πολλῶν ἐπ' ἀλλήλοις ἤδη 85

περί τε τοῖς δορατίοις — κατέῤῥεον] In his περὶ τοῖς δορ. διεφθείροντο idem est, quod περιόμενοι περὶ τοῖς δορατίοις, ut Bloomf. observavit. Verba autem εὐθὺς διεφθείροντο ad περὶ τοῖς δορατίοις, verba οἱ δὲ κατέῤῥεον ad σκεύεσιν Arn. recte refert. „De statu, ait, movebantur et super varia sarcinarum in conturbatione amissarum et hinc illinc sparsarum procumbentes nec valentes statum recuperare, viribus exhausti in ima deferebantur.“ Verba οἱ δὲ ἐμπαλασσόμενοι — Ἀθηναίους Suidas in ἐμπαλασσόμενοι adscripsit, apud quem τε deest, punctum post ποταμοῦ ponitur, et δέ additur post περιστάντες, sic enim ibi legitur, quemadmodum in F. Verbum ἐμπαλ. falso explicat per ἐμπίπτοντες εἰς τὸ ὕδωρ. Secus Eustath. ad Hom. Il. 5. p. 527. Rom. ἱστέον δὲ ὅτι Αἴλιος Διονύσιος μέμνηται τοῦ Θουκυδίδου εἰπόντος τὸ ἐμπαλασσόμενοι ἀντὶ τοῦ ἐμπλεκόμενοι, περιπειρόμενοι δόρατι, φυρόμενοι. Haec ipsis verbis iisdem iterat Phavorinus. Zonaras exponit per προσκρούοντες, προσπελάζοντες, addens: καὶ ἀντὶ τοῦ ἐπεμβαίνοντες καὶ συμπηγνύμενοι, et adiiciens exempla, ubi Tittm. convertit *se mutuo implicare, irretire.* Cyrillus ex loco praesenti: ἐμπλασσόμενοι, ἐμπίπτοντες ποταμῷ. Zonaras iterum in ἐμπλασσόμενοι eodem modo interpretatur, allatis verbis οἱ δὲ ἐμπλασσόμενοι (quemadmodum est in corr. l.) — θάτερα τοῦ ποταμοῦ. Et καὶ ἀντὶ τοῦ μαλυνόμενοι, pergit, παλάσσω γὰρ τὸ μολύνω. Dio Cass. 62, 16. ἀλλήλοις τε ἐνεπλάζοντο καὶ περὶ τοῖς σκεύεσιν ἐσφάλλοντο, qui locus manifesto ex praesenti expressus est. v. Levesqu. ad Thuc. Vol. 4. p. 195. Wess. et Valck. ad Herodot. 7, 85., unde apparet, Eustathii explicationem ἐμπλεκόμενοι, φυρόμενοι praeferendam esse. „Verbum κατέῤῥεον dicerem significare *secundo fluvio labebantur*, si sumi posset Assinarum recentibus imbribus auctum esse (v. cap. 79.), alioqui fluvio Siculo mense Septembri vix satis aquae fuisset ad auferendum aliquid. Καταῤῥεῖν sensu *demergi, ad ima deferri* (untersinken) est apud Dionys. A. R. 3, 19. et Soph. Antig. 1010.“ ARN.

οἵ τε Πελοποννήσιοι — τοῖς πολλοῖς] Utitur his verbis Longin. de Sublim. 38, 3. tanquam exemplo optimae hyperbolae. Sed pro Πελοποννήσιοι habet Συρακούσιοι, quod Duk. verum esse putat; nam quum in tota hac narratione de fuga Atheniensium inde a cap. 78. usque ad h. l. nusquam Peloponnesios, fere ubique Syracusanos et semel iterumque Syracusanos eorumque socios nominet, negat causam dici posse, cur hic potissimum Peloponnesios memorare voluerit. Poppo negat in talibus rhetorum auctoritatem contra libros scriptos quidquam valere, addens hic Peloponnesios, qui in numero sociorum erant, singularem virtutem probasse et propterea loco Syracusanorum appellatos esse. Consentit Arn. ita disserens: „Syracusanorum graviter armati pessimi

κειμένων ἐν τῷ ποταμῷ καὶ διεφθαρμένου τοῦ στρατεύματος τοῦ μὲν κατὰ τὸν ποταμόν, τοῦ δέ, καὶ εἴ τι διαφύγοι, ὑπὸ τῶν ἱππέων, Νικίας Γυλίππῳ ἑαυτὸν παραδίδωσι, πιστεύσας μᾶλλον αὐτῷ ἢ τοῖς Συρακοσίοις· καὶ ἑαυτῷ μὲν χρῆσθαι ἐκέλευεν ἐκεῖνόν τε καὶ Λακεδαιμονίους ὅ,τι βούλονται, τοὺς δὲ ἄλλους στρατιώτας παύσασθαι φονεύοντας. καὶ ὁ Γύλιππος μετὰ τοῦτο ζωγρεῖν ἤδη ἐκέλευε· καὶ τούς τε λοιποὺς ὅσους μὴ ἀπεκρύψαντο, πολλοὶ δὲ οὗτοι ἐγένοντο, ξυνεκόμισαν ζῶντας, καὶ ἐπὶ τοὺς τριακοσίους, οἳ τὴν φυλακὴν διεξῆλθον τῆς νυκτός, πέμψαντες τοὺς διωξομένους ξυνέλαβον. τὸ μὲν οὖν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν οὐ πολὺ ἐγένετο, τὸ δὲ διακλαπὲν πολύ, καὶ διεπλήσθη πᾶσα Σικελία αὐτῶν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως ὥσπερ τῶν μετὰ Δημοσθένους ληφθέντων. μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανε· πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο. καὶ ἐν ταῖς ἄλλαις προσβολαῖς ταῖς κατὰ τὴν πορείαν συχναῖς γενομέναις οὐκ ὀλίγοι ἐτεθνήκεσαν. πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν καὶ παραυτίκα, οἱ δὲ καὶ δουλεύσαντες καὶ διαδιδράσκοντες ὕστερον· τούτοις δ' ἦν ἀναχώρησις ἐς Κατάνην.

generis fuisse, nec prospere adversus Athenienses, nisi ab equitibus suis adiuti, pugnasse videntur. Quemadmodum igitur Boeoti in nocturna aggressione Epipolarum fortunam pugnae verterant, postquam Syracusani nequidquam Atheniensibus resistere conati erant, ita tunc Peloponnesii milites duce Gylippo strenua disciplina subacti soli cum hoste cominus congredi ausi sunt, dum Syracusani satis habebant eos eminus telis verberare." Porro Longin. omittit τε ante ὁμοῦ et postrema sic apud eum a Weiskio edita sunt: καὶ τοῖς πολλοῖς ἔτι ἦν περιμάχητον. Id a Tollio enotatum est ex cod. Vat. Longini. Imitationem loci Thucydidei Toup. indicavit ab Herodiano 8, 5. factam, verum inde non constat, hunc scriptorem illi ut imitatori colores praebuisse. Huc pertinet etiam Lucian. de Conscr. Hist. c. 38. Denique de plusquamperfecto διέφθαρτο v. Matth. p. 960. init.

85. ἑαυτῷ — χρῆσθαι] v. ibidem p. 749. 6.

ἐν τῷ Σικελικῷ πολέμῳ] Ἑλληνικῷ emendant Tus. et Schol.: λέγει γὰρ αὐτὸς ἐπὶ τέλει τῆσδε τῆς ἱστορίας (cap. 87.), „συνέβη δὲ τοῦτο τὸ ἔργον τὸ Ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι, δοκεῖ δέ μοι, καὶ ὧν Ἑλληνικῶν ἴσμεν." ἔοικεν οὖν κἀνταῦθα μὴ μόνοις τοῖς Σικελικοῖς, ἀλλὰ πᾶσι τοῖς Ἑλληνικοῖς ἀντεξετάζειν τὴν συμφοράν. Aliter sentit Meyer Turicensis, „Quidni, ait, Thucydides diceret: haec ultima clades Atheniensium maxima fuit omnium, quam biennio, per quod bellum Siculum gestum est, perpessi erant, maior igitur quam clades nocturna in Epipolis, et in pugnis navalibus." Addit Arn.: „sic in proximo versu clades ad Assinarum comparatur quodammodo cum iactura, quam Athenienses fecerant in variis certaminibus, quae exercitus inter receptum per partes inierat. Non aliter est, ac si scriptor Gallicus expeditionis in Russiam factae de strage apud Beresinam scriberet: haec atrocior erat quam ulla per totum bellum Russicum." Neque quidquam locus capitis 87. probat: quid enim vetat, ne rerum Sicularum comparatio fiat etiam cum rebus Graecorum universorum?

Ξυναθροισθέντες δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, τῶν86
τε αἰχμαλώτων ὅσους ἐδύναντο πλείστους καὶ τὰ σκῦλα ἀναλαβόντες, ἀνεχώρησαν ἐς τὴν πόλιν. καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν ξυμμάχων ὁπόσους ἔλαβον κατεβίβασαν ἐς τὰς λιθοτομίας, ἀσφαλεστάτην εἶναι νομίσαντες τὴν τήρησιν. Νικίαν δὲ καὶ Δημοσθένην ἄκοντος Γυλίππου ἀπέσφαξαν. ὁ γὰρ Γύλιππος καλὸν τὸ ἀγώνισμα ἐνόμιζέν οἱ εἶναι ἐπὶ τοῖς ἄλλοις καὶ τοὺς ἀντιστρατήγους κομίσαι Λακεδαιμονίοις. ξυνέβαινε δὲ τὸν μὲν πολεμιώτατον αὐτοῖς εἶναι, Δημοσθένην, διὰ τὰ ἐν τῇ νήσῳ καὶ Πύλῳ, τὸν δὲ διὰ τὰ αὐτὰ ἐπιτηδειότατον· τοὺς γὰρ ἐκ τῆς νήσου ἄνδρας τῶν Λακεδαιμονίων ὁ Νικίας προὐθυμήθη, σπονδὰς πείσας τοὺς Ἀθηναίους ποιήσασθαι, ὥστε ἀφεθῆναι. ἀνθ' ὧν οἵ τε Λακεδαιμόνιοι ἦσαν αὐτῷ

86. λιθοτομίας] His nunc varia nomina sunt, quae recenset Kephalid. Vol. 2. p. 18 sqq. Adde Muenter p. 341 sqq. 352 sqq. 372. Notissimus est locus de lautumiis apud Cic. 2. Verr. 5, 27. v. de Situ Syrac. p. 59. adn. 6. Articulus in verbis τὴν τήρησιν abest ab optimis libris. Arn. confert cap. 42. ξυντομωτάτην ἡγεῖτο διαπολέμησιν. De caede Niciae et Demosthenis cum Thucydide consentit Philist. fragm. 46. p. 168 sq. Diod. 13, 19. Niciam Gylippo impulsore interemtum asseverat, ac Timaeus quoque Thucydidi et Philisto oblocutus erat teste Plut. Nic. 28., narrans eos Hermocrate auctore sibi ipsos manum intulisse. „Κατέλευσαν pro ἀπέσφαξαν [in I. est κατέσφαξαν, quod Thucydidem alibi habere Popp. negat] Thucydidem scripsisse suspicetur quispiam ex Plut. Nic. prope fin., ubi haec sunt: Δημοσθένην δὲ καὶ Νικίαν ἀποθανεῖν Τίμαιος οὔ φησιν ὑπὸ τῶν Συρακουσίων καταλευσθέντας, ὡς Φίλιστος ἔγραψε καὶ Θουκυδίδης, ἀλλ' αὐτοὺς δι' ἑαυτῶν ἀποθανεῖν." Huds. Sed ibi nunc ex Bodl. 3. vere videri legi κελευσθέντες Popp. adnotavit. De fatis reliquorum bello captorum adi Plut. Nic. 29. Diod. 13, 33. Conf. adn. ad Timaei fragm. 71. p. 269. „Lucian. de Conscr. Hist. Niciam ait interfectum esse, captum vero Demosthenem; Iustin. 4, 5. Demosthenem sibi ipsi intulisse manus: recte quidem hic; nam percussit se in proelio, haud tamen lethaliter, teste Plut. [Nic. c. 27.] Conf. Eurip. fragm. 516." Wass. De loco Luciani fallitur, neque enim is dicit, sortem Niciae et Demosthenis diversam fuisse. Verba eius c. 38. Vol. 4. p. 201. Bip. haec sunt: οὐδὲ Κλέων αὐτὸν φοβήσει — οὐδὲ ἡ σύμπασα πόλις τῶν Ἀθηναίων, ἣν τὰ ἐν Σικελίᾳ κακὰ ἱστορῇ καὶ τὴν Δημοσθένους λῆψιν καὶ τὴν Νικίου τελευτήν, καὶ ὡς ἐδίψων, καὶ οἷον τὸ ὕδωρ ἔπινον, καὶ ὡς ἐφονεύοντο πίνοντες οἱ πολλοί. De variis significationibus vocis ἀγώνισμα dixi ad 1, 22. extr. Plut. pro eo dicit: μέγα δ' ἡγεῖτο πρὸς δόξαν. Schol. quoque et Dionys. Hal. ἀγώνισμα apud Thuc. 3, 82. interpretantur δόξαν, *laudem* sive *opinionem hominum alii gloriosam*, ut convertit Duk. Idem adnotavit, a Suida exponi per ἔπαθλον, *praemium*, apud Arist. Ran. 286. „Habet, addit, haec vox in universum significationem laudis et dicitur de omnibus praeclaris studiis ac facinoribus, quae gloria consequitur. Vid. Thuc. 7, 56. 59. 8, 17." Praesenti quidem loco recte converti puto Siegespreis. Paulo post Δημοσθένην in epexegesi est verborum τὸν μέν, de quo usu v. Matth. p. 580. et ibidem p. 1194. de verbis τοὺς ἐκ τῆς νήσου ἄνδρας. Mox de Nicia opulento vid. Boeckh. Staatsh. d. Ath. Vol. 2. p. 13. Wachsm. Antt. Gr. 1, 2. p. 184, 35. De plusquamperfecto ἐτεθνήκει adi Matth. p. 960. init.

προσφιλεῖς, κἀκεῖνος οὐχ ἥκιστα διὰ τοῦτο πιστεύσας ἑαυτὸν τῷ Γυλίππῳ παρέδωκεν. ἀλλὰ τῶν Συρακοσίων τινές, ὡς ἐλέγετο, οἱ μὲν δείσαντες, ὅτι πρὸς αὐτὸν ἐκεκοινολόγηντο, μὴ βασανιζόμενος διὰ τὸ τοιοῦτο ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ, ἄλλοι δέ, καὶ οὐχ ἥκιστα οἱ Κορίνθιοι, μὴ χρήμασι δὴ πείσας τινάς, ὅτι πλούσιος ἦν, ἀποδρᾷ καὶ αὖθις σφίσι νεώτερόν τι ἀπ' αὐτοῦ γένηται, πείσαντες τοὺς ξυμμάχους ἀπέκτειναν αὐτόν. καὶ ὁ μὲν τοιαύτῃ ἢ ὅτι ἐγγύτατα τούτων αἰτίᾳ ἐτεθνήκει, ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων
87 ἐς τοῦτο δυστυχίας ἀφικέσθαι διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν. τοὺς δ' ἐν ταῖς λιθοτομίαις οἱ Συρακόσιοι χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείρισαν. ἐν γὰρ κοίλῳ χωρίῳ ὄντας καὶ ὀλίγῳ πολλοὺς οἵ τε ἥλιοι τὸ πρῶτον καὶ πνίγος ἔτι ἐλύπει διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον, πάντα τε ποιούντων αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ αὐτῷ καὶ προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, οἳ ἔκ τε τῶν τραυμάτων καὶ διὰ τὴν μεταβολὴν

πᾶσαν ἐς ἀρετὴν νενομισμένην] *πᾶσαν ἐς ἀρετήν* addita sunt ex Cass. Vat. C. F. Gr. D. I. et rec. *γρ.* It. ac marg. Cl. (Contra Cass. in marg. *γρ. διὰ τὴν νενομισμένην ἐπιτήδευσιν.*) Contra post *νενομισμένην* vulgo legitur *ἐς τὸ θεῖον*, quae verba desunt in Cass. Aug. Pal. It. Vat. Reg. (G.) Marc. C. F. (Lugd.) Gr. D. I. E. Mosqu. K. m. Ar. Chr. Laur. Cl. Ven. T. (Cantabr. Arnoldi). Valla: *ob studium virtutis, quod omne in illam conferebat.* Schol. receptam scripturam et ipse agnoscit: *διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν, διὰ τὸ πᾶσαν ἀρετὴν νομίμως ἐπιτηδευκέναι. οὐ γὰρ δὴ νενομισμένην ἀρετὴν τὴν δοκοῦσάν φησι.* Qui libri *πᾶσαν ἐς ἀρετήν* habent, iidem omittunt *ἐς τὸ θεῖον*. Causam huius scriptorum librorum discrepantiae facile est intelligere. Nam quum in aliquot libris verba *πᾶσαν ἐς ἀρετήν* excidissent, nihil erat, quo referretur *νενομισμένην*. Igitur *ἐς τὸ θεῖον* suppleverunt, idque ex cap. 76. verbis Niciae *πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιήτημαι* suppeditatum paulatim e margine in syntagma scriptoris migravit.

87. *ἥλιοι — ἐνεωτέριζον*] Suidas in *νεωτερίζειν* valde depravatum h. l. affert: *τῆς ἡμέρας τὸ πνῖγος ἐλύπει, νυκτὸς δὲ μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἀσθένειαν ἐνεωτέριζον.* „Hunc locum ante oculos habuit Auctor veteris lexici, quem e Thucydide *ἥλιοι* pro *soles, aestus* afferre scribit Steph. in Thes. Adnotat ad Dionys. Perieg. 39. Eustath., etiam Libanium et Aelianum plurali numero dicere *οἱ ἥλιοι*, sed Libanium *τοὺς ἡλίους* pro *diebus* ponere. Respexit fortasse ad Aelian. V. H. 13, 1. Utroque significatu *soles* dicunt Latini.“ Duk.

πάντα τε ποιούντων] Honeste Scymni fragm. de Mossynoecis — *ἔργοις βαρβαρικοῖς — ἐν φανερῷ δ' ἀεὶ ἕκαστα πράττειν.* De iisdem Apollon. Rhod. 2, 1020. Wass. Huc pertinere scholion, quod sub alieno lemmate ponitur, vidit Haack.: *διὰ τὸ δύσφημον ἀπεσιώπησεν αὐτὰ ὀνομασὶ εἰπεῖν. Βούλεται δὲ λέγειν τὰ ὑποχωρήματα, ἅπερ οἱ ἰατροὶ σκύβαλα καὶ ἀποπατήματα εἰώθασι καλεῖν.* Herodot. *ἐς εὐμαρέην* — Xen. *ἐπὶ τὰ ἀναγκαῖα ἴεσθαι.* v. Valck. ad Herodot. 4, 113. Mox femininum *ἀνεκτός* habent etiam Simonides ap. Stobae. 3. p. 63. Gaisf. et Agath. 4, 28. ut Popp. adnotavit.

καὶ τὸ τοιοῦτον ἀπέθνησκον, καὶ ὁσμαὶ ἦσαν οὐκ ἀνεκτοί, καὶ λιμῷ ἅμα καὶ δίψει ἐπιέζοντο· ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου. ἄλλα τε ὅσα εἰκὸς ἐν τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι, οὐδὲν ὅ,τι οὐκ ἐπεγένετο αὐτοῖς. καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας οὕτω διῃτήθησαν ἀθρόοι· ἔπειτα πλὴν Ἀθηναίων καὶ εἴ τινες Σικελιωτῶν ἢ Ἰταλιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο. ἐλήφθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν ἐξειπεῖν, ὅμως δὲ οὐκ ἐλάσσους ἑπτακισχιλίων. ξυνέβη τε ἔργον τοῦτο Ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι, δοκεῖν δ' ἐμοιγε καὶ ὧν ἀκοῇ Ἑλληνικῶν ἴσμεν, καὶ τοῖς τε κρατήσασι λαμπρότατον καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον· κατὰ πάντα γὰρ πάντως νικηθέντες καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δὴ τὸ λεγόμενον καὶ πεζὸς καὶ νῆες καὶ οὐδὲν ὅ,τι οὐκ ἀπώλετο, καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἶκου ἀπενόστησαν. ταῦτα μὲν τὰ περὶ Σικελίαν γενόμενα.

9. τὰ Ἴσθμια, ἃ τότε ἦν] Isthmia modo in mensem Corinthiorum Panemum, modo in Munychionem aut Thargelionem incidisse affirmat Corsin. Diss. Agonist. 4. Hos ludos dicit triettericos fuisse, *modo cum primo, modo cum tertio Olympiadis cuiusvis anno competentes.* Qui cum primo, eos mense Corinthiorum Panemo sive Attico Hecatombaeone, Romanove Iulio celebratos esse ait; qui vero tertio Olympiadis anno agebantur, eos vel ad Munychionem, Romanumve fere Aprilem vel Thargelionem Romanumve fere Maium spectasse. At series narrationis non aliter patitur, quam ut Isthmia praesentis loci Ol. 91, 4. (412.) verno tempore acta sint: namque, ut Krueg. et Arn. animadverterunt, ipso initio aestatis i. e. post diem 7 Apr. Lacedaemonii Corinthum miserant, qui iuberent classem trans Isthmum vectam in Ioniam traiicere (vid. cap. 7.), nec cogitari licet, tres menses in otio transactos esse, et classem properare iussam mense Aprili usque Iulio mense in portu fuisse, dum nulla mentio fit temporis iacturae, donec devenimus ad ludos Isthmios, qui secundum Corsinium mense Iulio acti esse deberent. Addit Krueg. Comm. Thuc. p. 316. aliud argumentum, quod ipso Hecatombaeone creati Phrynichus atque Onomacles et Scironides multis sectionibus post c. 25. Athenis Samum advecti narrentur, superioris autem anni praetores Leon et Diomedon adhuc navibus praefuerint; mense enim Hecatombaeone ἀρχαιρεσίας Athenis fuisse, neminem ignorare. At quod de comitiis magistratuum tanta securitate asseverat, id se iuxta cum ignarissimis, quando ea habita sint, ignorare fatetur qui has res data opera καὶ οὐκ ἐν παρέργῳ tractavit Schoem. de Comit.

Ἄγις δὲ αὐτοῖς ἑτοῖμος ἦν ἐκείνους μὲν μὴ λύειν δὴ τὰς Ἰσθμιάδας σπονδάς, ἑαυτοῦ δὲ τὸν στόλον ἴδιον ποιήσασθαι. οὐ ξυγχωρούντων δὲ τῶν Κορινθίων, ἀλλὰ διατριβῆς ἐγγιγνομένης, οἱ Ἀθηναῖοι ἥσθοντο τὰ τῶν Χίων μᾶλλον, καὶ πέμψαντες ἕνα τῶν στρατηγῶν Ἀριστοκράτην ἐπητιῶντο αὐτούς, καὶ ἀρνουμένων τῶν Χίων, τὸ πιστὸν ναῦς σφίσι ξυμπέμπειν ἐκέλευον ἐς τὸ ξυμμαχικόν· οἱ δ' ἔπεμψαν ἑπτά. αἴτιον δ' ἐγένετο τῆς ἀποστολῆς τῶν νεῶν οἱ μὲν πολλοὶ τῶν Χίων οὐκ εἰδότες τὰ πρασσόμενα, οἱ δὲ ὀλίγοι ξυνειδότες τό τε πλῆθος οὐ βουλόμενοί πω πολέμιον ἔχειν, πρίν τι καὶ ἰσχυρὸν λάβωσι, καὶ τοὺς Πελοποννησίους οὐκέτι προσδεχόμενοι ἥξειν, ὅτι διέτριβον.

Ἐν δὲ τούτῳ τὰ Ἴσθμια ἐγίγνετο, καὶ οἱ Ἀθηναῖοι, ἐπηγγέλθησαν γὰρ [αἱ σπονδαί], ἐθεώρουν ἐς αὐτά, καὶ κατάδηλα μᾶλλον αὐτοῖς τὰ τῶν Χίων ἐφάνη. καὶ ἐπειδὴ ἀνεχώρησαν, παρεσκευάζοντο εὐθὺς ὅπως μὴ λήσουσιν αὐτοὺς αἱ νῆες ἐκ τῶν Κεγχρειῶν ἀφορμηθεῖσαι. οἱ δὲ μετὰ τὴν ἑορτὴν ἀνήγοντο μιᾷ καὶ εἴκοσι ναυσὶν ἐς τὴν Χίον, ἄρχοντα Ἀλκαμένην ἔχοντες. καὶ αὐτοῖς οἱ Ἀθηναῖοι τὸ πρῶτον ἴσαις ναυσὶ προσπλεύσαντες ὑπῆγον ἐς τὸ πέλαγος. ὡς δ' ἐπὶ πολὺ οὐκ ἐπηκολούθησαν οἱ Πελοποννήσιοι ἀλλ' ἀπετράποντο, ἐπανεχώρησαν καὶ οἱ Ἀθηναῖοι· τὰς γὰρ τῶν Χίων ἑπτὰ ναῦς ἐν τῷ ἀριθμῷ

Ath. p. 322 sqq. Ceterum de superstitione ista in celebrandis festis vide Drumann. Gesch. des Verf. der Gr. Staaten p. 710. Paulo inferius verba τὸ πιστόν in appositione sunt verborum ναῦς σφίσι ξυμπέμπειν, quasi scripsisset ὁ τὸ πιστὸν εἴη. v. Matth. §. 410. 432. Herm. ad Soph. Tr. 559. coll. v. 218. Et τὸ πιστόν recte Duk. iungit cum verbis ἐς τὸ ξυμμαχικόν, *naves, quae fidem facerent* sive *pignoris loco essent, eos in societate mansuros.* Ita Thuc. 3, 11. τὸ ἀνίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν. Denique ἐγένετο in verbis αἴτιον δ' ἐγένετο praedicato, non subiecto adstructum est. Sic 4, 26. αἴτιον δ' ἦν οἱ Λακεδαιμόνιοι προειπόντες. v. Matth. p. 611.

10. ἐπηγγέλθησαν] Induciae indicebantur per σπονδοφόρους sive fetiales. v. Dissen. Explicc. Pind. p. 494. Od. Muell. Dor. 1. p. 139. Vat. addit αἱ σπονδαί, quem, ut solet, sequitur Valla: *indicta enim fuerant foedera dierum festorum.* Additamentum probabile est ex scholio natum esse, ac profecto Schol. Cass. hic adnotavit αἱ σπονδαὶ δηλονότι. Verbis αἱ σπονδαί omissis duplex vulgatae explicatio admitti potest: dicas enim vel ἐπηγγέλθησαν τὰ Ἴσθμια, ut neutrum pluralis legitur coniunctum cum verbo plurali 1, 126. ἐπῆλθον Ὀλύμπια et 5, 75. Κάρνεια ἐτύγχανον ὄντα, ubi v. adn., vel haec via explicandi pluralis est (quod Popp. monuit), ut subiectum fiat οἱ Ἀθηναῖοι, *nunciatum erat Atheniensibus, inducias Isthmiorum esse.* Certe 5, 49. legi ait λέγοντες μὴ ἐπηγγέλθαι πω ἐς Λακεδαίμονα τὰς σπονδάς. Mox ἐθεώρουν est θεωροὺς ἔπεμπον, v. Herm. ad Soph. Oed. C. 1085. p. 220. Conf. Wachsm. Antt. Gr. 1, 1. p. 110, 53. Cenchreae portus erat Corinthiorum ad sinum Saronicum, teste Strabone 8. p. 583. A., septuaginta stadia, secundum Gell. Morea p. 207. tantum 6½ milliar. Angl. a Corintho remotus. Dein ὑπῆγον ἐς τὸ πέλαγος est *se recipere coeperunt versus altum.* Arn. confert 5, 10. ὑπάγειν ἐπὶ τῆς Ἰωνίας.

μετὰ σφῶν ἔχοντες οὐ πιστὰς ἐνόμιζον· ἀλλ' ὕστερον ἄλλας προσπληρώσαντες ἑπτὰ καὶ τριάκοντα παραπλέοντας αὐτοὺς

ἄλλας προσπληρώσαντες ἑπτὰ καὶ τριάκοντα] i. e. praeter illas 21 naves, ut iam essent 58. Bau. Navium ratio haec est: Athenienses profecti erant cum 21 navibus (14 suis, Chiis 7; id quod probant verba: τὰς γὰρ τῶν Χίων ἑπτὰ ναῦς ἐν τῷ ἀριθμῷ μετὰ σφῶν ἔχοντες etc.) Peloponnesii et ipsi 21 naves habebant, at harum unam amiserunt, reliquae pleraeque vulneratae sunt. Atheniensibus nunc accedunt 37 naves, ut summa sit 58 navium. At c. 15. legimus, de hoc numero demtas esse 27 naves (8 Strombichidis, 12 Thrasyclis, 7 Chias). Tamen vel sic Atheniensibus ad obsidendos Peloponnesios restabant 31 naves, maior adeo quam opus erat numerus contra naves tum pauciores, tum maximam partem laesas. Quod autem Krueg. p. 309—312. praesenti loco deleta vult verba καὶ τριάκοντα, non apparet, qui ex numero 28 navium (tot enim, si deleas verba καὶ τριάκοντα, relinquerentur), demi 27 naves potuerint, ut una tantum reliqua fiat. „Nam quod Krueg. iam post 8 Strombichidis naves ex illis 27 avocatas (vid. c. 15.) statim alias auxilio submissas esse suspicatur, id ex verbis scriptoris erui nequit.“ Popp., qui quod addit: „Possentne igitur verba nostra per breviloquentiam Thucydideam significare: *aliis insuper impletis, ut universae essent septem et triginta?*“ et ipse cum Arnoldo eum secuto mihi errare videtur. Nam demtis 27 ex hoc numero restant decem naves, obsidendis viginti navibus, utut fractis, vix sufficientes. Neque validiora sunt argumenta, quibus Popp. vulgatam huius loci scripturam impugnat, dicens: „neque cur navibus non abundantes tot contra unam et viginti Peloponnesiorum armaverint, apparet, neque viginti Atticis et septem aliis c. 15. detractis numerus Peloponnesiis par remansisset.“ Nam tanto maiorem numerum navium, quam numerus Peloponnesiorum erat, aliis praeterea usibus paraverant, quos mox ipse scriptor aperit, et alterum, quod de numero Peloponnesiis non pari Popp. addidit, ipsis iis, quae statim de ratione navium dicam, satis puto refutari. Etenim praeter naves hic memoratas Atticas hae praeterea ex clade Sicula superstites reperiuntur: I. Centum illae naves, quas Athenienses quotannis una cum mille talentis seponebant ex decreto ap. Thuc. 2, 24. Is quidem 8, 15. scribit, mille illa talenta tunc post cladem illam in usum conversa esse; de centum navibus tacet. Kruegeri Comm. Thuc. p. 311. adn. 6. opinio est, naves illas iam quarto anno belli (Thuc. 3, 16 sq.), vel in expeditionem Siculam adhibitas esse. Haec mera suspicio est et partim improbabilis. II. Narratur 7, 20. 26. Charicles cum 30 navibus ab expeditione in Peloponnesum suscepta Athenas reversus esse. His Krueg. p. 311. putat Athenienses ad coercendos socios usos esse. III. In universum credibile est, Athenienses ineunte vicesimo anni bello circiter centum viginti naves habuisse. Primum enim ad Piraeum in agro Corinthio 58 naves habebant; deinde apud Naupactum et Leucadiam plus triginta, vid. 8, 13. 7, 34. coll. cap. 31. (Naves enim his locis memoratae omnes eaedem sunt.) Adde triginta naves Chariclis: efficitur summa 118 navium. Paulo post (8, 15.) viginti novas naves aedificabant, certe meditabantur. Krueg. p. 311 sq. quaerit, cur Athenienses stationem ad Piraeum habentes c. 11. Athenas mittant, qui auxilium arcessant? Respondet ipse Thucydides his verbis: παρῆσαν γὰρ καὶ τοῖς Πελοποννησίοις τῇ ὑστεραίᾳ οἵ τε Κορίνθιοι βοηθοῦντες ἐπὶ τὰς ναῦς, καὶ οὐ πολλῷ ὕστερον καὶ οἱ ἄλλοι πρόσχωροι etc. Miratur idem p. 312., cur cap. 20. solum viginti naves in Piraeo Peloponnesios obsideant. Ac iure mirari videri possit, nam facta computatione triginta una naves comparere

καταδιώκουσιν ἐς Πειραιὸν τῆς Κορινθίας· ἔστι δὲ λιμὴν ἐρῆμος καὶ ἔσχατος πρὸς τὰ μεθόρια τῆς Ἐπιδαυρίας. καὶ μίαν μὲν ναῦν ἀπολλύασι μετέωρον οἱ Πελοποννήσιοι, τὰς δὲ ἄλλας

deberent post demtas ex 58 navium numero naves 27. At Krueg. male intellexit verba cap. 20. init. *καταδιωχθεῖσαι τότε καὶ ἐφορμούμεναι ἴσῳ ἀριθμῷ ὑπὸ Ἀθηναίων*. Illud *τότε* refertur ad verba c. 10. *οἱ δὲ μετὰ τὴν ἑορτὴν ἀνήγοντο μιᾷ καὶ εἴκοσι ναυσὶν ἐς τὴν Χίον — καὶ αὐτοῖς οἱ Ἀθηναῖοι τὸ πρῶτον ἴσαις ναυσὶ προσπλεύσαντες ὑπῆγον ἐς τὸ πέλαγος*, et non ad naves Atheniensium postea auctas, quum iis 58 naves erant. Non igitur Athenienses dicuntur ad Piraeum cum 20 navibus stationem habere, sed erant iis etiamtunc suae 58 naves, nam in locum navium 27, quae abierant, Athenienses c. 15. vers. fin., parem numerum submiserunt, quin alias triginta naves impleturi erant. Quae 27 naves etiamsi non statim aderant, tamen vel sic Atheniensibus 31 naves adversus viginti Peloponnesiorum erant. Quum vero Athenienses tantum cum certo quodam numero ad ipsum Piraeum stationem haberent, cum reliquis autem in vicina parva insula (cap. 11.) essent, fieri potuit, ut ab obsessis subito impetu oppressi, quamquam numero navium praevalentes, pugna superarentur. Pugna commissa aufugere adversariis licuit Cenchreas, quia insula, apud quam reliquae naves Atheniensium erant, remotius in mari orientem versus sita est. Thuc. cap. 20. proprie dicere debebat: *αἱ ἐν τῷ Πειραιῷ εἴκοσι νῆες τῶν Πελοποννησίων, καταδιωχθεῖσαι τότε καὶ ἐφορμούμεναι εἴκοσι μιᾷ ὑπὸ Ἀθηναίων*. Nam Peloponnesii unam navem amiserant (c. 10. vers. fin.); at differentia tam parva est (adde quod initio numero prorsus pares erant), ut vix quisquam futurus sit, qui hac re adversus explicationem meam utatur, quum praesertim reputandum sit, Athenienses statim post Peloponnesios in Piraeo inclusos c. 11. Athenas auxilium arcessitum misisse, ac proinde una nave minorem numerum habentes vere Peloponnesiis pares factos esse. His etiam ea, quae Popponem obloqui supra dixi, diluuntur.

Πειραιόν] Palmer. Exercc. cr. p. 72. geminum Piraeum Corinthiacum, alterum ad Saronicum, alterum ad Crissaeum sinum fuisse suspicatur, quoniam Strabo Piraeum cum Heraeo et Oenoe ad Crissaeum sinum statuat, ut et ipsum Lechaeum. Apud Strabonem frustra Piraeum quaesivi, quod de se etiam Popp. profitetur. Vellem, Od. Muell. Dor. 2. p. 431., quocum consentit Reingan. Megar. p. 98., fontes indicasset, qui praesenti loco et mox c. 11. corrigi vult *Σπείραιον*, dicens, hunc portum, in finibus agri Epidaurii situm, adiacenti promontorio Spiraeo cognominem fuisse, at *Πείραιον* (hoc cum accentu) Xenophontis H. Gr. 4, 5. in litore sinus Crissaei prope *Θερμά* fuisse, quae sita erant in confiniis *τοῦ πλατέος τοῦ Λεχαίου* et montium, ac Lutrochori nunc appellantur. Weisk. ad Xen. Ages. 2, 18. ne ipse quidem locum Strabonis indicat. Apud Ptolemaeum in verbis *Ἐπίδαυρος — Σπείραιον ἄκρον — Ἀθηναίων λιμήν* et apud Plinium H. N. 4, 5. in verbis *Spiraeum promontorium* corrigit *Πείραιον* et *Piraeum*, contrariam ac Muell. rationem secutus. At *Spiraeum promontorium* iterum est apud Plin. 4, 12, 19., num ibi quoque corrigendum? Piraeum Xenophontis Popp. suspicatur nunc Pera-Chora dici. (Vid. Reingan. Meg. p. 98.) Idem negat, apud Thucydidem legendum esse *Σπείραιον*, quum altera scriptura toties repetita (v. cap. 14. 15. bis. 20.) non variet in libris Thucydidis. Addit Arn., apud Steph. Byz. esse *Πειραιόν* et secundum Leakium Morea 3. p. 313. Piraeum esse portum continente inclusum, qui nunc dicitur Frango Limióna. Vide Smythii tabulam Isthmi, quam huic editioni adiiciendam curavi, sumtam ex primo vol. Arnoldi.

ξυναγαγόντες ὁρμίζουσι. καὶ προσβαλόντων τῶν Ἀθηναίων καὶ κατὰ θάλασσαν ταῖς νανσὶ καὶ ἐς τὴν γῆν ἀποβάντων, θόρυβός τε ἐγένετο πολὺς καὶ ἄτακτος, καὶ τῶν τε νεῶν τὰς πλείους κατατραυματίζουσιν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι, καὶ τὸν ἄρχοντα Ἀλκαμένην ἀποκτείνουσι· καὶ αὐτῶν τινες ἀπέθανον. διακρι- 11
θέντες δὲ πρὸς μὲν τὰς πολεμίας ναῦς ἐπέταξαν ἐφορμεῖν ἱκανάς, ταῖς δὲ λοιπαῖς ἐς τὸ νησίδιον ὁρμίζονται, ἐν ᾧ οὐ πολὺ ἀπέχοντι ἐστρατοπεδεύοντο, καὶ ἐς τὰς Ἀθήνας ἐπὶ βοήθειαν ἔπεμπον. παρῆσαν γὰρ καὶ τοῖς Πελοποννησίοις τῇ ὑστεραίᾳ οἵ τε Κορίνθιοι βοηθοῦντες ἐπὶ τὰς ναῦς, καὶ οὐ πολλῷ ὕστερον καὶ οἱ ἄλλοι πρόσχωροι. καὶ ὁρῶντες τὴν φυλακὴν ἐν χωρίῳ ἐρήμῳ ἐπίπονον οὖσαν ἠπόρουν, καὶ ἐπενόησαν μὲν κατακαῦσαι τὰς ναῦς, ἔπειτα δὲ ἔδοξεν αὐτοῖς ἀνελκύσαι καὶ τῷ πεζῷ προσκαθημένους φυλακὴν ἔχειν, ἕως ἄν τις παρατύχῃ διαφυγῆ ἐπιτηδεία. ἔπεμψε δ' αὐτοῖς καὶ Ἄγις αἰσθόμενος ταῦτα ἄνδρα Σπαρτιάτην Θέρμωνα. τοῖς δὲ Λακεδαιμονίοις πρῶτον μὲν ἠγγέλθη ὅτι αἱ νῆες ἀνηγμέναι εἰσὶν ἐκ τοῦ ἰσθμοῦ· εἴρητο γάρ, ὅταν γένηται τοῦτο, Ἀλκαμένει ὑπὸ τῶν ἐφόρων ἱππέα πέμψαι· καὶ εὐθὺς τὰς παρὰ σφῶν πέντε ναῦς καὶ Χαλκιδέα ἄρχοντα καὶ Ἀλκιβιάδην μετ' αὐτοῦ ἐβούλοντο πέμπειν· ἔπειτα ὡρμημένων αὐτῶν τὰ περὶ τὴν ἐν τῷ Πειραιῷ τῶν νεῶν καταφυγὴν ἠγγέλθη, καὶ ἀθυμήσαντες, ὅτι πρῶτον ἀπτόμενοι τοῦ Ἰωνικοῦ πολέμου ἔπταισαν, τὰς ναῦς τὰς ἐκ τῆς ἑαυτῶν οὐκέτι διενοοῦντο πέμπειν, ἀλλὰ καί τινας προανηγμένας μετακαλεῖν. γνοὺς δὲ ὁ Ἀλκιβιάδης πείθει αὖθις 12
Ἔνδιον καὶ τοὺς ἄλλους ἐφόρους μὴ ἀποκνῆσαι τὸν πλοῦν, λέγων ὅτι φθήσονταί τε πλεύσαντες πρὶν τὴν τῶν νεῶν ξυμφορὰν Χίους αἰσθέσθαι, καὶ αὐτὸς ὅταν προσβάλῃ Ἰωνίᾳ, ῥᾳδίως πείσειν τὰς πόλεις ἀφίστασθαι, τήν τε τῶν Ἀθηναίων λέγων ἀσθένειαν καὶ τὴν τῶν Λακεδαιμονίων προθυμίαν· πιστότερος γὰρ ἄλλων φανεῖσθαι. Ἐνδίῳ τε αὐτῷ ἰδίᾳ ἔλεγε καλὸν εἶναι δι' ἐκείνου ἀποστῆσαί τε Ἰωνίαν καὶ βασιλέα ξύμμαχον ποιῆσαι Λακεδαιμονίοις, καὶ μὴ Ἄγιδος τὸ ἀγώνισμα

11. *τὸ νησίδιον*] Haec insula nunc dicitur, Ovrio – nisi (Hevraeo – nisi) sive Ovriokastro i. e. Iudaei castellum, quod nomen ductum est a ruderibus quibusdam in illa insula, quae tamen ad quod tempus et opus pertineant, ignoro. Leak. Morea 3. p. 313. Et *βοηθοῦντες ἐπὶ τὰς ναῦς* est, ut Arn. explicat, *proficiscentes ad locum, ubi naves eorum erant, eas tuendi causa*. Participii *ὁρῶντες* subiecta sunt *οἱ Κορίνθιοι καὶ οἱ ἄλλοι πρόσχωροι*. Paulo inferius verba *ὡρμημένων αὐτῶν* Dobr. intelligit *quum ad profectionem animis essent propensis et Chium petere properarent* coll. 8, 40. fin. 47. fin. 60. med. 86.

12. *καὶ τοὺς ἄλλους ἐφόρους*] v. Od. Muell. Dor. 2. p. 122. Paulo inferius haec structura est: *καλὸν εἶναι δι' ἐκείνου* (*Ἀλκιβιάδου*) *ἀποστῆσαι* etc. Denique pronomine *αὐτός* ante *διάφορος* Alcibiades significatur, v. quos Krueg. p. 366. citavit, Xen. H. Gr. 3, 3, 2. Plut. Alc. 23. sqq. Ages. 3. Pausan. 3, 8, 3. Iustin. 5, 2, 5.

τοῦτο γενέσθαι· ἐτύγχανε γὰρ τῷ Ἀγιδι αὐτὸς διάφορος ὤν. καὶ ὁ μὲν πείσας τούς τε ἄλλους ἐφόρους καὶ Ἔνδιον, ἀνήγετο ταῖς πέντε ναυσὶ μετὰ Χαλκιδέως τοῦ Λακεδαιμονίου, καὶ διὰ τάχους τὸν πλοῦν ἐποιοῦντο.

15 Ἀνεκομίζοντο δὲ ὑπὸ τὸν αὐτὸν χρόνον τοῦτον καὶ αἱ ἀπὸ τῆς Σικελίας Πελοποννησίων ἑκκαίδεκα νῆες αἱ μετὰ Γυλίππου ξυνδιαπολεμήσασαι, καὶ περὶ τὴν Λευκαδίαν ἀποληφθεῖσαι καὶ κοπεῖσαι ὑπὸ τῶν Ἀττικῶν ἑπτὰ καὶ εἴκοσι νεῶν, ὧν ἦρχεν Ἱπποκλῆς Μενίππου φυλακὴν ἔχων τῶν ἀπὸ τῆς Σικελίας νεῶν, αἱ λοιπαὶ πλὴν μιᾶς διαφυγοῦσαι τοὺς Ἀθηναίους κατέπλευσαν ἐς τὴν Κόρινθον.

14 Ὁ δὲ Χαλκιδεὺς καὶ ὁ Ἀλκιβιάδης πλέοντες ὅσοις τε ἐπιτύχοιεν ξυνελάμβανον τοῦ μὴ ἐξάγγελτοι γενέσθαι, καὶ προς-

13. καὶ αἱ ἀπὸ τῆς Σικελίας] Dictum est cum brevitate pro αἱ νῆες αἱ ἐν τῇ Σικελίᾳ ἀνεκομίζοντο ἀπ' αὐτῆς. Bau. De articulo αἱ vid. adn. ad 3, 3. 22., de illa breviloquentia Krueg. ad Dionys. p. 295. adn. 34. Has autem ipsas naves Krueg. p. 299. probabile esse dicit subductas et refectas postea c. 39. cum Antisthene in Asiam venisse. Mox ξυνδιαπολεμήσασαι dedi pro vulgata ξυμπολεμήσασαι. „Alterum, quod in *bello continue gerendo* vel *in bello conficiendo adiuvare* significabit, praebet Vat., sed lexicographis nostris aeque ignotum est atque ἐπιδιαφέρειν." Popp. Tum κοπεῖσαι per *vexatae* explicat Duk. Vide c. 105. et Plut. Alc. c. 27., quos locos Did. attulit.

14. τοῦ μὴ — γενέσθαι] v. Matth. p. 1061. adn. 1. Deinde ne quis εὐθύς in verbis καὶ αὖθις Ἐρυθραῖοι pro αὖθις legendum esse coniiciat, Krueg. p. 293. sq. adire iubet cap. 19. 20. 23. extr. 48. ant. med. 56. 100., ubi αὖθις cum ἀφιστᾶσι iungit, et alios, quibus locis αὖθις ait esse *deinde*, *postea*, ut etiam 1, 70. 6, 94. Porro Clazomenae tunc in insula sitae fuerunt, quae insula nunc mole ab Alexandro M. exstructa continenti iuncta est, e qua quum in continentem transiissent Clazomenii, ut in loco, ubi vetus eorum urbs erat, πολίχνην (Πολίχναν) conderent, ab Atheniensibus in insulam redire coacti sunt c. 23. et postea frustra a Lacedaemoniis tentati c. 31., ut Popp. monuit, cui adde Krueg. p. 340. sq., qui in adn. p. 341. addit: „apud Thucydidem πολίχναν nomen appellativum esse, inprimis e collocatione verborum 8, 23. colligo, quamquam forma offensioni est." Contra quae v. dicta ad 7, 4. „Πολίχνα commune nomen est, quod usu factum est proprium ut Ham, Kirby etc. in Anglia, vel similius Borgo in Italia, quum proprie plenum nomen oppidi esset τὴν Πολίχναν τῶν Κλαζομενίων, Borgo 'dei Clazomeni, et hinc in sermone quotidiano τὴν Πολίχναν, Borgo." Arn., qui addit, id etiam in Argolide — Creta — Troade, sicut Πόλισμα proprium nomen apud Strabonem reperiri. Conf. lib. de Sit. Syracus. p. 86. Wessel. ad Herodot. 6, 26. Wachsm. Antt. Gr. 1, 1. p. 53, 65. Paulo post αὐτοῖς in σφίσιν αὐτοῖς Haack. otiosum esse putans coniectura scripsit αὐτῆς. „Nolim factum. Conf. Thuc. 1. 128. διὸ δὴ καὶ Λακεδαιμόνιοι σφίσιν αὐτοῖς νομίζουσι τὸν μέγαν σεισμὸν γενέσθαι ἐν Σπάρτῃ. 8, 65. „ἔστιν ἀφ' ὧν χωρίων καὶ ὁπλίτας ἔχοντες σφίσιν αὐτοῖς ξυμμάχους ἦλθον ἐς τὰς Ἀθήνας. Xen. H. Gr. 7, 5, 4. 5. 2, 8." Krueg. p. 340. Adde adn. ad 7, 48. Thuc. 1, 19. οἱ Λακεδαιμόνιοι σφίσιν αὐτοῖς ἐπιηδείως ὅπως πολιτεύσονται (οἱ ξύμμαχοι) θεραπεύοντες. Abr. Dilucc. Thuc. p. 714. Bast. ad Greg. Cor. p. 84. Herm. et Schaef. ibid. p. 86. Schaef. iterum p. 72. sq.

βαλόντες πρῶτον Κωρύκῳ τῆς ἠπείρου καὶ ἀφέντες ἐνταῦθα αὐτοὺς αὐτοὶ μὲν προξυγγενόμενοι τῶν ξυμπρασσόντων Χίων τισὶ καὶ κελευόντων καταπλεῖν μὴ προειπόντας ἐς τὴν πόλιν, ἀφικνοῦνται αἰφνίδιοι τοῖς Χίοις. καὶ οἱ μὲν πολλοὶ ἐν θαύματι ἦσαν καὶ ἐκπλήξει· τοῖς δ' ὀλίγοις παρεσκεύαστο ὥστε βουλήν τε τυχεῖν ξυλλεγομένην, καὶ λεγομένων λόγων ἀπό τε τοῦ Χαλκιδέως καὶ Ἀλκιβιάδου ὡς ἄλλαι τε νῆες πολλαὶ προσπλέουσι, καὶ τὰ περὶ τῆς πολιορκίας τῶν ἐν τῷ Πειραιῷ νεῶν οὐ δηλωσάντων, ἀφίστανται Χῖοι καὶ αὖθις Ἐρυθραῖοι Ἀθηναίων. καὶ μετὰ ταῦτα τρισὶ ναυσὶ πλεύσαντες καὶ Κλαζομενὰς ἀφιστᾶσι. διαβάντες τε οἱ Κλαζομένιοι εὐθὺς ἐς τὴν ἤπειρον τὴν Πολίχναν ἐτείχιζον, εἴ τι δέοι, σφίσιν αὐτοῖς ἐκ τῆς νησῖδος ἐν ᾗ οἰκοῦσι πρὸς ἀναχώρησιν. καὶ οἱ μὲν ἀφεστῶτες ἐν τειχισμῷ τε πάντες ἦσαν καὶ παρασκευῇ πολέμου.

Ἐς δὲ τὰς Ἀθήνας ταχὺ ἀγγελία τῆς Χίου ἀφικνεῖται· 15
καὶ νομίσαντες μέγαν ἤδη καὶ σαφῆ τὸν κίνδυνον σφᾶς περιεστάναι, καὶ τοὺς λοιποὺς ξυμμάχους οὐκ ἐθελήσειν τῆς μεγίστης πόλεως μεθεστηκυίας ἡσυχάζειν, τά τε χίλια τάλαντα, ὧν διὰ παντὸς τοῦ πολέμου ἐγλίχοντο μὴ ἅψασθαι, εὐθὺς ἔλυσαν τὰς ἐπικειμένας ζημίας τῷ εἰπόντι ἢ ἐπιψηφίσαντι ὑπὸ τῆς παρούσης ἐκπλήξεως, καὶ ἐψηφίσαντο κινεῖν, καὶ ναῦς πληροῦν μὴ ὀλίγας, τῶν τε ἐν τῷ Πειραιῷ ἐφορμουσῶν τὰς μὲν ὀκτὼ ἤδη πέμπειν, αἳ ἀπολιποῦσαι τὴν φυλακὴν τὰς μετὰ Χαλκιδέως διώξασαι καὶ οὐ καταλαβοῦσαι ἀνακεχωρήκεσαν· ἦρχε δὲ αὐτῶν Στρομβιχίδης Διοτίμου· ἄλλας δὲ οὐ πολὺ ὕστερον βοηθεῖν δώδεκα μετὰ Θρασυκλέους, ἀπολιπούσας καὶ ταύτας τὴν ἐφόρμησιν. τάς τε τῶν Χίων ἑπτὰ ναῦς, αἳ αὐτοῖς ξυνεπολιόρκουν τὰς ἐν τῷ Πειραιῷ, ἀπαγαγόντες τοὺς μὲν δούλους ἐξ αὐτῶν ἠλευθέρωσαν, τοὺς δ' ἐλευθέρους κατέδησαν. ἑτέρας δ' ἀντὶ πασῶν τῶν ἀπελθουσῶν νεῶν ἐς τὴν ἐφόρμησιν τῶν Πελοποννησίων διὰ τάχους πληρώσαντες ἀντέπεμψαν, καὶ ἄλλας διενοοῦντο τριάκοντα πληροῦν. καὶ πολλὴ ἦν ἡ προθυμία, καὶ ὀλίγον ἐπράσσετο οὐδὲν ἐς τὴν βοήθειαν τὴν ἐπὶ τὴν Χίον.

15. ἀγγελία τῆς Χίου] i. e. *nuncius de Chio*. v. Matth. p. 650. Quam gravis Atheniensibus Chii defectio fuerit, docet Krueg. Comm. Thuc. p. 330. Decretum de mille talentis est 2, 24. Ad τῷ εἰπόντι ἢ ἐπιψηφίσαντι supple κινεῖν, *qui vel rogasset, ut ea pecunia in bellicum usum adhiberetur, vel ea de re populum in suffragium misisset*. Mox μὴ ὀλίγας Vat., vulgo οὐκ ὀλίγας. Articulum in verbis τὰς μὲν ὀκτώ Arn. Vol. 1. p. 445. ait additum esse, quamquam nihil in superioribus de his navibus commemoratum appareat, at enim verba αἳ ἀπολιποῦσαι — ἀνακεχωρήκεσαν idem valere, quod τοσαῦται γὰρ ἀπολιποῦσαι — ἀνακεχωρήκεσαν. Conf. adn. ad 3, 22.

ἐς τὴν βοήθειαν τὴν ἐπὶ τὴν Χίον] i. e. *nec quidquam parvum adversus Chium aut segne moliebantur*. Acac. In phrasi βοηθεῖν ἐπί τινα accusativus et amicum et inimicum significat. Illa significatione Thuc.

16 Ἐν δὲ τούτῳ Στρομβιχίδης ταῖς ὀκτὼ ναυσὶν ἀφικνεῖται ἐς Σάμον, καὶ προσλαβὼν Σαμίαν μίαν ἔπλευσεν ἐς Τέων καὶ ἡσυχάζειν ἠξίου αὐτούς. ἐκ δὲ τῆς Χίου ἐς τὴν Τέων καὶ ὁ Χαλκιδεὺς μετὰ τριῶν καὶ εἴκοσι νεῶν ἐπέπλει, καὶ ὁ πεζὸς ἅμα ὁ τῶν Κλαζομενίων καὶ Ἐρυθραίων παρῆει. προαισθόμενος δὲ ὁ Στρομβιχίδης προανηγάγετο καὶ μετεωρισθεὶς ἐν τῷ πελάγει ὡς ἑώρα τὰς ναῦς πολλὰς τὰς ἀπὸ τῆς Χίου, φυγὴν ἐποιεῖτο ἐπὶ τῆς Σάμου· αἱ δὲ ἐδίωκον. τὸν δὲ πεζὸν οἱ Τήϊοι τὸ πρῶτον οὐκ ἐσδεχόμενοι, ὡς ἔφυγον οἱ Ἀθηναῖοι, ἐσηγάγοντο. καὶ ἐπέσχον μὲν οἱ πεζοί, καὶ Χαλκιδέα ἐκ τῆς διώξεως περιμένοντες· ὡς δὲ ἐχρόνιζε, καθῆρουν αὐτοί τε τὸ τεῖχος ὃ ἀνῳκοδόμησαν οἱ Ἀθηναῖοι τῆς Τηΐων πόλεως τὸ πρὸς ἤπειρον, ξυγκαθῆρουν δὲ αὐτοῖς καὶ τῶν βαρβάρων ἐπελθόντες οὐ πολλοί, ὧν ἦρχε Στάγης ὕπαρχος Τισσαφέρνους.

3, 97. et alibi saepissime. Hac 4, 25. 108. Duk. Arn. Vol. 3. p. 350. docet *βοηθεῖν ἐπί τινα* esse *auxilio venire adversus aliquem*, *β. ἐπί τι* esse *auxilio venire alicui loco.*

16. *ὁ τῶν Κλαζομενίων*] Vat. Vulgo *καὶ ὁ Κλαζομενίων*. Contra I. Mosqu. ante *Ἐρυθραίων* repetunt *ὁ*. Utramque hanc structuram a vulgata recedentem inutilem correctionem esse dicit Popp., iubens adire se 1, 1. p. 196. sq., ubi docetur, quum duo nomina disiunguntur et opponuntur, vel ad diversum genus pertinent, articulum repetendum esse, nihilominus Thucydidem non repetere 5, 75. 4, 9. 1, 141. 7, 7. 14. 72. 1, 54. Pro *παρῆει* Valla legit *παρῆν*. Conf. c. 22. „Sed vulgata nihil habet, quo offendat, significat enim: *iuxta litus proficiscens (iter faciens) classem comitabatur.*“ Krueg. p. 294. At Bau. et Popp. *παρῆει* interpretantur per *προσῆει*, *ἐπῆει*, coll. c. 22. Arn. convertit: moved along the shore. „Nam Chalcideus, ait, traiectus Chio ad continentem Teium navigans litus legebat; et copiae terrestres secundum litus promovebant eandem regionem versus, ut una cum iis hostes impugnarent.“ Mox pro *προανήγετο* Vat. *ἐξανήγετο*. Valla *abscessit*. Cl. Ven. *προανηγάγετο*, et hoc praeferendum videtur. Strombichides, quum praesensisset adventum hostium, *prius portu solverat*, quam hostes aderant. Eodem sensu vox modo lecta est cap. 11. extr. Popp. propter praecedentia negat supplendum esse *quam hostes aderant*, sed *quam hostes adnavigabant et accedebant.* Hoc quid interest? Nam quod etiam dicit supplendum esse *priusquam hostes vela dederunt*, id quidem praecedentia non iubent intelligi. Et *τὰς ναῦς πολλὰς τὰς* etc. est *ὡς ἑώρα πολλὰς οὔσας τὰς ναῦς τὰς* etc. Mox *ἐπέσχον μὲν οἱ πεζοὶ* ex Vat. Vulgo *οἱ πολλοί* (quemadmodum etiam Cl. habet in rasura), quod est ab h. l. alienissimum. Et *τὸ πρὸς ἤπειρον* Vat. et fortasse Valla, vulgo *τό* deest.

Στάγης] Vat. cum *ὁ Γάγης γρ.* Vulgo *ὁ Τάγῆς*. It. *ὁ Τάγις*. D. *ὁ Τάνης*. I. *ὁ Ταυης*. E. K. Ar. Chr. *ὁ Πάγης*. Laur. *Ὀπάγης*. Cl. et Bekk. *Ὀτάγης*. *Τάμως* ex c. 31. 87. coniecerat Palmer. „Tages videtur idem esse, quem Xen. H. Gr. 1, 2, 5. haud scio an rectius *Στάγην* vocat.“ Krueg. ad Dionys. p. 359. Nomen Otanes Persicum novi, Otages non item, neque id alibi quam in Cl. extat. In his, ubi historia tacet, tutissimum ipsos ductus literarum, qui in libris sunt, sequi. Recepi scripturam libri Vat., quum verisimile sit, eundem, qui hic est, a Xenophonte significari, apud quem nulla librorum discrepantia enotatur. Ex altera parte Bloomf. monet, fatendum esse, in omnibus libris vel

Χαλκιδεὺς δὲ καὶ Ἀλκιβιάδης ὡς κατεδίωξαν ἐς Σάμον 17
Στρομβιχίδην, ἐκ μὲν τῶν ἐκ Πελοποννήσου νεῶν τοὺς ναύτας ὁπλίσαντες ἐν Χίῳ καταλιμπάνουσιν, ἀντιπληρώσαντες δὲ ταύτας τε ἐκ Χίου καὶ ἄλλας εἴκοσιν, ἔπλεον ἐς Μίλητον ὡς ἀποστήσοντες. ἐβούλετο γὰρ ὁ Ἀλκιβιάδης, ὢν ἐπιτήδειος τοῖς προεστῶσι τῶν Μιλησίων, φθάσαι τὰς ἀπὸ τῆς Πελοποννήσου ναῦς προσαγαγόμενος αὐτούς, καὶ τοῖς Χίοις καὶ ἑαυτῷ καὶ Χαλκιδεῖ καὶ τῷ ἀποστείλαντι Ἐνδίῳ, ὥρπερ ὑπέσχετο, τὸ ἀγώνισμα προσθεῖναι, ὅτι πλείστας τῶν πόλεων μετὰ τῆς Χίων δυνάμεως καὶ Χαλκιδέως ἀποστήσας. λαθόντες οὖν τὸ πλεῖστον τοῦ πλοῦ, καὶ φθάσαντες οὐ πολὺ τὸν τε Στρομβιχίδην καὶ τὸν Θρασυκλέα, ὃς ἔτυχεν ἐκ τῶν Ἀθηνῶν δώδεκα ναυσὶν ἄρτι παρὼν καὶ ξυνδιώκων, ἀφιστᾶσι τὴν Μίλητον. καὶ οἱ Ἀθηναῖοι κατὰ πόδας μιᾶς δεούσαις εἴκοσι ναυσὶν ἐπιπλεύσαντες, ὡς αὐτοὺς οὐκ ἐδέχοντο οἱ Μιλήσιοι, ἐν Λάδῃ τῇ ἐπικειμένῃ νήσῳ ἐφώρμουν. καὶ ἡ πρὸς βασιλέα ξυμμαχία Λακεδαιμονίοις ἡ πρώτη Μιλησίων εὐθὺς ἀποστάντων διὰ Τισσαφέρνους καὶ Χαλκιδέως ἐγένετο ἥδε.

Ἐπὶ τοῖσδε ξυμμαχίαν ἐποιήσαντο πρὸς βασιλέα καὶ Τισ- 18
σαφέρνην Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. ὁπόσην χώραν καὶ πόλεις βασιλεὺς ἔχει καὶ οἱ πατέρες οἱ βασιλέως εἶχον, βασιλέως ἔστω· καὶ ἐκ τούτων τῶν πόλεων ὁπόσα Ἀθηναίοις ἐφοίτα χρήματα ἢ ἄλλο τι, κωλυόντων κοινῇ βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ὅπως μήτε χρήματα λαμβάνωσιν Ἀθηναῖοι μήτε ἄλλο μηδέν. καὶ τὸν πόλεμον τὸν πρὸς Ἀθηναίους κοινῇ πολεμούντων βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι· καὶ κατάλυσιν τοῦ πολέμου πρὸς Ἀθηναίους μὴ ἐξέστω ποιεῖσθαι, ἢν μὴ ἀμφοτέροις δοκῇ, βασιλεῖ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. ἢν δέ τινες ἀφιστῶνται ἀπὸ βασιλέως, πολέμιοι ἔστωσαν καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. καὶ ἢν τινες ἀφιστῶνται ἀπὸ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων, πολέμιοι ἔστωσαν βασιλεῖ κατὰ ταὐτά.

ὁ vel certe o esse. De *ὑπάρχοις* Krueg. conferri iubet Dorv. ad Charit. p. 448.

17. *ἐκ τῶν ἐκ Πελοπ. νεῶν τοὺς ναύτας*] Fuere 500; naves autem Peloponnesiorum quinque, v. cap. 32. Fuerunt autem hi Peloponnesii *ἐπιβάται* sive classiarii (v. cap. 25.), quare nunc gravi armatura instruuntur. De verbo *καταλιμπάνουσιν* agit Krueg. p. 292. In verbis *φθάσαι τάς τε* etc. traiectionem particulae adnotavit Arn., debebat enim ita poni: *φθάσαι τε τὰς ναῦς καὶ τὸ ἀγώνισμα προσθεῖναι.* De insula Lade „v. Pausan. 1, 35, 5. Herodot. 6, 7. ibique Wessel. Arrian. Exped. Al. M. 1, 18. Hodie ea continenti adiuncta, nec Miletus ad mare sita. Vid. Mitf. H. Gr. 2. p. 77. adn.“ Krueg. p. 277. Adde, quem Arn. citat Cramer. As. Min. Vol. 1. p. 389.

18. De hoc pacto Spartanorum et regis Persarum sicut de reliquis duobus (c. 37. 58.) v. Herm. Antt. Gr. p. 76, 12. Wachsm. Antt. Gr. 1, 2. p. 229, 8.

19 Ἡ μὲν ξυμμαχία αὕτη ἐγένετο. μετὰ δὲ ταῦτα οἱ Χῖοι εὐθὺς δέκα ἑτέρας πληρώσαντες ναῦς ἔπλευσαν ἐς Ἄναια, βουλόμενοι περί τε τῶν ἐν Μιλήτῳ πυθέσθαι καὶ τὰς πόλεις ἅμα ἀφιστάναι. καὶ ἐλθούσης παρὰ Χαλκιδέως ἀγγελίας αὐτοῖς ἀποπλεῖν πάλιν καὶ ὅτι Ἀμόργης παρέσται κατὰ γῆν στρατιᾷ, ἔπλευσαν ἐς Διὸς ἱερόν· καὶ καθορῶσιν ἑκκαίδεκα ναῦς, ἃς ὕστερον ἔτι Θρασυκλέους Διομέδων ἔχων ἀπ' Ἀθηνῶν προσέπλει. καὶ ὡς εἶδον, ἔφευγον μιᾷ μὲν νηΐ ἐς Ἔφεσον, αἱ δὲ λοιπαὶ ἐπὶ τῆς Τέω. καὶ τέσσαρας μὲν κενὰς οἱ Ἀθηναῖοι λαμβάνουσι, τῶν ἀνδρῶν ἐς τὴν γῆν φθασάντων· αἱ δ' ἄλλαι ἐς τὴν Τηΐων πόλιν καταφεύγουσι. καὶ οἱ μὲν Ἀθηναῖοι ἐπὶ τῆς Σάμου ἀπέπλευσαν· οἱ δὲ Χῖοι ταῖς λοιπαῖς ναυσὶν ἀναγαγόμενοι, καὶ ὁ πεζὸς μετ' αὐτῶν, Λέβεδον ἀπέστησαν καὶ αὖθις Ἐράς. καὶ μετὰ τοῦτο ἕκαστοι ἐπ' οἶκον ἀπεκομίσθησαν, καὶ ὁ πεζὸς καὶ αἱ νῆες.

20 Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους αἱ ἐν τῷ Πειραιῷ εἴκοσι νῆες τῶν Πελοποννησίων, καταδιωχθεῖσαι τότε καὶ ἐφορμούμεναι ἴσῳ ἀριθμῷ ὑπὸ Ἀθηναίων, ἐπέκπλουν ποιησάμεναι ἀφνίδιον καὶ κρατήσασαι ναυμαχίᾳ τέσσαράς τε ναῦς λαμβάνουσι τῶν Ἀθηναίων καὶ ἀποπλεύσασαι ἐς Κεγχρειὰς τὸν ἐς τὴν Χίον καὶ τὴν Ἰωνίαν πλοῦν αὖθις παρεσκευάζοντο. καὶ ναύαρχος αὐτοῖς ἐκ Λακεδαίμονος Ἀστύοχος ἐπῆλθεν, ᾧπερ ἐγίγνετο ἤδη πᾶσα ἡ ναυαρχία. ἀναχωρήσαντος δὲ τοῦ ἐκ τῆς Τέω

19. καὶ ὅτι Ἀμόργης] καὶ, quod Valla non expressit, abesse cupimus, quia causa cur abire iussi sunt, explicatur. Nunc Bau. dicit verbum ἀγγελίας habere dilogiam, ad ἀποπλεῖν significans *iussum*, ad ὅτι Ἀμόργης *nuncium*." Popp. Et Διὸς ἱερὸν πολίχνιον Ἰωνίας μεταξὺ Λεβέδου καὶ Κολοφῶνος Steph. Byz., quem locum qui protulit, Arn. addit, oppidulum circa fanum illud exortum videri, quemadmodum celebrius illud circa Διὸς ἱερόν ad ostia Bospori. Fugam Chiorum idem ita explicat: Chii Anaeis redibant litus legentes, qui quum viderent Atheniensium classem versus se ex alto moventem, una navis ex eorum numero retro conversa Ephesum evasit, reliquae cursum tenere secundum litus pergebant, et plurimae earum salvae Teium pervenerunt. Praeterea ex h. l. patet, Ephesum Atheniensibus tum hostilem fuisse, vid. Krueg. Comm. Thuc. c. 5. p. 338. sq. Et „ὁ πεζὸς μετ' αὐτῶν haud dubie intelligendus est peditatus Erythraeorum et Clazomeniorum, de quo v. cap. 16., quibus fortasse Peloponnesii adiuncti erant, ut c. 28. Verbis autem istis non significari puto, pedites navibus vectos esse cum Chiis, sed potius, quod alibi dicitur, ὁ πεζὸς ἅμα παρῆει i. e. *iuxta litus proficiscens classem comitabatur.*" Krueg. p. 293. sq. Hoc per verba οἱ δὲ Χῖοι, ταῖς λοιπαῖς ναυσὶν ἀναγαγόμενοι, καὶ ὁ πεζὸς μετ' αὐτῶν fieri non licet. Rectius Heilm.: die Chier aber gingen mit ihren annoch vorräthigen Schiffen, auf welche sie die Landvölker an Bord genommen, in See. Pedites autem intelligit eos, qui in quatuor navibus, quas Athenienses ceperunt, fuerant et litore escenso evaserant (τῶν ἀνδρῶν ἐς τὴν γῆν φθασάντων), et simul peditatum Clazomeniorum et Erythraeorum, quem Krueg. vult, significari, de quo vid. c. 20.

20. πᾶσα ἡ ναυαρχία] Mosqu. ἡ ναυαρχία πᾶσα. Vat. πᾶσα ἡ ναυ-

πεζοῦ, καὶ Τισσαφέρνης αὐτὸς στρατιᾷ παραγενόμενος, καὶ ἐπικαθελὼν τὸ ἐν τῇ Τέῳ τεῖχος, εἴ τι ὑπελείφθη, ἀνεχώρησε. καὶ Διομέδων ἀπελθόντος αὐτοῦ οὐ πολὺ ὕστερον δέκα ναυσὶν Ἀθηναίων ἀφικόμενος, ἐσπείσατο Τηΐοις ὥστε δέχεσθαι καὶ σφᾶς. καὶ παραπλεύσας ἐπὶ Ἐρὰς καὶ προσβαλών, ὡς οὐκ ἐλάμβανε τὴν πόλιν, ἀπέπλευσεν.

Ἐγένετο δὲ κατὰ τὸν χρόνον τοῦτον καὶ ἡ ἐν Σάμῳ ἐπα- 21
νάστασις ὑπὸ τοῦ δήμου τοῖς δυνατοῖς μετὰ Ἀθηναίων, οἳ ἔτυχον ἐν τρισὶ ναυσὶ παρόντες. καὶ ὁ δῆμος ὁ Σαμίων ἐς διακοσίους μέν τινας τοὺς πάντας τῶν δυνατῶν ἀπέκτεινε, τετρακοσίους δὲ φυγῇ ζημιώσαντες, καὶ αὐτοὶ τὴν γῆν αὐτῶν καὶ οἰκίας νειμάμενοι, Ἀθηναίων τε σφίσιν αὐτονομίαν μετὰ ταῦτα ὡς βεβαίοις ἤδη ψηφισαμένων, τὰ λοιπὰ διῴκουν τὴν πόλιν, καὶ τοῖς γεωμόροις μετεδίδοσαν οὔτε ἄλλου οὐδενός, οὔτε ἐκδοῦναι οὐδ' ἀγαγέσθαι παρ' ἐκείνων οὐδ' ἐς ἐκείνους οὐδενὶ ἔτι τοῦ δήμου ἐξῆν.

Μετὰ δὲ ταῦτα τοῦ αὐτοῦ θέρους οἱ Χῖοι, ὥσπερ ἦρ- 22
ξαντο, οὐδὲν ἀπολείποντες προθυμίας, ἄνευ τε Πελοποννη-

μαχία. F. D. I. πᾶσα ναυμαχία. Horum ἡ πᾶσα ναυαρχία est die ganze Führung (der Oberbefehl) der Flotte; πᾶσα ἡ ναυαρχία ganz die Führung der Flotte; denique ἡ ναυαρχία πᾶσα die Führung der Flotte und zwar ganz. Conf. Thiersch. Gr. §. 309. 6. adn. 2. Summum autem ductum classis Krueg. ita intelligit, ut Melancridas decessor Astyochi non habuerit nisi imperium navium Lacedaemoniorum; Astyochus autem etiam sociorum. Sed nihil magis consentaneum, quam sic accipere, Astyochum et iis, quas ipse, et iis, quas Chalcideus et Alcibiades adduxerant, sociorumque etiam navibus praefuisse. De navarchia Spartanorum v. C. Fr. Herm. Antt. Gr. p. 87, 6.

21. ὑπὸ τοῦ δήμου] ὑπό om. Cass. Aug. Cl. Ven. Marc. (v. Arn. Vol. 2. p. XI.) „Neque aliter Plat. Polit. p. 444. B. loquitur, ἐπανάστασις μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς." Krueg. p. 328. Propter dativum τοῖς δυνατοῖς idem confert 1, 122. ἐπιτειχισμὸς τῇ χώρᾳ, coll. Matth. §. 390., minus recte addit 6, 18. ἡ διάστασις τοῖς νέοις ἐς τοὺς πρεσβυτέρους, non τῶν πρεσβυτέρων. „Οἱ δυνατοί autem sunt *optimates*, qui apud Syracusanos et Samios γεωμόροι appellabantur, itidemque antiquissimis temporibus apud Atticos. Timaeus: γεωμόροι, οἱ κληροῦχοι i. e. die Gutsherren, ubi v. Ruhnk." Krueg. p. 270. Adde Valck. ad Herodot. 5, 77. 6, 22. Vales. ad Diod. fragm. libr. 8. Vol. 4. p. 296. Argent. Tittm. Gr. Staatsverf. p. 574. De Atticis γεωμόροις v. Platn. Beitr. z. Att. R. p. 19., de Syracusanis libell. de Sit. Syrac. p. 9. 10. Od. Muell. Dor. 2. p. 61. 157. De differentia γεωμόρων Syracusanorum et Atticorum et de vario sensu vocis in universum Arn. ad h. l. disputat. Mirum autem videtur Kruegero p. 329., quod Athenienses populare imperium ubique stabilire soliti oligarchiam in insula ditionis suae adhuc passi sint. Ad ἐκδοῦναι Valck. ad Herodot. 5, 92. p. 99. sq. Schw. et Schaef. ad Long. p. 384. supplent sive τέκνα sive γυναῖκας. Verba debebant hoc ordine collocari: οὔτε ἐκδοῦναι ἐς ἐκείνους οὔτ' ἀγαγέσθαι παρ' ἐκείνων οὐδενὶ ἔτι τοῦ δήμου ἐξῆν. Verissime autem mihi Bekk. edidisse videtur οὐδ' ἀγαγέσθαι, nam duo membra orationis sunt, alterum hoc: μετεδίδοσαν οὔτε ἄλλου οὐδενός, alterum: οὔτε ἐξῆν ἐκδοῦναι οὐδ' ἀγαγέσθαι etc. Vulgo οὔτ' ἀγαγέσθαι.

σίων πλήθει παρόντες ἀποστῆσαι τὰς πόλεις, καὶ βουλόμενοι ἅμα ὡς πλείστους σφίσι ξυγκινδυνεύειν, στρατεύονται αὐτοί τε τριςκαίδεκα ναυσὶν ἐπὶ τὴν Λέσβον, ὥσπερ εἴρητο ὑπὸ τῶν Λακεδαιμονίων δεύτερον ἐπ' αὐτὴν ἰέναι, καὶ ἐκεῖθεν ἐπὶ τὸν Ἑλλήσποντον, καὶ ὁ πεζὸς ἅμα Πελοποννησίων τε τῶν παρόντων καὶ τῶν αὐτόθεν ξυμμάχων παρῆει ἐπὶ Κλαζομενῶν τε καὶ Κύμης· ἦρχε δ' αὐτοῦ Εὐάλας Σπαρτιάτης, τῶν δὲ νεῶν Λεινιάδας περίοικος. καὶ αἱ μὲν νῆες καταπλεύσασαι Μήθυμναν πρῶτον ἀφιστᾶσι, καὶ καταλείπονται τέσσαρες νῆες
23 ἐν αὐτῇ· καὶ αὖθις αἱ λοιπαὶ Μυτιλήνην ἀφιστᾶσιν. Ἀστύοχος δὲ ὁ Λακεδαιμόνιος ναύαρχος τέσσαρσι ναυσίν, ὥσπερ ὥρμητο, πλέων ἐκ τῶν Κεγχρειῶν ἀφικνεῖται ἐς Χίον. καὶ

22. *ὥσπερ εἴρητο — ἰέναι*] Infinitivus *ἰέναι* explicationis causa ad *ὥσπερ* appositus est. Conf. Matth. §. 476. extr. KRUEG. p. 201. adn. sq.

περίοικος] Schol. ad 8, 6. *περίοικοί εἰσιν οἱ ὑπήκοοι γείτονες τῆς Σπάρτης.* De Perioecis agunt Mans. Spart. 1, 1. p. 61. Od. Muell. Dor. 2. p. 21. sqq. 190. 208. 243. Wachsm. Antt. Gr. 1, 1. p. 158. sqq. 219. sq. 1, 2. p. 211, 16. C. Fr. Herm. Antt. Gr. §. 19. p. 41. Etenim incolarum Laconiae genera tria erant: Spartani, qui erant cives optimo iure, ut posteri Dorum atque Heraclidarum, penesque eos summa reipublicae administrandae potestas erat; Perioeci sive Lacedaemonii, posteri antiquorum Laconiae incolarum, habitantes in plurimis urbibus non minus litoris quam regionis mediterraneae, stirpis maximam partem Achaicae, qui ut liberi, ita quadamtenus Spartanis iure inferiores erant, velut tributum pendebant. Ex Perioecis tamen singuli ductum classium tenebant, quum plerumque magistratibus exclusi essent. „Hic Mansonis Spart. 2. p. 376. argumentationem admirari subit, qui *περιοίκοις* de more imperium non commissum esse vel ex hoc patere ait, quod scriptor apposita voce *περίοικος* hoc declaret. Hanc rationem si sequeremur, idem de Spartanis probare possemus, quum Thuc. *Εὐάλας Σπαρτιάτης* dicat.“ KRUEG. p. 294. Conf. Od. Muell. l. c. 1. p. 30. adn. 2. C. Fr. Herm. l. c. p. 91, 9.

καὶ καταλείπονται — ἀφιστᾶσιν] Haec latine dedit Valla, Graeca unus servavit Vat., qui *τέτταρες* et *Μιτυλήνην*. BEKK. Vallae interpretatio haec est: *quibus navibus Chii primum Methymnam, deinde relictis hic quatuor navibus Mitylenem ad deficiendum impulerunt.* Duk. hanc Vallae interpretationem profert: *primum Methymnam, quo prius pervenere, deinde, relictis hic quatuor navibus, Mytilenen, quo cum ceteris navibus venerunt, ad deficiendum impulere.* „Quum adhuc Mytilene in Atheniensium ditione fuisset, sequenti autem capite ab iis recepta dicatur, praesenti loco referretur oportuit eam descivisse ad Lacedaemonios.“ KRUEG. p. 295. Popp. addit patere, quod ob repetitum *ἀφιστᾶσιν* media exciderint.

23. *ὥσπερ ὥρμητο*] vid. c. 20. De verbis *τρίτην ἡμέραν αὐτοῦ ἥκοντος* v. Matth. p. 786. init. Ad verba *ἐς ὀψέ* pertinet Scholion ad Thuc. 3, 108. *σημείωσαι ἐπὶ τῆς ἑσπέρας νῦν μόνον τὸ ὀψέ.* „Hoc ad Grammaticorum praeceptionem spectat, qui *πρωί* et *ὀψέ* non de parte aliqua dici, sed de tempore in universum dici volunt. vid. Phot. s. *πρωί*. Id ratum habuit Schneid., qui in notis ad Aristot. H. A. Vol. 1. p. 439. *πρωί* et *ὀψέ* negat de matutino et vespertino tempore dici, nisi addito *τῆς ἡμέρας*.“ LOBECK. ad Phryn. p. 47. adn. Adde Thom. M. in *ὀψέ*. De situ Pyrrhae Krueg. p. 295. adire iubet Schneid. ad

τρίτην ἡμέραν αὐτοῦ ἥκοντος αἱ Ἀττικαὶ νῆες πέντε καὶ εἴκοσιν ἔπλεον ἐς Λέσβον, ὧν ἦρχε Λέων καὶ Διομέδων· Λέων γὰρ ὕστερον δέκα ναυσὶ προσεβοήθησεν ἐκ τῶν Ἀθηνῶν. ἀναγόμενος δὲ καὶ ὁ Ἀστύοχος τῇ αὐτῇ ἡμέρᾳ ἐς ὀψέ, καὶ προσλαβὼν Χίαν ναῦν μίαν, ἔπλει ἐς τὴν Λέσβον, ὅπως ὠφελοίη, εἴ τι δύναιτο. καὶ ἀφικνεῖται ἐς τὴν Πύῤῥαν, ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἐς Ἔρεσον· ἔνθα πυνθάνεται ὅτι ἡ Μυτιλήνη ὑπὸ τῶν Ἀθηναίων αὐτοβοεὶ ἑάλωκεν. οἱ γὰρ Ἀθηναῖοι, ὥσπερ ἔπλεον, ἀπροσδόκητοι κατασχόντες ἐς τὸν λιμένα, τῶν τε Χίων νεῶν ἐκράτησαν καὶ ἀποβάντες τοὺς ἀντιστάντας μάχῃ νικήσαντες τὴν πόλιν ἔσχον. ἃ πυνθανόμενος ὁ Ἀστύοχος τῶν τε Ἐρεσίων καὶ τῶν ἐκ τῆς Μηθύμνης μετ' Εὐβούλου Χίων νεῶν, αἳ τότε καταλειφθεῖσαι καὶ ὡς ἡ Μυτιλήνη ἑάλω φεύγουσαι περιέτυχον αὐτῷ τρεῖς, μία γὰρ ἑάλω ὑπὸ τῶν Ἀθηναίων, οὐκέτι ἐπὶ τὴν Μυτιλήνην ὥρμησεν, ἀλλὰ τὴν Ἔρεσον ἀποστήσας καὶ ὁπλίσας, καὶ τοὺς ἀπὸ τῶν ἑαυτοῦ νεῶν ὁπλίτας πεζῇ παραπέμπει ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν, ἄρ-

Xen. H. Gr. 1, 6, 15. et Addendis p. 97. Idem p. 301. verba *τῶν Χίων νεῶν ἐκράτησαν* convertit *Chias naves oppresserunt et ceperunt.* „Nam *κρατεῖν*, ait, cum genitivo fere est *potiri aliqua re* vel *in potestatem suam rediger aliquid*, ut 3, 47. Addit, novem naves Mytilenae captas esse, facile coniici. Non habent, unde pendeant, genitivi *τῶν τε Ἐρεσίων καὶ τῶν Χίων νεῶν* aliud, nisi verbum *πυνθανόμενος*, at sane mire dictum est *πυνθάνεσθαι νεῶν*. Quare Tus. coniecit *ὁ Ἀστύοχος μετὰ τῶν τε Ἐρ.* etc.

ἀλλὰ τὴν Ἔρεσον ἀποστήσας καὶ ὁπλίσας] Arn. verbum *ὁπλίσας* refert ad Eresum et non ad *τοὺς ἀπὸ τῶν ἑαυτοῦ νεῶν*, „nam nautae, ait, navium non sunt Antissam et Methymnam terra missi, ut quos ipsa proxima sententia declaret naves suas eo mari vexisse; et *ἐπιβατικὸς* necesse est iam gravem armaturam habuisse. Verba *τὴν Ἔρεσον ὁπλίσας* significant, incolas, quibus sub dominio Atheniensium parva opportunitas militandi cum gravi armatura fuisset, parum ab armis instructos fuisse, et libenter apparatum istum ab Astyocho accepisse.“ Conferri iubet, quae Salaethus Mytilenae egit 3, 27. Tum *παραπέμπει* habet Vat. Vall. *terrestri itinere transmisit.* Marc. *παραπέμπε τε.* Vulg. *παρέπλει.* Coniectura verum praeceperant Wasse coll. c. 61. et ante eum Acac. Cl. sic habet h. l. *καὶ τοὺς ἀπὸ τῶν ἑαυτοῦ νεῶν ὁπλίτας πεζῇ, καὶ ἄρχοντα τούτοις προστάξας, αὐτός* etc. (teste Arn. *πεζῇ καὶ ἄρχοντα τούτοις Ἐτεόνικον προστάξας, αὐτός* etc. Cl. et Ven., hic tamen sine *καί* ante *ἄρχοντα*.) Porro verba *παρέπλει — Μήθυμναν* om. Dan. Sola verba *ἐπὶ — Μήθυμναν* om. Vat. Vall., quae mihi hic ab aliquo lectore explicationis causa adiecta esse videntur: certe iis omissis oratio optime procedit. Sponte enim, etiamsi hic deleas, patebit, quo Astyochum scriptor praeternavigasse intelligi voluerit. Peditatus in litore classem comitabatur, quare paulo inferius adiicitur *ἀπέπλευσε τὸν ἑαυτοῦ στρατὸν πεζὸν ἀναλαβών* i. e. *milites, quos exposuerat, rursus navibus imposuit.* Sic enim in Vat. legitur, „at barbarum est *τὸν στρατὸν πεζὸν* pro *τὸν πεζὸν στρατὸν* sive *τὸν στρατὸν τὸν πεζόν*, et Valla alibi cum Vat. consentiens hic *copias* posuit, ut taceamus Thucydidem potius *τὸ πεζόν* simpliciter vel *τὴν πεζὴν στρατιάν* dicere solere.“ POPP.

χοντα Ἐτεόνικον προστάξας, καὶ αὐτὸς ταῖς τε μεθ' ἑαυτοῦ ναυσὶ καὶ ταῖς τρισὶ ταῖς Χίαις παρέπλει [ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν], ἐλπίζων τοὺς Μηθυμναίους θαρσήσειν τε ἰδόντας σφᾶς καὶ ἐμμενεῖν τῇ ἀποστάσει. ὡς δὲ αὐτῷ τὰ ἐν τῇ Λέσβῳ πάντα ἠναντιοῦτο, ἀπέπλευσε τὸν ἑαυτοῦ στρατὸν ἀναλαβὼν ἐς τὴν Χίον. ἀπεκομίσθη δὲ πάλιν κατὰ πόλεις καὶ ὁ ἀπὸ τῶν νεῶν πεζός, ὃς ἐπὶ τὸν Ἑλλήσποντον ἐμέλλησεν ἰέναι. καὶ ἀπὸ τῶν ἐν Κεγχρειᾷ ξυμμαχίδων Πελοποννησίων νεῶν ἀφικνοῦνται αὐτοῖς ἐξ μετὰ ταῦτα ἐς τὴν Χίον. οἱ δὲ Ἀθηναῖοι τά τε ἐν τῇ Λέσβῳ πάλιν κατεστήσαντο, καὶ πλεύσαντες ἐξ αὐτῆς Κλαζομενίων τὴν ἐν τῇ ἠπείρῳ Πολίχναν τειχιζομένην ἑλόντες, διεκόμισαν πάλιν αὐτοὺς ἐς τὴν ἐν τῇ νήσῳ πόλιν πλὴν τῶν αἰτίων τῆς ἀποστάσεως· οὗτοι δὲ ἐς Δαφνοῦντα ἀπῆλθον. καὶ αὖθις Κλαζομεναὶ προσεχώρησαν Ἀθηναίοις.

24 Τοῦ δ' αὐτοῦ θέρους οἵ τ' ἐπὶ Μιλήτῳ Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν ἐν τῇ Λάδῃ ἐφορμοῦντες, ἀπόβασιν ποιησάμενοι

ὁ ἀπὸ τῶν νεῶν πεζός] Verba *νεῶν πεζός* in marg. habet I. *Peditatus sociorum itemque classiarius* convertit Valla. Peditatum non putant alium significari, nisi qui est c. 22. *καὶ ὁ πεζὸς ἅμα Πελοποννησίων τε τῶν παρόντων καὶ τῶν αὐτόθεν ξυμμάχων παρῆει ἐπὶ Κλαζομενῶν τε καὶ Κύμης*, ubi Schol. *τοὺς αὐτόθεν ξυμμαχους* intelligit Chios fuisse. Qui autem hi ad Clazomenas et Cumam in continente accessisse dicerentur? Melius ex c. 16. intelligas, fuisse illos socios Clazomenios et Erythraeos. Hic autem peditatus quod *ὁ ἀπὸ τῶν νεῶν πεζός* dicitur, Haack. intelligit pedites Peloponnesios, qui navibus in Ioniam traiecerant, ut inde versus Hellespontum pedestri itinere pergerent: haec enim tertia expeditionum erat, quam sibi Spartani proposuerant, ut discimus ex c. 8. Eosdem scriptor c. 22. dixerat *Πελοποννησίων τοὺς παρόντας*, et hic eos *τὸν ἀπὸ τῶν νεῶν πεζόν* dici Haack. existimat, ut discriminentur a peditatu sociorum (Clazomeniorum et Erythraeorum), qui navibus nunquam impositi fuissent. Huic repugnat, quod Peloponnesii rectius verbis *τὸν ἑαυτοῦ στρατόν* inclusi esse iudicantur, et verba *ἀπεκομίσθη δὲ πάλιν κατὰ πόλεις καὶ ὁ ἀπὸ τῶν νεῶν πεζός*, quae contrarie ponuntur verbis *τὸν ἑαυτοῦ στρατόν*, clare indicant, urbes hic cogitandas esse vicinas, non remotas Peloponnesi. Quare sequor iudicium Arnoldi, qui copias urbium Asianarum (*τοὺς αὐτόθεν ξυμμάχους* c. 22.) una cum Peloponnesiorum peditatu classi Chiorum in expeditione in Lesbum suscepta adfuisse arbitratur. Quae quum male cessisset, Astyochus Peloponnesios pedites navibus suis impositos Chium revexit, dum Asiani in suas quique urbes discedunt. Addit Arn. scriptorem dixisse *ὁ ἀπὸ τῶν νεῶν πεζός*, quia ex narratione ipsa perspicuum sit, milites Clazomenis et Chio Lesbum classe traiectos fuisse, ut hanc adiuvarent in expeditione Lesbia, et tum post victoriam Atheniensium rursus in continentem revectos esse. Quamquam enim c. 22. haec modo leguntur: *καὶ ὁ πεζὸς ἅμα Πελοποννησίων τε τῶν παρόντων καὶ τῶν αὐτόθεν ξυμμάχων παρῆει ἐπὶ Κλαζομενῶν τε καὶ Κύμης*, nulla tamen alia de causa eos ad litus accessisse credibile est, nisi ut navibus imponerentur. Tum ex praesenti loco Krueg. ad Dionys. p. 341. colligit Daphnuntem paulo remotius a Clazomenis, quam Polichnam, continentem interiorem versus in loco editiori sitam fuisse; colligit autem etiam ex iis, quae c. 31. narrantur.

ἐς Πάνορμον τῆς Μιλησίας Χαλκιδέα τε τὸν Λακεδαιμόνιον ἄρχοντα μετ' ὀλίγων παραβοηθήσαντα ἀποκτείνουσι καὶ τροπαῖον τρίτῃ ἡμέρᾳ ὕστερον διαπλεύσαντες ἔστησαν, ὃ οἱ Μιλήσιοι ὡς οὐ μετὰ κράτους τῆς γῆς σταθὲν ἀνεῖλον· καὶ Λέων καὶ Διομέδων ἔχοντες τὰς ἐκ Λέσβου Ἀθηναίων ναῦς ἔκ τε Οἰνουσσῶν τῶν πρὸ Χίου νήσων, καὶ ἐκ Σιδούσσης καὶ ἐκ Πτελεοῦ, ἃ ἐν τῇ Ἐρυθραίᾳ εἶχον τείχη, καὶ ἐκ τῆς Λέσβου ὁρμώμενοι, τὸν πρὸς τοὺς Χίους πόλεμον ἀπὸ τῶν νεῶν ἐποιοῦντο· εἶχον δὲ ἐπιβάτας τῶν ὁπλιτῶν ἐκ καταλόγου ἀναγκαστούς. καὶ ἔν τε Καρδαμύλῃ ἀποβάντες καὶ ἐν Βολίσσῳ τοὺς προσβοηθήσαντας τῶν Χίων μάχῃ νικήσαντες καὶ πολλοὺς διαφθείραντες, ἀνάστατα ἐποίησαν τὰ ταύτῃ χωρία. καὶ ἐν Φάναις αὖθις ἄλλῃ μάχῃ ἐνίκησαν καὶ τρίτῃ ἐν Λευκωνίῳ. καὶ μετὰ τοῦτο οἱ μὲν Χῖοι ἤδη οὐκέτι ἐπεξῆεσαν, οἱ δὲ τὴν χώραν καλῶς κατεσκευασμένην καὶ ἀπαθῆ οὖσαν ἀπὸ τῶν Μη-

24. ἃ — εἶχον τείχη] Vat. *τείχη, ἀπῆραν*, „quod ferri non potest, nam et languet, et qui habent *τὰς ἐκ Λέσβου ναῦς*, cur ex Oenussis solvisse dicantur?“ Popp. D. in contextu, I. in marg. *τείχη καθεῖλον*. Valla: *quos muros in Erythraea habebant, diruerunt.* „Interpretes: Leon et Diomedon avec les vaisseaux Atheniens, qui étoient tirés de Lesbos, des isles Oenusses situées devant Chio, de Sidusse et de Ptélée, demolirent les forts, qu'ils possédoient dans l'Erythrée, et faisant de Lesbos le point de départ, ils firent de leurs vaisseaux la guerre à ceux de Chio. Ex hac mutatione non pauca nec levia sequuntur; nam Sidussa et Pteleus non iam in Erythraea quaerendae sunt, id quod convenit cum iis, quae Thucydides ipse in superioribus memoriae prodidit. Hic enim 8, 14. narrat, Erythraeos defecisse ab Atheniensibus exemplo Chiorum, vicinorum. Hac autem defectione factum est, ut Atheniensibus illae munitiones diruendae viderentur, quas in Erythraea, prius amica, habebant. Accedit, quod Athenienses non cogitari possunt tribus simul locis solvisse, sed uno loco; etenim quum Erythraea descivisset, Lesbo, quae etiamtum iis parebat, naves solverunt.“ Gail. in Nieb. Museo Rhenan. a 1828. fasc. 2. p. 280 sqq. Pteleon urbem Ioniae fuisse patet ex c. 31. itemque Sidussam auctore Hecataeo *πόλιν Ἰωνίας* Steph. Byz. appellat. Plin. H. N. 5, 38. *Sidusam* scribit et insulam facit. Urbes autem, oppida et vel oppidula qui *τείχη* appellari possint, non perspicio. Quare facile aliquis cum Gailio consentiens scripturam libri D. probet. De Oenussis, insulis Chiorum, v. Herodot. 1, 165.

ἐκ καταλόγου ἀναγκαστούς] Milites classiarii plerumque ex classe Thetarum sumebantur; tunc vero urgente necessitate etiam cives superiorum classium eam militiam obire cogebantur. Vid. adn. ad 3, 98. C. Fr. Herm. Antt. Gr. p. 205, 12. Wachsm. Antt. Gr. 2, 1. p. 403, 69. Pro *Βολίσσῳ* in Vat. est *Βολίσκοι*, superscripto *σοι* super *κοι*. Steph. Byz. *Θουκυδίδης Βολίσκον αὐτὴν καλεῖ ἐν ὀγδόῃ*. Reliqui scriptores vulgatam servant: nunc Volisso esse Popp. adnotavit. Pro *Λευκωνίῳ* E. *Λευκωνίᾳ*, „sicut Plut. et Polyaen.“ Popp. At Coraes *Ἄτακτα* Vol. 3. p. 17. sic scribit: *τὸ Λευκώνιον τοῦ Θουκυδίδου ἦτο χωρίον τῆς Χίου, τὸ σήμερον ὀνομαζόμενον Λευκωνία· τοῦ δὲ Πλουτάρχου καὶ Πολυαίνου ἡ Λευκωνία, ἀποικία τῶν Χίων, ὄχι ὅμως εἰς τὴν πλησιόχωρον μικρὰν Ἀσίαν, ἀλλὰ εἰς τὴν Βοιωτίαν.* De Chiorum sapientia in republica administranda v. Koch. Prolegg. ad Theopomp. p. 27.

δικῶν μέχρι τότε διεπόρθησαν. Χῖοι γὰρ μόνοι μετὰ Λακεδαιμονίους ὧν ἐγὼ ἠσθόμην εὐδαιμονήσαντες ἅμα καὶ ἐσωφρόνησαν, καὶ ὅσῳ ἐπεδίδου ἡ πόλις αὐτοῖς ἐπὶ τὸ μεῖζον, τόσῳ καὶ ἐκοσμοῦντο ἐχυρώτερον. καὶ οὐδ' αὐτὴν τὴν ἀπόστασιν, εἰ τοῦτο δοκοῦσι παρὰ τὸ ἀσφαλέστερον πρᾶξαι, πρότερον ἐτόλμησαν ποιήσασθαι ἢ μετὰ πολλῶν τε καὶ ἀγαθῶν ξυμμάχων ἔμελλον κινδυνεύσειν, καὶ τοὺς Ἀθηναίους ἡσθάνοντο οὐδ' αὐτοὺς ἀντιλέγοντας ἔτι μετὰ τὴν Σικελικὴν ξυμφορὰν ὡς οὐ πάνυ πόνηρα σφῶν βεβαίως τὰ πράγματα εἴη· εἰ δέ τι ἐν τοῖς ἀνθρωπείοις τοῦ βίου παραλόγοις ἐσφάλησαν, μετὰ πολλῶν οἷς ταὐτὰ ἔδοξε τὰ τῶν Ἀθηναίων ταχὺ ξυναναιρεθήσεσθαι, τὴν ἁμαρτίαν ξυνέγνωσαν. εἰργομένοις οὖν αὐτοῖς τῆς θαλάσσης καὶ κατὰ γῆν πορθουμένοις ἐνεχείρησάν τινες πρὸς Ἀθηναίους

πόνηρα] πονηρός ex veterum Grammaticorum sententia est φαῦλος, schlecht; πόνηρος autem unglücklich. Sic Arcadius de Accent. p. 71, 16. docet, τὸ πόνηρος καὶ μόχθηρος ἀεὶ οἱ Ἀττικοὶ ἀντὶ τοῦ ὀξύνειν προπαροξύνουσιν, ὅταν τὸ ἐπίμονον (scr. ἐπίπονον) καὶ ἐπιμόχθηρον (unglücklich) σημαίνῃ. Ammon. de Differ. Vocab. p. 95 sq. non recte accepit sensum vocabuli in praesenti loco Thucydidis, ceteroqui cum Arcadio consentiens. Neque ab his abeunt Schol. Luciani ap. Lobeck. ad Phryn. p. 389. Suidas, Etym. M., Eustath. in Hom. Il. 2. p. 341. Schol. Arist. Plut. 127. 220. Nub. 102. Grammatici pone Herm. de Emend. Rat. Gr. Gr. p. 327. 467. Conf. Goettl. Accentl. p. 48. Itaque etiam 7, 48. init. correxi πόνηρα et 8, 97. πονήρων. Et βεβαίως Schol. exponit per ὄντως. Mox εἴη ἔτι ἐν τοῖς ἀνθρωπείοις Aug. Quare Krueg. ad Dionys. p. 268. correctum vult εἴ τέ τι, neque enim rara esse exempla, ubi τε particulis εἰ et ἤν semel positis iungatur, ita ut enunciationes copulet. Sic εἴ τε haberi apud Thucydidem 2, 8. 20. 84. 3, 46. 54. 6, 12. 78. 7, 64., et saepe quum alios, tum Thucydidem τε usurpare, ubi δέ exspectaris, quod non semel substituisse librarios. Eandemque emendationem suadet 3, 32., ubi iudicium eius Bekk. sequutus est. Mox ταὐτὰ ἔδοξε dedi ex emendatione Reiskii. Vulgo ταὐτα, at multi libri τὰ αὐτά. Et ξυναναιρεθήσεσθαι habet Vat., ceteri ξυναιρεθήσεσθαι. „Non solenne sane hoc sensu verbum ξυναιρεῖν pro καθαιρεῖν, *destruere*. Significat enim, ut in ξυνελὼν λέγω, *breviter comprehendere, paucis complecti*." Bau. Contra quem Arn. ita disputat: „Contra Bekkeri scripturam ex Vat. hoc aliquis dicat, ἀναιρεθήσεσθαι per se significare *destructum iri*, at cum ξύν compositum significare debere *destructum iri una cum*, ut ap. Lyc. adv. Leocr. p. 180. Reisk. τελευτήσαντι συναναιρεῖται πάντα. At ξυναιρεῖν est *corripere, conficere*, ut 2, 51. τὸ νόσημα πάντα ξυνῄρει. Itaque h. l. τὰ τῶν Ἀθ. ξυναιρεθήσεσθαι videtur significare *potestatem Atheniensium brevi confectum iri*. Vid. Dion. Cass. 37, 13. τὸ φάρμακον οὐ συνεῖλεν αὐτόν (Mithridatem), i. e. *non absumsit eum*." At conf. ξυγκαθαιρήσει cap. 46. Ceterum hic infinitivus appositio est pronominis ταὐτά, ut monuit Krueg. p. 292. In verbis εἰργομένοις αὐτοῖς Matth. p. 1109 sq. ait ad supplendam orationem in ἐνεχείρησαν simul cogitandum esse ἐπιθέμενοι (αὐτοῖς). Qua explicatione reiecta Popp. dativum refert ad ἐνεχείρησαν, ratione, ut mihi videtur, probanda, cum in ipso ἐνεχείρησαν notio τοῦ ἐπιθέσθαι perspicue insit. Pro οὖν Vat. γοῦν, at Bekk. vult δ' οὖν, wie dem nun auch seyn mag, sie wurden von der See abgeschnitten etc.

ἄγαγεῖν τὴν πόλιν· οὓς αἰσθόμενοι οἱ ἄρχοντες αὐτοὶ μὲν ἡσύχασαν, Ἀστύοχον δὲ ἐξ Ἐρυθρῶν τὸν ναύαρχον μετὰ τεσσάρων νεῶν, αἳ παρῆσαν αὐτῷ, κομίσαντες, ἐσκόπουν ὅπως μετριώτατα ἢ ὁμήρων λήψει ἢ ἄλλῳ τῳ τρόπῳ καταπαύσουσι τὴν ἐπιβουλήν. καὶ οἱ μὲν ταῦτα ἔπρασσον.

Ἐκ δὲ τῶν Ἀθηνῶν τοῦ αὐτοῦ θέρους τελευτῶντος χίλιοι ὁπλῖται Ἀθηναίων, καὶ πεντακόσιοι καὶ χίλιοι Ἀργείων, τοὺς γὰρ πεντακοσίους τῶν Ἀργείων ψιλοὺς ὄντας ὥπλισαν οἱ Ἀθηναῖοι, καὶ χίλιοι τῶν ξυμμάχων ναυσὶ δυοῖν δεούσαις πεντήκοντα, ὧν ἦσαν καὶ ὁπλιταγωγοί, Φρυνίχου καὶ Ὀνομακλέους καὶ Σκιρωνίδου στρατηγούντων κατέπλευσαν ἐς Σάμον, καὶ διαβάντες ἐς Μίλητον ἐστρατοπεδεύσαντο. Μιλήσιοι δὲ ἐξελθόντες αὐτοί τε, ὀκτακόσιοι ὁπλῖται, καὶ οἱ μετὰ Χαλκιδέως ἐλθόντες Πελοποννήσιοι καὶ Τισσαφέρνους τι ξενικὸν ἐπικουρικόν, καὶ αὐτὸς Τισσαφέρνης παρὼν καὶ ἡ ἵππος αὐτοῦ, ξυνέβαλον τοῖς Ἀθηναίοις καὶ ξυμ-

25. καὶ πεντακόσιοι καὶ χίλιοι Ἀργείων] Ante Haackium comma posuerant post πεντακόσιοι. Rectius post Ἀθηναίων poni, declarant verba c. 30. Στρομβιχίδης καὶ Ὀνομακλῆς καὶ Εὐκτήμων τριάκοντα ναῦς ἔχοντες καὶ τῶν ἐς Μίλητον ἐλθόντων χιλίων ὁπλιτῶν μέρος ἄγοντες. Et quingentos expeditos Argivorum milites addit ab Atheniensibus gravi armatura instructos esse. Propter verba οἱ μετὰ Χαλκιδέως ἐλθόντες Πελοποννήσιοι v. cap. 17. init. ibique adn. Et τι ξενικόν aliquot libri habent pro τὸ ξενικόν. Monet Popp., non omnes aut antea nominatos Tissaphernis mercenariós intelligendos esse. De omni re mercenariorum ea aetate agit Wachsm. Antt. Gr. 1, 2. p. 310. et per totam sect. Vocabulum ξενικόν delet Schaef. ad L. Bos. Ellips. p. 451. Tuetur Popp. loco 3, 109. coll. Diod. 16, 24. et Xen. H. Gr. 6, 1, 4., ubi quum Mor. ξένους obliterare vellet, bene a Koeppenio defensum esse ait. Arn. addit, hos mercenarios peregrinos dici respectu Tissaphernis, fuisse enim videri Graecos, fortasse Arcades, vocabulo ξενικόν patriam eorum, vocabulo ἐπικουρικόν conditionem militandi designari, ac si non magnum numerum horum mercenariorum Tissaphernes habuerit, ferri posse vulgatam τὸ ξενικόν, additum esse vel parvo numero eorum satis magnum robur epibatis quinque navium, fortasse mercenarios Tissaphernis, sicut Pissuthnis 3, 34. partim Graecos, partim Barbaros fuisse. Tum pro προεξάξαντες in Vat. est προεξάϊξαντες. Ed. Bas. προεξέρξαντες. Laur. Mosqu. K. Ar. Chr. Dan. Ald. Flor. marg. Steph. προεξάρξαντες. „Huius postremi verbi exempla ponit Lobeck. ad Phryn. p. 287., petita illa a Syntipa et Anna Comnena." Bekk. Προεξάγειν legitur 5, 7. 7, 52., neutro loco, ait Popp., sine dubitatione. Idem addit προεξάγειν τινά et προεξάγεσθαί τινι alibi Thucydidem dicere, ut 7, 6. 70., quare dubitat an cum Dindorfio legendum sit προεξάξαντες, qui „προεξέσσειν, ait, verbo in simili loco Herodot. usus 9, 62. προεξαΐσσοντες κατ' ἕνα — ἐξέπιπτον ἐς τοὺς Σπαρτιήτας." At mihi aliud videtur, quum singuli ex ordinibus prosiliunt, aliud quum cornu et tota ala exercitus circumducitur, quod tam incitato cursu non fit, ut dicas προεξάσσειν. Adde quod hoc verbo nusquam, altero non ita raro hic scriptor utitur. Προεξάξαντες neutrum est, ortum ex suppressione reflexivi ἑαυτούς. Arn. convertit advancing from the line before the rest, et propter formam aoristi comparat 2, 97. προσῆξαν. Ad ὡς ἑώρων supple οἱ Μιλήσιοι.

μάχοις. καὶ οἱ μὲν Ἀργεῖοι τῷ σφετέρῳ αὐτῶν κέρᾳ προεξάξαντες καὶ καταφρονήσαντες, ὡς ἐπὶ Ἴωνάς τε καὶ οὐ δεξομένους ἀτακτότερον χωροῦντες, νικῶνται ὑπὸ τῶν Μιλησίων, καὶ διαφθείρονται αὐτῶν ὀλίγῳ ἐλάσσους τριακοσίων ἀνδρῶν· Ἀθηναῖοι δὲ τούς τε Πελοποννησίους πρώτους νικήσαντες, καὶ τοὺς βαρβάρους καὶ τὸν ἄλλον ὄχλον ὠσάμενοι, τοῖς Μιλησίοις οὐ ξυμμίξαντες, ἀλλ' ὑποχωρησάντων αὐτῶν ἀπὸ τῆς τῶν Ἀργείων τροπῆς ἐς τὴν πόλιν, ὡς ἑῴρων τὸ ἄλλο σφῶν ἡσσώμενον, πρὸς αὐτὴν τὴν πόλιν τῶν Μιλησίων κρατοῦντες ἤδη τὰ ὅπλα τίθενται. καὶ ξυνέβη ἐν τῇ μάχῃ ταύτῃ τοὺς Ἴωνας ἀμφοτέρων τῶν Δωριέων κρατῆσαι· τούς τε γὰρ κατὰ σφᾶς Πελοποννησίους οἱ Ἀθηναῖοι ἐνίκων, καὶ τοὺς Ἀργείους οἱ Μιλήσιοι. στήσαντες δὲ τροπαῖον, τὸν περιτειχισμὸν ἰσθμώδους ὄντος τοῦ χωρίου οἱ Ἀθηναῖοι παρεσκευάζοντο, νομίζοντες, εἰ προσαγάγοιντο Μίλητον, ῥᾳδίως ἂν σφίσι καὶ τἆλλα προσχωρήσειν.

26 Ἐν τούτῳ δὲ περὶ δείλην ἤδη ὀψίαν ἀγγέλλεται αὐτοῖς τὰς ἀπὸ Πελοποννήσου καὶ Σικελίας πέντε καὶ πεντήκοντα ναῦς ὅσον οὐ παρεῖναι. τῶν τε γὰρ Σικελιωτῶν, Ἑρμοκράτους τοῦ Συρακοσίου μάλιστα ἐνάγοντος ξυνεπιλαβέσθαι καὶ τῆς ὑπολοίπου Ἀθηναίων καταλύσεως, εἴκοσι νῆες Συρακοσίων ἦλθον καὶ Σελινούντιαι δύο, αἵ τε ἐκ Πελοποννήσου, ἃς παρεσκευάζοντο, ἑτοῖμαι ἤδη οὖσαι· καὶ Θηραμένει τῷ Λακεδαιμονίῳ ξυναμφότεραι ὡς Ἀστύοχον τὸν ναύαρχον προσταχθεῖσαι

26. *περὶ δείλην ὀψίαν*] i. e. um die Zeit des späten Nachmittages. Mox articulum in *τὰς — πέντε καὶ πεντήκοντα ναῦς* Arn. docet explicari per sequentem proxime sententiam: *τῶν τε γὰρ Σικελιωτῶν* etc. Conf. adn. ad c. 15. Ad *εἴκοσι νῆες Συρακοσίων* Krueg. ad Dionys. p. 278. not. 42. adnotavit: „Aliter Diod. 13, 34., qui 35 triremes a Syracusanis missas tradit, ubi Wess. iterum eum a Thucydide dissentire, sibi tamen constare c. 63. eundem numerum prodentem, adnotavit. Hic dissensus utcunque tolli potest. Diod. enim eas etiam tredecim naves numerat, quas Hippocrates in Asiam duxit, v. Thuc. 8, 35. Quamquam harum nonnisi una Syracusana erat. Quod autem Diod. dicit, una cum Gylippo missas esse illas triremes, error est. v. Thuc. 8, 13. Viginti Syracusanas naves, nunc missas, etiam Xen. H. Gr. 1, 2, 8. memorat.“ Et *αἱ ἐκ Πελοποννήσου* triginta tres erant. Harum 28 ex iis erant, quae iam ineunte aestate exstructae adhuc Cenchreis et Lechaei relictae fuerant. Nam Lechaei erant 39. (v. cap. 7.) Harum 21 transportantur Cenchreas (cap. 8.). Harum 21 unam amittunt Peloponnesii (cap. 10.). Viginti naves Cenchreas revertuntur (v. cap. 20.). Harum viginti navium quatuor assumtis Astyochus in Ioniam navigat (c. 23. init.), quem postea sex aliae subsequuntur (c. 23. extr.). Restant Lechaei et Cenchreis 28 naves. Hinc Krueg. p. 299. colligit, per hanc totam aestatem tantum quinque novas naves a Peloponnesiis paratas, easque fortasse ab Agide aedificatas esse. Porro Theramenem Lacedaemonium Therimenem vocat It. et Pal. 8, 29. 31. 38. 43. 52. consentiente cap. 38. Aug. Sic cap. 29. Cass. Aug. Lugd. Gr., iidemque saepius; c. 31. etiam D. Ita fore, ut a Theramene Atheniensi discerneretur, Popp. adnotavit.

κομίσαι, κατέπλευσαν ἐς Λέρον πρῶτον τὴν πρὸ Μιλήτου νῆσον. ἔπειτα ἐκεῖθεν αἰσθόμενοι ἐπὶ Μιλήτῳ ὄντας Ἀθηναίους ἐς τὸν Ἰασικὸν κόλπον πρότερον πλεύσαντες ἐβούλοντο εἰδέναι τὰ περὶ τῆς Μιλήτου. ἐλθόντος δὲ Ἀλκιβιάδου ἵππῳ ἐς Τειχιοῦσσαν τῆς Μιλησίας, ἥπερ τοῦ κόλπου πλεύσαντες ηὐλίσαντο, πυνθάνονται τὰ περὶ τῆς μάχης. παρῆν γὰρ ὁ Ἀλκιβιάδης καὶ ξυνεμάχετο τοῖς Μιλησίοις καὶ Τισσαφέρνει, καὶ αὐτοῖς παρῆνει, εἰ μὴ βούλονται τά τε ἐν Ἰωνίᾳ καὶ τὰ ξύμπαντα πράγματα διολέσαι, ὡς τάχιστα βοηθεῖν Μιλήτῳ καὶ μὴ περιιδεῖν ἀποτειχισθεῖσαν. καὶ οἱ μὲν ἅμα τῇ ἕῳ ἔμελλον 27
βοηθήσειν· Φρύνιχος δὲ ὁ τῶν Ἀθηναίων στρατηγός, ὡς ἀπὸ τῆς Λέρου ἐπύθετο τὰ τῶν νεῶν σαφῶς, βουλομένων τῶν

Λέρον] Cass. et T. (Cantabr. Arnoldi) *Ἔλεον*. Pal. *Ἔλεον* sine spiritu; Aug. *Ελεον* sine spiritu et accentu. Vulgo *Ἐλεόν*. Insula Eleos a nullo scriptore memoratur, quare iam Dorv. ad Charit. p. 349. dubitanter de h. l. locutus est. Bekk. ex Vat. *Λέρον* recepit, „cui initium proximi cap. favet. At quo iure Lerus apud Icarum et Pathmum sita atque a Mileto circiter 350 stadia distans *ἡ πρὸ Μιλήτου νῆσος* vocetur, nemo dicat, et quum Lerum Peloponnesii Miletum tendentes praetervehi debuissent, inde, etiamsi non appulissent, Atheniensibus nuncius afferri potuit; denique ignobiles aliquot insulas apud Miletum esse docuimus 1, 2. p. 468.“ Popp. ex Pausania 1, 35, 5. Plinio H. N. 5, 31. Arrian. Anab. 1, 20, 5. Chandl. Asia c. 53. Contra haec Arn. urget initium proximi cap. *ὡς ἀπὸ τῆς Λέρου ἐπύθετο*, Lerum aditui sinus Iasi propinquam, ac quum Athenienses Ladae essent ad ostium portus, Peloponnesios non potuisse ad aliquam parvarum insularum proxime Laden sitarum accedere, quin toti classi Atheniensium conspicui fierent, contra ea verbis *ὡς ἀπὸ τῆς Λέρου ἐπύθετο* etc. indicari, eos Atheniensibus non conspicuos factos esse, sed hos solum de iis inaudivisse. Addit Herodotum 5, 125. narrare Lerum satis propinquam Mileto iacuisse, quo Milesii aufugerent et unde facile in patriam reverterentur. Locutionem *ἡ πρὸ Μιλήτου νῆσος* ait laxius accipiendam esse (just as the Isle of Man may be called the Island off Whitehaven, although it be not immediately near to it). „Erat, ait, insula in ipsa via Miletum navigantium sita, et classi, quae Peloponneso profecta mare Aegaeum traiecerat insula sita intra conspectum loci, quo tendebat, iure ante eum locum sita videbatur, etiamsi inter insulam et illum locum intervallum amplius 30 mill. erat.“

27. *Λέρου*] Vat. Mosqu. Ar. Chr. Vat. cum *δ* super *λ*. Contra in Aug. man. rec. *λ* super *δ*. Vulgo enim *Λέρου*. Chr. *Λέσβου*. Huds. manifestum ait esse ex Strab. libr. 10. fin., legendum esse *Λέρου*, et sic emendasse iam Palmerium Exercc. p. 56. Duk. adnotavit. Mox Bekk. ex coniectura scripsit *οὐδ' ἄλλῳ*, nam vulgo est *οὔτ' ἄλλῳ*. „Vulgatum convertendum weder selbst thun, noch jenen noch irgend einem andern erlauben; alterum weder selbst thun, noch jenen und auch nicht (pro quibus etiam oder dixeris) einem andern erlauben.“ Popp. Mox ad *ἔσται ἀγωνίσασθαι* Schol. adnotavit: *τὸ ἔσται περιττόν*. Negat Bred., qui in hunc modum verba ordinat: *ὅπου ἔξεστιν ἀγωνίσασθαι, σαφῶς εἰδότας πρὸς ὁπόσας ναῦς καὶ ὅσαις ἡμῖν παρασκευασαμένοις ἔσται ἀγωνίσασθαι* etc. Verum tamen est, verba posse ordinari etiam in hunc modum: *ὅπου γὰρ ἔξεστιν ἐν ὑστέρῳ ἱκανῶς καὶ καθ' ἡσυχίαν παρασκευασαμένοις ἀγωνίσασθαι, σαφῶς εἰδότας πρὸς ὁπόσας καὶ ὅσαις (ἔξεστιν ἀγωνίσασθαι)*. Nonnihil Scho-

ξυναρχόντων ὑπομείναντας διαναυμαχεῖν, οὐκ ἔφη οὔτ' αὐτὸς ποιήσειν τοῦτο οὔτ' ἐκείνοις οὐδ' ἄλλῳ οὐδενὶ ἐς δύναμιν ἐπιτρέψειν. ὅπου γὰρ ἔξεστιν ἐν ὑστέρῳ, σαφῶς εἰδότας πρὸς ὁπόσας τε ναῦς πολεμίας καὶ ὅσαις πρὸς αὐτὰς ταῖς σφετέραις, ἱκανῶς καὶ καθ' ἡσυχίαν παρασκευασαμένοις ἔσται ἀγωνίσασθαι, οὐδέποτε τῷ αἰσχρῷ ὀνείδει εἴξας ἀλόγως διακινδυνεύσειν. οὐ γὰρ αἰσχρὸν εἶναι Ἀθηναίους ναυτικῷ μετὰ καιροῦ ὑποχωρῆσαι, ἀλλὰ καὶ μετὰ ὁτουοῦν τρόπου αἴσχιον ξυμβήσεσθαι, ἢν ἡσσηθῶσι· καὶ τὴν πόλιν οὐ μόνον τῷ αἰσχρῷ ἀλλὰ καὶ τῷ μεγίστῳ κινδύνῳ περιπίπτειν, ἢ μόλις ἐπὶ ταῖς γεγενημέναις ξυμφοραῖς ἐνδέχεσθαι μετὰ βεβαίου παρασκευῆς καθ' ἑκουσίαν,

liastae suspicionem firmat Vat., ubi ἐξέσται est pro ἔσται et post ἀγωνίσασθαι aliud interpretamentum: ὅποι τε βούλονται. Verba τῷ αἰσχρῷ ὀνείδει εἴξας Schol. interpretatur per φεύγων ἀδοξίαν. Verba ἀλλὰ — αἴσχιον etc. ita accipe: *ἀλλὰ μᾶλλον αἰσχρὸν ἔσεσθαι καὶ μετὰ ὁτουοῦν τρόπον ξυμβαίνειν, ἢν ἡσσηθῶσι, sed potius hoc turpe fore, pacem quibuscunque tandem conditionibus inire, si vincerentur.* Nam quum neget turpe esse hostibus cedere, non potest dicere *turpius* esse, pacem utcunque facere, sed *potius turpe* esse. Conf. Herm. ad Soph. Oed. C. 584. Ξυμβήσεσθαι autem Schol. Lugd. recte explicat *συνθήκας ποιεῖν*, idque vel aoristus ἡσσηθῶσι docet, wenn sie besiegt würden, wäre es vielmehr eine Schande, wenn sie, wie es der Feind vorzuschreiben beliebte (sive auf jede Bedingung) mit dem Feinde auseinander kämen.

καθ' ἑκουσίαν] om. C. F. Gr. Laur. E., neque hoc loco et modo legere potuit Schol. Καὶ' ἑξουσίαν scribunt Reg. (G.) B. Ar. Chr. Dan. Ald. Flor. Bas. Contrarie ponuntur καθ' ἑκουσίαν sc. *γνώμην* (v. Lobeck. ad Phryn. p. 4. conf. Soph. Tr. 727.) et *ἀνάγκη*. Καὶ' ἐξουσίαν prorsus absurdum est; quid enim obstat, si in rerum abundantia versantur, quominus priores hostem aggrediantur, licet post insignem calamitatem? Schol. *ἤτινι πόλει διὰ τὰς κατεχούσας συμφορὰς μόγις ἔξεστι μετὰ μεγάλης παρασκευῆς καὶ ἀναγκαζομένη προεπιχειρεῖν* (scr. *προεπιχειρεῖν*) *τοῖς πολεμίοις, οὐχὶ δὴ ἑκουσίως, ταύτῃ πῶς προσήκει μὴ ἀναγκαζομένῃ πρὸς αὐθαιρέτους κινδύνους ἰέναι;* Valla: *cui quum propter clades acceptas vix liceat cum firmo apparatu sua sponte, vel etiam magna necessitate coactae aliquos aggredi, iam vero quomodo ei non coactae pericula sua sponte suscipere liceret?* Heilm.: dieser (Staat) dürfe, in Ansehung seiner erlittenen Unglücksfälle, sich kaum mit den sichersten Zurüstungen aus eigenem Antriebe, oder auch bei noch so dringenden Umständen getrauen, den Feind irgendwo anzugreifen: wie viel weniger also ohne dergleichen Nothzwang sich in eigenwillige Gefahr stürzen? In his omnibus versionibus est, quod merito reprehendas. Plane enim, qui ita converterunt vim verborum *ἢ πάνυ γε ἀνάγκῃ* praeterviderunt, ubi ἢ refertur ad *μόλις*, ut sit *ἢ μόλις ἢ πάνυ γε ἀνάγκῃ*. Nec particulam *γε* reddiderunt, sed pro ea *etiam*, quod ab hoc loco alienum est. Intelligendum enim sic: *cui civitati quum firmiter paratae voluntario consilio vix liceat prius hostes aggredi, vel certe magna necessitate coactae*, sive *vel certe ita tantum, si magna necessitate coacta sit.* Porro *ποῦ δή* om. pr. man. Cl., sed suprascriptum habet, et in marg. adscriptum *γρ. ποῦ δεῖ*. Ven. *ποῦ δεῖ*. D. *πῶς δή*, C. F. B. *σπουδῇ*. T. (Cantabr. Arn.) *σπουδῇ*. Ceteri *ποῦ δή*. Vulgatam ita intelligunt, quasi scriptum sit *πῶς δή*? Rursus *ποῦ δεῖ* requirit *βιαζομένην* pro *βιαζομένῃ*, ut Arn. adnotavit.

ἢ πάνυ γε ἀνάγκῃ, προτέρα ποι ἐπιχειρεῖν, ποῦ δὴ μὴ βιαζομένῃ γε πρὸς αὐθαιρέτους κινδύνους ἰέναι. ὡς τάχιστα δὲ ἐκέλευε τούς τε τραυματίας ἀναλαβόντας καὶ τὸν πεζὸν καὶ τῶν σκευῶν ὅσα ἦλθον ἔχοντες, ἃ δ' ἐκ τῆς πολεμίας εἰλήφασι καταλιπόντας, ὅπως κοῦφαι ὦσιν αἱ νῆες, ἀποπλεῖν ἐς Σάμον, κἀκεῖθεν ἤδη ξυναγαγόντας πάσας τὰς ναῦς, τοὺς ἐπίπλους, ἤν που καιρὸς ᾖ, ποιεῖσθαι. ὡς δὲ ἔπεισε, καὶ ἔδρασε ταῦτα· καὶ ἔδοξεν οὐκ ἐν τῷ αὐτίκα μᾶλλον ἢ ὕστερον οὐκ ἐς τοῦτο μόνον ἀλλὰ καὶ ἐς ὅσα ἄλλα Φρύνιχος κατέστη οὐκ ἀξύνετος εἶναι. καὶ οἱ μὲν Ἀθηναῖοι ἀφ' ἑσπέρας εὐθὺς τούτῳ τῷ τρόπῳ ἀτελεῖ τῇ νίκῃ ἀπὸ τῆς Μιλήτου ἀνέστησαν, καὶ οἱ Ἀργεῖοι κατὰ τάχος καὶ πρὸς ὀργὴν τῆς ξυμφορᾶς ἀπέπλευσαν ἐκ τῆς Σάμου ἐπ' οἶκου. οἱ δὲ Πελοποννήσιοι ἅμα τῇ ἕῳ ἐκ τῆς 28
Τειχιούσσης ἅραντες ἐπικατάγονται, καὶ μείναντες ἡμέραν μίαν,

Magis placet, cum Lindavio ἤπου δή scribere i. e. *multo minus, nedum.* v. Vig. p. 412.; eam enim locutionem etiam post negativam sententiam locum habere docent exempla 1, 142. *ἤπου δὴ ἐν πολεμίᾳ* et 6, 37. *ἤπου γε δὴ ἐν πάσῃ πολεμίᾳ Σικελίᾳ* et Matth. p. 1212. Repetendum igitur ἤπου δὴ (οὐκ) ἐνδέχεσθαι, nam oratio obliqua est. Et ἤπου δή latere videtur in nonnullorum librorum scriptura σπουδῃ. Vulgatam Arn. tuetur loco Herodoti 2, 11. *κοῦ γε δὴ — οὐκ ἂν χωσθείη κόλπος;* sed ibi quoque Reiz. et Valck. proponunt *ἤ κού γε δή*. Schneid. Indic. Xen. Mem. s. v. *σχολή* et in Lexic. v. *σπουδῇ* scriptum vult *σπουδῇ γε, aegre, vix*, et *σπουδῇ* a Thucydide frequentari dicit Heind. ad Plat. Phaedon. §. 107. Iure negat Popp. Tum ἦν που καιρὸς ᾖ Vat. Vulgo εἴη. Ἦν per se cum optativo non construitur; in oratione obliqua licet, docente Herm. ad Vig. p. 822. et de Praecc. quibusd. Attic. p. XIV. Dubitari igitur licet, num vulgata retinenda sit: quia vero alibi Thuc. non sic loquatur et *ὅπως ὦσιν* praecedant, Popp. ad ᾖ se magis inclinare profitetur. Idem Arn. propterea praetulit, quia oratio Phrynichi plerumque recta sit, non obliqua, nam praecedere haec: ἔξεστιν, ἔσται — ὅσα ἦλθον ἔχοντες — εἰλήφασι et inprimis ἦν ἡσσηθῶσι, non ἡσσηθεῖεν. Denique verba *πρὸς ὀργὴν τῆς ξυμφορᾶς* Schol. ita exponit: *ὀργιζόμενοι διὰ τὴν συμβᾶσαν αὐτοῖς συμφοράν.*

28. ἐπικατάγονται] i. e. *post profectionem Atheniensium ad Miletum appellunt.* Port. Et *ξυγκαταδιωχθείσας* est *quas una cum Chalcidei navibus hostes persecuti erant.* Vid. supra c. 17. 19. Tum *τὰ σκεύη* Arn. intelligit malos, vela, armamenta, quae de more in litore reliquerant, quum classis solvebat pugnam commissura, et confert Xen. H. Gr. 1, 1, 13. 6, 2, 27. Idem locutionem *ἐν ᾗ κατεῖχε* dicit insolitam, solennius futurum fuisse *ἣν κατεῖχε*, addens significare *se sustinuit, firmiter constitit*, ut *ὁ λόγος κατέχει* 1, 10. *τῶν σεισμῶν κατεχόντων* 3, 89. Atque hoc praefero alteri eius explicationi: *ἐν ᾗ καταστὰς κατεῖχεν αὐτήν.* Porro *ἀλλ' ἢ Ἀττικάς* scribi iubet Haack. i. e. *nisi*, addens, si ἄλλ' ἤ scribatur, desiderari *τι*. „Nemo tamen dixerit dass die Schiffe ausser Attische wären, vel dass es ausser Attische Schiffe wären, et de omisso *τις* vide ad 6, 21. 7, 43. et al.“ Popp. Exspectes potius *ἄλλας ἤ*. Mihi *ἀλλ' ἤ* sic accipiendum videtur: *quum non exspectarent, sed vel Atticas naves esse, vel nesciebant quas.* Vid. Herm. ad Vig. p. 812. Id patet esse idem ac si dicas: *non alias exspectabant, nisi Atticas naves esse.* Et *τὰς ναῦς* Vat. solus habet, probante Popp., quia sensus sit *eas naves, quas Iasii conspicerent.* Dein Darici state-

τῇ ὑστεραίᾳ καὶ τὰς Χίας ναῦς προσλαβόντες τὰς μετὰ Χαλκιδέως τὸ πρῶτον ξυγκαταδιωχθείσας, ἐβούλοντο πλεῦσαι ἐπὶ τὰ σκεύη ἃ ἐξείλοντο ἐς Τειχιοῦσσαν πάλιν. καὶ ὡς ἦλθον, Τισσαφέρνης τῷ πεζῷ παρελθὼν πείθει αὐτοὺς ἐπὶ Ἴασον, ἐν ᾗ Ἀμόργης πολέμιος ὢν κατεῖχε, πλεῦσαι. καὶ προσβαλόντες τῇ Ἰάσῳ αἰφνίδιοι, καὶ οὐ προσδεχομένων ἀλλ' ἢ Ἀττικὰς τὰς ναῦς εἶναι, αἱροῦσι· καὶ μάλιστα ἐν τῷ ἔργῳ οἱ Συρακόσιοι ἐπηνέθησαν. καὶ τόν τε Ἀμόργην ζῶντα λαβόντες, Πισσούθνου νόθον υἱόν, ἀφεστῶτα δὲ βασιλέως, παραδιδόασιν οἱ Πελοποννήσιοι Τισσαφέρνει ἀπαγαγεῖν, εἰ βούλεται, βασιλεῖ, ὥςπερ αὐτῷ προσέταξε· καὶ τὴν Ἴασον διεπόρθησαν, καὶ χρήματα πάνυ πολλὰ ἡ στρατιὰ ἔλαβε· παλαιόπλουτον γὰρ ἦν τὸ χωρίον. τούς τ' ἐπικούρους τοὺς περὶ τὸν Ἀμόργην παρὰ σφᾶς αὐτοὺς κομίσαντες καὶ οὐκ ἀδικήσαντες ξυνέταξαν, ὅτι ἦσαν οἱ πλεῖστοι ἐκ Πελοποννήσου· τό τε πόλισμα Τισσαφέρνει παραδόντες καὶ τὰ ἀνδράποδα πάντα, καὶ δοῦλα καὶ ἐλεύθερα, ὧν καθ' ἕκαστον στατῆρα δαρεικὸν παρ' αὐτοῦ ξυνέβησαν λαβεῖν, ἔπειτα ἀνεχώρησαν ἐς τὴν Μίλητον. καὶ Πεδάριτόν τε τὸν Λέοντος ἐς τὴν Χίον ἄρχοντα Λακεδαιμονίων πεμψάντων, ἀποστέλλουσι πεζῇ μέχρι Ἐρυθρῶν ἔχοντα τὸ παρὰ Ἀμόργου ἐπικουρικόν, καὶ ἐς τὴν Μίλητον αὐτοῦ Φίλιππον καθιστᾶσι. καὶ τὸ θέρος ἐτελεύτα.

29 Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, ἐπειδὴ τὴν Ἴασον κατεστήσατο ὁ Τισσαφέρνης ἐς φυλακήν, παρῆλθεν ἐς τὴν Μίλητον, καὶ μηνὸς μὲν τροφήν, ὥςπερ ὑπέστη ἐν τῇ Λακεδαίμονι, ἐς δραχμὴν Ἀττικὴν ἑκάστῳ πάσαις ταῖς ναυσὶ διέδωκε, τοῦ

res, itemque Philippi Macedonis, Alexandri, Lysimachi stateres aequabant aurei stateris Attici aestimationem sive pretium Attici didrachmatis. Didrachma autem aestimabatur viginti drachmis argenti, ut in minis stateres quini, trecenteni in talentis essent, siquidem auri pretium decuplo maius argenti haberetur. v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 23. De scriptura nominis Pedariti et de ipso viro agit Valck. ad Theocr. Adoniaz. Vol. 2. p. 85. Heind.

ἄρχοντα] Ut ἁρμοσιήν puto, quamquam Thuc. hoc nomine non utitur. Schol. Dem. Lept. §. 55. ἁρμοσιὰς δὲ τοὺς ἐν ταῖς πόλεσιν ἄρχοντας τῶν Λακεδαιμονίων λέγει. ἐκάλουν δὲ αὐτοὺς οὕτω διὰ τὸ ἁρμόζειν τὰ ἤθη τῶν πολιτῶν τοῖς τῶν Λακεδαιμονίων. Haec verbi explicatio satis mira est. Conf. Maussac. ad Harpocr. p. 72. Wess. ad Diod. 13, 66. Lexic. Segner. p. 206, 16. 211, 7. 445, 49. Ἁρμοστήν Atheniensem habet Xen. H. Gr. 4, 8, 8. Ut Pedaritus Chii, ita Mileti Philippus videtur ἁρμοστὴς fuisse. Krueg. ad Dionys. p. 280. De locutione ἐς τὴν Μίλητον αὐτοῦ v. adn. ad 5, 83.

29. ἐς δραχμὴν Ἀττικήν] i. e. *ita ut drachmam quisque quotidie acciperet.* Popp. Drachma Attica exaequat 5 grossos 6 Pfenninge formulae imperialis, drachma constat 6 obolis, obolus 8 chalcis. Talentum constat 60 minis, mina 100 drachmis. v. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 15 sq. De verbis παραδοῦναι ξυμπλέων v. Matth. p. 1040. c. Ad ὅμως δέ cogita: quamquam Theramenes non adversabatur. Particula δέ, ut solet, post parenthesin infertur. Vid. adn. ad 3, 107. Herm. ad Vig. p. 847. Wolf. et Weisk. ad Xen. H. Gr. 1, 3, 20.

δὲ λοιποῦ χρόνου ἐβούλετο τριώβολον διδόναι, ἕως ἂν βασιλέα ἐπέρηται· ἢν δὲ κελεύῃ, ἔφη δώσειν ἐντελῆ τὴν δραχμήν. Ἑρμοκράτους δὲ ἀντειπόντος τοῦ Συρακοσίου στρατηγοῦ, ὁ γὰρ Θηραμένης οὐ ναύαρχος ὤν, ἀλλ' Ἀστυόχῳ παραδοῦναι τὰς ναῦς ξυμπλέων, μαλακὸς ἦν περὶ τοῦ μισθοῦ, ὅμως δὲ παρὰ πέντε ναῦς πλέον ἀνδρὶ ἑκάστῳ ἢ τρεῖς ὀβολοὶ ὡμολογήθησαν. ἐς γὰρ πέντε ναῦς [καὶ πεντήκοντα] τρία τάλαντα ἐδίδου τοῦ μηνός· καὶ τοῖς ἄλλοις, ὅσῳ πλείους νῆες ἦσαν τούτου τοῦ ἀριθμοῦ, κατὰ τὸν αὐτὸν λόγον τοῦτον ἐδίδοτο.

Τοῦ δ' αὐτοῦ χειμῶνος τοῖς ἐν τῇ Σάμῳ Ἀθηναίοις πρὸς- 30
αφιγμέναι γὰρ ἦσαν καὶ οἴκοθεν ἄλλαι νῆες πέντε καὶ τριά-

παρὰ πέντε ναῦς] Tissaphernes quum Spartanis classiariis nautisque diurnum stipendium drachmam Atticam pollicitus initio quidem, Ol. 92, 1. (412.) fide stetisset, postea Alcibiadis consilio triobolum tantum dare voluit, donec rex plenam drachmam dari concessisset. Quippe ne Atheniensium quidem civitas plus triobolo militibus tribuebat. Tametsi eo inductus est, ut pro triobolo viritim solvendo quinis navibus menstrua talenta tria, adeoque singulis navibus triginta sex minas in mensem, viritim (si statuas triremes ducenis impletas fuisse), menstruas octodecim drachmas, diurnos 3$\frac{3}{5}$ obolos tribueret. Obliteranda enim sunt verba καὶ πεντήκοντα, ex cap. 26. huc temere tracta. Verba autem παρὰ πέντε ναῦς significant *in quinas naves*, für je fünf Schiffe. Sequentia verba καὶ τοῖς ἄλλοις, ὅσῳ πλείους νῆες ἦσαν τούτου τοῦ ἀριθμοῦ, κατὰ τὸν αὐτὸν λόγον τοῦτον ἐδίδοτο comprobant veritatem huius emendationis. Hoc enim significant: und den übrigen wurde, je nachdem die Schiffszahl die Zahl von fünf Schiffen überstieg, nach demselben Verhältnisse derselbe Sold gezahlt. In formula foederis, quod Spartani cum Persis inierunt supra c. 5., nulla stipendii mentio facta est, sed de triobolo tantum diurna mercede convenisse, ex Xen. H. Gr. 1, 5, 3. constat. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 297. adde p. 299. adn. 561.

30. τοῖς — Ἀθηναίοις προσαφιγμέναι γὰρ ἦσαν] i. e. οἱ δὲ ἐν Σάμῳ Ἀθηναῖοι καὶ τὰς ναῦς ἀπὸ Χίου πόσας καὶ τὰς ἄλλας ξυναγαγόντες (προσαφιγμέναι γὰρ ἦσαν αὐτοῖς καὶ οἴκοθεν ἄλλαι νῆες), ἐβούλοντο — ἐφορμεῖν. Dixi de h. l. in adn. ad 1, 72. init. Quod hic factum esse narratur, id Arn. adnotavit Phrynichum suasisse c. 27. ἀποπλεῖν ἐς Σάμον, κἀκεῖθεν ἤδη ξυναγαγόντας πάσας τὰς ναῦς τοὺς ἐπίπλους ποιεῖσθαι. Et καὶ τὰς ἄλλας Krueg. p. 315 sq. putat intelligendas esse eas, quae ad minores expeditiones emissae fuerant, quarum, quum exigui momenti essent, mentionem nullam fecerit. Idem p. 279. ad διακληρωσάμενοι adnotavit, imperatores, nisi forte unus eorum αὐτοκράτωρ esset, sorte munia belli inter se partiri solitos esse. Vid. Thuc. 6, 42. 62. Et χιλίων ὁπλιτῶν refer ad eos, qui cum aliis superiori aestate advecti erant c. 25. Pro ἀγαγόντες Vat. ἀπολιπόντες offert, idemque ἐν om. „At de relictis postea demum scriptor loquitur, eosque in ipsa Samo, non in navibus remansisse et consentaneum est et ibi audimus. Neque vero nostrum placet, sed ἄγοντες probabiliter coniicit Krueg. ad Dionys. p. 314. Ἀναγόντων (τες sec. man.) praebet G. (?) Verum totum hoc participium ab interpretibus additum atque ἔχοντες ex praegressis subaudiendum esse praeter dissensum Vaticani declarat interpretatio Vallae, quamvis ἐν ναυσὶν ὁπλιταγωγοῖς male cum ἔπλεον iungentis: *cum triginta navibus et parte armatorum, qui venerant in Miletum, actuariis navigiis advecti sunt in Chium.*“ Popp.

κοντα καὶ στρατηγοὶ Χαρμῖνος καὶ Στρομβιχίδης καὶ Εὐκτήμων, καὶ τὰς ἀπὸ Χίου πάσας καὶ τὰς ἄλλας ξυναγαγόντες, ἐβούλοντο διακληρωσάμενοι ἐπὶ μὲν τῇ Μιλήτῳ τῷ ναυτικῷ ἐφορμεῖν, πρὸς δὲ τὴν Χίον καὶ ναυτικὸν καὶ πεζὸν πέμψαι. καὶ ἐποίησαν οὕτω. Στρομβιχίδης μὲν γὰρ καὶ Ὀνομακλῆς καὶ Εὐκτήμων τριάκοντα ναῦς ἔχοντες καὶ τῶν ἐς Μίλητον ἐλθόντων χιλίων ὁπλιτῶν μέρος ἀγαγόντες ἐν ναυσὶν ὁπλιταγωγοῖς ἐπὶ Χίον λαχόντες ἔπλεον· οἱ δ' ἄλλοι ἐν Σάμῳ μένοντες τέσσαρσι καὶ ἑβδομήκοντα νανσὶν ἐθαλασσοκράτουν, καὶ ἐπίπλουν τῇ Μιλήτῳ ἐποιοῦντο.

31 Ὁ δὲ Ἀστύοχος ὡς τότε ἐν τῇ Χίῳ ἔτυχε διὰ τὴν προδοσίαν τοὺς ὁμήρους καταλεγόμενος, τούτου μὲν ἐπέσχεν, ἐπει-

De navibus hoplitagogis v. Duk. ad 6, 43. Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 300.

τέσσαρσι καὶ ἑβδομήκοντα] Hoc igitur tempore Atheniensium classis navium erat centum quatuor. At multo plures iam in Asiam venerant. Adductae enim sunt viginti a Strombichide et Thrasycle c. 15. 16. 17. 24., sex et viginti a Diomedonte et Leonte c. 19 sq. 23., duodequinquaginta a Phrynicho c. 25., et quae praesenti loco dicuntur triginta [quinque] a Charmino, qui fortasse idem est, cuius non honorificam mentionem fecit Arist. Thesm. 811. Desiderantur igitur viginti [quinque]. Sed praesenti loco non numerari videntur, nisi triremes, quum earum quidem navium, quae Phrynicho duce advectae erant, *ὁπλιταγωγοί* quoque fuerint. Quarum aliae Argivos videntur in patriam transmisisse, qui quod a Milesiis Ionibus fugati erant, irati abierunt c. 25. 27. extr., aliae Onomaclem et Euctemonem comitabantur, pars fortasse in Samo remanebat. Ac nonnullis navibus haud dubie praetores prioris anni Athenas vecti sunt. Quorum qui fuerat Strombichides, iam ante eodem missus videtur, ut auxilia peteret. Nunc enim denuo praetor factus revertitur. Eidemque, quum popularis esset (vid. Lys. c. Agorat. p. 853. c. Nicom. p. 850.), in tertium quoque annum imperium prorogatum est. De Strombichide tertium imperatore v. cap. 62. 79. KRUEG. p. 315. Idem p. 279. statim pro *ἐπίπλουν* legi vult *ἐπίπλους* coll. c. 38. extr.

31. *ὡς τότε ἐν τῇ Χίῳ*] Vid. cap. 24. extr. „Ne quis ὅς coniiciat, v. 3, 69. 5, 10. Ac 5, 6. in verbis *ὁ Κλέων, ὃς ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν, Σταγείρῳ προσβάλλει*, recte Haackium coniecisse puto, pro ὅς cum aliquot libris legendum esse *ὡς*, non tamen propterea, quod haec lectio aptior, sed quod difficilior est.“ KRUEG. ad Dionys. p. 332. Mox ad *τὰς Πελοποννησίων δέκα* tenendum est, quatuor navibus ipsum Astyochum Chium venisse c. 24. extr., et sex naves eodem venisse Cenchreis c. 23. vers. fin. Verba *τὰ Ἀθηναίων φρονοῦντας* explicat Matth. p. 573 sq. Et *ἀνοικίζεσθαι* est *in locum editiorem habitatum ire.* Negat Krueg. p. 341. hoc verbum significare *in continentem interiorem recedere:* iniuria id quidem, nam utrumque significat, siquidem *τὰ ἄνω* tum interior continens, tum simul loca editiora cogitari possunt. Contrarium *κατοικίζεσθαι* apud Thucydidem non est, sed *κάτω οἰκίζεσθαι*, v. Krueg. l. c. Daphnus non ita procul a litore sita fuisse videtur, quare Kruegeri interpretationem eius verbi amplexus sum; sin paulo remotior a mari fuit, altera significatio obtinet. Daphnus Arnoldo, iudicium Crameri secuto, videtur locus fuisse, quem Strab. 14, 1, 36. p. 645. templum Apollinis dicit.

δὴ ᾤσθετο τάς τε μετὰ Θηραμένους ναῦς ἡκούσας καὶ τὰ περὶ τὴν ξυμμαχίαν βελτίω ὄντα, λαβὼν δὲ ναῦς τάς τε Πελοποννησίων δέκα καὶ Χίας δέκα ἀνάγεται, καὶ προσβαλὼν Πτελεῷ καὶ οὐχ ἑλὼν παρέπλευσεν ἐπὶ Κλαζομενάς, καὶ ἐκέλευεν αὐτῶν τοὺς τὰ Ἀθηναίων φρονοῦντας ἀνοικίζεσθαι ἐς τὸν Δαφνοῦντα καὶ προσχωρεῖν σφίσι· ξυνεκέλευε δὲ καὶ Ταμώς, Ἰωνίας ὕπαρχος ὤν. ὡς δ' οὐκ ἐχήκουον, ἐσβολὴν ποιησάμενος τῇ πόλει οὔσῃ ἀτειχίστῳ, καὶ οὐ δυνάμενος ἑλεῖν, ἀπέπλευσεν ἀνέμῳ μεγάλῳ, αὐτὸς μὲν ἐς Φώκαιαν καὶ Κύμην, αἱ δὲ ἄλλαι νῆες κατῆραν ἐς τὰς ἐπικειμένας ταῖς Κλαζομεναῖς νήσους Μαράθουσσαν καὶ Πήλην καὶ Δρύμουσσαν. καὶ ὅσα ὑπεξέκειτο αὐτόθι τῶν Κλαζομενίων, ἡμέρας ἐμμείναντες διὰ τοὺς ἀνέμους ὀκτώ, τὰ μὲν διήρπασαν καὶ ἀνάλωσαν, τὰ δὲ ἐσβαλόμενοι ἀπέπλευσαν ἐς Φώκαιαν καὶ Κύμην ὡς Ἀστύοχον. ὄντος δ' αὐτοῦ ἐνταῦθα Λεσβίων ἀφικνοῦνται πρέσβεις βου- 32
λόμενοι αὖθις ἀποστῆναι· καὶ αὐτὸν μὲν πείθουσιν, ὡς δ' οἵ

καὶ προσχωρεῖν σφίσι] Quosnam hoc facere iussit? num eos, qui partibus Atheniensium favebant? imo eos, qui Clazomenis remanere debebant. Quare scribendum puto: *καὶ αὐτοὺς προσχωρεῖν σφίσι.* Mox Arn. probat coniecturam Popponis *προσβολήν* pro *ἐσβολήν*, quia hoc apud Thucydidem semper significet vel *aditum regionis, vallis* vel *incursationem*, nunquam vero *aggressionem*, velut urbis, castelli. De augmento verbi *ἀνάλωσαν* v. Herm. ad Soph. Ai. 1028. Denique *ἐσβαλόμενοι* est *navibus imposuerunt.*

32. *βουλόμενον*] Exspectes *βουλομένων*. Mox *αὖθις* in verbis *αὖθις ἀποστῆναι* accessit ex Vat., recte; nam a Chiis sollicitata prima Methymna desciverat c. 22., eiusque exemplum secutae erant Mytilene et Eresus ac fortasse etiam Pyrrha et Antissa c. 23. Sed quum Atheniens naves Chiorum subito adorti fugassent, maioremque earum partem cepissent, Astyochus, qui eas subsecutus erat, Chium recedere coactus est. Quo facto Atheniens denuo Lesbiorum urbes in potestatem suam redegerunt ac praesidiis tenuerunt. Vide cap. eod. Propter verba *τότε παριὼν πεζῇ ἐκ τῆς Μιλήτου* adi c. 28. Quinque autem naves (*ἐκ τῶν πέντε νεῶν*) intellige eas, quibus Chalcideus et Alcibiades in has oras advecti erant, ut narravit c. 6. 8. 11. 12. 17. 25. Deinde vulgo erat *ὑπὸ Χαλκιδέων*, quod iam Duk. in *Χαλκιδέως* mutandum esse vidit, idque postea repertum est in Vat. et Lugd., in cuius marg. *γρ. χαλκιδέους*. Particulam *ὡς* in *ὡς ἐς πεντακοσίους* om. Vat., *ἐς* om. I. et T. (Cantabr. Arn.) Popp. ait se non dubitaturum fuisse delere *ὡς*, nisi etiam similium pleonasmorum exempla 1, 1. p. 198. memorata dubitantius sese agere iussissent et Vat. ita etiam c. 5. praeberet. Ceterum de his militibus a Chalcideo in litore Chii relictis v. cap. 17. Numerum horum militum Arn. affirmat credibile esse excessisse quingentos, quum constaret ex tota multitudine hominum, qua quinque naves impletae fuerant (*ἐκ μὲν τῶν νεῶν τοὺς ναύτας ὁπλίσαντες*, non simpliciter *ναύτας* scriptoris verba sunt l. c.), at complures probabile fieri cecidisse in variis cladibus, quas Chii per Atheniens perpessi erant c. 24. Conf. adn. ad c. 17. init. Mox *ὁ Ἀσιύοχος τὸν λόγον* edidit Bekk. ex Vat. (vulgo articuli desunt), idemque ex coniectura legi vult *σφεῖς ἔξειν*. Verborum *ἤν τι σφάλλωνται* hic debet sensus esse: *etiamsi sibi*, Peloponnesiis, *non prorsus ex sententia cedat*, quare Dobr. legendum esse putat *ἤν τι καὶ σφ.* Denique legi-

τε Κορίνθιοι καὶ οἱ ἄλλοι ξύμμαχοι ἀπρόθυμοι ἦσαν διὰ τὸ πρότερον σφάλμα, ἄρας ἔπλει ἐπὶ τῆς Χίου. καὶ χειμασθεισῶν τῶν νεῶν ὕστερον ἀφικνοῦνται ἄλλαι ἄλλοθεν ἐς τὴν Χίον. καὶ μετὰ τοῦτο Πεδάριτος, τότε παριὼν πεζῇ ἐκ τῆς Μιλήτου, γενόμενος ἐν Ἐρυθραῖς διαπεραιοῦται αὐτός τε καὶ ἡ στρατιὰ ἐς Χίον· ὑπῆρχον δὲ αὐτῷ καὶ ἐκ τῶν πέντε νεῶν στρατιῶται ὑπὸ Χαλκιδέως ὡς ἐς πεντακοσίους ξὺν ὅπλοις καταλειφθέντες. ἐπαγγελλομένων δέ τινων Λεσβίων τὴν ἀπόστασιν, προσφέρει τῷ τε Πεδαρίτῳ καὶ τοῖς Χίοις Ἀστύοχος λόγον ὡς χρὴ παραγενομένους ταῖς ναυσὶν ἀποστῆσαι τὴν Λέσβον· ἢ γὰρ ξυμμάχους πλείους σφᾶς ἕξειν, ἢ τοὺς Ἀθηναίους, ἤν τι σφάλλωνται, κακώσειν. οἱ δ' οὐκ ἐσήκουον, οὐδὲ τὰς ναῦς ὁ
33 Πεδάριτος ἔφη τῶν Χίων αὐτῷ προήσειν. κἀκεῖνος λαβὼν τάς τε τῶν Κορινθίων πέντε καὶ ἕκτην Μεγαρίδα καὶ μίαν Ἑρμιονίδα καὶ ἃς αὐτὸς Λακωνικὰς ἦλθεν ἔχων, ἔπλει ἐπὶ τῆς Μιλήτου πρὸς τὴν ναυαρχίαν, πολλὰ ἀπειλήσας τοῖς Χίοις ἢ μὴν μὴ ἐπιβοηθήσειν, ἤν τι δέωνται. καὶ προσβαλὼν Κωρύκῳ τῆς Ἐρυθραίας ἐνηυλίσατο. οἱ δ' ἀπὸ τῆς Σάμου Ἀθηναῖοι ἐπὶ τὴν Χίον πλέοντες τῇ στρατιᾷ, καὶ αὐτοὶ ἐκ τοῦ ἐπὶ θάτερα λόφου διείργοντο καὶ καθωρμίσαντο, καὶ ἐλελήθεσαν ἀλλήλους. ἐλθούσης δὲ παρὰ Πεδαρίτου ὑπὸ νύκτα ἐπιστολῆς ὡς Ἐρυθραίων ἄνδρες αἰχμάλωτοι ἐκ Σάμου ἐπὶ προδοσίᾳ ἐς Ἐρυθρὰς ἥκουσιν ἀφειμένοι, ἀνάγεται ὁ Ἀστύοχος

mus οὐδὲ — ὁ *Πεδάριτος ἔφη*, erat enim Chio insulae praefectus, v. cap. 28. extr.

33. *τὰς τῶν Κορινθίων πέντε*] i. e. *τὰς τῶν Κορινθίων, πέντε οὔσας.* Corinthiorum naves adfuisse, scriptor iam c. 32. significavit, sed non item Corinthias quinque fuisse. Krueg. ad Dionys. p. 298. Sequuntur haec: *καὶ ἃς αὐτὸς Λακωνικὰς ἦλθεν ἔχων*, etenim Astyochus Cenchreis solverat cum 4 (Laconicis, ut videtur) navibus c. 23. init. Subsequuntur 6 Peloponnesiae item Cenchreis c. 23. vers. fin. At hic numerantur 11 naves. Krueg. l. c. statuit, unam serius advenisse. Quod si minus placet, sumendum est, Astyochum 3 Laconicis venisse, quartam fuisse aut Megarensem, aut Hermionensem. Has tres Laconicas ait Krueg. verisimile esse ex iis fuisse, quas Agis aedificandas curaverat.

ἐκ τοῦ ἐπὶ θάτερα] i. e. *καὶ αὐτοὶ ἐκ τοῦ ἐπὶ θάτερα λόφου* (an der andern Seite eines Hügels) *καθορμισάμενοι διείργοντο τῷ λόφῳ.* Quare mox adiicit, adeo non multum abfuisse, quin Astyochus in naves Atheniensium validiorum (v. cap. 30. vers. fin.) incideret. Vid. adn. ad 3, 68., ubi similis verborum traiectio: *αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες. Τὸ ἐπὶ θάτερα* nobis est die andere Seite et genitivus *λόφου* pendet ex *θάτερα*, sicut genitivus *τοῦ ἐπὶ θάτερα* pendet ex praepositione *ἐκ*. Ἐκ significat id, quod nos reddimus voculis nach etwas hin, velut *τὸ ἐκ τοῦ ἰσθμοῦ τεῖχος* 1, 64. das Fort nach der Erdzunge hin, Latini *ab Isthmo*. Vid. Matth. p. 1132. conf. Hom. Il. 8, 213. ibique Heyn. in Obss. Vol. 5. p. 453. Paulo post verba *ὑπὸ νύκτα* accesserunt ex Vat. Ad *ὡς Ἐρυθραίων* etc. tenendum, Erythraeos una cum Chiis descivisse, hostesque Atheniensium fuisse, ut patet ex c. 14.

εὐθὺς ἐς τὰς Ἐρυθρὰς πάλιν, καὶ παρὰ τοσοῦτον ἐγένετο αὐτῷ μὴ περιπεσεῖν τοῖς Ἀθηναίοις. διαπλεύσας δὲ καὶ ὁ Πεδάριτος πρὸς αὐτόν, καὶ ἀναζητήσαντες τὰ περὶ τῶν δοκούντων προδιδόναι, ὡς εὗρον ἅπαν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐκ τῆς Σάμου προφασισθέν, ἀπολύσαντες τῆς αἰτίας ἀπέπλευσαν, ὁ μὲν ἐς τὴν Χίον, ὁ δὲ ἐς τὴν Μίλητον ἐκομίσθη, ὥσπερ διενοεῖτο.

Ἐν τούτῳ δὲ καὶ ἡ τῶν Ἀθηναίων στρατιὰ ταῖς ναυσὶν 34
ἐκ τοῦ Κωρύκου περιπλέουσα κατ' Ἀργῖνον ἐπιτυγχάνει τρισὶ ναυσὶ τῶν Χίων μακραῖς· καὶ ὥσπερ ἰδόντες ἐπεδίωκον, καὶ χειμών τε μέγας ἐπιγίγνεται, καὶ αἱ μὲν τῶν Χίων μόλις καταφεύγουσιν ἐς τὸν λιμένα, αἱ δὲ τῶν Ἀθηναίων, αἱ μὲν μάλιστα ὁρμήσασαι τρεῖς διαφθείρονται καὶ ἐκπίπτουσι πρὸς τὴν πόλιν τῶν Χίων, καὶ ἄνδρες οἱ μὲν ἁλίσκονται οἱ δ' ἀποθνήσκουσιν, αἱ δ' ἄλλαι καταφεύγουσιν ἐς τὸν ὑπὸ τῷ Μίμαντι λιμένα, Φοινικοῦντα καλούμενον. ἐντεῦθεν δ' ὕστερον ἐς τὴν Λέσβον καθορμισάμενοι παρεσκευάζοντο ἐς τὸν τειχισμόν.

Ἐκ δὲ τῆς Πελοποννήσου τοῦ αὐτοῦ χειμῶνος Ἱπποκρά- 35
της ὁ Λακεδαιμόνιος ἐκπλεύσας δέκα μὲν Θουρίαις ναυσίν, ὧν ἦρχε Δωριεὺς ὁ Διαγόρου τρίτος αὐτός, μιᾷ δὲ Λακωνικῇ,

ὡς εὗρον ἅπαν] Etenim ut Athenienses se abire paterentur, simulabant se cives suos in partes Atheniensium traducturos, qua fraude feliciter in patriam evaserunt. Denique *ἐκομίσθη* quia Valla non interpretatus sit, deletum vult Krueg.

34. *Ἀργῖνον*] *Ἄργεννον* Straboni 14. p. 644. *μετὰ δὲ Κώρυκον Ἀλόννησος νησίον· εἶτα τὸ Ἄργεννον, ἄκρα τῆς Ἐρυθραίας, πλησιάζουσα μάλιστα τῷ Χίων Ποσειδίῳ.* Steph. quoque *τὸ Ἄργεννον ἀκρωτήριον.* Et Ptolemae. p. 118. *Κλαζομεναὶ, Ἄργεννον ἄκρον.* Duk. Unus Vat. *ὡς εἶδον* praebet pro *ὥσπερ ἰδόντες*, Valla: *simulac conspexit*, singularem ad *exercitum* referens. Porro pro *ἐπεδίωκον* vulgo legitur *αὐτὰς ἐπεδίωκον*, sed *αὐτάς* om. multi et scripti et edd. In marg. m. est *αὐτί ς εἶδον* i. e. *αὐτοὺς ὡς εἶδον.* Vat. *ἐδίωκον* pro *ἐπεδ.* Non puto aut *ὥσπερ* aut *ἰδόντες* corrupta esse, sed mutata interpunctione locum ita intelligo: *et quam cito conspectas naves persequuntur, tam continuo tempestas exoritur* etc. *Καί* enim hoc sensu usurpari, ut in apodosi positum *continuo* sit, constat vel ex Hom. Il. 24, 786. alibi. v. adn. ad c. 8. extr. Latini, ubi dicere volunt, rem, postquam alia acciderit, aliam e vestigio insecutam esse, utuntur voce *atque*, de quo usu v. Ramsh. Gr. p. 523. adn. *Ὥσπερ* autem hic nihil insoliti habet; eadem fere vi gaudet, qua in formula *ὥσπερ εἶχε*, wie er ging und stand. Hic: wie sie die Schiffe ansichtig wurden und verfolgten, brach auch sofort ein Sturm los. Et *ἐκπίπτουσι* est *eiiciuntur* ad urbem Chiorum, sie werden verschlagen. Vid. Ern. Gloss. Liv. Ruhnk. ad Vellei. Pat. 1, 1. Mimas mons est excelsus, sicut Arginum et Corycus, v. Strab. 14. p. 954. B. Alm. De Phoenicunte v. Wachsm. Antt. Gr. 1, 1. p. 53, 64. Verba *ἐς τὸν τειχισμόν* Arn. trahit ad munitionem Delphinii c. 38.

35. *Δωριεύς*] v. Thuc. 3, 8. Xen. H. Gr. 1, 5, 19. Pausan. 6, 7, 1. 2., quos affert Krueg. ad Dionys. p. 306. Adde Mans. Spart. 2. p. 299 sq. adn. et Od. Muell. Dor. 2. p. 148. Pro *ὑπὸ Τισσαφέρνους* vulgo legitur *ἀπὸ T.* Emendavit Palmer. Converte *auctore Tissa-*

μιᾷ δὲ Συρακοσίᾳ, καταπλεῖ ἐς Κνίδον· ἡ δ' ἀφεστήκει ἤδη ὑπὸ Τισσαφέρνους. καὶ αὐτοὺς οἱ ἐν τῇ Μιλήτῳ, ὡς ἤσθοντο, ἐκέλευον ταῖς μὲν ἡμισείαις τῶν νεῶν Κνίδον φυλάσσειν, ταῖς δὲ περὶ Τριόπιον οὔσαις τὰς ἀπ' Αἰγύπτου ὁλκάδας προσβαλλούσας ξυλλαμβάνειν· ἔστι δὲ τὸ Τριόπιον ἄκρα τῆς Κνιδίας προὔχουσα, Ἀπόλλωνος ἱερόν. πυθόμενοι δὲ οἱ Ἀθηναῖοι, καὶ πλεύσαντες ἐκ τῆς Σάμου, λαμβάνουσι τὰς ἐπὶ Τριοπίῳ φρουρούσας ἐξ ναῦς· οἱ δ' ἄνδρες ἀποφεύγουσιν ἐξ αὐτῶν. καὶ μετὰ τοῦτο ἐς τὴν Κνίδον καταπλεύσαντες, καὶ προσβαλόντες τῇ πόλει ἀτειχίστῳ οὔσῃ, ὀλίγου εἷλον. τῇ δ' ὑστεραίᾳ αὖθις προσέβαλλον, καὶ ὡς ἄμεινον φραξαμένων αὐτῶν ὑπὸ νύκτα, καὶ ἐπεισελθόντων αὐτοῖς τῶν ἀπὸ τοῦ Τριοπίου ἐκ τῶν νεῶν διαφυγόντων, οὐκέθ' ὁμοίως ἔβλαπτον, ἀπελθόντες καὶ δηώσαντες τὴν τῶν Κνιδίων γῆν ἐς τὴν Σάμον ἀπέπλευσαν.

36 Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον Ἀστυόχου ἥκοντος ἐς τὴν Μίλητον ἐπὶ τὸ ναυτικόν, οἱ Πελοποννήσιοι εὐπόρως ἔτι εἶχον ἅπαντα τὰ κατὰ τὸ στρατόπεδον. καὶ γὰρ μισθὸς ἐδίδοτο ἀρκούντως, καὶ τὰ ἐκ τῆς Ἰάσου μεγάλα χρήματα διαπασθέντα ὑπῆν τοῖς στρατιώταις, οἵ τε Μιλήσιοι προθύμως τὰ τοῦ πολέμου ἔφερον. πρὸς δὲ τὸν Τισσαφέρνην ἐδόκουν ὅμως τοῖς Πελοποννησίοις αἱ πρῶται ξυνθῆκαι, αἱ πρὸς Χαλκιδέα γενόμεναι, ἐνδεεῖς εἶναι καὶ οὐ πρὸς σφῶν μᾶλλον, καὶ ἄλλας ἔτι Θηραμένους παρόντος ἐποίουν· καὶ εἰσὶν αἵδε.

37 Ξυνθῆκαι Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς βασιλέα Δαρεῖον καὶ τοὺς παῖδας τοῦ βασιλέως καὶ Τισσαφέρνην,

pherne, quia ex toto h. l. apparet, Cnidum amicam Peloponnesiis, Atheniensibus hostilem fuisse, quo refutatur Kruegeri Comm. Thuc. p. 344. argumentatio. Et τὰς ἀπ' Αἰγύπτου ὁλκάδας intellige naves frumentarias Atheniensium. Pars enim Aegypti his temporibus desciverat. v. Krueg. p. 356. Ley de Fat. Aegypt. sub imp. Pers. p. 55., ubi (sicut in Synopsi chronol. p. 43.) scribendum est 412 ante Chr. (Ol. 92, 1.) De ὀλίγου v. Matth. p. 669. adn. 2. Deinde Vat. ἀπελθόντες pro vulgata ἐπελθόντες. Ἀπελθόντες καὶ δηώσαντες dictum est, ut καὶ ἀφικόμενοι ἐς Βέροιαν, κἀκεῖθεν ἐπισιρέψαντες καὶ πειράσαντες πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες 1, 61. Converte und sie fuhren ab, *nachdem* sie das Land der Cnidier verwüstet. Καί salvo sensu abesse posset. Itidemque c. 42. legitur πλεύσαντες καὶ τροπαῖον στήσαντες, πάλιν ἐς τὴν Κνίδον καθορμίσαντο i. e. sie fuhren ab, *nachdem* sie eine Trophaee errichtet, und legten sich wieder bei Cnidos vor Anker.

36. ἔτι Θεραμένους] Vat. Vulgo ἐπί. Quae praepositio quo sensu participiorum genitivis iungatur, docet Matth. p. 1113., sed hoc loco uti non debebat.

37. τοὺς παῖδας τοῦ βασιλέως] Bekk. in ed. stereot. scripsit τοὺς βασ., quia, opinor, βασιλεύς sine articulo rex Persarum plerumque intelligendus. Interdum tamen poni, docet Popp. ex Thuc., Isocr., Xen., Demosthene aliis. Et μηδὲ φόρους pro μήτε φ. Bekk. edidit, „quia non singula nomina negantia disiunguntur, sed enunciationes negantes copulantur." Popp. *Filios regis* credibile est fuisse Artaxerxem et Cyrum, eosque in foedere nominatos esse, ut eo obligarentur post obitum

σπονδὰς εἶναι καὶ φιλίαν κατὰ τάδε. ὁπόση χώρα καὶ πόλεις βασιλέως εἰσὶ Δαρείου ἢ τοῦ πατρὸς ἦσαν ἢ τῶν προγόνων, ἐπὶ ταύτας μὴ ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενὶ μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τοὺς Λακεδαιμονίων, μηδὲ φόρους πράσσεσθαι ἐκ τῶν πόλεων τούτων μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τῶν Λακεδαιμονίων· μηδὲ Δαρεῖον βασιλέα μηδὲ ὧν βασιλεὺς ἄρχει ἐπὶ Λακεδαιμονίους μηδὲ τοὺς ξυμμάχους ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενί. ἢν δέ τι δέωνται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι βασιλέως, ἢ βασιλεὺς Λακεδαιμονίων ἢ τῶν ξυμμάχων, ὅ,τι ἂν πείθωσιν ἀλλήλους, τοῦτο ποιοῦσι καλῶς ἔχειν. τὸν δὲ πόλεμον τὸν πρὸς Ἀθηναίους καὶ τοὺς ξυμμάχους κοινῇ ἀμφοτέρους πολεμεῖν· ἢν δὲ κατάλυσιν ποιῶνται, κοινῇ ἀμφοτέρους ποιεῖσθαι. ὁπόση δ' ἂν στρατιὰ ἐν τῇ χώρᾳ τῇ βασιλέως ᾖ μεταπεμψαμένου βασιλέως, τὴν δαπάνην βασιλέα παρέχειν. ἢν δέ τις τῶν πόλεων ὁπόσαι ξυνέθεντο βασιλεῖ ἐπὶ τὴν βασιλέως ἴῃ χώραν, τοὺς ἄλλους κωλύειν καὶ ἀμύνειν βασιλεῖ κατὰ τὸ δυνατόν. καὶ ἢν τις τῶν ἐν τῇ βασιλέως χώρᾳ ἢ ὅσης βασιλεὺς ἄρχει ἐπὶ τὴν Λακεδαιμονίων ἴῃ ἢ τῶν ξυμμάχων, βασιλεὺς κωλυέτω καὶ ἀμυνέτω κατὰ τὸ δυνατόν.

Μετὰ δὲ ταύτας τὰς ξυνθήκας Θηραμένης μὲν παραδοὺς 38
Ἀστυόχῳ τὰς ναῦς ἀποπλέων ἐν κέλητι ἀφανίζεται. οἱ δ' ἐκ τῆς Λέσβου Ἀθηναῖοι ἤδη διαβεβηκότες ἐς τὴν Χίον τῇ στρατιᾷ καὶ κρατοῦντες γῆς καὶ θαλάσσης Δελφίνιον ἐτείχιζον χωρίον ἄλλως τε ἐκ γῆς καρτερὸν καὶ λιμένας ἔχον καὶ τῆς τῶν Χίων πόλεως οὐ πολὺ ἀπέχον. οἱ δὲ Χῖοι ἐν πολλαῖς ταῖς πρὶν μάχαις πεπληγμένοι, καὶ ἄλλως ἐν σφίσιν αὐτοῖς οὐ πάνυ εὖ διακείμενοι, ἀλλὰ καὶ τῶν μετὰ Τυδέως τοῦ Ἰωνος ἤδη ὑπὸ Πεδαρίτου ἐπ' ἀττικισμῷ τεθνεώτων, καὶ τῆς ἄλλης πόλεως κατ' ἀνάγκην ἐς ὀλίγον κατεχομένης, ὑπόπτως διακείμενοι ἀλλήλοις ἠσύχαζον, καὶ οὔτ' αὐτοὶ διὰ ταῦτα οὔτε οἱ μετὰ Πεδαρίτου ἐπίκουροι ἀξιόμαχοι αὐτοῖς ἐφαίνοντο. ἐς μέντοι τὴν

patris. Apparet enim, novum regem non putatum esse teneri decessoris actis, nisi ipse ea probasset: sic foedera cum Philippo et Antiocho inita instaurata sunt cum successoribus eorum, quasi hos per se non necessario obligarent. Vid. Liv. 40, 58. 42, 6. Arn.

38. ἀφανίζεται] i. e. *evanuit*, timens, ut videtur, ne Spartani vindictam a se sumerent, quod Tissapherni concessisset stipendia minui, ut apud Arnoldum est, qui suspicetur. Quod autem ἀποπλέων et non ἀποπλεύσας scriptor dicit, inde colligitur, Theramenem in reditu Spartam instituto evasisse. Delphinium erat castellum in insula Chio, teste Steph. Byz.

Ἴωνος] Ion Chius poeta non incelebris, de quo Suidas in v. Ἀθηναῖος agit, docere coepit tragoediam Ol. 82. (452.), ut idem tradit in Ἴων. Itaque aetas quidem non obstat, quominus huius Tydei pater esse potuerit. Sed fortassis nullum aliud est huius rei argumentum. Duk. Verba ἐς ὀλίγον κατεχομένης Schol. explicat per ἀναγκαζομένης ὀλιγαρχεῖσθαι. V. adn. ad 2, 37.

Μίλητον ἔπεμπον, κελεύοντες σφίσι τὸν Ἀστύοχον βοηθεῖν· ὡς δ' οὐκ ἐχήκουεν, ἐπιστέλλει περὶ αὐτοῦ ἐς τὴν Λακεδαίμονα ὁ Πεδάριτος ὡς ἀδικοῦντος. καὶ τὰ μὲν ἐν τῇ Χίῳ ἐς τοῦτο καθεστήκει τοῖς Ἀθηναίοις· αἱ δ' ἐκ τῆς Σάμου νῆες αὐτοῖς ἐπίπλους μὲν ἐποιοῦντο ταῖς ἐν τῇ Μιλήτῳ, ἐπεὶ δὲ μὴ ἀντανάγοιεν, ἀναχωροῦντες πάλιν ἐς τὴν Σάμον ἡσύχαζον.

39 Ἐκ δὲ τῆς Πελοποννήσου ἐν τῷ αὐτῷ χειμῶνι αἱ τῷ Φαρναβάζῳ ὑπὸ Καλλιγείτου τοῦ Μεγαρέως καὶ Τιμαγόρου τοῦ Κυζικηνοῦ πρασσόντων παρασκευασθεῖσαι ὑπὸ Λακεδαιμονίων ἑπτὰ καὶ εἴκοσι νῆες ἄρασαι ἔπλεον ἐπὶ Ἰωνίας περὶ ἡλίου τροπάς· καὶ ἄρχων ἐπέπλει αὐτῶν Ἀντισθένης Σπαρτιάτης. ξυνέπεμψαν δὲ οἱ Λακεδαιμόνιοι καὶ ἕνδεκα ἄνδρας Σπαρτιατῶν ξυμβούλους Ἀστυόχῳ, ὧν εἷς ἦν Λίχας ὁ Ἀρκεσιλάου. καὶ εἴρητο αὐτοῖς ἐς Μίλητον ἀφικομένους τῶν τε ἄλλων ξυνεπιμελεῖσθαι ᾗ μέλλει ἄριστα ἕξειν, καὶ τὰς ναῦς ταύτας ἢ αὐτὰς ἢ πλείους ἢ καὶ ἐλάσσους ἐς τὸν Ἑλλήσποντον ὡς Φαρνάβαζον, ἣν δοκῇ, ἀποπέμπειν, Κλέαρχον τὸν Ῥαμφίου, ὃς ξυνέπλει, ἄρχοντα προστάξαντας, καὶ Ἀστύοχον, ἢν δοκῇ τοῖς ἕνδεκα ἀνδράσι, παύειν τῆς ναυαρχίας, Ἀντισθένην δὲ καθιστάναι· πρὸς γὰρ τὰς τοῦ Πεδαρίτου ἐπιστολὰς ὑπώπτευον αὐτόν. πλέουσαι οὖν αἱ νῆες ἀπὸ Μαλέας πελάγιαι Μήλῳ προσέβαλον, καὶ περιτυχόντες ναυσὶ δέκα Ἀθηναίων τὰς τρεῖς λαμβάνουσι κενὰς καὶ κατακαίουσι. μετὰ δὲ τοῦτο δεδιότες μὴ αἱ διαφυγοῦσαι τῶν Ἀθηναίων ἐκ τῆς Μήλου νῆες, ὅπερ ἐγένετο, μηνύσωσι τοῖς ἐν τῇ Σάμῳ τὸν ἐπίπλουν αὐτῶν, πρὸς τὴν Κρήτην πλεύσαντες καὶ πλείω τὸν πλοῦν διὰ φυλακῆς

39. *ὑπὸ Λακεδαιμονίων*] Vid. c. 8. „Nos *ἀπὸ Λακ.* exspectamus ad originem harum navium declarandam, quae Pharnabazo *per* (*ὑπό*) Timagoram et Calligitum *a* (*ἀπό*) Lacedaemoniis sunt impetratae. Alioqui prius *ὑπό* abesse velis, ut naves ob Calligiti et Timagorae studium a Lacedaemoniis paratae dicantur.“ Popp. Et *ἐπέπλει* dedi ex Vat. pro vulgata *ἔπλει*. „Sed aut *cum iis* aut *in iis navigavit* desideramus, ut 4, 11. *ναύαρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμελίδας*.“ Id. Porro „*ξυμβούλους* Spartani mittere solebant, ubi navarchus, cui tamen *σύμβουλοι* non *ἰσόψηφοι* erant (v. Thuc. 3, 79.), rem male gereret. Vid. Thuc. 2, 85. 3, 69. 76. Eodem modo Agidi regi, novo tunc more, decem *σύμβουλοι* adiunguntur, postquam, quum posset, Argivos non debellavit. Vid. Thuc. 5, 63. Diod. 12, 78. Et ab hoc inde tempore institutum, ut reges contra hostem missos *συμβούλων συνέδριον* comitaretur, de quo v. interpp. ad Xen. H. Gr. 3, 4, 2. Schn. ad Xen. R. L. 13, 1.“ Krueg. p. 280. adde Od. Muell. Dor. 2. p. 240. De Licha v. adn. ad 5, 50. Vocem *κενάς* in *τὰς τρεῖς — κενὰς* om. Vat. Ceterum ne haec interpretare cum Abreschio: *eas tres, quae erant vacuae*. „Nam haec si esset sententia, dicendum fuisset *τρεῖς τὰς κενάς*.“ Blum. Script. Schol. p. 14. Grandiori numero posito, parti eius de more articulus praemittitur. Conf. Krueg. p. 303. adn. 69. Converto drei davon nahmen sie leer. Mox Vat. et Valla *τοῖς ἐν τῇ Σάμῳ*, vulgo *νήσῳ*. Et *διὰ φυλακῆς* Schol. explicat *ὑπὲρ ἀσφαλείας*, et *τοῦ ξυμπαρακομισθῆναι* est wegen des Convoyirens. v. Matth. p. 650.

ποιησάμενοι, ἐς τὴν Καῦνον τῆς Ἀσίας κατῆραν. ἐντεῦθεν δὴ ὡς ἐν ἀσφαλεῖ ὄντες ἀγγελίαν ἔπεμπον ἐπὶ τὰς ἐν τῇ Μιλήτῳ ναῦς τοῦ ξυμπαρακομισθῆναι.

Οἱ δὲ Χῖοι καὶ Πεδάριτος κατὰ τὸν αὐτὸν χρόνον οὐδὲν 40
ἧσσον, καίπερ διαμέλλοντα, τὸν Ἀστύοχον πέμποντες ἀγγέλους ἠξίουν σφίσι πολιορκουμένοις βοηθῆσαι ἁπάσαις ταῖς ναυσί, καὶ μὴ περιδεῖν τὴν μεγίστην τῶν ἐν Ἰωνίᾳ ξυμμαχίδων πόλεων ἔκ τε θαλάσσης εἰργομένην καὶ κατὰ γῆν ληστείαις πορθουμένην. οἱ γὰρ οἰκέται τοῖς Χίοις πολλοὶ ὄντες, καὶ μιᾷ γε πόλει πλὴν Λακεδαιμονίων πλεῖστοι γενόμενοι, καὶ ἅμα διὰ τὸ πλῆθος χαλεπωτέρως ἐν ταῖς ἀδικίαις κολαζόμενοι, ὡς ἡ στρατιὰ τῶν Ἀθηναίων βεβαίως ἔδοξε μετὰ τείχους ἱδρῦσθαι, εὐθὺς αὐτομολίᾳ τε ἐχώρησαν οἱ πολλοὶ πρὸς αὐτούς, καὶ τὰ πλεῖστα κακὰ ἐπιστάμενοι τὴν χώραν οὗτοι ἔδρασαν. ἔφασαν οὖν χρῆναι οἱ Χῖοι, ἕως ἔτι ἐλπὶς καὶ δυνατὸν κωλῦσαι, τειχιζομένου τοῦ Δελφινίου καὶ ἀτελοῦς ὄντος, καὶ στρατοπέδῳ καὶ ναυσὶν ἐρύματος μείζονος προσπεριβαλλομένου, βοηθῆσαι σφίσιν. ὁ δὲ Ἀστύοχος καίπερ οὐ διανοούμενος διὰ τὴν τότε ἀπειλήν, ὡς ἑώρα καὶ τοὺς ξυμμάχους προθύμους ὄντας, ὥρμητο ἐς τὸ βοηθεῖν. ἐν τούτῳ δὲ ἐκ τῆς Καύνου παραγίγνεται 41
ἀγγελία ὅτι αἱ ἑπτὰ καὶ εἴκοσι νῆες καὶ οἱ τῶν Λακεδαιμονίων ξύμβουλοι πάρεισι. καὶ νομίσας πάντα ὕστερα εἶναι τἆλλα πρὸς τὸ ναῦς τε, ὅπως θαλασσοκρατοῖεν μᾶλλον, τοσαύτας ξυμπαρακομίσαι, καὶ τοὺς Λακεδαιμονίους, οὓς ἦκον κατάσκοποι αὐτοῦ, ἀσφαλῶς περαιωθῆναι, εὐθὺς ἀφεὶς τὸ ἐς τὴν

40. *οἱ γὰρ οἰκέται*] Chii inde a remotissima antiquitate mercaturam faciebant cum Aegypto sub regno Amasis (Herodot. 2, 178.) et solito maior pars civium eorum maritimum commercium factitabat. (Aristot. Polit. 4, 4.) Infamia flagrant, quod primi inter Graecos mancipiis emendis vendendisque quaestum facere consueverint, ementes servos Barbaros ex continente Asiae adiacenti, qui agros eorum colerent, dum maior pars civium, ut dixi, mercaturae factitandae operam dabat. (Theopomp. Histt. 17. ap. Athenae. 6. p. 265.) Saevities, quacum hi servi tractabantur, saepe eos coegit, ut ab heris fugitivi fierent: quo facta loca firma in interioribus insulae tenentes perpetuo heros depraedationibus infestabant. (Nymphodor. Asiae Peripl. ap. Athenae. 6. p. 265.) Apparet ex Eustath. ad Dionys. 533., Chios servos peculiari nomine *θεράποντας* appellatos esse, quod documento esse potest, servitutem in hac insula antiquissimam fuisse, nam *θεράπων* est Homericum vocabulum, quo is, qui famulatur alicui, sive ingenuus sive non liber sit, indicatur, idque tam diu Chiis familiare fuit, quo genus hominum tam frequens appellarent, ut in usu maneret neque unquam cum voce vulgari *δοῦλος* permutaretur. Arn. conf. Od. Muell. Dor. 2. p. 46 sq. C. Fr. Herm. Antt. Gr. p. 216, 5. Wachsm. Antt. Gr. 2, 1. p. 44, 27. Ebert. Dissert. Sicul. Vol. 1. p. 218 sq. Verba *τὴν τότε ἀπειλήν* respiciunt ad c. 33.

41. *ἀφεὶς τό*] sc. *πλεῖν*. v. Matth. p. 570. Dein „Meropis olim dicta insula Cos, quo modo eandem etiam vocant Thuc., Strab., Antoninus Liberalis, Aristides. Quum vero triplex tradatur huius nominis ratio, aut quod rex illius insulae Merops fuerit, aut quod Meropes

Χίον ἔπλει ἐς τὴν Καῦνον. καὶ ἐς Κῶν τὴν Μεροπίδα ἐν τῷ παράπλῳ ἀποβὰς τήν τε πόλιν ἀτείχιστον οὖσαν καὶ ὑπὸ σεισμοῦ ὃς αὐτοῖς ἔτυχε μέγιστός γε δὴ ὢν μεμνήμεθα γενόμενος ξυμπεπτωκυῖαν ἐκπορθεῖ, τῶν ἀνθρώπων ἐς τὰ ὄρη πεφευγότων, καὶ τὴν χώραν καταδρομαῖς λείαν ἐποιεῖτο, πλὴν τῶν ἐλευθέρων· τούτους δὲ ἀφίει. ἐκ δὲ τῆς Κῶ ἀφικόμενος ἐς τὴν Κνίδον νυκτὸς ἀναγκάζεται ὑπὸ τῶν Κνιδίων παραινούντων μὴ ἐκβιβάσαι τοὺς ναύτας, ἀλλ' ὥςπερ εἶχε πλεῖν εὐθὺς ἐπὶ τὰς τῶν Ἀθηναίων ναῦς εἴκοσιν, ἃς ἔχων Χαρμῖνος εἷς τῶν ἐκ Σάμου στρατηγῶν ἐφύλασσε ταύτας τὰς ἕπτὰ καὶ εἴκοσι ναῦς ἐκ τῆς Πελοποννήσου προσπλεύσας, ἐφ' ἅςπερ καὶ ὁ Ἀστύοχος παρέπλει. ἐπύθοντο δὲ οἱ ἐν τῇ Σάμῳ ἐκ τῆς Μήλου τὸν ἐπίπλουν αὐτῶν, καὶ ἡ φυλακὴ τῷ Χαρμίνῳ περὶ τὴν Σύμην καὶ Χάλκην καὶ Ῥόδον καὶ περὶ τὴν Λυκίαν ἦν· 42ἤδη γὰρ ἠσθάνετο καὶ ἐν τῇ Καύνῳ οὖσας αὐτάς. ἐπέπλει οὖν ὥςπερ εἶχε πρὸς τὴν Σύμην ὁ Ἀστύοχος πρὶν ἔκπυστος γενέσθαι, εἴ πως περιλάβοι που μετεώρους τὰς ναῦς. καὶ αὐτῷ ὑετός τε καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ξυννέφελα ὄντα πλάνησιν τῶν νεῶν ἐν τῷ σκότει καὶ ταραχὴν παρέσχε. καὶ ἅμα τῇ ἕῳ, διεσπασμένου τοῦ ναυτικοῦ, καὶ τοῦ μὲν φανεροῦ ἤδη ὄντος τοῖς Ἀθηναίοις τοῦ εὐωνύμου κέρως, τοῦ δὲ ἄλλου περὶ τὴν νῆσον ἔτι πλανωμένου, ἐπανάγονται κατὰ τάχος ὁ Χαρμῖνος καὶ οἱ Ἀθηναῖοι ἐλάσσοσιν ἢ ταῖς εἴκοσι ναυσί, νομί-

eam inhabitaverint, aut quod Meropis filia fuerit Cos seu Coos, unde etiam insulae nomen, tria illa ad unum refert Hygin. Astron. 2, 16. *nonnulli dixerunt etiam, Meropem quendam fuisse, qui Coon insulam temerit regno et a filiae nomine Coon et homines ipsos a se Meropes appellarit.* Dicti utique a Graecis Meropes prisci illius urbis incolae, unde *πόλις Μερόπων* appellata ab auctore hymni in Ap. 42. et a Pindaro *Μερόπων ἕδνεα* Isthm. 6, 46. Nem. 4, 42. Sed in utroque male *Μερόπων* interpretes per vocem *mortalium* reddunt." SPANH. Obss. ad Callim. p. 491. Ern. Adde Ilgen. ad Hom. H. Ap. 1, 42. Heyn. ad Apollod. 2, 7, 1. De *λείαν ἐποιεῖτο* etc. v. Matth. p. 776. init. Mox *Μήλου* Ven. corr. Cl. rec. It., ceteri *Μιλήτου*. „Quis, quaeso, credat, veram esse lectionem *Μιλήτου*? Ex Mileto urbe hostibus addicta nuncium Atheniensibus pervenisse? Miror, neminem editorum, in levissimis adeo sagacium, hoc mendum odoratum esse. Inspice c. 39. atque videbis ex Melo insula id nunciatum esse: quod nomen quum ob literarum similitudinem facile in Miletum mutari potuerit, confidenter lego ac repono *ἐκ τῆς Μήλου*." KISTEM. Hanc emendationem, etiamsi hanc argumentationem non totam comprobes, certam reddunt dicta cap. 39., ex Melo insula adventum hostium Atheniensibus nunciatum esse. Scripsit enim ibi: *ὅπερ ἐγένετο*. Haack. aliud argumentum addit, contentum verbis: *ἤδη γὰρ ἠσθάνετο καὶ ἐν τῇ Καύνῳ οὖσας αὐτάς*. „Nam si nuncius, ait, de Peloponnesiorum adventu ex Mileto ab amicis advenisset, haud dubie Athenienses tantundem, quantum Astyochus, statim rescivissent, nimirum Caunum usque illos penetrasse. Sed hoc postea demum compererunt, vel potius in expeditione ipsa dux animadvertit: *ἠσθάνετο Χαρμῖνος*."

42. *ἐπαγάγονται — ἐλάσσοσιν ἢ ταῖς εἴκοσι*] Habebant viginti

σαντες ἅςπερ ἐφύλασσον ναῦς τὰς ἀπὸ τῆς Καύνου ταύτας εἶναι. καὶ προσπεσόντες εὐθὺς κατέδυσάν τε τρεῖς καὶ κατετραυμάτισαν ἄλλας, καὶ ἐν τῷ ἔργῳ ἐπεκράτουν, μέχρι οὗ ἐπεφάνησαν αὐτοῖς παρὰ δόξαν αἱ πλείους τῶν νεῶν καὶ πανταχόθεν ἀπεκλῄοντο. ἔπειτα δὲ ἐς φυγὴν καταστάντες ἓξ μὲν ναῦς ἀπολλύουσι, ταῖς δὲ λοιπαῖς καταφεύγουσιν ἐς τὴν Τεύτλουσσαν νῆσον, ἐντεῦθεν δὲ ἐς Ἁλικαρνασσόν. μετὰ δὲ τοῦτο οἱ μὲν Πελοποννήσιοι ἐς Κνίδον κατάραντες, καὶ ξυμμιγεισῶν τῶν ἐκ τῆς Καύνου ἑπτὰ καὶ εἴκοσι νεῶν αὐτοῖς, ξυμπάσαις πλεύσαντες καὶ τροπαῖον ἐν τῇ Σύμῃ στήσαντες πάλιν ἐς τὴν Κνίδον καθωρμίσαντο· οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ τῆς Σάμου 43ναυσὶ πάσαις, ὡς ἤσθοντο τὰ τῆς ναυμαχίας, πλεύσαντες ἐς τὴν Σύμην, καὶ ἐπὶ μὲν τὸ ἐν τῇ Κνίδῳ ναυτικὸν οὐχ ὁρμήσαντες, οὐδ' ἐκεῖνοι ἐπ' ἐκείνους, λαβόντες δὲ τὰ ἐν τῇ Σύμῃ σκεύη τῶν νεῶν, καὶ Λωρύμοις τοῖς ἐν τῇ ἠπείρῳ προσβαλόντες, ἀπέπλευσαν ἐς τὴν Σάμον. ἅπασαι δ' ἤδη οὖσαι ἐν τῇ Κνίδῳ αἱ τῶν Πελοποννησίων νῆες ἐπεσκευάζοντό τε εἴ τι ἔδει, καὶ πρὸς τὸν Τισσαφέρνην, παρεγένετο γάρ, λόγους ἐποιοῦντο οἱ ἕνδεκα ἄνδρες τῶν Λακεδαιμονίων περί τε τῶν ἤδη πεπραγμένων, εἴ τι μὴ ἤρεσκεν αὐτοῖς, καὶ περὶ τοῦ μέλλοντος

naves, v. cap. 41. Verumenimvero Charminus non potuit toto numero uti, quia naves dispersae erant circa Symen, Chalcen, Rhodum et Lyciam, v. cap. 41. extr. Mox *Τεύτλουσσαν* scribunt Steph. Byz. Harduin. Hemsterh. Vulgo *Τεύγλουσσαν*. Vat. *Τέγλουσσαν*. Reg. Ven. Ar. Chr. *Τεύγλουσαν*. Lacones *τεῦτλον* et *τευτλίον* dicebant betam, quam nos Mangold (v. Billerb. Flor. Class. p. 62.), hinc insula ista dicta, quod foetu betaceo abundabat. Docuit Hemsterh. ad Lucian. Indic. Vocab. 8. Vol. 1. p. 314. Bip.

43. *τὰ — σκεύη*] i. e. malos et vela classis Charmini, quae de more in litore apud Symen relicta erant, quum naves solvebant subito, ut classem Astyochi aggrederentur. Vid. c. 42. ARN. Verba *οὔτε τὰς Χαλκιδέως* vulgo om. At *οὔτε τὰς Χαλκιδέως οὔτε τὰς Θηραμένους ἔφη* Cl. Ven. Vat. Vall., nisi quod Cl. bis *οὐδέ* dat. In Mosqu. *οὔτε τὰς Θηραμένους ἔφη οὔτε τὰς Χαλκιδέως*. „Verba vulgo omissa a Thucydide profecta esse mihi quidem persuasum est propterea, quod, quae mox reprehenduntur, a Chalcideo maxime pacta erant." KRUEG. p. 357. Mox pro *ἐνῆν γὰρ* D. *ἐχρῆν γ.* Valla *oportere*. Bekk. in ed. stereot. excudit *ἐνεῖναι*. „Ego simpliciter *ἐνῆν* accipiebam *inerat, continebatur*. Quod etsi disertis verbis non scriptum erat, latebat tamen sensu et consequentia." BAU. Etenim tantum hoc pactum erat: *ὁπόσην χώραν καὶ πόλεις βασιλεὺς ἔχει καὶ οἱ πατέρες οἱ βασιλέως εἶχον, βασιλέως ἔσιω* cap. 18. Sed callida interpretatione abusus verborum fieri potuerat. KRUEG. p. 357., qui miratur, quod in Theramenis foedere de hac conditione nihil memoretur. „An Lacedaemonii, ait, eam silentio antiquatam putabant? At Tissaphernes tamen eandem extricare potuerat e verbis *ὁπόση χώρα καὶ πόλεις βασιλέως εἰσὶ Λαρείου ἢ τοῦ πατρὸς ἦσαν ἢ τῶν προγόνων, ἐπὶ ταύτας μὴ ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενὶ μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τοὺς Λακεδαιμονίων, μηδὲ φόρους πράσσεσθαι ἐκ τῶν πόλεων τούτων μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τῶν Λακεδαιμονίων* c. 37."

πολέμου, ὅτῳ τρόπῳ ἄριστα καὶ ξυμφορώτατα ἀμφοτέροις πολεμήσεται. μάλιστα δὲ ὁ Λίχας ἐσκόπει τὰ ποιούμενα, καὶ τὰς σπονδὰς οὐδετέρας, οὔτε τὰς Χαλκιδέως οὔτε τὰς Θηραμένους, ἔφη καλῶς ξυγκεῖσθαι, ἀλλὰ δεινὸν εἶναι εἰ χώρας ὅσης βασιλεὺς καὶ οἱ πρόγονοι ἦρξαν πρότερον, ταύτης καὶ νῦν ἀξιώσει κρατεῖν· ἐνῆν γὰρ καὶ νήσους ἁπάσας πάλιν δουλεύειν καὶ Θεσσαλίαν καὶ Λοκροὺς καὶ τὰ μέχρι Βοιωτῶν· καὶ ἀντ' ἐλευθερίας ἂν Μηδικὴν ἀρχὴν τοῖς Ἕλλησι τοὺς Λακεδαιμονίους περιθεῖναι. ἑτέρας οὖν ἐκέλευε βελτίους σπένδεσθαι, ἢ ταύταις γε οὐ χρήσεσθαι, οὐδὲ τῆς τροφῆς ἐπὶ τούτοις δεῖσθαι οὐδέν. ἀγανακτῶν δὲ ὁ μὲν Τισσαφέρνης ἀπεχώρησεν ἀπ' αὐτῶν δι' ὀργῆς καὶ ἄπρακτος.

44 Οἱ δ' ἐς τὴν Ῥόδον ἐπικηρυκευομένων ἀπὸ τῶν δυνατωτάτων ἀνδρῶν τὴν γνώμην εἶχον πλεῖν, ἐλπίζοντες νῆσόν τε οὐκ ἀδύνατον καὶ ναυβατῶν πλήθει καὶ πεζῷ προσάξεσθαι, καὶ ἅμα ἡγούμενοι αὐτοὶ ἀπὸ τῆς ὑπαρχούσης ξυμμαχίας δυνατοὶ ἔσεσθαι Τισσαφέρνην μὴ αἰτοῦντες χρήματα τρέφειν τὰς ναῦς. πλεύσαντες οὖν εὐθὺς ἐν τῷ αὐτῷ χειμῶνι ἐκ τῆς Κνίδου, καὶ προσβαλόντες Καμείρῳ τῆς Ῥοδίας πρώτῃ ναυσὶ τέσσαρσι καὶ ἐνενήκοντα, ἐξεφόβησαν μὲν τοὺς πολλοὺς οὐκ εἰδότας τὰ πρασσόμενα, καὶ ἔφυγον, ἄλλως τε καὶ ἀτειχίστου οὔσης τῆς πόλεως· εἶτα ξυγκαλέσαντες οἱ Λακεδαιμόνιοι τούτους τε καὶ τοὺς ἐκ τοῖν δυοῖν πολέοιν, Λίνδου τε καὶ Ἰηλυσοῦ, Ῥοδίους ἔπεισαν ἀποστῆναι Ἀθηναίων. καὶ προσεχώρησε Ῥόδος Πελοποννησίοις. οἱ δὲ Ἀθηναῖοι κατὰ τὸν καιρὸν τοῦτον ταῖς ἐκ τῆς Σάμου ναυσὶν αἰσθόμενοι ἔπλευσαν μὲν βουλόμενοι φθάσαι, καὶ ἐφάνησαν πελάγιοι, ὑστερήσαντες δὲ οὐ πολλῷ τὸ μὲν παραχρῆμα ἀπέπλευσαν ἐς Χάλκην, ἐντεῦθεν δ' ἐς Σάμον, ὕστερον δὲ ἐκ τῆς Χάλκης καὶ ἐκ τῆς Κῶ καὶ ἐκ τῆς Σάμου τοὺς ἐπίπλους ποιούμενοι ἐπὶ τὴν Ῥόδον ἐπολέμουν. οἱ δὲ χρήματα μὲν ἐξέλεξαν ἐς δύο καὶ τριάκοντα τάλαντα οἱ Πελοποννήσιοι παρὰ τῶν Ῥοδίων, τὰ δ' ἄλλα ἡσύχαζον ἡμέρας ὀγδοήκοντα, ἀνελκύσαντες τὰς ναῦς.

Ἐν δὲ τούτῳ καὶ ἔτι πρότερον, πρὶν ἐς τὴν Ῥόδον αὖ- 45
τοὺς ἀναστῆναι, τάδε ἐπράσσετο. Ἀλκιβιάδης μετὰ τὸν Χαλκιδέως θάνατον καὶ τὴν ἐν Μιλήτῳ μάχην τοῖς Πελοποννησίοις ὕποπτος ὤν, καὶ ἀπ' αὐτῶν ἀφικομένης ἐπιστολῆς πρὸς Ἀστύοχον ἐκ Λακεδαίμονος ὥστ' ἀποκτεῖναι, ἦν γὰρ καὶ τῷ Ἄγιδι ἐχθρὸς καὶ ἄλλως ἄπιστος ἐφαίνετο, πρῶτον μὲν ὑποχωρεῖ δείσας παρὰ Τισσαφέρνην, ἔπειτα ἐκάκου πρὸς αὐτὸν ὅσον ἐδύνατο μάλιστα τῶν Πελοποννησίων τὰ πράγματα, καὶ διδάσκαλος πάντων γιγνόμενος τήν τε μισθοφορὰν ξυνέτεμεν, ἀντὶ δραχμῆς Ἀττικῆς ὥστε τριώβολον, καὶ τοῦτο μὴ ξυνεχῶς, δίδοσθαι, λέγειν κελεύων τὸν Τισσαφέρνην πρὸς αὐτοὺς ὡς Ἀθηναῖοι ἐκ πλείονος χρόνου ἐπιστήμονες ὄντες τοῦ ναυτικοῦ τριώβολον τοῖς ἑαυτῶν διδόασιν, οὐ τοσοῦτον πενίᾳ ὅσον ἵνα αὐτῶν μὴ οἱ ναῦται, ἐκ περιουσίας ὑβρίζοντες, οἱ μὲν τὰ σώματα χείρω ἕξωσι, δαπανῶντες ἐς τοιαῦτα ἀφ' ὧν ἡ ἀσθένεια ξυμβαίνει, οἱ δὲ τὰς ναῦς ἀπολείπωσιν [οὐχ] ὑπολιπόντες ἐς

44. *ἐπικηρυκευομένων ἀπὸ τῶν δυνατωτάτων ἀνδρῶν*] i. e. da man von Seiten der mächtigsten Männer unterhandelte. vid. adn. ad 1, 3. 2, 7. Paulo post dedi *τοῖν δυοῖν* pro vulgata *τῶν δυοῖν* ex libris quam plurimis. Vulgatam Popp. improbat, quia ferri non possit, nisi sequatur *πόλεων*, hoc autem unum C. habere. Et *πολέοιν* scripsi ex It. Vat. Cl. T. (Cantabr. Arn.) Ven., vulgo *πόλεοιν*. Vid. Buttm. Gr. max. Vol. 1. p. 193. adn. 3. Matth. §. 63. adn. 2. §. 436. 1. Converte von den drei Städten. „Nam eo tempore universae tres urbes in insula erant, Camirus, Lindus et Ialysus. v. Herodot. 1, 144. Strab. 14, 2, 6. Rhodus urbs demum quatuor annis post hoc tempus iunctim ab illis tribus civitatibus condita est, ut esset caput insulae. v. Diod. 13, 75." Arn. Conf. Krueg. ad Dionys. p. 336. adn. 84. Tittm. Gr. Staatsv. p. 420. Wachsm. Antt. Gr. 1, 2. p. 222, 44. C. Fr. Herm. Antt. Gr. p. 146, 5. De accessione Rhodi ad Peloponnesios v. Od. Muell. Dor. 2. p. 149. Et *πελάγιοι* est *in alto mari versantes*. v. Dorv. ad Charit. p. 627. Pro *ὑστερήσαντες* alii libri habent *ὑστερίσαντες*, v. Valck. ad Herodot. 6, 89. Lobeck. ad Phryn. p. 237. Pro *ἐκ τῆς Σάμου* Krueg. p. 343. legi vult *ἐκ τῆς Σύμης*. Etenim c. 41. iunguntur Syme, Chalce, Rhodus et Lycia. Samos Rhodo nimis remota videri possit. Contra Arn. c. 55. affert, unde appareat, Athenienses Samo quoque profectos Rhodum adortos esse.

45. *μετὰ Χαλκιδέως θάνατον*] apud Panormum in agro Milesio c. 24. Sequitur *ἀντὶ δραχμῆς Ἀττικῆς*, sc. quam non accipiebant, sed poscebant. Vid. supr. c. 29. Nihil est, cur haec verba cum Kruegero p. 354 sq. eiicienda dicas. Porro „Paralorum stipendium erant oboli quatuor in singulos dies, ut docet Harpocr., ceteri vero milites navales tres tantum accipiebant, ut constat ex h. l. At qui terra militabant, iis idem stipendium erat, quod Paralis i. e. oboli quaterni. Extra vero ordinem factum bello Pelop., ut militibus praesidiariis drachma una, et altera ipsorum calonibus penderetur. Equites drachmas in mensem triginta accipiebant i. e. unam in dies singulos. Vid. Meurs. Att. Lectt. 2, 7." Huds. Haec si qui velint accuratius cognoscere, adeant Boeckh. Staatsh. d. Ath. Vol. 1. p. 292 sqq. nr. 22.

ἀπολείπωσιν [*οὐχ*] *ὑπολιπόντες*] *ἀπολείπωσιν οὐχ ὑπολιπόντες* Vat. Vall., in Schol. etiam Cass., ex quibus Valla interpretatur: ***ne affluentia stipendii abuterentur, partim corpora sua reddendo deteriora — partim classem deserendo, dum partem stipendii sibi debitam non relinquerent obsidem sui.*** Lugd. in verborum serie *ἀπολιπόντες*, ad marg. ante hoc inserit *ἀπολείπωσι μή*. In marg. It. *ἀπολείπωσιν ὑπολιπόντες*. Ven. a pr. man. *οἱ δὲ τὰς ναῦς ἀπολείπωσιν, ὑπολείποντες ἐς ὁμηρείαν*. v. Arn. Vol. 2. Praef. p. VII. Cl. a pr. man. *οἱ δὲ τὰς ναῦς ἀπολιπόντες*, omissis *ἐς ὁμηρείαν*. Postea *ἀπολιπόντες* mutatum est in *ἀπολείπωσιν*, et verba *ὑπολείποντες ἐς ὁμηρείαν* in marg. addita sunt. Corrector tamen, ut videtur, infra ad calcem paginae subiecit *γρ. οὐχ ὑπολείποντες*. Reliqui libri cum vulg. *ἀπολιπόντες*, omisso tam *οὐχ* quam *ὑπολιπόντες*. Scripturam marginis It. Kistem. coniectura assecutus erat: ***neve partim naves deserant, relicta in pignus debita adhuc stipendii parte.*** Ac sane delenda particula *οὐχ* videtur, sensu isto: vel dissipata per luxuriam mercede morbos contrahunt, vel negligunt munia in navibus obeunda, adeoque naves ipsas deserunt, per-

ὑμηρείαν τὸν προσοφειλόμενον μισθόν· καὶ τοὺς τριηράρχους καὶ τοὺς στρατηγοὺς τῶν πόλεων ἐδίδασκεν ὥστε δόντα χρήματα αὐτὸν πεῖσαι ὥστε ξυγχωρῆσαι ταῦτα ἑαυτῷ, πλὴν τῶν Συρακοσίων· τούτων δὲ Ἑρμοκράτης [τε] ἠναντιοῦτο μόνος ὑπὲρ τοῦ ξύμπαντος ξυμμαχικοῦ. τάς τε πόλεις δεομένας χρημάτων ἀπήλασεν, αὐτὸς ἀντιλέγων ὑπὲρ τοῦ Τισσαφέρνους ὡς οἱ μὲν Χῖοι ἀναίσχυντοι εἶεν, πλουσιώτατοι ὄντες τῶν Ἑλλήνων, ἐπικουρίᾳ δὲ ὅμως σωζόμενοι ἀξιοῦσι καὶ τοῖς σώμασι καὶ τοῖς χρήμασιν ἄλλους ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας κινδυνεύειν· τὰς δ' ἄλλας πόλεις ἔφη ἀδικεῖν, αἳ ἐς Ἀθηναίους πρότερον ἢ ἀποστῆναι ἀνάλουν, εἰ μὴ καὶ νῦν τοσαῦτα καὶ ἔτι πλείω ὑπὲρ σφῶν αὐτῶν ἐθελήσουσιν ἐσφέρειν. τόν τε Τισσαφέρνην

mittentibus id trierarchis, ut qui debitum adhuc stipendium, etiamsi signa deserunt, pignori esse existiment. Sic sentit etiam Arn., qui „largius stipendium, ait, habebatur pro pignore reditus nautarum ad munia sua, quare commeatus nimis saepe dabantur, et in licentia alius quoque generis connivebatur, velut nautae deteriores sufficiebantur per eos, qui vacationem habere cuperent, ut sua ipsorum negotia curarent, v. 7, 13. vers. fin., quum trierarchi confiderent fore, ut magnitudo stipendii nautas induceret, ut, ubi postularentur, ad munera sua obeunda redirent.“ Servata particula *οὐχ* ita haec accipienda erunt: Athenienses partem tantum stipendii militibus classiariis et nautis praesentem numerasse, parte reservata et alio tempore solvenda, ut reservata pars loco pignoris esset. Sic ista interpretatio exit: *neve pars naves deserant, debita adhuc parte stipendii non in pignus relicta.* Ceterum constat ex iis, quae Boeckh. disputavit, non plus triobolum stipendii et *σιτηρεσίου* nomine (als Verpflegung) ab Atheniensibus nautis solutum esse, nisi forte subinde extra ordinem adiectio stipendii fieret, velut ab trierarchis in expeditione Sicula, quamquam ineunte bello vel singulas drachmas dederant. Mox *ὥστε* ante *δόντα* delet Reisk. Popp. tuetur, coll. Matth. §. 531. adn. 2. Etenim si *ὥστε* omittitur, sensus est, Alcibiadem tantum consilium dedisse, nec dicitur Tissaphernes id exsecutus esse; sin additur, hoc significat, consilium non modo datum esse, sed Tissaphernem id etiam effectum dedisse, quod Alcibiades suaserat. Effectum autem esse docent verba *πλὴν τῶν Συρακοσίων*. Ordo verborum hic est: *καὶ ἐδίδασκεν αὐτὸν ὥστε δόντα χρήματα πεῖσαι τοὺς τριηράρχους καὶ τοὺς στρατηγοὺς, ὥστε ξυγ ωρῆσαι* etc., *monuit eum et adduxit, ut trierarchis et ducibus pecunia data persuaderet, ut* etc. Deinde in verbis *Ἑρμοκράτης τε* particulam in *γε* mutari voluit Haack., at *γε* ob sequens *μόνος* ferri posse negat Popp. Pro *τε* Vat. *στρατηγὸς ὤν*, omisso deinde *μόνος*, ex quo in vulgata *τούτων* pendere Popp. monuit, et Vallam, qui pariter *quorum dux Hermocrates* dixit, *μόνος* quoque reddidisse. Recte sequitur aoristus *ἀπήλασεν* post imperfecta, quia amandandi notio rem, quae celeriter absolvitur, significat, non item docendi et declarandi notio, ut Popp. adnotavit. Proxima ita ordinanda sunt: *καίπερ σωζόμενοι ὅμως ἀξιοῦσι*. Sequitur transitus ex participio *ὄντες* in verbum finitum *ἀξιοῦσι*, v. Popp. 1, 1. p. 273. Schaef. Appar. cr. Demosth. Vol. 2. p. 75. Et *ἐκείνων ἐλευθερίας* dictum est pro *σφῶν ἐλευθερίας*, v. adn. ad 2, 13. Conf. 8, 12. *Ἐνδίῳ τε αὐτῷ ἰδίᾳ* (Alcibiades) *ἔλεγε καλὸν εἶναι δι' ἐκείνου* (*δι' ἑαυτοῦ* id est) *ἀποστῆναι Ἰωνίαν*. Denique *ἤ* in verbis *πρότερον ἢ ἀποστῆναι* accessit ex Vat.

ἀπέφαινε νῦν μέν, τοῖς ἰδίοις χρήμασι πολεμοῦντα, εἰκότως φειδόμενον, ἢν δέ ποτε τροφὴ καταβῇ παρὰ βασιλέως, ἐντελῆ αὐτοῖς ἀποδώσειν τὸν μισθὸν καὶ τὰς πόλεις τὰ εἰκότα ὠφελήσειν. παρῆνει δὲ καὶ τῷ Τισσαφέρνει μὴ ἄγαν ἐπείγεσθαι 46 τὸν πόλεμον διαλῦσαι, μηδὲ βουληθῆναι κομίσαντα ἢ ναῦς Φοινίσσας ἅσπερ παρεσκευάζετο ἢ Ἕλλησι πλείοσι μισθὸν πορίζοντα τοῖς αὐτοῖς τῆς τε γῆς καὶ τῆς θαλάσσης τὸ κράτος

46. *ἢ Ἕλλησι*] Vat. D. Ven. corr. Cl. rec. It. Vall.: *aut maiori Graecorum classe conducta.* I. *ἢ μελλήσει*, et *ἢ* ante *μελλ.* inter vers. rec. man. scriptum habent Cass. Reg. m. At Lugd. Mosqu. *καὶ μελλήσει.* Vulgo (et Cl. Cass. Aug. a pr. man. Flor. Bas. Ald. Steph. 1.) *μελλήσει.* Marg. Steph. *μελλήσειν.* Et *ἀεί* post *ἐξεῖναι* additum est ex Vat. Vall. Porro *τοὺς αὐτοῦ λυπηρούς* habent Cass. Aug. It. Vat. C. T. (Cantabr. Arn.) Ven. (Lugd.) I. *b.* (liber Severn. apud Arn.) m. Dan. Valla: *in eos, a quibus offenderetur.* Vulgo *αὐτούς.* „Fortassis *αὐτῷ*, ut 6, 18. *τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν λυπηροὶ ὄντες.*“ Duk. Et *αὐτῷ* habet *a.* (liber Severn. apud Arn.) Cum Dukero faciunt Heilm. et Lindav. Genitivum tuetur Popp. 1, 1. p. 121 sq., putans verba *οἱ λυπηροὶ, ἐχθροὶ, πολέμιοι* alia substantivorum structuram adsciscere. Sunt, qui 1, 76. init. legant *τὸ ὑμῶν ὠφέλιμον*, ubi Popp. praesentem locum comparans adiri iubet Matth. §. 391. adn. 2. §. 387. adn. et se ad Xen. Anab. 3, 2, 5. Porro *εὐτελέστερα δὲ τὰ δεινά* etc. idem esse puto, ac si scripsisset *εὐτελέστερα δὲ τὰ δεινὰ γίγνεσθαι τῷ ξὺν βραχεῖ μορίῳ τῆς δαπάνης καὶ ἅμα μετὰ τῆς ἑαυτοῦ ἀσφαλείας αὐτοὺς — καταιρῖψαι.* Haec enim structura verborum commixta est cum altera, qua et ipsa uti poterat: *ἧσσον δὲ δεινὸν εἶναι βραχεῖ μορίῳ — αὐτοὺς — καταιρῖψαι.* Dein inde ab *ἐπιτηδειοτέρους* etc. dicit, et causam et rationem, qua Athenienses bellum gererent, utiliores esse rebus Persarum. Tum verba *τῶν βαρβάρων* post *ἀπὸ δ' ἐκείνων* om. Vat. Et Valck. ad Herodot. 5, 92. p. 110. Schw. tum haec, tum *τῶν Ἑλλήνων* damnat, tanquam interpretamenta, uncis seclusit Bekk., a quibus liberavi memor eorum, quae ad libr. 1, 144. Krueg. monuit. Quum vox *βάρβαροι* ne praecesserit quidem, quis erit, qui quo pronomen *ἐκείνων* referendum sit, sine difficultate reperiat? amantque Graeci explicationes addere, vel ubi minus, quam h. l., opus esse videatur. Quod nisi concedas, innumera multitudo locorum uncis tibi signanda erit. Quod autem Bau. dixit, *βαρβάρων* plane importunum esse, quod Alcibiades cum Tissapherne Persa loquatur, amicum etiam eum redditurus; Popp. respondit, vanum hoc argumentum esse, quia barbari omnes, qui non Graeci sunt, etiam sine convicio dicantur. Adde quod Thucydides colloquium Alcibiadis et Tissaphernis referens voce *βαρβάρων* utitur, nec necesse est, eo Alcibiadem ipsum usum fuisse. Verborum *ἢν μή ποτε αὐτοὺς μὴ ἐξέλωσι* hic sensus esse debet: si quando Spartani Athenienses devicerint, non consentaneum esse, ab iis victoribus Graecos Persis parentes non liberatum iri. Quare utroque loco particula *μή* delenda est, quod iam Aem. Port. suasit, iuvatque Schol. his verbis: *ἀντὶ τοῦ (εἰ), καταδουλώσονται τοὺς Ἀθηναίους.* Utrumque *μή* Popp. tuetur coll. Matth. §. 609. p. 1227. med., ut sit, *si nunquam Athenienses non devicerint* i. e. si aliquando devicerint. Mox legitur vulgo *ἐκ τοῦ περιόντος.* Articulum om. multi et praestantissimi libri et Schol. in cap. „Sic *ἀπὸ* (*ἐκ*) *περιουσίας* sine articulo dicitur.“ Popp. Steph. ita convertit: *instructos ex abundanti fore navibus ad certandum.* Ad *τὴν ἀκμὴν τοῦ ναυτικοῦ* v. adn. ad 7, 14. init. Et *ξυνεπολέμει* unus Vat. servavit. Vulgo deest. Valla *et in ceteris aper-*

δοῦναι, ἔχειν δ' ἀμφοτέρους ἐᾶν δίχα τὴν ἀρχήν, καὶ βασιλεῖ ἐξεῖναι ἀεὶ ἐπὶ τοὺς αὐτοῦ λυπηροὺς τοὺς ἑτέρους ἐπάγειν. γενομένης δ' ἂν καθ' ἓν τῆς ἐς γῆν καὶ θάλασσαν ἀρχῆς, ἀπορεῖν ἂν αὐτὸν οἷς τοὺς κρατοῦντας ξυγκαθαιρήσει, ἢν μὴ αὐτὸς βούληται μεγάλη δαπάνῃ καὶ κινδύνῳ ἀναστάς ποτε διαγωνίσασθαι. εὐτελέστερα δὲ τὰ δεινὰ βραχεῖ μορίῳ τῆς δαπάνης, καὶ ἅμα μετὰ τῆς ἑαυτοῦ ἀσφαλείας, αὐτοὺς περὶ ἑαυτοὺς τοὺς Ἕλληνας κατατῖψαι. ἐπιτηδειοτέρους τε ἔφη τοὺς Ἀθηναίους εἶναι κοινωνοὺς αὐτῷ τῆς ἀρχῆς· ἧσσον γὰρ τῶν κατὰ γῆν ἐφίεσθαι, τόν τε λόγον ξυμφορώτατον καὶ τὸ ἔργον ἔχοντας πολεμεῖν. τοὺς μὲν γὰρ ξυγκαταδουλοῦν ἂν σφίσι τε αὐτοῖς τὸ τῆς θαλάσσης μέρος καὶ ἐκείνῳ ὅσοι ἐν τῇ βασιλέως Ἕλληνες οἰκοῦσι, τοὺς δὲ τούναντίον ἐλευθερώσοντας ἥκειν. καὶ οὐκ εἰκὸς εἶναι Λακεδαιμονίους ἀπὸ μὲν σφῶν τῶν Ἑλλήνων ἐλευθεροῦν νῦν τοὺς Ἕλληνας, ἀπὸ δ' ἐκείνων τῶν βαρβάρων, ἢν μή ποτε αὐτοὺς μὴ ἐξέλωσι, μὴ ἐλευθερῶσαι. τρίβειν οὖν ἐκέλευε πρῶτον ἀμφοτέρους, καὶ ἀποτεμόμενον ὡς μέγιστα ἀπὸ τῶν Ἀθηναίων ἔπειτ' ἤδη τοὺς Πελοποννησίους ἀπαλλάξαι ἐκ τῆς χώρας. καὶ διενοεῖτο τὸ πλέον οὕτως ὁ Τισσαφέρνης, ὅσα γε ἀπὸ τῶν ποιουμένων ἦν εἰκάσαι. τῷ γὰρ Ἀλκιβιάδῃ διὰ ταῦτα, ὡς εὖ περὶ τούτων παραινοῦντι, προσθεὶς ἑαυτὸν ἐς πίστιν, τήν τε τροφὴν κακῶς ἐπόριζε τοῖς Πελοποννησίοις καὶ ναυμαχεῖν οὐκ εἴα, ἀλλὰ καὶ τὰς Φοινίσσας ναῦς φάσκων ἥξειν καὶ ἐκ περιόντος ἀγωνιεῖσθαι ἔφθειρε τὰ πράγματα, καὶ τὴν ἀκμὴν τοῦ ναυτικοῦ αὐτῶν ἀφείλετο, γενομένην καὶ πάνυ ἰσχυράν, τά τε ἄλλα καταφανέστερον ἢ ὥστε λανθάνειν οὐ προθύμως ξυνεπολέμει.

47 Ὁ δὲ Ἀλκιβιάδης ταῦτα ἅμα μὲν τῷ Τισσαφέρνει καὶ βασιλεῖ, ὧν παρ' ἐκείνοις, ἄριστα εἶναι νομίζων παρῆνει, ἅμα δὲ τὴν ἑαυτοῦ κάθοδον ἐς τὴν πατρίδα ἐπιθεραπεύων, εἰδώς, εἰ μὴ διαφθερεῖ αὐτήν, ὅτι ἔσται ποτὲ αὐτῷ πείσαντι κατελθεῖν· πεῖσαι δ' ἂν ἐνόμιζε μάλιστα ἐκ τοῦ τοιούτου εἰ Τισσαφέρνης φαίνοιτο αὐτῷ ἐπιτήδειος ὤν. ὅπερ καὶ ἐγένετο· ἐπειδὴ γὰρ ἤσθοντο αὐτὸν ἰσχύοντα παρ' αὐτῷ οἱ ἐν τῇ Σάμῳ Ἀθηναίων στρατιῶται, τὰ μὲν καὶ Ἀλκιβιάδου προσπέμψαντος λόγους ἐς

tius egit, quam ut occultaret, se non libenter illis sociis gerere bellum. In Lugd. rec. man. εἶχε insertum est post προθύμως.

47. ἐπιθεραπεύων] Suid. et Zonar. interpretantur διορθούμενος, προμηθούμενος. Paulo inferius respondent inter se τὰ μὲν — τὸ δὲ πλέον, tum καὶ Ἀλκιβιάδου προσπέμψαντος et καὶ ἀπὸ σφῶν αὐτῶν. v. Dorv. ad Charit. p. 281. „Primo nominantur milites Sami in universum, deinde sententia restringitur ad trierarchos et viros principes inter milites, cum mentio fit de consilio evertendi imperii popularis: nam milites ipsi alieni erant ab eo consilio.“ Arn. Tum τοὺς βελτίστους intellige *viros principes*, pollentes vel auctoritate, vel opibus vel simili aliqua re. v. Krueg. ad Dionys. p. 270., qui p. 366. conferri iubet Plut. Alc. 25. de Garrulit. 21. C. Nep. Alc. c. 5.

τοὺς δυνατωτάτους αὐτῶν ἄνδρας ὥστε μνησθῆναι περὶ αὐτοῦ ἐς τοὺς βελτίστους τῶν ἀνθρώπων ὅτι ἐπ' ὀλιγαρχίᾳ βούλεται καὶ οὐ πονηρίᾳ οὐδὲ δημοκρατίᾳ τῇ ἑαυτὸν ἐκβαλούσῃ κατελθὼν καὶ παρασχὼν Τισσαφέρνην φίλον αὐτοῖς ξυμπολιτεύειν, τὸ δὲ πλέον καὶ ἀπὸ σφῶν αὐτῶν οἱ ἐν τῇ Σάμῳ τριήραρχοί τε τῶν Ἀθηναίων καὶ δυνατώτατοι ὥρμηντο ἐς τὸ καταλῦσαι τὴν δημοκρατίαν. καὶ ἐκινήθη πρότερον ἐν τῷ στρατοπέδῳ 48 τοῦτο, καὶ ἐς τὴν πόλιν ἐντεῦθεν ὕστερον [ἦλθε]. τῷ τε Ἀλκιβιάδῃ διαβάντες τινὲς ἐκ τῆς Σάμου ἐς λόγους ἦλθον, καὶ ὑποτείνοντος αὐτοῦ Τισσαφέρνην μὲν πρῶτον, ἔπειτα δὲ καὶ βασιλέα φίλον ποιήσειν, εἰ μὴ δημοκρατοῖντο, οὕτω γὰρ ἂν πιστεῦσαι μᾶλλον βασιλέα, πολλὰς ἐλπίδας εἶχον αὐτοί τε αὐτοῖς οἱ δυνατοὶ τῶν πολιτῶν τὰ πράγματα, οἵπερ καὶ ταλαιπωροῦνται μάλιστα, ἐς αὐτοὺς περιποιήσειν καὶ τῶν πολεμίων ἐπικρατήσειν. ἔς τε τὴν Σάμον ἐλθόντες ξυνίστασάν τε τῶν ἀνθρώπων τοὺς ἐπιτηδείους ἐς ξυνωμοσίαν, καὶ ἐς τοὺς πολλοὺς φανερῶς ἔλεγον ὅτι βασιλεὺς σφίσι φίλος ἔσοιτο καὶ χρήματα παρέξοι Ἀλκιβιάδου τε κατελθόντος καὶ μὴ δημοκρατουμένων. καὶ ὁ μὲν ὄχλος εἰ καί τι παραυτίκα ἤχθετο τοῖς πρασσομένοις, διὰ τὸ εὔπορον τῆς ἐλπίδος τοῦ παρὰ βασιλέως

48. ὕστερον ἦλθε] ἦλθε addit Vat. In ipsa praepositione ἐς notionem progrediendi inesse dicit Popp. 1, 1. p. 179., negans 2, 1. p. 41. opus esse verbo adiecto. Consentit Arn. Post ὑποτείνοντος Schol. supplet ἐλπίδα, probante Valck. ad Herodot. 7, 158. Tum αὐτοῖς οἱ δυνατοί Reg. Ven. At ἑαυτοῖς Vat. Alterutrum, si verum est, intelligendum est τοῖς ἐκ τῆς Σάμου Ἀθηναίοις, ut contrarie spes ponatur, quam sibi ipsis habebant, spei, quam pro communi Atheniensium alebant (καὶ τῶν πολεμίων κρατήσειν). Popp. negat se perspicere, quid αὐτοῖς significet, quum deinde legamus ἐς ἑαυτοὺς περιποιήσειν, quod dicit esse ἑαυτοῖς περιποιήσειν. At ἐς ἑαυτούς habet subiectum magis infinitum: οἵπερ καὶ ταλαιπωροῦνται, quum ἑαυτοῖς habeat subiectum οἱ δυνατοὶ τῶν πολιτῶν. Atque iniuria Popp. negare videtur, huc pertinere, quod de iunctis αὐτὸς αὐτοῦ (sive, ut Elmsl. vult αὐτὸς αὐτοῦ) Matth. §. 468. b. habet. Vulgo legitur αὐτοῖς οἱ δυνατοί. Particula τε traiecta est, sic enim debebat collocari: πολλὰς τε ἐλπίδας εἶχον αὐτοὶ αὐτοῖς — ἔς τε τὴν Σάμον ἐλθόντες etc. Verbis οἵπερ ταλαιπωροῦνται etc. significat vexationes munerum publicorum, quibus divites sub imperio populari maxime premebantur, v. Krueg. ad Dionys. p. 364. Mox editum τοῦ παρὰ βασιλέως ex Vat. Vulgo παρὰ abest. At Popp. praepositionem tribuit interpretibus; solum enim genitivum ita poni posse, non dubitandum esse coll. Matth. §. 375. c. Tum rectius puto scribi ἐν σφίσιν αὐτοῖς. In verbis ἢ ἄλλο τι σκοπεῖσθαι Vat. pro ἤ praebet οὐδ', Mosqu. οὐκ., et „sane *neque* (ut Vall.) hic potius dictum velis, quam *aut*, quia antea non οὐκ ἐδόκει, negatione ad totam sententiam relata legitur, sed οὐδὲν μᾶλλον.“ Popp. Hunc locum illustrat Wachsm. Antt. Gr. 1, 2. p. 197. et maxime p. 199, 131. Mox pro περιοπτέον Vat. οὐ περιοπτέον. Gr. Ar. περισκεπτέον. Vulgatam tuetur Thom. M. p. 710. Paulo inferius τοὺς καλοὺς κἀγαθούς rursus intellige *principes viros*, v. Krueg. Comm. Thuc. p. 269 sq. Wachsm. Antt. Gr. 1, 2. p. 46, 6. p. 439. nr. 3. Verborum αὐτοὺς νομίζειν subiectum sunt socii Atheniensium.

μισθοῦ ἡσύχαζεν· οἱ δὲ ξυνιστάντες τὴν ὀλιγαρχίαν, ἐπειδὴ τῷ πλήθει ἐκοινώνησαν, αὖθις καὶ [ἐν] σφίσιν αὐτοῖς καὶ τοῦ ἑταιρικοῦ τῷ πλέονι τὰ ἀπὸ τοῦ Ἀλκιβιάδου ἐσκόπουν. καὶ τοῖς μὲν ἄλλοις ἐφαίνετο εὔπορα καὶ πιστά, Φρυνίχῳ δὲ στρατηγῷ ἔτι ὄντι οὐδὲν ἤρεσκεν, ἀλλ' ὅ τε Ἀλκιβιάδης, ὅπερ καὶ ἦν, οὐδὲν μᾶλλον ὀλιγαρχίας ἢ δημοκρατίας δεῖσθαι ἐδόκει αὐτῷ, ἢ ἄλλο τι σκοπεῖσθαι ἢ ὅτῳ τρόπῳ ἐκ τοῦ παρόντος κόσμου τὴν πόλιν μεταστήσας ὑπὸ τῶν ἑταίρων παρακληθεὶς κάτεισι, σφίσι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα ὅπως μὴ στασιάσωσι· [τῷ] βασιλεῖ τε οὐκ εὔπορον εἶναι καὶ Πελοποννησίων ἤδη ὁμοίως ἐν τῇ θαλάσσῃ ὄντων, καὶ πόλεις ἐχόντων ἐν τῇ αὐτοῦ ἀρχῇ οὐ τὰς ἐλαχίστας, Ἀθηναίοις προσθέμενον, οἷς οὐ πιστεύει, πράγματα ἔχειν, ἐξὸν Πελοποννησίους, ὑφ' ὧν κακὸν οὐδὲν πέπονθε, φίλους ποιήσασθαι. τάς τε ξυμμαχίδας πόλεις, αἷς ὑπεσχῆσθαι δὴ σφᾶς ὀλιγαρχίαν, ὅτι δὴ καὶ αὐτοὶ οὐ δημοκρατήσονται, εὖ εἰδέναι ἔφη ὅτι οὐδὲν μᾶλλον σφίσιν οὔθ' αἱ ἀφεστηκυῖαι προσχωρήσονται οὔθ' αἱ ὑπάρχουσαι βεβαιότεραι ἔσονται· οὐ γὰρ βουλήσεσθαι αὐτοὺς μετ' ὀλιγαρχίας ἢ δημοκρατίας δουλεύειν μᾶλλον ἢ μεθ' ὁποτέρου ἂν τύχωσι τούτων ἐλευθέρους εἶναι. τούς τε καλοὺς κἀγαθοὺς ὀνομαζομένους οὐκ ἐλάσσω αὐτοὺς νομίζειν σφίσι πράγματα παρέξειν τοῦ δήμου, πορισταὶς ὄντας καὶ ἐξηγητὰς τῶν κακῶν τῷ δήμῳ, ἐξ ὧν τὰ πλείω αὐτοὺς ὠφελεῖσθαι· καὶ τὸ μὲν ἐπ' ἐκείνοις εἶναι καὶ ἄκριτοι ἂν καὶ βιαιότερον ἀποθνήσκειν, τὸν δὲ δῆμον σφῶν τε καταφυγὴν εἶναι καὶ ἐκείνων σωφρονιστήν. καὶ ταῦτα παρ' αὐτῶν τῶν ἔργων ἐπισταμένας τὰς πόλεις σαφῶς αὐτὸς εἰδέναι ὅτι οὕτω νομίζουσιν. οὔκουν ἑαυτῷ γε τῶν ἀπὸ Ἀλκιβιάδου καὶ ἐν τῷ παρόντι πρασσομέ-

καὶ τὸ μὲν ἐπ' ἐκείνοις — ἀποθνήσκειν] Greg. Cor. p. 74., ubi ἄν omissum est. Dan. ἄκριτον. Dan. Vat. βεβαιότερον. Gregorii codd. plerique βιαιότεροι. Greg. ἀποθνήσκοιεν. Fallitur Hoogeveen. ad Vig. p. 239., nominativum ἄκριτοι hic rite poni perhibens atque ex ratione grammatica, quia reflexio sit ad personam praecedentem; ubi vero non manetur in eadem persona, ibi accusativum inveniri. At enim persona primaria hic est qui loquitur, Phrynichus, ad quem si reflecteretur ille nominativus, vera esset Hoogeveeni sententia. Atqui ἄκριτοι redit ad illos, de quibus Phrynichus loquitur, ad socios Atheniensium: εὖ εἰδέναι ἔφη (Phrynichus) τοὺς ξυμμάχους νομίζειν, τὸ ἐπ' ἐκείνοις εἶναι καὶ ἄκριτοι ἂν ἀποθνήσκειν. Nulla est igitur reflexio nominativi ad personam praecedentem, sed una constructio pro altera posita, dum scriptor ita pergit, quasi ipsi socii loquantur, cuius usus exemplum simile habes in 5, 41. οὐχ ἑώντων μεμνῆσθαι, ἀλλ' ἑτοῖμοι εἶναι, ubi severior ratio exigit ἑτοίμων εἶναι φασκόντων. Docuit Lobeck. ad Phryn. p. 756. adn. Similia illustrat Krueg. ad Dionys. p. 371. adn. 40. extr. Et τὸ ἐπ' ἐκείνοις εἶναι eodem modo dictum est, quo 4, 28. τὸ ἐπὶ σφᾶς εἶναι et vero ἐκείνους hic habent multi et praestantes libri. Dativus tamen frequentior. v. Xen. H. Gr. 3, 5, 8., interpp. ad Greg. Cor. l. c. Reiz. ad Vig. p. 752. Herm. in Museo Antiqu. Stud. 1, 1. p. 210. Matth. §. 283.

νων ἀρέσκειν οὐδέν. οἱ δὲ ξυλλεγέντες τῶν ἐν τῇ ξυμμαχίᾳ, ὥσπερ καὶ τὸ πρῶτον αὐτοῖς ἐδόκει, τά τε παρόντα ἐδέχοντο καὶ ἐς τὰς Ἀθήνας πρέσβεις Πείσανδρον καὶ ἄλλους παρεσκευάζοντο πέμπειν, ὅπως περί τε τῆς τοῦ Ἀλκιβιάδου καθόδου πράσσοιεν καὶ τῆς τοῦ ἐκεῖ δήμου καταλύσεως, καὶ τὸν Τισσαφέρνην φίλον τοῖς Ἀθηναίοις ποιήσειαν. γνοὺς δὲ ὁ Φρύνιχος ὅτι ἔσοιτο περὶ τῆς τοῦ Ἀλκιβιάδου καθόδου λόγος καὶ ὅτι Ἀθηναῖοι ἐνδέξονται αὐτήν, δείσας πρὸς τὴν ἐναντίωσιν τῶν λεχθέντων ὑφ' αὐτοῦ μὴ ἦν κατέλθῃ ὡς κωλυτὴν ὄντα κακῶς δρᾷ, τρέπεται ἐπὶ τοιόνδε τι. πέμπει ὡς τὸν Ἀστύοχον τὸν Λακεδαιμονίων ναύαρχον ἔτι ὄντα τότε περὶ τὴν Μίλητον, κρύφα ἐπιστείλας ὅτι Ἀλκιβιάδης αὐτῶν τὰ πράγματα φθείρει Τισσαφέρνην Ἀθηναίοις φίλον ποιῶν, καὶ τἆλλα σαφῶς ἐγγράψας· ξυγγνώμην δὲ εἶναι ἑαυτῷ περὶ ἀνδρὸς πολεμίου καὶ μετὰ τοῦ τῆς πόλεως ἀξυμφόρου κακόν τι βουλεύειν. ὁ δὲ Ἀστύοχος τὸν μὲν Ἀλκιβιάδην, ἄλλως τε καὶ οὐκέτι

49. ἐν τῇ ξυμμαχίᾳ] Apertum est, scribendum esse ἐν τῇ ξυνωμοσίᾳ. In universum συνωμόται Krueg. ad Dionys. p. 364 sq. docet esse τοὺς ὄντας ἐν σφίσι λόγον καὶ πίστιν ad quamcunque rem exsequendam. Sed Athenienses per excellentiam ξυνωμότας dixisse τοὺς ἐπὶ καταλύσει τοῦ δήμου ξυνερχομένους. Hinc factum esse, ut ξυνωμοσία atque ἑταιρία fere idem valerent. Prius tamen vocabulum magis probrosum videri fuisse, unde explicandum esse, cur Aristophanes non utatur, nisi illo vocabulo. De Pisandro v. ibidem p. 365. adn. 17.

50. πέμπει ὡς τὸν Ἀστύοχον] Huc spectat Suidas in Φρυνίχου πάλαισμα, Arist. Ran. 701. Adde „Polyaen. 3, 6. Proverbb. Vatic. Append. 4, 1. Plut. Alcib. 25.“ Wass. Mox est τὸν Λακεδαιμονίων ναύαρχον in Vat. Ar. Chr. Vulgo τῶν, „quasi Astyochus aliquis, non unus et ex antecedentibus notissimus navarchus Lacedaemoniorum fuisset.“ Popp. Krueg. p. 302 sq. commate post ναύαρχον sublato et post ἔτι collocato, h. l. explicandum esse censebat. Ita quidem non opus esse, ut τῶν cum deterioribus libris in τόν mutaretur. Sed iam huius eum coniecturae poenituit. „Nam quae hic narrantur, ait, facta esse, quum Astyochus nondum Mileto solvisset, colligas ex c. 45. init. ἐν δὲ τούτῳ καὶ ἔτι πρότερον, πρὶν ἐς τὴν Ῥόδον αὐτοὺς ἀναστῆναι, τάδε ἐπράσσετο. Ac priusquam in Rhodum Astyochus proficiscebatur, ea quoque evenisse, quae praesenti loco referuntur, omnia probant. Quae contra afferri possunt argumenta, tam levia sunt, ut silenda esse videantur. Emendandum est igitur τὸν Λακ. ναύαρχον. Nam articulus ad ναύαρχον ibi non magis, si vulgaris distinctio retinetur, deesse potest, quam c. 23. Ἀστύοχος, ὁ Λακεδαιμόνιος ναύαρχος.“ Idem p. 367. addit, Vallam legisse κρύφα ἐπιστολάς, quod se velle profitetur libros confirmare. Puto excusari verbum, si cogitemus, Phrynichum alia mandasse ad Astyochum viva voce suisque verbis clam deferenda, alia perspicue literis consignasse. Neque inter se contrarie ponuntur κρύφα et σαφῶς, ut Arn. adnotavit, illud enim spectat ad Athenienses, hoc ad Astyochum. „Tota transactio, addit, Phrynichi cum praetore hostium secreta futura erat Atheniensibus; Alcibiadis autem singula facta Astyocho clare expositurus erat.“ Mox l. ξυμφόρου pro ἀξυμφόρου, converte: selbst zum Nachtheil seines Vaterlandes. Verba ἐς χεῖρας ἰόντα Schol. exponit per εἰς ὁμιλίαν καὶ δεξίωσιν φιλικήν. Rectius Arn. sentit, Alcibiadem non iam sui comprehendendi copiam fecisse.

ὁμοίως ἐς χεῖρας ἰόντα, οὐδὲ διενοεῖτο τιμωρεῖσθαι, ἀνελθὼν δὲ παρ' αὐτὸν ἐς Μαγνησίαν καὶ παρὰ Τισσαφέρνην ἅμα λέγει τε αὐτοῖς τὰ ἐπισταλέντα ἐκ τῆς Σάμου, καὶ γίγνεται αὐτοῖς μηνυτής, προσέθηκέ τε, ὡς ἐλέγετο, ἐπὶ ἰδίοις κέρδεσι Τισσαφέρνει ἑαυτόν, καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων [κοινοῦσθαι]· διόπερ καὶ περὶ τῆς μισθοφορᾶς οὐκ ἐντελοῦς οὔσης μαλακωτέρως ἀνθήπτετο. ὁ δὲ Ἀλκιβιάδης εὐθὺς πέμπει κατὰ Φρυνίχου γράμματα ἐς τὴν Σάμον πρὸς τοὺς ἐν τέλει ὄντας οἷα δέδρακε, καὶ ἀξιῶν αὐτὸν ἀποθνήσκειν. θορυβούμενος δὲ ὁ Φρύνιχος, καὶ πάνυ ἐν τῷ μεγίστῳ κινδύνῳ ὢν διὰ τὸ μήνυμα, ἀποστέλλει αὖθις πρὸς τὸν Ἀστύοχον, τά τε πρότερα μεμφόμενος ὅτι οὐ καλῶς ἐκρύφθη, καὶ νῦν ὅτι ὅλον τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἑτοῖμος εἴη τὸ ἐν τῇ Σάμῳ παρασχεῖν αὐτοῖς διαφθεῖραι, γράψας καθ' ἕκαστα, ἀτειχίστου οὔσης Σάμου, ᾧ ἂν τρόπῳ αὐτὰ πράξειε, καὶ ὅτι ἀνεπίφθονόν οἱ ἤδη εἴη περὶ τῆς ψυχῆς δι' ἐκείνους κινδυνεύοντι καὶ τοῦτο καὶ ἄλλο πᾶν δρᾶσαι μᾶλλον ἢ ὑπὸ τῶν ἐχθίστων αὐτὸν διαφθαρῆναι. ὁ δὲ Ἀστύοχος μηνύει καὶ ταῦτα τῷ Ἀλκι-
31 βιάδῃ. καὶ ὡς προήσθετο αὐτὸν ὁ Φρύνιχος ἀδικοῦντα καὶ ὅσον οὐ παροῦσαν ἀπὸ τοῦ Ἀλκιβιάδου περὶ τούτων ἐπιστο-

γίγνεται αὐτοῖς μηνυτής] Non ita grata est repetitio pronominis αὐτοῖς. Si per manuscriptos liceret, mallem *αὐτός*. Duk. Habet ita Pal. et *ipse* dixit Valla. Consentit Reisk. Popp. Mox Schol. τὸ „ὡς ἐλέγετο" κἀνταῦθα πρόσκειται ἐνδεικτικὸν τοῦ περὶ ἀδήλων μὴ πάνυ διατείνεσθαι· τὸ δὲ „προσέθηκεν" ἀντὶ τοῦ προσέθετο." Et κοινοῦσθαι post καὶ περὶ τῶν ἄλλων addit Vat., expressit etiam Vall. „Vulgatum si cum Porto interpretamur: *se Tissapherni adiunxit quum in hac re tum in aliis*, aut ἐν aut περί cum acc. proprie exspectamus, sed non ita, ut genitivus omni excusatione careat." Popp. Convertas: *et, ut ferebatur, quaestus privati causa se Tissapherni adiunxit quum de hac re tum de aliis communicandis.* Verum obloquitur Arn., medium κοινοῦσθαι nusquam significare *ipsum communicare notitiam*, sed eo sensu semper activum κοινοῦν usurpari, neque Thucydidem hic loqui de indicio, idque apparere ex sententia proxime sequenti, sed de applicatione Astyochi ad Tissaphernem in universum. Denique προστιθέναι ἑαυτόν (προστίθεσθαι) ait esse *accedere ad partes, favere alicui et voluntati eius obsequi*, ut ap. Herodot. 2, 160. Porro in Vat. Ven. περί ante τῆς μισθοφορᾶς deest. „Conf. c. 97. Sed ἀνθάπτεσθαί τινος πράγματος solet significare *rem aggredi, capessere*, ἀνθάπτεσθαι ἀνθρώπου (ut hic suppleas αὐτοῦ), *aliquem impugnare, insectari verbis, obiurgare.* Quamquam magna causa non est, cur non, hoc ad res quoque translato, *mercedem non plenam* (*quod plena non esset*) *vituperare* dicatur. Compares etiam ἀμφισβητεῖν τινος, *de re contendere* (Matth. §. 350.) aut ἀντέχεσθαί τινος, *aliquid amplecti* (Matth. §. 330. b.)." Popp. De forma adverbii μαλακωτέρως v. Elmsl. ad Eur. Heracl. 544., qui quem citat Atticistam, is est in Anecdd. Bekk. Vol. 1., quem v. inter alia p. 92. Mox pro αὐτὸν διαφθαρῆναι malim αὐτὸς διαφθ., nisi cum Poppone accusativum eo defendas, quod sententia nexa sit ex ἀνεπίφθονόν οἱ εἴη. Ipse cum Gr. αὐτόν abesse cupit, ut abest in δρᾶσαι, nisi quis mutet in αὐτῷ, ut ad ἐχθίστων referatur.

λήν, αὐτὸς προφθάσας τῷ στρατεύματι ἐξάγγελος γίγνεται ὡς οἱ πολέμιοι μέλλουσιν, ἀτειχίστου οὔσης τῆς Σάμου καὶ ἅμα τῶν νεῶν οὐ πασῶν ἔνδον ὁρμουσῶν, ἐπιθήσεσθαι τῷ στρατοπέδῳ, καὶ ταῦτα σαφῶς πεπυσμένος εἴη, καὶ χρῆναι τειχίζειν τε Σάμον ὡς τάχιστα καὶ τἆλλα ἐν φυλακῇ ἔχειν· ἐστρατήγει δὲ καὶ κύριος ἦν αὐτὸς πράσσων ταῦτα. καὶ οἱ μὲν τὸν τειχισμόν τε παρεσκευάζοντο, καὶ ἐκ τοῦ τοιούτου, καὶ ὡς μέλλουσα, Σάμος θᾶσσον ἐτειχίσθη· αἱ δὲ παρὰ τοῦ Ἀλκιβιάδου ἐπιστολαὶ οὐ πολὺ ὕστερον ἦκον ὅτι προδίδοταί τε τὸ στράτευμα ὑπὸ Φρυνίχου καὶ οἱ πολέμιοι μέλλουσιν ἐπιθήσεσθαι. δόξας δὲ ὁ Ἀλκιβιάδης οὐ πιστὸς εἶναι, ἀλλὰ τὰ ἀπὸ τῶν πολεμίων προειδὼς τῷ Φρυνίχῳ ὡς ξυνειδότι κατ' ἔχθραν ἀνατιθέναι, οὐδὲν ἔβλαψεν αὐτόν, ἀλλὰ καὶ ξυνεμαρτύρησε μᾶλλον ταῦτα ἐξαγγείλας.

Μετὰ δὲ τοῦτο Ἀλκιβιάδης μὲν Τισσαφέρνην παρεσκεύαζε 32
καὶ ἀνέπειθεν ὅπως φίλος ἔσται τοῖς Ἀθηναίοις, δεδιότα μὲν τοὺς Πελοποννησίους, ὅτι πλείοσι ναυσὶ τῶν Ἀθηναίων παρῆσαν, βουλόμενον δὲ ὅμως, εἰ δύναιτό πως, πεισθῆναι, ἄλ-

51. πεπυσμένος εἴη] pendet ab ὡς. Ad verba κύριος ἦν πράσσων Abr. Miscc. Obss. Vol. 3. p. 308. scripsit ita: „non memini apud ullum alium scriptorem observasse exemplum, in quo κύριον εἶναι sequatur participium; simile tamen si proferatur, non intercedo, quominus vulgata obtineat. Id vero donec fiat, legendum esse contendo πράσσειν." En alterum exemplum ex Thuc. 5, 34. ὥστε μήτε πριαμένους τι ἢ πωλοῦντας κυρίους εἶναι, ubi Schol. propter rariorem structuram: ἤγουν μὴ εἶναι κυρίους ἢ πρίασθαι ἢ πωλεῖν. Vid. Matth. p. 1091. med. Ad καὶ ὡς μέλλουσα Krueg. p. 118. supplet τειχίζεσθαι. Converto welches ohnedies befestigt werden sollte. Arn. plenius ita: καὶ ἐκ τοῦ τοιούτου, καὶ τοῦ τοιούτου μὴ γενομένου καὶ ὡς μέλλουσα τειχίζεσθαι. Extremo cap. alii libri ἀπαγγελίας, alii ἐσαγγελίας, vulgo ἐξαγγελίας. Alterum horum Arn. praefert, interpretans *quod retulit, indicium fecit* coll. 1, 116. 131. 3, 3. Tertium ait esse *divulgare arcanum, referre ex oppido, quid in eo agatur*, ut 4, 27. Xen. H. Gr. 1, 1, 8. Paulo ante Heilm. ταὐτά, vulgo ταῦτα.

52. πεισθῆναι] πιστευθῆναι Reg. (G.) C. F. Lugd. Gr. D. I. E. K. T. (Cantabr. Arn.) Ar. Chr. m. Dan. Ald. Flor. marg. Steph. Vall. marg. Cass. Vulgo πεισθῆναι, quod agnoscit etiam Schol. Alterum praetulerunt Bred. (Tissaphernes fürchtete zwar die Peloponnesier, doch wünschte er auch *das Vertrauen* der Athener) Krueg. p. 358. („fidem sibi haberi *ab Alcibiade* voluit Tissaphernes, ut si, quod verendum erat, Lacedaemonii nimium sibi arrogarent, Athenienses sibi facile conciliare posset socios, quorum auxilio illos debellare possent") et Duk., qui negat se intelligere, qui sit sensus Scholiastae interpretationis: „Tissaphernem metuisse quidem potentiam Peloponnesiorum, sed tamen cupivisse, sibi ab Alcibiade persuaderi, ut, illis desertis, Athenienses socios adsciscerent." Ipse hanc sententiam subesse statuere videtur: „Tissaphernes quamquam Peloponnesios metuebat, ideoque ut utriusque populi vires exaequaret, cum Atheniensibus societatem inire meditabatur, nihilo secius tamen adhuc ab illis fidem sibi haberi volebat." Hi igitur omnes, ut dixi, πιστευθῆναι praeferunt, quod si a manu Thucydidis profectum esset, puto eum una adiecturum fuisse, a

λως τε καὶ ἐπειδὴ τὴν ἐν τῇ Κνίδῳ διαφορὰν περὶ τῶν Θηραμένους σπονδῶν ἤσθετο τῶν Πελοποννησίων· ἤδη γὰρ κατὰ τοῦτον τὸν καιρὸν ἐν τῇ Ῥόδῳ ὄντων αὐτῶν ἐγεγένητο, ἐν ᾗ τὸν τοῦ Ἀλκιβιάδου λόγον πρότερον εἰρημένον περὶ τοῦ ἐλευθεροῦν τοὺς Λακεδαιμονίους τὰς ἁπάσας πόλεις ἐπηλήθευσεν ὁ Λίχας, οὐ φάσκων ἀνεκτὸν εἶναι ξυγκεῖσθαι κρατεῖν βασιλέα τῶν πόλεων, ὧν ποτε καὶ πρότερον ἢ αὐτὸς ἢ οἱ πατέρες ἦρχον. καὶ ὁ μὲν Ἀλκιβιάδης, ἅτε περὶ μεγάλων ἀγωνιζόμενος,
53 προθύμως τὸν Τισσαφέρνην θεραπεύων προσέκειτο. οἱ δὲ μετα τοῦ Πεισάνδρου πρέσβεις τῶν Ἀθηναίων ἀποσταλέντες ἐκ τῆς Σάμου, ἀφικόμενοι ἐς τὰς Ἀθήνας, λόγους ἐποιοῦντο ἐν τῷ δήμῳ κεφαλαιοῦντες ἐκ πολλῶν, μάλισα δὲ ὡς ἐξείη αὐτοῖς Ἀλκιβιάδην καταγαγοῦσι καὶ μὴ τὸν αὐτὸν τρόπον δημοκρατουμένοις βασιλέα τε ξύμμαχον ἔχειν καὶ Πελοποννησίων περιγενέσθαι. ἀντιλεγόντων δὲ πολλῶν καὶ ἄλλων περὶ τῆς δημο-

quibus, ab Alcibiade, an Atheniensibus, an Peloponnesiis fidem sibi haberi cupiverit. Qui vulgatam tuetur Haack. et ita interpretatur: „verba *βουλόμενον — πεισθῆναι* non tam ostendunt, revera iam alienatum esse Tissaphernem a Peloponnesiis, sed tantum cupivisse, ut de societatis cum Atheniensibus faciendae commodis ipsi, si fieri posset, persuaderetur," Haack. igitur iure a Kruegero reprehensus est, quod eius sententia subabsurda sit. Unice vera est Scholiastae expositio, dummodo recte intelligatur: *φησὶν ὅτι ἐδεδίει μὲν ὁ Τισσαφέρνης τὴν ἰσχὺν τῶν Λακεδαιμονίων, ἐβούλετο δὲ ὅμως πεισθῆναι, εἰ δύναιτο, ὑπὸ Ἀλκιβιάδου μεταθέσθαι πρὸς τοὺς Ἀθηναίους.* Hoc autem dicit Thucydides: metuebat Tissaphernes Peloponnesios, ideoque cum Atheniensibus societatem inire cupiebat, sed consilium exsequi non facile erat, sic enim cogitare debebat, ut verbis Phrynichi c. 48. dicam, *βασιλεῖ* adeoque sibi *οὐκ εὔπορον εἶναι καὶ Πελοποννησίων ἤδε ὁμοίως ἐν τῇ θαλάσσῃ ὄντων καὶ πόλεις ἐχόντων ἐν τῇ αὐτοῦ ἀρχῇ οὐ τὰς ἐλαχίστας, Ἀθηναίοις προσθέμενον, οἷς οὐ πιστεύει, πράγματα ἔχειν.* Conf. omnino c. 56. Ea causa erat metus Tissapherni, ut difficultas esset, eum societate Peloponnesiorum avelli. Tametsi *promptus erat ad obtemperandum Alcibiadi*, si fieri posset, ac si per Peloponnesios cervicibus eius quasi impositos et maiori, quam adversarii, navium copia pollentes liceret. Id verum esse, declarant statim sequentia: *ἄλλως τε καὶ ἐπειδὴ ἐν τῇ Κνίδῳ διαφορὰν περὶ τῶν Θηραμένους σπονδῶν ἤσθετο τῶν Πελοποννησίων*, quae narravit cap. 43. Consentit Arn. Paulo post ad *ἤδη γὰρ ἐγεγένητο* cogita *ἡ διαφορά*. Iam ea dissensio acciderat eo tempore, et Tissapherni Alcibiades persuadere coeperat eo tempore, quo Peloponnesii in Rhodo erant. Cnidi enim dissidium acciderat et Cnido Rhodum Peloponnesii navigaverant. Vid. c. 43. 44.

πρότερον εἰρημένον] cap. 45. 46. med. Porro „recte sentit Steph., *ἐπηλήθευσεν* idem esse, quod antea dixerat *ξυνεμαρτύρησε*. Similis est locus 4, 85. in princip., ubi v. Schol." Duk. Mox in verbis *τὸν Τισσαφέρνην — προσέκειτο* alii libri habent *τὸν Τισσαφέρνη*, alii *τὸν Τισσαφέρνην*, alii *τῷ Τισσαφέρνῃ*. Vulgo *τῷ Τισσαφέρνει*. „*Προσκεῖσθαι* hac significatione, non addito casu, etiam 7, 18. 78." Duk. Accedit, quod Graeci, ubi participium cum verbo finito diversi regiminis coniungitur, eo casu utuntur, quem participium postulat. Vid. 2, 44. 3, 105. Krueg. ad Dionys. p. 119.

κρατίας καὶ τῶν Ἀλκιβιάδου ἅμα ἐχθρῶν διαβοώντων ὡς δεινὸν εἴη εἰ τοὺς νόμους βιασάμενος κάτεισι, καὶ Εὐμολπιδῶν καὶ Κηρύκων περὶ τῶν μυστικῶν, δι' ἅπερ ἔφυγε, μαρτυρομένων καὶ ἐπιθειαζόντων μὴ κατάγειν, ὁ Πείσανδρος παρελθὼν πρὸς πολλὴν ἀντιλογίαν καὶ σχετλιασμὸν ἠρώτα ἕνα ἕκαστον παράγων τῶν ἀντιλεγόντων, εἴ τινα ἐλπίδα ἔχει σωτηρίας τῇ πόλει Πελοποννησίων ναῦς τε οὐκ ἐλάσσους σφῶν ἐν τῇ θαλάσσῃ ἀντιπρώρους ἐχόντων καὶ πόλεις ξυμμαχίδας πλείους, βασιλέως τε αὐτοῖς καὶ Τισσαφέρνους χρήματα παρεχόντων, σφίσι τε οὐκέτι ὄντων, εἰ μή τις πείσει βασιλέα μεταστῆναι παρὰ σφᾶς. ὁπότε δὲ μὴ φαίησαν ἐρωτώμενοι, ἐνταῦθα δὴ σαφῶς ἔλεγεν αὐτοῖς ὅτι Τοῦτο τοίνυν οὐκ ἔστιν ἡμῖν γενέσθαι, εἰ μὴ πολιτεύσομέν τε σωφρονέστερον καὶ ἐς ὀλίγους μᾶλλον τὰς ἀρχὰς ποιήσομεν, ἵνα πιστεύῃ ἡμῖν βασιλεύς, καὶ μὴ

53. *Εὐμολπιδῶν — Κηρύκων*] Hae erant familiae, in quibus ius sacerdotii Eleusinii hereditarium erat. Eiusmodi gentes familiaeque, quibus quaedam publica sacra (nam seorsum sua cuique genti privata sacra erant) hereditate accepta propria fuerunt, plures commemorantur, velut Eteobutadae, Thaulonidae, Hesychidae, aliae, quas enumerat Huellm. Urgesch. d. Staats p. 90. v. Platn. Beitr. zum Att. R. p. 80. St. Croix de Myster. p. 131. vers. Lenz. Tittm. Gr. Staatsverf. p. 606. et Arn. ad. h. l. De *ἐπιθειαζόντων* vid. adn. ad 2, 75. 7, 75. 8, 1. Porro *εἴ τινα ἐλπίδα* Vat. habet, Valla *ecquam*, „quod praeferendum videtur ob verba *ὁπότε δὲ μὴ φαίησαν ἐρωτώμενοι*, ex quibus non *quam spem*, sed *ecquam spem* haberent, Pisandrum interrogasse probabile fit." Popp., qui tamen *ἥντινα* edidit, ut vulgo legitur. Certe *ἥν τινα* non stare potest, quod alii libri praebent. Vulgo etiam prave *ἔχῃ* legebatur, quod in *ἔχει* mutatum est ex libris quamplurimis. Porro *εἰ μή τις πείσῃ* offerunt Cass. Aug. Pal. It. C. Gr. Cl. Ven., sed in Pal. recte correctum rec. man. Coniunctio *εἰ* non videtur ab hoc scriptore cum coniunctivo constructa esse; certe loci sunt perpauci, ubi eius constructionis vestigia sunt: 1, 139. 6, 21. et hic ipse locus, qui sunt omnes dubitationi obnoxii. Vid. Matth. §. 525. 1. b. p. 1020. Thiersch. Gr. §. 329. Quae enim Krueg. ad Dionys. p. 270. contra affert, ea non satis distincte disputata sunt. A Tragicis et posterioribus prosae orationis auctoribus, item a Doribus Ionibusque *εἰ* cum coniunctivo construi, a nemine perito negatur. Apud Thucydidem nimia paucitas exemplorum rem valde dubiam, si non verisimile reddit, coniunctionem *εἰ* structuram coniunctivi non admittere. Nam si diligenter consideres, unicus locus 6, 21. restat, ubi tantum pauci libri (D. Ar. Chr. Dan. 48.) habent *ἤν*.

ἐς ὀλίγους — τὰς ἀρχάς] i. e. *nisi paucos ad magistratus admittimus — nisi imperium paucorum constituimus.* Vid. adn. ad c. 38. Verba *τὰς ἀρχὰς ποιησαιμεν* (sic enim vulgo legitur) om. C. E., „et vulgo uncis inclusa impugnat Haack. Quoniam Mosqu. [Cl. Ven.] *ποιήσομεν* habent, *ποιήσομεν* audacter dedit Bekk., qui 1, 27. optativum et indicativum post *εἰ* coniunxit in *εἰ μὴ ἐθέλοι ξυμπλεῖν, μετέχειν δὲ βούλεται.* Conf. Demosth. c. Onet. 2. §. 2. et nos ad Xen. Anab. 1, 9, 27." Popp. Loci 1, 27. haec mens est: *sollte* einer nicht gleich mit zu Schiffe *gehen*, der aber doch an der Pflanzung Theil nehmen *will*: at hic verbis *καὶ ἐς ὀλίγους — ποιήσομεν* nihil aliud continetur, nisi quod verbis *εἰ μὴ πολιτεύσομεν σωφρονέστερον*. Quare quod di-

περὶ πολιτείας τὸ πλέον βουλεύσομεν ἐν τῷ παρόντι ἢ περὶ σωτηρίας· ὕστερον γὰρ ἐξέσται ἡμῖν καὶ μεταθέσθαι, ἢν μή τι ἀρέσκῃ· Ἀλκιβιάδην τε κατάξομεν, ὃς μόνος τῶν νῦν οἷός
54 τε τοῦτο κατεργάσασθαι. ὁ δὲ δῆμος τὸ μὲν πρῶτον ἀκούων καλεπῶς ἔφερε τὸ περὶ τῆς ὀλιγαρχίας· σαφῶς δὲ διδασκόμενος ὑπὸ τοῦ Πεισάνδρου μὴ εἶναι ἄλλην σωτηρίαν, δείσας καὶ ἅμα ἐλπίζων ὡς καὶ μεταβαλεῖται, ἐνέδωκε. καὶ ἐψηφίσαντο

versis modis utrimque verba efferantur, non est. Mox μή ante περὶ πολιτείας non ad totam sententiam pertinet, sed tantum ad τὸ πλέον, ut plena oratio ista futura esset: καὶ (εἰ μή) μὴ τὸ πλέον (i. e. *minus*) περὶ πολιτείας βουλεύσομεν, ἢ περὶ σωτηρίας, — Ἀλκιβιάδην τε (εἰ μὴ) κατάξομεν. Ita μή ad solam particulam orationis μεγίστην pertinet apud Xen. M. S. 1, 2, 7., de quo loco v. Herm. ad Vig. p. 797. Dobr. h. l. ita constituit: ἵνα πιστεύῃ ἡμῖν βασιλεύς (καὶ μὴ περὶ πολιτείας — ἢν μή τι ἀρέσκῃ), Ἀλκιβιάδην τε κατάξομεν — κατεργάσασθαι, quod probat Arn., quia salus Athenarum dicatur ex duobus pendere, ex mutatione reipublicae et revocatione Alcibiadis, verba autem μὴ περὶ πολιτείας — ἀρέσκῃ accipi melius pro quodam quasi solatio doloris, quod iniiciatur ad deliniendum populum, ubi audiat mentionem fieri imperii paucorum, quam pro re, quae fieri debeat, et diversa sit ab illis duobus supra dictis et mixta cum illis mira quodammodo ratione. Ubi tenendum est, Dobreum non modo haec novare, sed etiam legere καὶ μὴ βουλεύσωμεν. Ceterum huc pertinere Aristotelem Polit. 5, 3, 8. Did. vidit.

75. *ὑπὸ τῶν διὰ μέσου*] Hi non sunt iidem, qui alibi *τὰ μέσα τῶν πολιτῶν* dicuntur i. e. *mediocres dignatione cives*, sed *οἱ μηδέτερα μέρει προστιθέμενοι* apud Plut. Sol. 14. Tales a Xen. H. Gr. 5, 4, 25. dici *τοὺς διὰ μέσου* adnotavit Dobr. Pro *προεστήκεσαν* Cass. Pal. *προεστήκεισαν*, vulgo *προειστήκεισαν*. Phryn. p. 149. *ἠκηκόεσαν, ἐγγεγράφεσαν, ἐπεποιήκεσαν, ἐνενοήκεσαν* ἐρεῖς, *ἀλλ' οὐ σὺν τῷ ι, ἠκηκόεισαν*. „Apud Thucydidem 7, 75. tantum C. Lugd. Gr. I. [Laur.] *ἀπηυτομολήκεισαν* susceperunt, praeter hos duos locos nulla est plusquamperfecti *διαφθογγογραφομένου* auctoritas, quare Grammatici praecepto obtemperandum est.“ Lob. De verbis *ὤρκωσαν — ὅρκους* adi Matth. p. 775. adn. 3. Iusiurandum erat *ἢ μὴν δημοκρατήσεσθαι* etc. Contra optimatum iusiurandum esse solebat: *τῷ δήμῳ κακόνους ἔσομαι καὶ βουλεύσω ὅ,τι ἂν ἔχω κακόν*. Vid. Krueg. ad Dionys. p. 363. adn. 7. Conf. omnino Meier. de Bonis Damn. p. 6. sqq. Mox in verbis *ἐάν τε — ἐάν τε* altero loco *ἐάν* dat Vat. Vulgo *ἄν*. Thucydides ubique *ἐάν*, nisi paucis locis librarii, ut videtur, intulissent *ἄν*, qui loci sunt 4, 46. 6, 13. 18. et octavi libri hic unus locus. Hos locos correxi vel invitis libris. Atque primo quidem loco solus D. habet *ἐάν*, „quod leviter confirmat etiam Polyaen. 6, 21.“ Popp. Altero loco D. teste Gail. particulam *ἄν* om., teste Bekk. in margine habet *ἤν*, at Mosqu. *κἄν*. Tertio loco omnes libri in scripturam *ἄν* conspirant.

τὸν πρὸς Πελοποννησίους πόλεμον προθύμως διοίσειν, καὶ τοῖς τετρακοσίοις πολέμιοί τε ἔσεσθαι καὶ οὐδὲν ἐπικηρυκεύεσθαι. ξυνώμνυσαν δὲ καὶ Σαμίων πάντες τὸν αὐτὸν ὅρκον οἱ ἐν τῇ ἡλικίᾳ, καὶ τὰ πράγματα πάντα καὶ τὰ ἀποβησόμενα ἐκ τῶν κινδύνων ξυνεκοινώσαντο οἱ στρατιῶται τοῖς Σαμίοις, νομίζοντες οὔτε ἐκείνοις ἀποστροφὴν σωτηρίας οὔτε σφίσιν εἶναι, ἀλλ' ἐάν τε οἱ τετρακόσιοι κρατήσωσιν ἐάν τε οἱ ἐκ Μιλήτου πολέμιοι, διαφθαρήσεσθαι. ἐς φιλονεικίαν τε καθέστα-76
σαν τὸν χρόνον τοῦτον οἱ μὲν τὴν πόλιν ἀναγκάζοντες δημοκρατεῖσθαι, οἱ δὲ τὸ στρατόπεδον ὀλιγαρχεῖσθαι. ἐποίησαν δὲ καὶ ἐκκλησίαν εὐθὺς οἱ στρατιῶται, ἐν ᾗ τοὺς μὲν προτέρους στρατηγούς, καὶ εἴ τινα τῶν τριηράρχων ὑπετόπευον, ἔπαυσαν, ἄλλους δὲ ἀνθεῖλοντο καὶ τριηράρχους καὶ στρατηγούς, ὧν Θρασύβουλός τε καὶ Θράσυλλος ὑπῆρχον. καὶ παραινέσεις ἄλλας τε ἐποιοῦντο ἐν σφίσιν αὐτοῖς ἀνιστάμενοι, καὶ ὡς οὐ δεῖ ἀθυμεῖν ὅτι ἡ πόλις αὐτῶν ἀφέστηκε· τοὺς γὰρ ἐλάσσους ἀπὸ σφῶν τῶν πλεόνων καὶ ἐς πάντα ποριμωτέρων μεθεστάναι ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικὸν τὰς ἄλλας πόλεις ὧν ἄρχουσιν ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι καὶ εἰ ἐκεῖθεν ὡρμῶντο. πόλιν τε γὰρ σφίσιν ὑπάρχειν Σάμον οὐκ ἀσθενῆ, ἀλλ' ἥ παρ' ἐλάχιστον δὴ ἦλθε τὸ Ἀθηναίων κράτος τῆς θαλάσσης, ὅτε ἐπολέμησεν, ἀφελέσθαι, τούς τε πολεμίους ἐκ τοῦ

76. *ἀναγκάζοντες*] conatum significat. Quid sit *ὀλιγαρχεῖσθαι*, docet Luzac. de Socrate Civ. p. 68 sqq., quo usus sum in adn. ad Thuc. 2, 37. Dein *ὑπετόπευον* praebent Pal. It. Vat. In Cass. Aug. *ὑπετώπευον*. Vulgo *ὑπώπτευον*. Librarii vulgatius *ὑπώπτευον* substituerunt. Et *ποριμωτέρων* „est, ut auctor ipse paulo inferius interpretatur, idem quod *δυνατωτέρων πορίζεσθαι τὰ ἐπιτήδεια*.“ Arn. Sequuntur genitivi absoluti *ἐχόντων — σφῶν* pro casu, quem sequens verbum postulat. vid. adn. ad 6, 7. Verba *καὶ εἰ ἐκεῖθεν* non significant *Samo*, ut opinatur Schol., sed *Athenis*. Verba *ἢ παρ' ἐλάχιστον — ἦλθε* explicat Matth. p. 1044. a. Huc respicit Plut. Pericl. 28. fin. *πολλὴν ἀδηλότητα καὶ μέγαν ἔσχε κίνδυνον ὁ πόλεμος, εἴπερ, ὡς Θουκυδίδης φησί, παρ' ἐλάχιστον ἦλθε Σαμίων ἡ πόλις ἀφελέσθαι τῆς θαλάττης τὸ κράτος Ἀθηναίους*. Hoc bellum Thuc. narrat 1, 116. Porro in verbis *καὶ δ' ἑαυτούς τε* quum particula *τε* non habeat, quo referatur, Haack. legendum esse censet *δέ*. Verbo *προκαθημένους* „milites gloriantur se iis, qui Athenis essent, praesidio apud Samum esse. Itaque illud *πρὸ* in *προκαθημένους* ad Athenienses referendum, qui Athenis remanserant.“ Haack. Arn.: stationed at Samos as an advanced post to cover the capital, qui idem sensum illustravit aptis exemplis Herodot. 9, 106. *ἀδύνατον γὰρ ἐφαίνετό σφι εἶναι ἑωυτοὺς Ἰώνων προκατῆσθαι, φρουρέοντας τὸν πάντα χρόνον*. 7, 172. *προκατημένους τοσοῦτο πρὸ τῆς ἄλλης Ἑλλάδος*. Verba *καὶ πρότερον αὐτοὺς κρατεῖν τοῦ ἔσπλου* significant, per se stare, quominus qui in Urbe sunt Athenienses libero per maria commeatu careant, per se, quod illis liber ad suum ipsorum Piraeum aditus pateat: absque se esset, adversarios vel portus Athenarum obsessuros esse. Animadverte subitum transitum ab infinitivo *κρατεῖν* ad finitum *κατασήσονται*, quem tamen exemplis apud hunc scriptorem non carere, et alibi monitum est, et h. l. Duk. monet.

αὐτοῦ χωρίου ἀμύνεσθαι οὔπερ καὶ πρότερον. καὶ δυνατώτεροι εἶναι σφεῖς ἔχοντες τὰς ναῦς πορίζεσθαι τὰ ἐπιτήδεια τῶν ἐν τῇ πόλει. καὶ δι' ἑαυτούς τε ἐν τῇ Σάμῳ προκαθημένους καὶ πρότερον αὐτοὺς κρατεῖν τοῦ ἐς τὸν Πειραιᾶ ἔσπλου, καὶ νῦν ἐς τοσοῦτον καταστήσονται μὴ βουλομένων σφίσι πάλιν τὴν πολιτείαν ἀποδοῦναι, ὥστε αὐτοὶ δυνατώτεροι εἶναι εἴργειν ἐκείνους τῆς θαλάσσης ἢ ὑπ' ἐκείνων εἴργεσθαι. βραχύ τέ τι εἶναι καὶ οὐδενὸς ἄξιον, ᾧ πρὸς τὸ περιγίγνεσθαι τῶν πολεμίων ἡ πόλις σφίσι χρήσιμος ἦν, καὶ οὐδὲν ἀπολωλεκέναι, οἵ γε μήτε ἀργύριον ἔτι εἶχον πέμπειν. ἀλλ' αὐτοὶ ἐπορίζοντο οἱ στρατιῶται, μήτε βούλευμα χρηστόν, οὔπερ ἕνεκα πόλις στρατοπέδων κρατεῖ. ἀλλὰ καὶ ἐν τούτοις τοὺς μὲν ἡμαρτηκέναι τοὺς πατρίους νόμους καταλύσαντας, αὐτοὶ δὲ σώζειν καὶ ἐκεί-

μὴ βουλομένων] sc. τῶν ἐν τῇ πόλει. Cass. Aug. It. Vat. Mosqu. K. m. Ar. Chr. Dan. marg. Steph. βουλομένων. Vulgo βουλόμενοι. Statuendum est, hunc esse genitivum absolutum pro nominativo, quem verbum postulat, si sequaris explicationem, quam alter Schol. habet: κατεστήσονται, οἱ ἐν Ἀθήναις δηλονότι. Secus interpretatur alter Schol. ἐγένετο παραίνεσις ὅτι δεῖ αὐτοὺς ἐν Σάμῳ προσκαθημένους πρότερον κρατεῖν τοῦ ἐς τὸν Πειραιᾶ ἔσπλου, καὶ ὅτι νῦν, εἰ μὴ βούλονται ἀποδοῦναι τὴν δημοκρατίαν αὐτοῖς οἱ τετρακόσιοι, ἐν τούτῳ δυνάμεως αὐτοὶ καθεστᾶσιν, ὥστε τοὺς τὴν πόλιν κατέχοντας εἴργειν δύνασθαι τῆς θαλάττης αὐτοὶ μᾶλλον ἢπερ ὑπ' ἐκείνων εἴργεσθαι. Quae interpretatio si probanda est, βουλόμενοι nullo modo ferri potest (sic enim sensus erit, quem Arn. expressit: unless the Athenians at home chose to restore them their constitution), et veram esse arbitror propter τοσοῦτον, quod vix aliter, quam de magnitudine opum parandarum intelligi potest. Itaque κατασήσονται οἱ ἐν Σάμῳ intelligetur, et βουλομένων τῶν ἐν Ἀθήναις. Et τοσοῦτον habent Cass. It. C. F. Lugd. Cl. Ven. Vulgo τοσοῦτο. Unus Vat. τοιοῦτον, quod Port. expressit: *eo redactum iri.* Quod tamen ideo reiiciendum, quia quae sequuntur, ὥστε αὐτοὶ δυνατώτεροι εἶναι etc. sic minime recte cum antecedentibus cohaererent. Nam per maiorem potentiam Samiorum oppidani in deterius venturi erant; non eo, quod oppidani in deterius venturi erant, futurum erat, ut opes Samiorum augerentur. Potuisse autem Athenienses, qui Sami erant potentiam suam augere vel sine Atheniensibus, qui in urbe (certe sic opinatos esse), liquet ex superiori parte huius cap. Tum οἵ γε μήτε etc. idem est, quod εἴ γε οἱ ἐν τῇ πόλει etc. et mox repete μήτε βούλευμα χρηστὸν εἶχον, *seque nihil amisisse, siquidem nullam pecuniam oppidani amplius haberent, quam mitterent, sed ipsi milites eam suppeditarent, neque salubre consilium haberent, propter quod civitas imperium in exercitus obtineat.* Mox in verbis ἀλλ' αὐτοὶ ἐπορίζοντο alii libri habent αὐτοῖς. „Praefero αὐτοί, non enim milites iis, qui in urbe erant, pecuniam paraverant, quod significat αὐτοῖς, sed ipsi sibi.“ Duk. Dein multi libri τοὺς πατρῴους νόμους. „Thuc. 4, 118. princ. est κατὰ τοὺς πατρίους νόμους et paulo post τοῖς πατρίοις νόμοις χρώμενοι, ubi quidam Mss. πατρῴοις, minus recte, si Grammaticis credimus. Aristot. 2. Polit. 6. κινεῖν τοὺς πατρίους νόμους. Sic fere potius τὸ πάτριον, τὰ πάτρια, *mores, instituta maiorum,* quam πατρῷον et πατρῷα.“ Id.

αὐτοὶ δὲ σώζειν] Vat. Vulgo αὐτούς. Non est necesse legi αὐτοί, si quidem accusativus nominativos excipere potest, ut Thuc. 7, 48. ὁ

νους πειράσεσθαι προσαναγκάζειν. ὥστε οὐδὲ τούτους, οἵπερ ἂν βουλεύοιέν τι χρηστόν, παρὰ σφίσι χείρους εἶναι. Ἀλκιβιάδην τε, ἢν αὐτῷ ἄδειάν τε καὶ κάθοδον ποιήσωσιν, ἄσμενον τὴν παρὰ βασιλέως ξυμμαχίαν παρέξειν. τό τε μέγιστον, ἢν ἅπάντων σφάλλωνται, εἶναι αὐτοῖς τοσοῦτον ἔχουσι ναυτικὸν πολλὰς τὰς ἀποχωρήσεις ἐν αἷς καὶ πόλεις καὶ γῆν εὑρήσουσι.

Τοιαῦτα ἐν ἀλλήλοις ἐκκλησιάσαντες καὶ παραθαρσύναντες 77
σφᾶς αὐτούς, καὶ τὰ τοῦ πολέμου παρεσκευάζοντο οὐδὲν ἧσσον. οἱ δὲ ἀπὸ τῶν τετρακοσίων πεμφθέντες ἐς τὴν Σάμον οἱ δέκα πρεσβευταί, ὡς ταῦτα ἐν τῇ Δήλῳ ἤδη ὄντες ἠσθάνοντο, ἡσύχαζον [αὐτοῦ].

Ὑπὸ δὲ τὸν χρόνον τοῦτον καὶ οἱ ἐν τῇ Μιλήτῳ τῶν 78
Πελοποννησίων ἐν τῷ ναυτικῷ στρατιῶται κατὰ σφᾶς αὐτοὺς διεβόων ὡς ὑπὸ Ἀστυόχου καὶ Τισσαφέρνους φθείρεται τὰ πράγματα, τοῦ μὲν οὐκ ἐθέλοντος οὔτε πρότερον ναυμαχεῖν, ἕως ἔτι αὐτοί τε ἔῤῥωντο μᾶλλον καὶ τὸ ναυτικὸν τῶν Ἀθηναίων ὀλίγον ἦν, οὔτε νῦν, ὅτε στασιάζειν τε λέγονται καὶ αἱ νῆες αὐτῶν οὐδέπω ἐν τῷ αὐτῷ εἰσιν, ἀλλὰ τὰς παρὰ Τισσαφέρνους Φοινίσσας ναῦς μένοντες, ἄλλως ὄνομα καὶ οὐκ ἔρ-

δὲ Νικίας ἐνόμιζε μὲν καὶ αὐτὸς πόνηρα σφῶν τὰ πράγματα εἶναι, τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀποδεικνύναι, οὐδ' ἐμφανῶς σφᾶς, ψηφιζομένους μετὰ πολλῶν τὴν ἀναχώρησιν, τοῖς πολεμίοις καταγέλτους γίγνεσθαι· λαθεῖν γὰρ ἄν, ὁπότε βούλοιντο, τοῦτο ποιοῦντες πολλῷ ἧσσον. Vid. Popp. ad Xen. Cyrop. 6, 1, 14. Lobeck. ad Phryn. p. 750. adn. Nominativum tamen perspicuitatis causa Haack. et Popp. praeferunt, et hic etiam propterea, quod in accusativo Thucydides fortasse σφᾶς dixerit, et nominativus accusativis interiectus in accusativum transire potuerit.

77. οἱ — ἀπὸ τῶν τετρακοσίων — οἱ δέκα] v. Matth. p. 562. Mox αὐτοῦ post ἡσύχαζον addunt Cass. Aug. It. Vat. (Lugd.) I. Mosqu. et corr. Cl. Manere aliquantum suspectum Popp. dicit. Equidem inutile puto, certe ἡσυχάζειν alibi legitur non adiecto αὐτοῦ, velut c. 38. extr.

78. ὡς — τοῦ μὲν οὐκ ἐθέλοντος — τὸν δ' αὖ Τισσαφέρνην] Haec inter se respondent: itaque post genitivum ἐθέλοντος exspectes τοῦ δ' αὖ Τισσαφέρνους οὐ κομίζοντος. Sed variatur, ut solet et Krueg. p. 264. adnotavit, oratio. Verba ἀλλὰ μένοντες κινδυνεύσειν idem adnotavit pendere a διεβόων, *sese* (Peloponnesios), *dum Phoenissas naves opperirentur, periclitari ne conterantur.* Toup. ad Longin. p. 258. Weisk. legit μένοντος et ad διατριβῆναι supplet πράγματα, addens: „Astyochus pugnam detrectando et Phoenissas naves frustra praestolando se suosque in summum periculum coniecerat.“ At ubi infinitivus et verbum, quod praegressum est, finitum unum idemque subiectum habent, aut subiectum omittitur, aut in casu recto ponitur. v. Matth. §. 536. Verba ἄλλως ὄνομα καὶ οὐκ ἔργον nota locutio sunt, significans *nihil nisi nomen et non factum.* v. Toup. l. c. et inprimis Ruhnk. ad Timae. p. 198. Herm. ad Vig. p. 780. Conf. Etym. M. p. 68, 44. Schol. Ven. ad Hom. Il. ψ', 144., interpp. ad Soph. Tr. 827. Matth. §. 597. Et διατριβῆναι est *perire cunctando.* Hesych. διατριβῆναι, ἀπολέσθαι. Variatam in verbis οὐ κομίζειν, καὶ — ὅτι οὐ structuram explicat Matth. p. 1058 sq.

γον, κινδυνεύσειν διατριβῆναι· τὸν δ' αὖ Τισσαφέρνην τάς τε ναῦς ταύτας οὐ κομίζειν, καὶ τροφὴν ὅτι οὐ ξυνεχῶς οὐδ' ἐντελῆ διδοὺς κακοῖ τὸ ναυτικόν. οὔκουν ἔφασαν χρῆναι μέλλειν ἔτι, ἀλλὰ διανυμαχεῖν. καὶ μάλιστα οἱ Συρακόσιοι ἐνῆ-
79 γον. αἰσθόμενοι δὲ οἱ ξύμμαχοι καὶ ὁ Ἀστύοχος τὸν θροῦν, καὶ δόξαν αὐτοῖς ἀπὸ ξυνόδου ὥςτε διανυμαχεῖν, ἐπειδὴ καὶ ἐςηγγέλλετο αὐτοῖς ἡ ἐν τῇ Σάμῳ ταραχή, ἅραντες ταῖς ναυσὶ πάσαις, οὔσαις δώδεκα καὶ ἑκατόν, καὶ τοὺς Μιλησίους πεζῇ κελεύσαντες ἐπὶ τῆς Μυκάλης παριέναι, ἔπλεον ὡς πρὸς τὴν Μυκάλην. οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ Σάμου ναυσὶ δυοῖν καὶ ὀγδοήκοντα, αἳ ἔτυχον ἐν Γλαύκῃ τῆς Μυκάλης ὁρμοῦσαι, διέ-

79. ἀπὸ ξυνόδου] v. Matth. p. 1131. Tum ὡς πρὸς τὴν Μυκάλην est in der Richtung nach Mycale. Quod autem in principio capitis οἱ ξύμμαχοι καὶ ὁ Ἀστύοχος iunguntur, id aliquando Kruegerum offendebat; quapropter ξύμβουλοι pro ξύμμαχοι legendum esse suspicabatur coll. 39. 43. Mutavit sententiam, quum recordaretur, duces quoque interdum sociorum concilio usos esse, ut Lysander ap. Xen. H. Gr. 2, 1, 31. Addit defendi vulgatam verbo ξυνόδου, et confert 1, 96. De Mycale promontorio adiri iubet interpp. ad Herodot. 1, 148.

ναυσὶ δυοῖν καὶ ὀγδοήκοντα] Athenienses 74 naves Sami habuerant modo c. 30., quas nunc auctas videmus ad 82. Tametsi ad Symen 6 naves amiserant c. 42. Quarum in locum e Melo insula septem aliae videntur advenisse. Vid. c. 39. coll. 41. Sed hae non sufficiunt ad numerum 82 navium explendum. Constaret ratio, si sumere liceret, ex Chio accessisse eas, quas Strombichides, dux Atheniensium, quum in Hellespontum proficisceretur, non secum duxerat. Venerat ille in Chium cum 30 navibus cap. 30.; relicta Chio Hellespontum petiit cum 24 navibus c. 62. Neque simul ceteras naves Chio discessisse patet e verbis c. 63. ἐν τούτῳ οἱ Χῖοι θαλασσοκράτορες μᾶλλον ἐγένοντο, quibus satis perspicue significatur, aliquot certe naves Chii relictas esse ab Atheniensibus, quae tamen Chiorum, hostium, classi non pares essent. His autem, sicut praesidio, quod Delphinii remansisse videbimus, opus erat, ut Chii prohiberentur, quominus Astyochum maiori copiarum suarum parte adiuvarent. Accedit, quod cap. 64. Diotrephes circa Chium versari dicitur, unde ut non colligendum Diotrephem relictarum navium ducem fuisse, ita intelligitur, copias usque Chii Atheniensium remansisse. Unde igitur auctus ad 82 naves Atheniensium navium numerus? Probabile est, eam classem a Samiis nonnullas naves accepisse, et quidem septem, quum Mycalen navigarent, ubi cap. hoc ipso 82 Atheniensium naves reperiuntur, at novem, quum Miletum peterent, post Strombichidis ex Hellesponto cum 24 navibus reditum vicissim Astyochum ad proelium provocaturi. Certe totidem fere Samiae naves pugnae ad Arginusas interfuere, teste Xen. H. Gr. 1, 6, 29. 7, 32. et adiectis istis 9 Samiis 24 navibus Strombichidis naves Atheniensium 108 ad Miletum sunt. Unam Samiam ap. Thuc. 8, 16. Strombichides acceperat. Samia Atheniensium classis posthac dispergitur. Ex ea, audita Peloponnesiorum in Hellespontum navigatione, 18 naves eodem abeunt c. 80. coll. 102. Forsan fuerint 20, certe si sumitur, duas illas c. 100. ἐπ' οἴκου ἀνακομιζομένας et ipsas ex classe Samia fuisse. Cum 13 navibus Alcibiades ad Tissaphernem navigavit c. 88. Et cum 60 navibus Thrasybulus et Thrasyllus Lesbum discedunt c. 100. Sami igitur tantum naves Samiae et nonnullae Atheniensium remanserunt. Lesbi Thrasybulus et Thrasyllus Methymnaeorum naves et

χει δὲ ὀλίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου πρὸς τὴν Μυκάλην, ὡς εἶδον τὰς τῶν Πελοποννησίων ναῦς ἐπιπλεούσας, ὑπεχώρησαν ἐς τὴν Σάμον, οὐ νομίσαντες τῷ πλήθει διακινδυνεῦσαι περὶ τοῦ παντὸς ἱκανοὶ εἶναι. καὶ ἅμα, προήσθοντο γὰρ αὐτοὺς ἐκ τῆς Μιλήτου ναυμαχησείοντας, προσεδέχοντο καὶ τὸν Στρομβιχίδην ἐκ τοῦ Ἑλλησπόντου σφίσι ταῖς ἐκ τῆς Χίου ναυσὶν ἐπ' Ἀβύδου ἀφικομέναις προσβοηθήσειν. προυπέπεμπτο γὰρ αὐτῷ ἄγγελος. καὶ οἱ μὲν οὕτως ἐπὶ τῆς Σάμου ἀνεχώρησαν· οἱ δὲ Πελοποννήσιοι καταπλεύσαντες ἐπὶ Μυκάλης ἐστρατοπεδεύσαντο, καὶ τῶν Μιλησίων καὶ τῶν πλησιοχώρων ὁ πεζός. καὶ τῇ ὑστεραίᾳ μελλόντων αὐτῶν ἐπιπλεῖν τῇ Σάμῳ ἀγγέλλεται ὁ Στρομβιχίδης ταῖς ἀπὸ τοῦ Ἑλλησπόντου ναυσὶν ἀφιγμένος· καὶ εὐθὺς ἀπέπλεον πάλιν ἐπὶ τῆς Μιλήτου. οἱ δὲ Ἀθηναῖοι προσγενομένων σφίσι τῶν νεῶν ἐπίπλουν αὐτοὶ ποιοῦνται τῇ Μιλήτῳ ναυσὶν ὀκτὼ καὶ ἑκατόν, βουλόμενοι διανυμαχῆσαι· καὶ ὡς οὐδεὶς αὐτοῖς ἀντανήγετο, ἀπέπλευσαν πάλιν ἐς τὴν Σάμον.

Ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τοῦτο εὐθὺς οἱ Πελοποννή-
80 σιοι, ἐπειδὴ ἀθρόαις ταῖς ναυσὶν οὐκ ἀξιόμαχοι νομίσαντες εἶναι οὐκ ἀντανήγοντο, ἀπορήσαντες ὁπόθεν τοσαύταις ναυσὶ

duas illas ἐπ' οἴκου ἀνακομιζομένας cum suis iungunt c. 100., et quum ibidem versus finem legatur, habuisse eos una 67 naves, credibile fit, Methymnaeas naves 5 fuisse. (Diod. 13, 38 sq. scribit, Athenienses Lesbo solvisse cum navibus non plus tribus, recedens proinde a Thucydide numero 4 navium, ac sane numerus Diodori melius convenit cum scriptura ἓξ καὶ ἑβδομήκοντα cap. 104., ubi v. adn.) Cum his navibus in Hellespontum navigant, ubi secum iungunt 14 naves eorum, qui iam prius in Hellespontum navigaverant (nam Mindarus 4 naves ex numero octodecim ceperat c. 102.), et deinde pugnam navalem apud Cynossema committunt. Conf. Krueg. ad Dionys. p. 317 sq.

ὡς εἶδον] καὶ ὡς εἶδον plerique libri, quod si recte habet, καί cogitandum est post parenthesin illatum esse, quemadmodum mox post προσεδέχοντο inseritur δέ in aliquot libris item post parenthesin. Vid. adn. ad 4, 132. Etenim post προσεδέχοντο addunt δέ Cass. Aug. Pal. Reg. (G.) F. Lugd. I. K. Ar. Chr. et teste Bekk. etiam m. Tum libri variant inter ἐπ' Ἀβύδου et ἐπ' Ἄβυδον. „Ἐπί cum genitivo tantum de proficiscente, non de adveniente in locum dici posse videatur. Mox tamen ἐπὶ Μυκάλης non est *Mycalen versus*, sed *ad Mycalen*.“ Popp. De hac expeditione Strombichidis in Hellespontum v. cap. 62.

80. μετὰ τοῦτο εὐθὺς — ἐπειδή] ἐπειδή hic non est *quoniam*, ut Port. et Heilm. interpretantur, sed *postquam* et arte cum μετὰ τοῦτο εὐθύς cohaeret. Conf. 2, 18. 7, 26. 69. Krueg. p. 304. Verba ἀθρόαις ταῖς ναυσίν Port. cum οὐκ ἀντανήγοντο iunxit, Vall. et Heilm. cum ἀξιόμαχοι. „Recte hi, ait Krueg., et prave iidem. Iungendum enim ita est, sed hoc sensu: *postquam non obviam prodierant, quum se non putarent pares coniunctis navibus* hostium sc., quorum modo Strombichides cum parte classis ex Hellesponto reversus erat. Vid. c. 78. 79. Et ἀξιόμαχός τινι saepe hoc modo dicitur, velut 5, 60. Conf. Herodot. 7, 157. 9, 90. Qui etiam ἀξιόμαχος sequente infinitivo habet 7, 101. 138. Non ita Thucydides.“ Verba οὐκ ἀντανήγοντο Valla non expressit, quae tamen suspecta esse non posse monuit Krueg. Verba ὡς-

χρήματα ἔξουσιν, ἄλλως τε καὶ Τισσαφέρνους κακῶς διδόντος. ἀποστέλλουσιν ὡς τὸν Φαρνάβαζον, ὥσπερ καὶ τὸ πρῶτον ἐκ τῆς Πελοποννήσου προσετάχθη, Κλέαρχον τὸν Ῥαμφίου ἔχοντα ναῦς τεσσαράκοντα. ἐπεκαλεῖτό τε γὰρ αὐτοὺς ὁ Φαρνάβαζος καὶ τροφὴν ἑτοῖμος ἦν παρέχειν· καὶ ἅμα καὶ τὸ Βυζάντιον ἐπεκηρυκεύετο αὐτοῖς ἀποστῆναι. καὶ αἱ μὲν τῶν Πελοποννησίων αὗται νῆες ἀπάρασαι ἐς τὸ πέλαγος, ὅπως λάθοιεν ἐν τῷ πλῷ τοὺς Ἀθηναίους, χειμασθεῖσαι, καὶ αἱ μὲν Δήλου λαβόμεναι αἱ πλείους μετὰ Κλεάρχου, καὶ ὕστερον πάλιν ἐλθοῦσαι ἐς Μίλητον, Κλέαρχος δὲ κατὰ γῆν αὖθις ἐς τὸν Ἑλλήσποντον κομισθεὶς ἦρχεν, αἱ δὲ μετὰ Ἐλίξου τοῦ Μεγαρέως στρατηγοῦ δέκα ἐς τὸν Ἑλλήσποντον διασωθεῖσαι Βυζάντιον

περ καὶ τὸ πρῶτον προσετάχθη referuntur ad c. 8. In verbis ἐπεκαλεῖτό τε γάρ vulgo τε abest, Vat. unus servat, vid. adn. ad 4, 52. 7, 81.

χειμασθεῖσαι, καὶ αἱ μέν] Hunc locum puto corruptum esse. Facillima, quam equidem comminiscor, emendatio haec est, ut pro χειμασθεῖσαι καὶ αἱ μέν legatur καὶ χειμασθεῖσαι αἱ μέν, et parenthesis notae, quibus verba Κλέαρχος — ἦρχεν vulgo sepiuntur, tollamus. Ita nominativus αἱ μὲν τῶν Πελοποννησίων νῆες genitivi vice fungeretur, a sequente αἱ μέν pendentis. Deinde verbi finiti defectus nullo negotio explicari potest. Auctor enim hoc modo scribere voluerat: αἱ μὲν — μετὰ Κλεάρχου — ἐς Μίλητον, Κλέαρχος δὲ — ἐς τὸν Ἑλλήσποντον ἐκομίσθη. Sed post, ratione obvia, orationem invertit. KRUEG. p. 305. Nullo modo Thucydides ita scribere poterat. Vetat, ne locus ita legatur, verbum ἦρχεν. Nisi igitur quid excidit post Μίλητον, puto, verbum finitum commune nominativorum αἱ μὲν — αἱ δέ esse ἀφιστᾶσι, ut supplendum sit: *Miletum appulsae et postea Hellespontum advectae*, id quod colligitur quodammodo ex eo, quod qui his ipsis navibus praeerat, Clearchus terrestri itinere ad Hellespontum venisse dicitur. Quamquam haec difficultas superest, quod non perspicitur, cur Clearchus non naves potius conscenderit. Porro αἱ δὲ πλείους plerique libri habent, addito δέ, sed „δέ h. l. ferri non potest. Αἱ πλείους frequenti appositionis genere ad αἱ μέν adiectum, ut 3, 23. 32. 4, 90. extr. Conf. 4, 52. 88. Eodemque pertinent talia: 1, 2. οἱ πολέμιῳ ἢ στάσει ἐκπίπτοντες παρ᾽ Ἀθηναίους οἱ δυναιώτατοι — ἀνεχώρουν. 3, 23. οἱ ἀπὸ τῶν πύργων χαλεπῶς, οἱ τελευταῖοι, καταβαίνοντες ἐχώρουν ἐπὶ τὴν τάφρον, ubi vulgo male distinguitur." KRUEG. p. 305., qui de Helixo conferri iubet Xen. H. Gr. 1, 3, 15. 21. et eius nepotem coniicit eum esse, cuius meminit Demosthen. d. Cor. p. 324, 15.

δέκα ἐς τὸν Ἑλλήσποντον] His decem navibus mox alias sedecim submissas esse, paene oblitus erat auctor referre. Refert tamen loco alieno c. 99. coll. 102. 103. Sed reapse eum hic aliquid oblitum esse, hac ratione intelligitur. Etenim Peloponnesiorum classem navium hoc tempore fuisse vidimus 112 [ex cap. 79.]. Earum 26 in Hellespontum missae. At qui mox eodem contendit, Mindarus non habet nisi septuaginta tres c. 99. Desunt igitur 13. Has coniecerit aliquis, Mileti praesidio relictas esse. Quam coniecturam probaremus, si ex solo Thucydide iudicanda esset. Sed is omisit, Mindarum 13 naves Dorieo duce Rhodum misisse, quum ibi esse accepisset, qui res novas molirentur. v. Diod. 13, 38. 45. Xen. H. Gr. 1, 1, 2., ubi Zeun. ita loquitur, ac si naves, quibus Dorieus praeerat, Rhodias putaret. Quod una, si forte, excepta falsum est. Maximam partem Thurinas fuisse, colligas ex Thuc. 8, 35. KRUEG. ad Dionys. p. 305 sq. Porro „octo naves Byzantinae rursus memorantur c. 107. Quid autem factum sit duabus reliquis ex decem illis, quae Byzantium ad defectionem impulerunt, non apparet." ARN.

ἀφιστᾶσι. καὶ μετὰ ταῦτα οἱ ἐκ τῆς Σάμου πέμπουσιν αἰσθόμενοι νεῶν βοήθειαν καὶ φυλακὴν ἐς τὸν Ἑλλήσποντον, καί τις καὶ ναυμαχία βραχεῖα γίγνεται πρὸ τοῦ Βυζαντίου, ναυσὶν ὀκτὼ πρὸς ὀκτώ.

Οἱ δὲ προεστῶτες ἐν τῇ Σάμῳ, καὶ μάλιστα Θρασύβου- 81
λος, ἀεί τε τῆς αὐτοῦ γνώμης ἐχόμενος, καὶ ἐπειδὴ μετέστησε

81. ἀεί τε τῆς] καὶ ἀεί τε τῆς Laur. Cl. Ven. It. Gr. Ald. Flor. Bas. In Cass. quidem ἀεί τε τῆς, verum a corr., qui priorem scripturam eraserat, sed ita ut appareret vestigium literae ante α. Aug. Reg. (G.) Ar. Chr. Dan. καὶ εἴ τέ τις τῆς, sed in Aug. τις a man. rec. int. vers. et Reg. (G.) in marg. γρ. ἀεί τε τῆς. F. τε καὶ ἀεὶ τῆς. Lugd. aut sic aut τὲ καὶ ἀεί τε τῆς. Vulgo solum ἀεί τε τῆς, et ἀεί adeo in K. a sec. man., τε om. Mosqu. Recepto καί „ambitus verborum fit intricatior; omnia haec sic convertit Valla et Port.: *Thrasybulus quum semper alias, tum vero postquam statum immutaverat, in eadem sententia fuit.* Legit igitur cum D. καί ante ἐπειδή, quo tamen structura magis turbaretur. Neque probabile est, Thrasybulum de Alcibiade revocando ante μετάστασιν cogitavisse." POPP. Quidni? Scribo sic: ἀεί τε τῆς αὐτοῦ γνώμης ἐχόμενος, καὶ ἐπειδὴ μετέσησε τὰ πράγματα, ὥστε κατάγειν Ἀλκιβιάδην, καὶ τέλος — ἔπεισε — καὶ — κατῆγεν. Nihil in his video intricatum. Porro αὐτοῦ habent Cass. Aug. Pal. Reg. Gr. m. Ar. Chr. Dan. Ald. Flor. Bas. At Vat. (et teste Arn. Cl. cum γρ. αὐτοῦ) et Vall. αὐτῆς. De locutione τῆς αὐτῆς γνώμης sive τῆς αὐτοῦ γνώμης ἐχόμενος v. Valck. ad Herodot. 6, 109. Et ἐπ᾽ ἐκκλησίας offerunt libri quamplurimi. Vulgo ἀπ᾽ „et ἀπ᾽ ἐκκλησίας videtur ita dici posse, ut c. 79. καὶ δόξαν αὐτοῖς ἀπὸ ξυνόδου ὥστε διαναυμαχεῖν." DUK. Abr. confert c. 97. ἀφ᾽ ὧν (ἐκκλησιῶν) νομοθέτας εἰρηφίσαντο. POPP. Quare vulgatam restitui. Aliquot libri ἔπεισαν, ut ad οἱ δὲ προεστῶτες pertineat, quod tamen Popp. damnat, quia reliqua omnia verba ad solum Thrasybulum relata sint. Porro quod vulgo legebatur ἐπηιάσε, correctum est ex libris quamplurimis. Duk. confert 5, 16. 6, 28. Item vulgo legebatur περὶ τῶν μελλόντων, sed περί om. libri permulti et optimi. „Cur Steph. voluerit infercire περί, quod et ab exemplaribus scriptis et a vett. edd. abest, non scio. Thuc. 7, 77. ἐλπὶς ὡρασεῖα τοῦ μέλλοντος. Cap. sequ. τὴν ἐλπίδα τῆς σωτηρίας καὶ τῆς τῶν τετρακοσίων τιμωρίας." DUK. In proximis Arn. verissime monuit de dissolvendis coniurationibus dici et tamen Alcibiadis spem non multo antea maxime in his ipsis ξυνωμοσίαις sive ἑταιρίαις positam fuisse, ut apparet ex c. 48. Verum videri amicitiam inter ipsum et optimates paene eodem tempore desiisse, quo iuncta erat; nam Antiphontem et factionem eius rerum conversionem effecisse prorsus sine ipso, qua effecta eos noluisse universos exules redire, timentes, ne eo numero Alcibiades includeretur c. 63. 70. Cum hoc timore Alcibiadis iunctam fuisse aemulationem magnarum eius ingenii virtutum et vitae magnificentiae, qua de re legere iubet 6, 15. Mox τιμιώτερον ἄγειν dictum esse ut μέγαν ἄγειν — ἔντιμον ἄγειν — ἄτιμον, ἐντίμως ἄγειν, ἔχειν, ἡγεῖσθαι — ἐράσιμον ἄγειν — σεβάσιμον, μακάριον, ἐπὶ τιμῆς, ἐν τιμῇ, ταπεινῶς, θαυμάσιον, σεμνὸν ἄγειν, docet Lob. ad Phryn. p. 419. Converte *ut eum magis in honore haberent.* Dubitatur de sensu verborum τῷ Τισσαφέρνει ὡς μάλιστα διαβάλλοιντο. Usitatissima significatio verbi διαβάλλειν est *calumniari*, ut 8, 86. verläum-

τὰ πράγματα, ὥστε κατάγειν Ἀλκιβιάδην, καὶ τέλος ἀπ' ἐκκλησίας ἔπεισε τὸ πλῆθος τῶν στρατιωτῶν, καὶ ψηφισαμένων αὐτῶν Ἀλκιβιάδῃ κάθοδον καὶ ἄδειαν, πλεύσας ὡς τὸν Τισσαφέρνην κατῆγεν ἐς τὴν Σάμον τὸν Ἀλκιβιάδην, νομίζων μόνην σωτηρίαν εἰ Τισσαφέρνην αὐτοῖς μεταστήσειεν ἀπὸ Πελοποννησίων. γενομένης δὲ ἐκκλησίας τήν τε ἰδίαν ξυμφορὰν τῆς φυγῆς ἐπητιάσατο καὶ ἀνωλοφύρατο ὁ Ἀλκιβιάδης, καὶ περὶ πολιτικῶν πολλὰ εἰπὼν ἐς ἐλπίδας αὐτοὺς οὐ μικρὰς τῶν μελλόντων καθίστη, καὶ ὑπερβάλλων ἐμεγάλυνε τὴν ἑαυτοῦ δύναμιν παρὰ τῷ Τισσαφέρνει, ἵνα οἵ τε οἴκοι τὴν ὀλιγαρχίαν

den, sed ea neque est unica, nec primitiva, nam proprie est *mixtim coniicere*, durcheinander werfen, hinc zerwerfen et sensu translato: in Zerwürfniss bringen, verfeinden, ut 3, 109. 8, 88. Hinc *διαβάλλεσθαι* est in Zerwürfniss gebracht, verfeindet werden, ut 4, 22. praesenti loco et infr. c. 83. 109. Plat. Phaedon. p. 67. E. 68. A. *ᾧ τε διεβέβληντο (σώματι) τούτου ἀπηλλάχθαι*, ubi Arn. animadvertit contrarie poni *ἥρων*. Philostr. 2. Vit. Sophist. 1, 10. *διεβέβλητο δὲ πρὸς αὐτὸν, ὡς ἠλιθιώδη καὶ δυσγράμματον καὶ παχὺν τὴν μνήμην*, quo Duk. exemplo utitur, qui idem adnotavit, Casaubonos, patrem ad Strabon. 17. p. 792. et filium ad Epicteti Enchir. c. 52. adnotare, *διαβάλλεσθαι* interdum esse *odio habere*, idque ab loco c. 83. (adde ab hoc praesente) non alienum esse, quod paulo post eodem cap. 83. Thucydides verbo *μισεῖσθαι* utatur, et conferri iubet c. 108. Hin *διαβολή* est Verfeindung, Zerwürfniss 1, 127. *accusatio absentis*, Anklage hinter dem Rükken eines Andern 6, 29. Vorwürfe 6, 90. 8, 109. falsche Anklage, Verläumdung 8, 91. et *διαβόλως μεμνῆσθαι* 6, 15. (v. Lobeck. ad Phryn. p. 315 sq.) ehrenrührig von einem sprechen. Converte igitur und damit die Feinde mit dem Tissaphernes in das ärgste Zerwürfniss geriethen. Minus accurate hoc verbum explicant Schol. ad Thuc. 4, 22. 8, 109. Thom. M. p. 209. Eustath. ad Hom. Od. p. 1406. et qui eo usus est, Phavorin. Adde Suidas in *διαβάλλειν*, quae glossa refertur ad 1, 133., ubi Grammatici cum Mosqu. legisse videntur *διαβάλλοιτο* pro *παραβάλλοιτο*. Et Zonar. *διαβάλλειν, παραλογίζεσθαι, καὶ ἀντὶ τοῦ περᾶν. Θουκυδίδης· „διαβάλλειν τὸ ἐν μέσῳ πέλαγος.“* Sic enim eius verba videntur ordinanda esse. Adde Suidas in *διέβαλεν*. Sensu *reiiciendi* verbum *διαβάλλειν* habet Dionys. H. p. 757. R. v. Schaef. ad lib. d. C. V. p. 120. Nos verwerfen. Porro *ἀπό* in verbis *ἀπὸ τῶν — ἐλπίδων ἐκπίπτοιεν* dederunt Cass. Aug. Pal. It. Vat. (Lugd.) Mosq. „Cuius tamen structurae exemplum desideramus, et interea *ἐκπίπτειν ἀπὸ ἐλπίδος* ipsi Graece non magis dicamus, quam Latine *a spe excidere*, quamquam frequens est *a* spe (sive *de spe*) *decidere*, ut hic Valla scripsit.“ Popp. Paulo inferius *ἦν δέῃ* est *si res et usus prorsus ita ferat, si eo descendere sit necesse*, ut docet Hemsterh. ad Lucian. Tim. 43. Vol. 1. p. 413. Et *τελευτῶντα* est zuletzt. Libri variant inter *ἐξαργυρίσαι* et *ἐξαργυρῶσαι*. Hoc habent Zonar. Suid. Etym. M. Schol. Demosth. d. Pac. p. 59, 5. Reisk., qui h. l. utuntur. Illud frequentius dicit Hemsterh. ad Xen. Ephes. p. 218. Loc. Contra Wessel. ad Herodot. 6, 86. itidemque Valck. hanc formam recentiorem esse docent. Denique ad *ἀναδέξαιτο* supple *ὥστε πιστεῦσαι*. Schol. *εἰ ἀνασωθεὶς Ἀλκιβιάδης ὀπίσω ἀνάδοχος γένοιτο* i. e. *si ipse salvus reversus sponsor fieret Tissapherni* (qui legit *εἰ σῶς αὐτός*, ut est in libris Thuc. nonnullis: in aliis est *εἰ ὡς*, in aliis *εἰδῶς* et vel *αὐτός* vel *αὐτῷ* vel *αὐτούς*). v. Thom. M. p. 880.

ἔχοντες φοβοῖντο αὐτὸν καὶ μᾶλλον αἱ ξυνωμοσίαι διαλυθεῖεν, καὶ οἱ ἐν τῇ Σάμῳ τιμιώτερόν τε αὐτὸν ἄγοιεν καὶ αὐτοὶ ἐπὶ πλεῖον θαρσοῖεν, οἵ τε πολέμιοι τῷ Τισσαφέρνει ὡς μάλιστα διαβάλλοιντο καὶ ἀπὸ τῶν ὑπαρχουσῶν ἐλπίδων ἐκπίπτοιεν· ὑπισχνεῖτο δ' οὖν τάδε μέγιστα ἐπικομπῶν ὁ Ἀλκιβιάδης, ὡς Τισσαφέρνης αὐτῷ ὑπεδέξατο ἢ μήν, ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἢν Ἀθηναίοις πιστεύσῃ, μὴ ἀπορήσειν αὐτοὺς τροφῆς, οὐδ' ἢν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι, τάς τε ἐν Ἀσπένδῳ ἤδη οὔσας Φοινίκων ναῦς κομιεῖν Ἀθηναίοις καὶ οὐ Πελοποννησίοις· πιστεῦσαι δ' ἂν μόνως Ἀθηναίοις, εἰ αὐτὸς κατελθὼν αὐτῷ ἀναδέξαιτο. οἱ δὲ ἀκού- 82
σαντες ταῦτά τε καὶ ἄλλα πολλὰ στρατηγόν τε αὐτὸν εὐθὺς εἵλοντο μετὰ τῶν προτέρων καὶ τὰ πράγματα πάντα ἀνετίθεσαν, τήν τε παραυτίκα ἐλπίδα ἕκαστος τῆς τε σωτηρίας καὶ τῆς τῶν τετρακοσίων τιμωρίας οὐδενὸς ἂν ἠλλάξαντο· καὶ ἑτοῖμοι ἤδη ἦσαν κατὰ τὸ αὐτίκα τούς τε παρόντας πολεμίους ἐκ τῶν λεχθέντων καταφρονεῖν, πλεῖν τε ἐπὶ τὸν Πειραιᾶ. ὁ δὲ τὸ μὲν ἐπὶ τὸν Πειραιᾶ πλεῖν τοὺς ἐγγυτέρω πολεμίους ὑπολιπόντας καὶ πάνυ διεκώλυσε πολλῶν ἐπειγομένων· τὰ δὲ τοῦ πολέμου πρῶτον ἔφη, ἐπειδὴ καὶ στρατηγὸς ᾑρητο, πλεύσας ὡς Τισσαφέρνην πράξειν. καὶ ἀπὸ ταύτης τῆς ἐκκλησίας εὐθὺς ᾤχετο, ἵνα δοκῇ πάντα μετ' ἐκείνου κοινοῦσθαι, καὶ ἅμα βουλόμενος αὐτῷ τιμιώτερός τε εἶναι καὶ ἐνδείκνυσθαι ὅτι καὶ στρατηγὸς ἤδη ᾑρηται καὶ εὖ καὶ κακῶς οἷός τ' ἐστὶν αὐτὸν [ἤδη] ποιεῖν. ξυνέβαινε δὲ τῷ Ἀλκιβιάδῃ τῷ μὲν Τισσαφέρνει τοὺς Ἀθηναίους φοβεῖν, ἐκείνοις δὲ τὸν Τισσαφέρνην.

Οἱ δὲ Πελοποννήσιοι ἐν τῇ Μιλήτῳ πυνθανόμενοι τὴν 83
Ἀλκιβιάδου κάθοδον, καὶ πρότερον τῷ Τισσαφέρνει ἀπιστοῦντες πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο. ξυνηνέχθη γὰρ αὐτοῖς κατὰ τὸν ἐπὶ τὴν Μίλητον τῶν Ἀθηναίων ἐπίπλουν, ὡς οὐκ

82. *ἀνετίθεσαν*] sc. *αὐτῷ*. Conf. 2, 65. *στρατηγὸν εἵλοντο καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν*. Eiusmodi praetorem *αὐτοκράτορα* appellatum esse Krueg. p. 380. docet ex Pausan. 4, 15, 2. Xen. H. Gr. 1, 4, 20. et Schoem. de Comitt. Athen. p. 314. Mox *ἂν ἠλλάξαντο* scriptum est e vestigiis librorum haud paucorum, qui habent *ἀνηλλάξαντο*, quum vulgo sit *ἀντηλλάξαντο*. Sed dubites cum Poppone, utrum *ἂν ἠλλάξαντο*, an vulgato verbo servato *ἂν ἀντηλλάξαντο* praeferendum sit, quamquam, idem addit, ad *οὐδενός* explicandum praepositione non opus est, coll. Matth. §. 364. De verbo *καταφρονεῖν* cum accusativo *τοὺς πολεμίους* vid. ibidem p. 696. Paulo inferius *ἤδη* ante *ποιεῖν* inserit bona pars librorum, quod facile excidere potuisse Haack. iudicat, quia idem modo aderat.

83. *κατὰ τὸν — ἐπίπλουν*] v. cap. 79. extr. Libri omnes *καί*. Scribendum erat aut *κατά* cum Dukero, aut *μετά* cum eodem. *Κατά* et *καί* saepe confunduntur, et *κατά* id, quod eodem atque aequali tempore accidit, significat, ut docet Matth. p. 1154. „*Μετά* autem, quod eliquando commendavit Reisk., sententiae magis convenit, quam recte expressit Schol. At Valla *quia recusassent prodire obviam classi Athe-*

ἠθέλησαν ἀνταναγαγόντες ναυμαχῆσαι, πολλῷ ἐς τὴν μισθοδοσίαν τὸν Τισσαφέρνην ἀῤῥωστότερον γενόμενον, καὶ ἐς τὸ μισεῖσθαι ὑπ' αὐτῶν πρότερον ἔτι τούτων διὰ τὸν Ἀλκιβιάδην ἐπιδεδωκέναι. καὶ ξυνιστάμενοι πρὸς ἀλλήλους οἷάπερ καὶ πρότερον οἱ στρατιῶται ἀνελογίζοντο, καί τινες καὶ τῶν ἄλλων τῶν ἀξίων λόγου ἀνθρώπων, καὶ οὐ μόνον τὸ στρατιωτικόν, ὡς οὔτε μισθὸν ἐντελῆ πώποτε λάβοιεν, τό τε διδόμενον βραχύ, καὶ οὐδὲ τοῦτο ξυνεχῶς· καὶ εἰ μή τις ἢ διαναυμαχήσει ἢ ἀπαλλάξεται ὅθεν τροφὴν ἕξειν, ἀπολείψειν τοὺς ἀνθρώπους τὰς ναῦς· πάντων τε Ἀστύοχον εἶναι αἴτιον, ἐπιφέροντα ὀργὰς
84 Τισσαφέρνει διὰ ἴδια κέρδη. ὄντων δ' αὐτῶν ἐν τοιούτῳ ἀναλογισμῷ ξυνηνέχθη καὶ τοιόσδε τις θόρυβος περὶ τὸν Ἀστύοχον. τῶν γὰρ Συρακοσίων καὶ Θουρίων ὅσῳ μάλιστα καὶ ἐλεύθεροι ἦσαν τὸ πλῆθος οἱ ναῦται, τοσούτῳ καὶ θρασύτατα προς-

niensi ad Miletum usque ultro lacessenti, quasi τῷ — ἐπίπλῳ legisset, quanquam fortasse etiam *κατά* virgula post *ἐπίπλουν* omissa ita interpretatus est.“ Popp. Schol. *τῶν Ἀθηναίων ἐπιπλευσάντων τῇ Μιλήτῳ καὶ βουλομένων διαναυμαχεῖν τοῖς Πελοποννησίοις, τῶν δὲ Πελοποννησίων οὐκ ἀντιταχθέντων αὐτοῖς, ἀλλ' ἀποδειλιασάντων, ὁ Τισσαφέρνης καταφρονήσας αὐτῶν πολὺ ὀκνηρότερον ἢ πρότερον παρεῖχεν αὐτοῖς τὸν μισθόν· τοῖς οὖν Πελοποννησίοις, καὶ πρότερον μισοῦσιν αὐτὸν ὡς φθείροντα τὰ πράγματα, συνέβη τότε διὰ τὸ μὴ προθύμως ἰσθοδοτεῖν, ἐπιτεῖναι τὸ εἰς αὐτὸν μῖσος.* Κατά Arnoldo praestare videtur, tum quia facilius in *καί* depravari potuit, quam *μετά*, tum quia sententiae ipsi magis convenit, sive ad *γενόμενον* sive ad *ἠθέλησαν* referas. Sensum ita reddit: for though at the time of the appearance of the Athenians before Miletus, when the Peloponnesians would not go out and fight them, Tissaphernes had been far more sickened than ever of supplying them with pay, yet even before that time he had made some progress in their dislike, on account of Alcibiades. Sententiam istam dicit non alio consilio inductam esse, nisi ut explicarentur praecedentia *καὶ πρότερον — ἀπιστοῦντες.*

ὅθεν τροφὴν ἕξειν] Cass. Aug. It. D. et teste Bekk. etiam Pal. Vulgo *ἕξει*. Vat. *ἕξοι*. Infinitivus post relativum in oratione obliqua. Vid. adn. ad 2, 102. et ad 1, 91. Matth. §. 538. Herm. ad Vig. p. 832. „*Πόθεν* coniicit Schmidt. in lib. de Infinitivo (Prenzlav. 1827.) p. 27., interrogationis signum collocans post *ἕξειν*. Sed ita infertur interrogatio oratoria vehementior et abrupte positis *ἀπολείψειν — τὰς ναῦς* artum sententiarum nexum divellens.“ Popp. Schol. ita sensum declarat: *ἤγουν ἀποστήσειαι εἰς τόπον ὅθεν.* Verba *ἐπιφέροντα ὀργὰς* Schol. ita exponit: *τὸ ἐπιφέρειν ὀργὴν ἐπὶ τοῦ χαρίζεσθαι καὶ συγχωρεῖν ἕτοιμον οἱ ἀρχαῖοι· μαρτὺς Κρατῖνος ἐν Χείρωνι λέγων τὴν μουσικὴν ἀκορέστους ἐπιφέρειν ὀργὰς βροτοῖς σώφρουσι.* Arn. convertit humouring, supplying or ministering tempers such as a man likes, sive jeder Laune frönnen.

84. *ὅσῳ μάλιστα — τοσούτῳ*] Matth. p. 860. §. 462. Haack. negat se credere, utrumque, et *τὸ πλῆθος* et *οἱ ναῦται*, a Thucydide esse, sed alterum *οἱ ναῦται* ex interpretatione sibi ortum videri. Popp. dubitat an significet *plerique nautae*. Equidem interpretor die Menge, aus dem Schiffsvolk bestehend sive die Menge, nämlich das Schiffsvolk. Sequerer Arnoldum, qui *τὸ πλῆθος* accipit esse meistentheils et sensum eundem, ac si scripsisset *τὸ πλῆθος τῶν ναυτῶν*, nisi *μάλιστα*

πεσόντες τὸν μισθὸν ἀπῄτουν. ὁ δὲ αὐθαδέστερόν τέ τι ἀπεκρίνατο καὶ ἠπείλησε καὶ τῷ γε Δωριεῖ ξυναγορεύοντι τοῖς ἑαυτοῦ ναύταις καὶ ἐπανήρατο τὴν βακτηρίαν. τὸ δὲ πλῆθος τῶν στρατιωτῶν ὡς εἶδον, οἷα δὴ ναῦται, ὥρμησαν ἐγκραγόντες ἐπὶ τὸν Ἀστύοχον ὥστε βάλλειν· ὁ δὲ προιδὼν καταφεύγει ἐπὶ βωμόν τινα. οὐ μέντοι ἐβλήθη γε, ἀλλὰ διελύθησαν ἀπ' ἀλλήλων. ἔλαβον δὲ καὶ τὸ ἐν Μιλήτῳ ἐνῳκοδομημένον τοῦ Τισσαφέρνους φρούριον οἱ Μιλήσιοι, λάθρα ἐπιπεσόντες, καὶ τοὺς ἐνόντας φύλακας αὐτοῦ ἐκβάλλουσι. ξυνεδόκει δὲ καὶ τοῖς ἄλλοις ξυμμάχοις ταῦτα, καὶ οὐχ ἥκιστα τοῖς Συρακοσίοις. ὁ μέντοι Λίχας οὔτε ἠρέσκετο αὐτοῖς, ἔφη τε χρῆναι Τισσαφέρνει καὶ δουλεύειν Μιλησίους καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ βασιλέως τὰ μέτρια καὶ ἐπιθεραπεύειν, ἕως ἂν τὸν πόλεμον εὖ

sic otiose positum esse videretur. De verbis *αὐθαδέστερόν τι* agit Matth. p. 853. §. 457. Pro *τῷ γε Δωριεῖ* Vall. reddidit *τῷ γ' Ἑρμοκράτει*, eandemque scripturam Schol. videri possit novisse: *τῷ γε Δωριεῖ· τῷ Ἑρμοκράτει*, ubi *γράφεται* excidisse vult Krueg. p. 322., ut in Scholio ad Thuc. 3, 14. *διδόντας· δώσοντας.* Hermocratis nomen non licet reponi, quia Dorieus Thurinis navibus praeerat (v. supr. c. 35.), et Thurini modo praeter Syracusanos nominati sunt. Kruegerum erroris Popp. arguit; *Hermocratem* enim Vallam dedisse, non quod ita legerit, sed quod *Δωριεῖ* gentile esse crediderit, et cum Scholiasta (apud quem *γρ.* excidisse temere Krueg. suspicetur) de Hermocrate intellexerit. Porro Zonaras: *ἐπανήρατο, ἐπειρᾶτο* (scr. *ἐπήρατο*), *εἵλετο.* Quum Huds. adnotasset, Graecorum ducibus gestamen baculum fuisse et insigne, Duk. adiecit, sese hoc non pro certo habere, donec hoc etiam de aliis Graecis, non de Lacedaemoniis tantum demonstratum fuerit. „Nam, quum Astyochus, ait, et Clearchus (de quo ex Xenophonte Huds. locum attulerat) Lacedaemonii fuerint, fortassis etiam baculis in bello gerendis morem patrium secuti sunt. Nam mos erat Lacedaemoniis, baculos gestare, de quo Casaub. ad Theophr. Char. c. 5. et notus est de Eurybiade, rege Lacedaemoniorum, contra Themistoclem baculum extollente Plutarchi e Vita eiusdem locus.“ v. Od. Muell. Dor. 2. p. 289 sq. adn. 2. Wachsm. Antt. Gr. 1, 2. p. 243, 94. Mox pro vulgata *ἐγκραγόντες* Cass. Aug. Pal. It. Vat. Ven. F. habent *ἐκραγέντες*. In Lugd. *ἐκκραγέντες*. Mosqu. *ἐγκραγέντες*. „Et *ἐγκράζειν* quidem non spernendum est (conf. Arist. Plut. v. 428.), sed *ἐκρήγνυσθαι* quoque dicitur de eo, qui verbis aliquem aggreditur, graviter increpat (conf. Herodot. 6, 129.) et est omnino nostrum losbrechen.“ Popp. Did. addit Plut. Demetr. c. 42. *ἐγκραγόντος ἐκείνου.* Synes. Epist. 79. *ἐγκραγὼν γὰρ αὐτῷ δίς που καὶ τρίς.* De verbis *ἠρέσκετο αὐτοῖς* agit Matth. p. 728. Dein Krueg. ad Dionys. p. 359. transpositione facta legi vult *δουλεύειν καὶ Μιλησίους*, at Popp. monuit *καί* referri ad illud, quod ante *ἐπιθεραπεύειν* legitur. Malit etiam aliquis transponi sequentia ex *τὰ μέτρια καί* in *καὶ τὰ μέτρια*, hoc sensu: *oportere Milesios et alios, qui essent in regis ditione, et inservire Tissapherni, et obsequi in iis, quae moderata essent.* Respondet Popp., Licham haud dubie noluisse Milesios in universum et simpliciter servire, sed servire in iis, quae moderata essent. Itaque *τὰ μέτρια* aut ad utrumque verbum pertinere, aut certe magis necessarium esse ad *δουλεύειν*. Priori modo Vallam intellexisse et Portum: *inservire atque obsequi Tissapherni in iis, quae moderata essent.* Tum vulgo legitur *καὶ δι' ἄλλα τοιουτότροπα.* Vat. om. *δι'*.

θῶνται. οἱ δὲ Μιλήσιοι ὠργίζοντό τε αὐτῷ καὶ διὰ ταῦτα καὶ ἄλλα τοιουτότροπα, καὶ νόσῳ ὕστερον ἀποθανόντα αὐτὸν οὐκ εἶασαν θάψαι οὗ ἐβούλοντο οἱ παρόντες τῶν Λακεδαιμονίων. 85 κατὰ δὴ τοιαύτην διαφορὰν ὄντων αὐτοῖς τῶν πραγμάτων πρός τε τὸν Ἀστύοχον καὶ τὸν Τισσαφέρνην, Μίνδαρος διάδοχος τῆς Ἀστυόχου ναυαρχίας ἐκ Λακεδαίμονος ἐπῆλθε, καὶ παραλαμβάνει τὴν ἀρχήν· ὁ δὲ Ἀστύοχος ἀπέπλει. ξυνέπεμψε δὲ καὶ Τισσαφέρνης αὐτῷ πρεσβευτὴν τῶν παρ' ἑαυτοῦ, Γαυλίτην ὄνομα, Κᾶρα δίγλωσσον, κατηγορήσοντα τῶν τε Μιλησίων περὶ τοῦ φρουρίου, καὶ περὶ αὐτοῦ ἅμα ἀπολογησόμενον, εἰδὼς τούς τε Μιλησίους πορευομένους ἐπὶ καταβοῇ τῇ ἑαυτοῦ μάλιστα, καὶ τὸν Ἑρμοκράτην μετ' αὐτῶν, ὃς ἔμελλε τὸν Τισσαφέρνην ἀποφαίνειν φθείροντα τῶν Πελοποννησίων τὰ πράγματα μετὰ Ἀλκιβιάδου καὶ ἐπαμφοτερίζοντα. ἔχθρα δὲ πρὸς αὐτὸν ἦν αὐτῷ ἀεί ποτε περὶ τοῦ μισθοῦ τῆς ἀποδόσεως· καὶ τὰ τελευταῖα φυγόντος ἐκ Συρακουσῶν τοῦ Ἑρμοκράτους, καὶ ἑτέρων ἡκόντων ἐπὶ τὰς ναῦς τῶν Συρακοσίων ἐς τὴν Μίλητον στρατηγῶν, Ποτάμιδος καὶ Μύσκωνος καὶ Δημάρχου, ἐνέκειτο ὁ Τισσαφέρνης φυγάδι ὄντι ἤδη τῷ Ἑρμοκράτει πολλῷ ἔτι μᾶλλον, καὶ κατηγόρει ἄλλα τε καὶ ὡς

85. *Κᾶρα δίγλωσσον*] Coraes ad Heliod. p. 277. *οἱ Ἕλληνες τοὺς ἑρμηνέας διγλώσσους ἐκάλουν, προσηγορικῶς χρησάμενοι τῷ ὀνόματι. Αὐτίκα Πλούταρχος Θεμιστοκλ. §. 6. „ἐπαινεῖται δ' αὐτοῦ καὶ τὸ περὶ τὸν δίγλωσσον ἔργον.“ μνημονεύει δὲ καὶ Θουκυδίδης Κᾶρος διγλώσσου, πεμφθέντος ὑπὸ Τισσαφέρνους τοῦ Πέρσου.* Carem misit, quia Cares non tantum Graece intelligebant, sed etiam Persis Graeca interpretabantur. Carem Mardonius ad oracula Graecorum mittit; Caribus Cyrus utitur interpretibus, et in aula Persae tales interpretes habere solebant. v. Valck. ad Herodot. 8, 133. Porro ad *ἐπαμφοτερίζοντα* Timae. p. 107. *ἐπαμφοτερίσαι, εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον*, ubi Ruhnken. „is quoque, ait, dicitur *ἐπαμφοτερίζειν*, qui modo huic, modo illi parti favet, atque adeo in neutram transit. Adde Schneid. ad Aristot. Polit. 7, 12, 6. 8, 2, 2. Plut. Mar. c. 40. Et Haack. *πρὸς αὐτόν* ad Hermocratem, *αὐτῷ* ad Tissaphernem refert. Krueg. p. 321. adn. 62. contra esse putat, tum quod Hermocrates in proxime praegressis subiectum sit, tum quod *αὐτῷ* eum videatur spectare debere, qui inimicitiae auctor cogitatur, Hermocratem, *ὃς τὴν ἔχθραν προὔθετο*. Hoc autem dictum est, ut apud Herodot. 6, 21. *πένθος μέγα προεθήκαντο*. Interpretare *eum illam inimicitiam in se exsernisse*. Conf. Wessel. ad Herodot. 4, 65. adn. ad 2, 42. *προτίθεσθαι ἀνδραγαθίαν*. Et Arn. existimat, apud Herodot. 4, 65. 7, 229. legendum esse *ὡς οἱ πόλεμον προεθήκαντο — μῆνιν προθέσθαι*. Paulo ante „scriptor non dicit *τοῦ μισθοῦ τῆς δόσεως*, sed *ἀποδόσεως* intelligens plenum stipendium, quod sibi deberi aiebant, drachmam quotidianam singulis nautis, quantum primo iis solvebatur.“ Arn. *Ἐνέκειτο* Krueg. interpretatur *vexavit*, ut 1, 144. 4, 80. et Xen. H. Gr. 5, 2, 1. Malim convertere *instabat, inimice premebat*. Idem p. 322. negat scriptorem verbis ὁ — *Ἀστύοχος — καὶ ὁ Ἑρμοκράτης ἀπέπλευσαν* dicere, Hermocratem iam tum, quum Lacedaemonem proficisceretur, a praefectura remotum fuisse, sed praecipere tantum, quod postmodum Xen. H. Gr. 1, 1, 27 sqq. factum esse docet.

χρήματά ποτε αἰτήσας αὐτὸν καὶ οὐ τυχὼν τὴν ἔχθραν οἱ προθεῖτο. ὁ μὲν οὖν Ἀστύοχος καὶ οἱ Μιλήσιοι καὶ ὁ Ἑρμοκράτης ἀπέπλευσαν ἐς τὴν Λακεδαίμονα· ὁ δὲ Ἀλκιβιάδης διεβεβήκει πάλιν ἤδη παρὰ τοῦ Τισσαφέρνους ἐς τὴν Σάμον.

Καὶ οἱ ἐκ τῆς Δήλου ἀπο τῶν τετρακοσίων πρεσβευταί, 86 οὓς τότε ἔπεμψαν παραμυθησομένους καὶ ἀναδιδάξοντας τοὺς ἐν τῇ Σάμῳ, ἀφικνοῦνται παρόντος τοῦ Ἀλκιβιάδου, καὶ ἐκκλησίας γενομένης λέγειν ἐπεχείρουν. οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον οὐκ ἤθελον ἀκούειν, ἀλλ' ἀποκτείνειν ἐβόων τοὺς τὸν δῆμον καταλύοντας· ἔπειτα μέντοι μόλις ἡσυχάσαντες ἤκουσαν. οἱ δ' ἀπήγγελλον ὡς οὔτε ἐπὶ διαφθορᾷ τῆς πόλεως ἡ μετάστασις γένοιτο, ἀλλ' ἐπὶ σωτηρίᾳ, οὔθ' ἵνα τοῖς πολεμίοις παραδοθῇ· ἐξεῖναι γὰρ ὅτε ἐξέβαλον ἤδη σφῶν ἀρχόντων τοῦτο ποιῆσαι· τῶν τε πεντακισχιλίων ὅτι πάντες ἐν τῷ μέρει μεθέξουσιν, οἵ τε οἰκεῖοι αὐτῶν οὔθ' ὑβρίζονται, ὥσπερ Χαιρέας διαβάλλων ἀπήγγειλεν, οὔτε κακὸν ἔχουσιν οὐδέν, ἀλλ' ἐπὶ τοῖς σφετέροις αὐτῶν ἕκαστοι κατὰ χώραν μένουσιν, ἄλλα τε πολλὰ εἰπόντων οὐδὲν μᾶλλον ἐρήκουον, ἀλλ' ἐχαλέπαινον, καὶ γνώμας ἄλλοι ἄλλας ἔλεγον, μάλιστα δὲ ἐπὶ τὸν Πειραιᾶ πλεῖν. καὶ ἐδόκει Ἀλκιβιάδης πρῶτον τότε καὶ οὐδενὸς ἧσσον τὴν πόλιν ὠφελῆσαι· ὡρμημένων γὰρ τῶν ἐν Σάμῳ Ἀθηναίων

86. *οὓς τότε ἔπεμψαν*] v. cap. 72. 77. „Alias *ἀναδιδάσκειν* est *priora dedocere* (v. Valck. ad Herodot. 8, 63.), hic simpliciter *edocere, perdocere*.“ Duk. Conf. adn. ad 1, 32. Mox Popp. quaerit, num *οὐδ' ἵνα* pro *οὔθ' ἵνα* legendum sit, ut ad prius *οὔτε* demum *τε* in *τῶν τε* referatur. Nam urbis perniciem et proditionem minus bene contrarie poni, quia illa cum hac cohaereat. Verba *ὅτε ἐξέβαλον* respiciunt ad c. 71. Verba *οὔτε κακὸν ἔχουσιν οὐδέν* Abr. interpretatur *nihil mali subeunt — sustinent*, addens sic loqui etiam Plutarchum Vol. 2. p. 161. B. Paulo ante Arn. adnotavit, in verbis *τῶν τε πεντακισχιλίων* etc. hunc sensum esse debere: *omnes suo quemque tempore Quinque Millium in numero fore*, sed miratur hoc Graece ita dictum esse. Etenim *τῶν πεντακισχιλίων* brevius dictum est pro *corpore* Quinquies Mille virorum. Paulo inferius Vat. F. D. I. *Ἀλκιβιάδης πρῶτον*, quod F. D. I. post *τότε* collocant. *Πρῶτον prima vice* vel *primo* hic significare debere Popponi concedimus, non item, *primum* i. e. *unum omnium maxime* Alcibiadem profuisse existimandum esse. Quando enim unquam in superioribus reipublicae profuerat? Ad *ὡρμημένων γάρ* repete *ἐδόκει*. v. adn. ad 1, 25. In verbis *εὐθὺς εἶχον* deest *ἄν*, neque id inusitatum, quemadmodum Latine dici potest *habebant* pro *habuissent*. v. Matth. p. 968. coll. Grotef. Gr. Lat. §. 243. 2. Pro *οὐδ' ἂν εἰς ἱκανός* alii libri *οὐδεὶς ἂν ἱκ.* Thom. M. p. 662. *γίνωσκε μέντοι, ὡς οὐδ' ἂν εἷς καὶ μηδ' ἂν εἷς δοκιμώτερον λέγειν, ἢ οὐδεὶς ἂν καὶ μηδεὶς ἄν. Ἀριστοφάνης ἐν Πλούτῳ* (v. 137.) „*οὐδ' ἂν εἷς ἔτι θύσειεν*.“ Greg. Cor. p. 55. *καὶ τὸ διαιρεῖν τὸ οὐδὲν Ἀττικόν ἐστιν· ὡς ὁ Θουκυδίδης ἐν τῇ δευτέρᾳ* (c. 51.) „*ἔθνησκον δὲ — ἓν τε οὐδὲ ἓν κατέστη ἴαμα*“ etc. *ἀντὶ τοῦ οὐδέν. καινοπρεπὲς δὲ καὶ τοῦτο λεγέσθω σοι.*, ubi v. Koen. Fortius negat *οὐδὲ εἷς* quam *οὐδείς*, nam est *ne unus quidem*. v. Vig. p. 467. Popp. vulgatos libros existimat, sicut alibi, a Thomae sectatoribus interpolatos videri. Verba *οἳ τότε ἐτάχθησαν* respiciunt ad c. 74.

πλεῖν ἐπὶ σφᾶς αὐτούς, ἐν ᾧ σαφέστατα Ἰωνίαν καὶ Ἑλλήσποντον εὐθὺς εἶχον οἱ πολέμιοι, κωλυτὴς γενέσθαι. καὶ ἐν τῷ τότε ἄλλος μὲν οὐδ' ἂν εἷς ἱκανὸς ἐγένετο κατασχεῖν τὸν ὅχλον, ἐκεῖνος δὲ τοῦ τ' ἐπίπλου ἔπαυσε, καὶ τοὺς ἰδίᾳ τοῖς πρέσβεσιν ὀργιζομένους λοιδορῶν ἀπέτρεπεν. αὐτὸς δὲ ἀποκρινάμενος αὐτοῖς ἀπέπεμπεν, ὅτι τοὺς μὲν πεντακισχιλίους οὐ κωλύοι ἄρχειν, τοὺς μέντοι τετρακοσίους ἐκέλευεν ἀπαλλάσσειν αὐτούς, καὶ καθιστάναι τὴν βουλὴν ὥσπερ καὶ πρότερον, τοὺς πεντακοσίους· εἰ δὲ ἐς εὐτέλειάν τι ξυντέτμηται, ὥστε τοὺς στρατευομένους μᾶλλον ἔχειν τροφήν, πάνυ ἐπαινεῖν. καὶ τἆλλα ἐκέλευεν ἀντέχειν καὶ μηδὲν ἐνδιδόναι τοῖς πολεμίοις· πρὸς μὲν γὰρ σφᾶς αὐτοὺς σωζομένης τῆς πόλεως πολλὴν ἐλπίδα εἶναι καὶ ξυμβῆναι, εἰ δὲ ἅπαξ τὸ ἕτερον σφαλήσεται, ἢ τὸ ἐν Σάμῳ ἢ ἐκεῖνοι, οὐδὲ ὅτῳ διαλλαγήσεταί τις ἔτι ἔσεσθαι. παρῆσαν δὲ καὶ Ἀργείων πρέσβεις, ἐπαγγελλόμενοι τῷ ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων δήμῳ ὥστε βοηθεῖν· ὁ δὲ Ἀλκιβιάδης ἐπαινέσας αὐτοὺς καὶ εἰπὼν ὅταν τις καλῇ παρεῖναι οὕτως ἀπέπεμπεν. ἀφίκοντο δὲ οἱ Ἀργεῖοι μετὰ τῶν Παράλων, οἳ τότε ἐτάχθησαν ἐν τῇ στρατιώτιδι νηῒ ὑπὸ τῶν τετρακοσίων περιπλεῖν Εὔβοιαν, καὶ ἄγοντες Ἀθηναίων ἐς Λακεδαίμονα ἀπὸ τῶν τετρακοσίων πεμπτοὺς πρέσβεις Λαισποδίαν καὶ Ἀριστοφῶντα καὶ Μελησίαν, [οἳ] ἐπειδὴ ἐγένοντο πλέοντες κατ' Ἄργος, τοὺς μὲν πρέσβεις ξυλλαβόντες τοῖς Ἀργείοις παρέδοσαν ὡς τῶν οὐχ ἥκιστα καταλυσάντων τὸν δῆμον ὄντας, αὐτοὶ δὲ οὐκέτι ἐς τὰς Ἀθήνας ἀφίκοντο, ἀλλ' ἄγοντες ἐκ τοῦ Ἄργους ἐς τὴν Σάμον τοὺς πρέσβεις ἀφικνοῦνται ἥπερ εἶχον τριήρει.

87 Τοῦ δ' αὐτοῦ θέρους Τισσαφέρνης, κατὰ τὸν καιρὸν τοῦτον ἐν ᾧ μάλιστα διά τε τἆλλα καὶ τὴν Ἀλκιβιάδου κάθοδον

καὶ ἄγοντες Ἀθηναίων] sc. Parali vehebant legatos Quadringentorum. Sic vero participium non habet, unde pendeat. Quapropter Aem. Port. legebat ἄγειν, equidem cum Bekkero malim delere οἵ, quod est ante ἐπειδὴ ἐγένοντο, quo deleto structura expedita est. Parali iussi legatos Laespodiam, Aristophontem et Milesiam Spartam traiicere, postquam in regionem Argi devenerunt, legatos correptos Argivis tradiderunt, nec iam Athenas reversi legatos Argivorum triremi sua Samum vexerunt. Pro πεμπτούς alii libri πέμπτους, plurimi πέμπουσι, quod memorat etiam Schol. Vocabulum dubium om. C., agnoscit Valla, et quatenus ex silentio eius, qui contulit, argumentari licet, etiam Lugd. Bekk. omissum vult πρέσβεις. Popp. utrumque tuetur, nam sic legi c. 89. init. πεμφθέντες πρέσβεις. c. 77. πεμφθέντες πρεσβευταί et initio praesentis cap. οἱ — πρεσβευταὶ, οὓς τότε ἐπεμψαν. De Laespodia v. 6, 105. Schol. Arist. Av. 1568. (quem transscripserunt Suid. et Phavorin.) τοῦτον δὲ τὸν Λαισποδίαν καὶ στρατηγῆσαί φησι Θουκυδίδης ἐν τῇ ή (scr. σί'). Vid. Vales. ad Harpocr. s. v. ἐπίσκοπος. De Aristophonte Azaniensi agit Ruhnk. Hist. cr. Oratt. Gr. p. XLV. Utrum Μελησίαν an Μιλησίαν scribendum sit, dubitatur. Illud cum Meursio Lectt. Att. 5, 26. praetulerunt Bekk. et Popp. Et καὶ' Ἄργος est in den Gewässern von Argos, v. Valck. ad Herodot. 3, 14.

ἤχθοντο αὐτῷ οἱ Πελοποννήσιοι ὡς φανερῶς ἤδη ἀττικίζοντι, βουλόμενος, ὡς ἐδόκει δή, ἀπολύεσθαι πρὸς αὐτοὺς τὰς διαβολάς, παρεσκευάζετο πορεύεσθαι ἐπὶ τὰς Φοινίσσας ναῦς ἐς Ἄσπενδον, καὶ τὸν Λίχαν ξυμπορεύεσθαι ἐκέλευε· τῇ δὲ στρατιᾷ προστάξειν ἔφη Ταμὼν ἑαυτοῦ ὕπαρχον, ὥστε τροφὴν ἐν ὅσῳ ἂν αὐτὸς ἀπῇ διδόναι. λέγεται δὲ οὐ κατὰ ταὐτό, οὐδὲ ῥᾴδιον εἰδέναι τίνι γνώμῃ παρῆλθεν ἐς τὴν Ἄσπενδον καὶ παρελθὼν οὐκ ἦγαγε τὰς ναῦς. ὅτι μὲν γὰρ αἱ Φοίνισσαι νῆες ἑπτὰ καὶ τεσσαράκοντα καὶ ἑκατὸν μέχρι Ἀσπένδου ἀφίκοντο σαφές ἐστι· διότι δὲ οὐκ ἦλθον πολλαχῇ εἰκάζεται. οἱ μὲν γὰρ ἵνα διατρίβῃ ἀπελθών, ὥσπερ καὶ διενοήθη, τὰ τῶν Πελοποννησίων· τροφὴν γοῦν οὐδὲν βέλτιον, ἀλλὰ καὶ χεῖρον ὁ Ταμώς, ᾧ προσετάχθη, παρεῖχεν· οἱ δὲ ἵνα τοὺς Φοίνικας προαγαγὼν ἐς τὴν Ἄσπενδον ἐκχρηματίσαιτο ἀφεὶς· καὶ γὰρ

87. Ταμών] In Reg. Ταμόν, vulg. Ταμῶν. „At supra cap. 31. Τάμων, Xen. Anab. 1, 2, 21. 4, 2. et Diod. 45, 19. 35. Ταμώς, quod rectum puto. Sic Γαώς — Ἰναρώς — Ταχώς — Νεκώς, nomina Aegyptia. Nam Tamum Aegyptium fuisse Xen. Anab. 4, 2. et Diod. 14, 19. (ubi Μεμφίτης dicitur) indicant.“ Duk. Porro numero navium ἑπτὰ καὶ τεσσαράκοντα καὶ ἑκατόν „Plut. V. Alc. 25. tres addit. Sed Isocr. de Big. 7. non numerat nisi 90, contra Diod. 13, 36. (coll. 38.) μετεπέμψατο δὲ καὶ (ὁ Φαρνάβαζος, ita enim pro Τισσαφέρνης scribit) ἐκ Φοινίκης τριήρεις τριακοσίας διαλογιζόμενος ἀποστεῖλαι τοῖς Λακεδαιμονίοις ἐπὶ τὴν Βοιωτίαν. Quorum nihil verum videtur.“ Krueg. p. 360., qui coniecturas, quas de itinere Tissaphernis scriptor proponit, eas omnes coniungendas esse putat. Adde Wessel. ad Diod. l. c. Post οἱ μὲν γάρ sequitur nullum verbum finitum: repete ex superioribus εἶχαζον et conf. adn. ad 1, 25. atque Euripidis locum ap. Matth. p. 1057. §. 537. extr.

